GEORGII CHOEROBOSCI

DICTATA

IN THEODOSII CANONES,

NECNON

EPIMERISMI IN PSALMOS.

E CODICIBUS MANUSCRIPTIS

EDIDIT

THOMAS GAISFORD, S. T. P.

ÆDIS CHRISTI DECANUS

NECNON

GRÆCÆ LINGUÆ PROFESSOR REGIUS.

TOMUS II.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXLII.

Περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων.

Περὶ τοῦ τόνου τῆς γενικῆς τῶν ἑνικῶν.

Διαλαμβάνει ὁ τεχνικὸς περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων, καὶ λαμβάνει πρῶτον ὁμολογούμενον τὸν τῆς εὐθείας τόνον, καὶ οὕτως κατασκευάζει τὸν τόνον τῆς γενικῆς. Ἐμάθομεν δὲ ὅτι οἱ κύριοι τόνοι τῶν λέξεων δύο εἰσίν, ἥ τε ὀξεῖά φημι καὶ ἡ περισπωμένη. Περὶ γὰρ τῆς βαρείας ἐμάθομεν ὅτι συλλαβικὸς τόνος ἐστί· πᾶσα γὰρ συλλαβὴ χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον τῆς λέξεως, λέγω δὲ τὴν ὀξεῖαν ἢ τὴν περισπωμένην, βαρεῖαν δέχεται, οἷον φὶλὸς, ἄνθρὼπὸς, δῆμὸς. Κανονίζει οὖν ὁ τεχνικὸς τὸν τόνον τῆς γενικῆς, λέγων, ὅτι "πᾶσα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ εὐθεῖα, χωρὶς εἰ μή που ἕτερος λόγος κωλύσῃ. Ὑπεξαιρείσθωσαν δὲ αἱ εἰς ΟΣ δισύλλαβοι γενικαί." Πρόσκειται ἐν τῷ κανόνι "κοινὴ" διὰ τὸ ἴα ἰᾶς καὶ μία μιᾶς, Ἰωνικῶς ἐν τῇ γενικῇ περισπασθέντων, ὡς δειχθήσεται. Πρόσκειται "ἀπαθής" διὰ τὸ πατὴρ πατέρος πατρός, ἀνὴρ ἀνέρος ἀνδρός· ταῦτα γὰρ συγκοπὴν πεπονθότα οὐκ ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον. Πρόσκειται "εἰ μὴ ἕτερος λόγος κωλύσῃ" διὰ τὸ Ἄδωνις Ἀδώνιδος καὶ Ὅμηρος Ὁμήρου· ταῦτα γάρ, ὡς δειχθήσεται, δι' ἕτερον λόγον κατεβίβασαν τὸν τόνον. Πρόσκειται "ὑπεξαιρείσθωσαν δὲ αἱ εἰς ΟΣ δισύλλαβοι γενικαί" διὰ τὸ παῖς παιδὸς καὶ φῶς φωτὸς καὶ Τρὼς Τρωός· ταῦτα γὰρ οὐκ ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον, ἀλλὰ τῷ λόγῳ τῆς δισυλλαβίας ὠξύνθησαν, ὡς μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα. Τὸ Αἴας ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὸν τόνον, ἀλλὰ καὶ ἡ γενικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, Αἴαντος· ὁμοίως δὲ λέβης λέβητος, Λάχης Λάχητος, πένης πένητος, Δάρης Δάρητος, Πάρις Πάριδος. Πάλιν τὸ ταχὺς καὶ ὀξὺς ἐπὶ

τῆς δευτέρας ἀπ' ἀρχῆς συλλαβῆς ἔχουσι τὸν τόνον· ἀλλὰ καὶ ἡ ταχέος καὶ ὀξέος γενικὴ ὁμοίως ἐπὶ τῆς δευτέρας συλλαβῆς ἀπ' ἀρχῆς ἔχει τὸν τόνον. Πάλιν τὸ Ἀχιλλεὺς καὶ εὐγενὴς ἐπὶ τῆς τρίτης ἀπ' ἀρχῆς συλλαβῆς ἔχει τὸν τόνον· ἀλλὰ καὶ ἡ Ἀχιλλέως καὶ εὐγενέος γενικὴ ὁμοίως ἐπὶ τῆς τρίτης ἀπ' ἀρχῆς συλλαβῆς ἔχει τὸν τόνον. Πάλιν φίλος φίλου, ξένος ξένου· ἰδοὺ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν. Πάλιν καλὸς καλοῦ, σοφὸς σοφοῦ, ἀγαθὸς ἀγαθοῦ· ἰδοὺ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, εἰ καὶ μὴ τὸν αὐτόν· ἡ μὲν γὰρ εὐθεῖα ὀξύνεται, ἡ δὲ γενικὴ περισπᾶται. Περισπᾶται δὲ ἡ γενικὴ τῷ λόγῳ τῷ λεγομένῳ ἐν τῇ περὶ τοῦ ἴας καὶ μιᾶς διδασκαλίᾳ. Πάλιν ἔστι δοῦλος δούλου, καὶ ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττει τὸν τόνον, εἰ καὶ μὴ τὸν αὐτόν· ἡ μὲν γὰρ εὐθεῖα προπερισπᾶται διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας, ἡ δὲ γενικὴ παροξύνεται διὰ τὸ εἶναι φύσει μακρὰν τὴν ἐπὶ τέλους συλλαβήν. Τὸ μέντοι Ἄδωνις Ἀδώνιδος καὶ φίλημα φιλήματος, ἐπειδὴ προπαροξύνεται ἡ εὐθεῖα καὶ περιττοσυλλάβως κλίνεται ἡ γενική, διὰ τοῦτο οὐ δύναται φυλάξαι ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα, ἀλλὰ καταβιβάζει αὐτὸν μίαν συλλαβὴν ἐν τῇ γενικῇ· τετάρτη γὰρ ἀπὸ τέλους οὐδέποτε πίπτει ἡ ὀξεῖα, τουτέστι πρὸ τριῶν συλλαβῶν οὐδέποτε τόνος εὑρίσκεται τιθέμενος.

Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν πρὸ τριῶν συλλαβῶν οὐ τίθεται τόνος. Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· οὐδέποτε ἁπλῆ λέξις πρωτότυπος ἀκίνητος ὑπερβαίνει τὴν τρισυλλαβίαν· τούτου χάριν οὐδὲ τόνος ὑπερβαίνει τὰς τρεῖς συλλαβάς. Πρόσκειται ἐν τῷ κανόνι "ἁπλῆ" διὰ τὰς συνθέτους, οἷον διὰ τὸ φιλόσοφος, Ἀρίσταρχος· αὗται γὰρ ὑπερβαίνουσι τὴν τρισυλλαβίαν, ἀλλ' οὐκ εἰσὶν ἁπλαῖ. Πρόσκειται "πρωτότυπος" διὰ τὰς παραγώγους, οἷον διὰ τὸ σοφώτερος, ταχύτερος· αὗται γὰρ ὑπερβαίνουσι τὴν τρισυλλαβίαν, ἀλλ' οὐκ εἰσὶ πρωτότυποι. "Ἀκίνητος" δὲ πρόσκειται διὰ τὸ κείρω καὶ ποιῶ· γίνεται γὰρ τούτων ὁ ὑπερσυντέλικος ἐκεκάρμην καὶ ἐπεποιήκειν, καὶ ἰδοὺ ὑπερέβη-

σαν ταῦτα τὴν τρισυλλαβίαν, καὶ αἴτιόν ἐστι τοῦ ὑπερβαίνειν τὴν τρισυλλαβίαν τὸ κινηθῆναι αὐτά. Διὰ ταῦτα οὖν πρόσκειται ἐν τῷ κανόνι ὅτι οὐδέποτε ἁπλῆ λέξις πρωτότυπος ἀκίνητος ὑπερβαίνει τὰς τρεῖς συλλαβάς. Ἔστι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν, δι' ἣν οὐδέποτε ὑπερβαίνει τόνος τὴν τρισυλλαβίαν· ἔχει δὲ οὕτως. Πρῶται τέλειαι λέξεις εἰσὶν αἱ τρισύλλαβοι· ἔχουσι γὰρ ἀρχὴν καὶ μέσον καὶ τέλος. Ἐπειδὴ οὖν πρῶται τέλειαι λέξεις εἰσὶν αἱ τρισύλλαβοι, εἰκότως μέχρι αὐτῆς ἔστησαν οἱ τόνοι, καὶ οὐχ ὑπερβαίνουσι τὴν τρισυλλαβίαν.

Ἰστέον δὲ ὅτι καὶ τὸ Ὅμηρος Ὁμήρου καὶ τὸ ἄνθρωπος ἀνθρώπου ἀναγκαίως κατεβίβασαν τὸν τόνον, ἐπειδὴ ἐπὶ τούτων ἡ εὐθεῖα προπαροξύνεται· καὶ λοιπὸν ἡ γενικὴ οὐ δύναται προπαροξυνθῆναι, πρῶτον μέν, ὅτι οὐδέποτε πρὸ τεσσάρων χρόνων τόνος πίπτει· (ἐὰν οὖν προπαροξυνθῶσιν ἐπὶ τούτων αἱ γενικαί, εὑρεθήσεται πρὸ τεσσάρων χρόνων ὁ τόνος, ὅπερ ἐστὶν ἀδύνατον·) δεύτερον δέ, ὅτι κανών ἐστιν ὁ λέγων ὡς φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται ἡ λέξις, οἷον Παρίδων, βημάτων, Λαχήτων. Οὕτως οὖν καὶ ἀνθρώπου καὶ Ὁμήρου παροξύνεται. Ἀμέλει ἐν τῇ αἰτιατικῇ, ἐπειδὴ οὐκ ἔστιν ἡ τελευταία συλλαβὴ μακρά, οὐ κωλύεται προπαροξυνθῆναι, οἷον Ὅμηρον, ἄνθρωπον.

Τούτων οὖν οὕτως ἐχόντων, δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι ὡς φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς τρίτη ἀπὸ τέλους οὐδέποτε πίπτει ἡ ὀξεῖα, "χωρὶς εἰ μὴ εὑρεθῇ τὸ ω ἐν τῇ τελευταίᾳ συλλαβῇ παραλήγοντος τοῦ ε," τουτέστιν, ὅταν τὸ ω ἐν τῇ τελευταίᾳ συλλαβῇ παραλήγοντος τοῦ ε εὑρεθῇ, τρίτη ἀπὸ τέλους τότε πίπτει ἡ ὀξεῖα, ὡς ἐπὶ τοῦ πόλεως, μάντεως, πράξεως, πόλεων, μάντεων, πράξεων, καὶ ὡς ἐπὶ τῶν παρὰ ταῖς διαλέκτοις, οἷον Ἀτρείδεω, Πηλείδεω. Ἰστέον ὅτι ταῦτα προπαροξυνόμενα οὐ θέλουσιν ἔχειν μεταξὺ τοῦ ε καὶ τοῦ ω σύμφωνον, ὡς ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων· ἐὰν δὲ ἄρα καὶ ἔχωσι,

πάντως εὑρίσκεται ἢ τὸ λ ἢ τὸ ρ, ὡς ἐπὶ τοῦ χρυσόκερως, φιλόγελως. Δεῖ δὲ γινώσκειν ὅτι ἐπὶ τοῦ πόλεως καὶ μάντεως ἀπολογούμενος ὁ τεχνικός, διότι μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς προπαροξύνεται, λέγει ὅτι ταῦτα ἀπὸ τοῦ πόλιος καὶ μάντιος γεγονότα τὴν τῶν κοινῶν ἐφύλαξαν τάσιν.

Ἔτι δεῖ προσθεῖναι "καὶ χωρὶς τῆς οι διφθόγγου καὶ τῆς αι διφθόγγου·" τούτων γὰρ ἐπὶ τέλους οὐσῶν πολλάκις προπαροξύνεται ἡ λέξις, οἷον Ὅμηροι, ἄνθρωποι, Ἀρίσταρχοι, τράπεζαι, ἅμαξαι, ἄελλαι, ἐπειδὴ ἀντὶ κοινῆς παραλαμβάνονται καὶ πρὸς ἕνα ἥμισυν χρόνον ἔχουσιν. Ἀλλ' ἔλθωμεν καὶ μάθωμεν πότε ἡ οι καὶ αι δίφθογγος ἐν τοῖς τονικοῖς παραγγέλμασιν ἀντὶ κοινῆς παραλαμβάνονται. Ἰστέον ὅτι ἡ οι καὶ ἡ αι δίφθογγος ἐπὶ τῶν εὐθειῶν, τῶν πληθυντικῶν δηλονότι, καὶ τῶν κλητικῶν τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται, ἤγουν ἀντὶ βραχείας, οἷον Ὅμηροι ὦ Ὅμηροι, ἄνθρωποι ὦ ἄνθρωποι, Ἀρίσταρχοι ὦ Ἀρίσταρχοι, αἱ ἅμαξαι ὦ ἅμαξαι, αἱ τράπεζαι ὦ τράπεζαι, αἱ ἄελλαι ὦ ἄελλαι. Πρόσκειται "ἐπὶ τῶν εὐθειῶν τῶν πληθυντικῶν καὶ τῶν κλητικῶν" διὰ τὰς δοτικάς· ἐπὶ τούτων γὰρ οὐ παραλαμβάνονται ἡ αι καὶ ἡ οι δίφθογγοι ἀντὶ κοινῆς ἀλλ' ἀντὶ φύσει μακρᾶς, καὶ δῆλον ἐκ τοῦ καταβιβάζεσθαι τὸν τόνον ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, ἡνίκα προπαροξύνεται ἡ εὐθεῖα, οἷον ἄνθρωποι ἀνθρώποις, Ὅμηροι Ὁμήροις, Ἀρίσταρχοι Ἀριστάρχοις, ἅμαξαι ἁμάξαις, ἄελλαι ἀέλλαις, τράπεζαι τραπέζαις. Τούτου δὲ αἴτιόν ἐστι τὸ σύμφωνον τὸ ἐπιφερόμενον, ἐπειδὴ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν σύμφωνον ἐπιφέρεται τῇ οι διφθόγγῳ καὶ τῇ αι· τούτου χάριν οὐ παραλαμβάνονται ἀντὶ κοινῆς. Τὸ γὰρ σύμφωνον τὸ ἐπιφερόμενον ἕτερον ἡμιχρόνιον χαρίζεται αὐταῖς, καὶ ἀποτελεῖ αὐτὰς φύσει μακράς· τὰ γὰρ σύμφωνα, δηλονότι τὰ ἁπλᾶ, ἡμιχρόνιον ἔχουσι. Πρόσκειται "δηλονότι ἁπλᾶ," ἐπειδὴ τὰ διπλᾶ, ἅτε δύο συμφώνων ἔχοντα δύναμιν, πρὸς ἕνα χρόνον ἔχουσιν. Ἐν δὲ τοῖς ἀπτώτοις καὶ τοῖς εὐκτικοῖς ῥήμασιν οὐδέποτε ἡ οι δίφθογγος τῷ

τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνεται, ἤγουν ἀντὶ βραχείας, ἀλλ' ἀντὶ φύσει μακρᾶς, οἷον ὤμοι, ποιήσοι. Ὅτι γὰρ ἐπὶ τούτων ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ οι δίφθογγος, δῆλον ἐκ τοῦ μὴ προπερισπᾶσθαι αὐτὰ ἀλλὰ παροξύνεσθαι. Ὅθεν καὶ τὸ οικοι ἡνίκα μέν ἐστιν ἐπίρρημα καὶ σημαίνει τὸ ἐν οἴκῳ, παροξύνεται, ὡς τῆς οι διφθόγγου ἀντὶ φύσει μακρᾶς παραλαμβανομένης, οἷον οἴκοι· ὅτε δέ ἐστιν εὐθεῖα τῶν πληθυντικῶν, οἷον οἶκοι, προπερισπᾶται, ὡς τῆς οι διφθόγγου ἀντὶ κοινῆς παραλαμβανομένης, ἤγουν ἀντὶ βραχείας, ὥσπερ δῆμοι, κῆποι. Ἡ δὲ αι δίφθογγος, ὡς εἴρηται, ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν καὶ ἐν τῇ κλητικῇ τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνεται, ἤγουν ἀντὶ βραχείας, καὶ ἕνα ἥμισυν χρόνον ἔχει, οἷον αἱ ἅμαξαι ὦ ἅμαξαι, αἱ τράπεζαι ὦ τράπεζαι, αἱ ἄελλαι ὦ ἄελλαι. Ὡσαύτως δὲ καὶ ἐν τοῖς ῥήμασιν ἀντὶ κοινῆς παραλαμβάνεται, καὶ ἐν τοῖς ὁριστικοῖς, ὡς ἐπὶ τοῦ τύπτονται, πεποίηνται, καὶ ἐν τοῖς ἀπαρεμφάτοις, οἷον τύπτεσθαι, λέγεσθαι, καὶ ἐν τοῖς προστακτικοῖς, οἷον ἄσπασαι, κατάδεξαι, περιποίησαι, μίμησαι, καὶ ἐν τοῖς ὑποτακτικοῖς, οἷον ἐὰν λέγωμαι, ἐὰν τύπτωμαι. Ἐν δὲ τοῖς εὐκτικοῖς ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ αι δίφθογγος καὶ οὐδέποτε ἀντὶ κοινῆς, οἷον ποιήσαιμι ποιήσαις ποιήσαι. Ὅτι γὰρ ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ αι δίφθογγος καὶ οὐδέποτε ἀντὶ κοινῆς ἐν τοῖς εὐκτικοῖς, δῆλον ἐκ τοῦ τὸ ποιήσαι εὐκτικὸν μὴ προπερισπᾶσθαι ἀλλὰ προπαροξύνεσθαι. Ὅθεν τὸ ποιησαι ἡνίκα μέν ἐστιν εὐκτικὸν, ποιήσαιμι ποιήσαις ποιήσαι, παροξύνεται, ὡς τῆς αι διφθόγγου ἀντὶ φύσει μακρᾶς παραλαμβανομένης· ὅτε δέ ἐστιν ἀπαρέμφατον, οἷον ποιῆσαι θέλω, προπερισπᾶται, ὡς τῆς αι διφθόγγου ἀντὶ κοινῆς παραλαμβανομένης, ἤγουν ἀντὶ βραχείας. Καὶ διὰ τί ἡ αι δίφθογγος ἐν τοῖς ὁριστικοῖς καὶ ἀπαρεμφάτοις καὶ προστακτικοῖς καὶ ὑποτακτικοῖς ἀντὶ κοινῆς παραλαμβάνεται, ἐν δὲ τοῖς εὐκτικοῖς ἀντὶ φύσει μακρᾶς, ἐν τοῖς προστακτικοῖς, εἰ θεῷ φίλον, μαθησόμεθα, ἐν τῇ διδασκαλίᾳ τοῦ πρώτου μέσου ἀορίστου. Ἐν δὲ τοῖς

ἐπιρρήμασιν ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ αι δίφθογγος τῷ τονικῷ παραγγέλματι, οἷον βαβαὶ, παπαὶ, χαμαὶ, χωρὶς τοῦ πάλαι καὶ τῶν παρ' αὐτοῦ, οἷον ἔκπαλαι, πρόπαλαι· ταῦτα δὲ τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς ἔχουσι παραλαμβανομένην τὴν αι δίφθογγον, ὅθεν καὶ προπαροξύνονται. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δ' ἐστὶ ζητῆσαι τί δή ποτε ἡ οι καὶ ἡ αι δίφθογγοι μόναι ἐκ τῶν διφθόγγων τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται, οἷον ἄνθρωποι, Ὅμηροι, Ἀρίσταρχοι, ἅμαξαι, τράπεζαι, ἄελλαι. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ἰστέον ὅτι ἕνδεκα δίφθογγοι εἰσίν· ἔστι γὰρ ἡ ει δίφθογγος καὶ ἡ οι καὶ ἡ αι καὶ ἡ αυ καὶ ἡ ευ καὶ ἡ ου καὶ ἡ ηι καὶ ἡ ωι, ἡ διὰ τοῦ η καὶ ι καὶ ἡ διὰ τοῦ ω καὶ ι, καὶ ηυ καὶ ἡ ωυ, ἡ διὰ τοῦ η καὶ υ καὶ ἡ διὰ τοῦ ω καὶ υ, οἷον ὠυτὸς ἀνὴρ ἀντὶ τοῦ ὁ αὐτὸς, καὶ ἡ υι ἡ διὰ τοῦ υ καὶ ι. Αὗται τοίνυν αἱ ἕνδεκα δίφθογγοι ἀνεμερίσαντο ἑαυτὰς καὶ ἐγένοντο κατὰ τρόπους τρεῖς· αἱ μὲν γὰρ αὐτῶν εἰσὶ κατ' ἐπικράτειαν, αἱ δὲ κατὰ διέξοδον, αἱ δὲ κατὰ κρᾶσιν. Καὶ κατὰ μὲν ἐπικράτειάν εἰσιν ὡς ἐπὶ τῆς ηι διφθόγγου τῆς διὰ τοῦ η καὶ ι καὶ τῆς ωι καὶ τῆς αι τῆς ἐχούσης τὸ ι ἀνεκφώνητον· ἐπὶ τούτων γὰρ ὁ φθόγγος τοῦ ἑνὸς φωνήεντος ἐπικρατεῖ καὶ αὐτὸς ἐξακούεται, οἷον τῇ Ἑλένῃ, τῷ καλῷ, τῇ Μηδείᾳ. Κατὰ κρᾶσιν δέ εἰσιν ὡς ἐπὶ τῆς ου διφθόγγου καὶ τῆς αυ καὶ τῆς ευ· ἐπὶ τούτων γὰρ συγκιρνῶσιν ἑαυτὰ τὰ δύο φωνήεντα καὶ ἀποτελοῦσι μίαν φωνὴν ἁρμόζουσαν τοῖς δύο φωνήεσιν, οἷον αὐλὸς, εὔχομαι, οὗτος. Κατὰ διέξοδον δέ εἰσιν ὡς ἐπὶ τῆς ηυ διφθόγγου τῆς διὰ τοῦ η καὶ υ καὶ τῆς ωυ τῆς διὰ τοῦ ω καὶ υ καὶ τῆς υι τῆς διὰ τοῦ υ καὶ ι· ἐπὶ τούτων γὰρ χωρὶς ἀκούεται ὁ φθόγγος τοῦ ἑνὸς φωνήεντος, τοῦτ' ἔστι τοῦ ι, καὶ χωρὶς τοῦ ἑτέρου φωνήεντος, οἷον νηυσὶν, υἱὸς, ὠυτὸς,

εὖτέ μιν ὠυτὸς ἀνὴρ

ἀντὶ τοῦ ὁ αὐτός. Ἐπειδὴ οὖν ἡ αι δίφθογγος ἡ ἐκφωνοῦσα τὸ ι καὶ ἡ οι δίφθογγος οὔτε κατ' ἐπικράτειάν εἰσιν οὔτε κατὰ διέξοδον οὔτε κατὰ κρᾶσιν, εἰκότως, ὥσπερ ἐστερή-

θησαν τοῦ ἰδιώματος τῶν διφθόγγων, ἐστερήθησαν καὶ τοῦ χρόνου τοῦ παρεπομένου ταῖς διφθόγγοις, καὶ τούτου χάριν αὗται μόναι ἐκ τῶν διφθόγγων τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται καὶ πρὸς ἕνα ἥμισυν χρόνον ἔχουσιν. Πρόσκειται "ἡ ἐκφωνοῦσα τὸ ι," οἷον "ἡ αι δίφθογγος ἡ ἐκφωνοῦσα τὸ ι," ἐπειδὴ ἡ αι δίφθογγος ἡ ἀνεκφώνητον ἔχουσα τὸ ι, ὡς εἴρηται, κατ' ἐπικράτειάν ἐστι· καὶ γὰρ ἐν ταύταις ὁ φθόγγος τοῦ α ἐπικρατεῖ, οἷον τῇ Μηδείᾳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται, "καὶ χωρὶς τοῦ η τοῦ γινομένου ἀπὸ τροπῆς τῆς αι διφθόγγου παρὰ τοῖς Βοιωτοῖς." Τούτου γὰρ ἐπὶ τέλους ὄντος πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα· τὸ γὰρ τύπτομαι οἱ Βοιωτοὶ τρέποντες τὴν αι δίφθογγον εἰς τὸ η προπαροξύνουσι καὶ λέγουσι τύπτομη. Ἔτι δεῖ προσθεῖναι "καὶ χωρὶς τοῦ υ τοῦ μακροῦ τοῦ γινομένου ἀπὸ τροπῆς τῆς οι διφθόγγου παρὰ τοῖς Βοιωτοῖς." Τούτου γὰρ ἐπὶ τέλους ὄντος πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα· τὸ γὰρ Ὅμηροι, τρέποντες τὴν οι δίφθογγον οἱ Βοιωτοὶ εἰς τὸ υ μακρὸν, προπαροξύνουσι καὶ λέγουσιν Ὅμηρυ, καὶ ἰδοὺ εὑρίσκεται τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἔχουσα μακρὰν φύσει τὴν τελευταίαν συλλαβήν.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τοῦ εἰπεῖν τὸν τεχνικὸν, ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται ἡ λέξις.

Τούτων οὕτως ἐχόντων, σημειοῦται ὁ τεχνικὸς τὸ μητέρος καὶ θυγατέρος, ὅτι οὐκ ἐφύλαξαν τὸν τόνον ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἐφ' ἧς καὶ ἡ εὐθεῖα. Τὸ γὰρ μήτηρ καὶ θυγάτηρ παροξύτονα ὄντα ὤφειλον ἐν τῇ γενικῇ προπαροξύνεσθαι καὶ γίνεσθαι μήτερος καὶ θυγάτερος, ὥσπερ Δημήτηρ Δημήτερος, ἵνα φυλάξωσιν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφ' ἧς συλλαβῆς τὸν τόνον ἔχει καὶ ἡ εὐθεῖα· ἀλλ' ἠκολούθησαν τοῖς ἰδίοις συγγενικοῖς κατὰ τὸν τόνον τῆς γενικῆς, λέγω δὲ

τῷ πατέρος, ἀνέρος, δαέρος, (δαὴρ δέ ἐστιν ὁ ἀνδράδελφος), καὶ παρωξύνθησαν ὁμοίως αὐτοῖς, οἷον μητέρος, θυγατέρος.

Ταῦτα μὲν ἐν τούτοις. Ἡμάρτηται δὲ, φησὶ, τὸ γυναικὸς καὶ θυγατρός. Καὶ γὰρ παράλογός ἐστιν ἡ γενικὴ ὀξυνομένη ἐπὶ τοῦ γυναικὸς καὶ θυγατρός· πᾶσα γὰρ γενικὴ εἰς ΟΣ λήγουσα ὑπὲρ δύο συλλαβὰς ἀπέστραπται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντος, Θόαντος, λέβητος, Λάχητος, Ξενοφῶντος, Ἀγλαοφῶντος, Σιδῶνος, Μακεδόνος, βολίδος, ἀσπίδος, ῥανίδος. Παραλόγως ἄρα ἡ γυναικὸς καὶ θυγατρὸς γενικαὶ ὀξύνονται. Καὶ ἔστιν εἰπεῖν ὅτι συναπηνέχθησαν αὗται τοῖς ἰδίοις συγγενικοῖς κατὰ τὸν τόνον, φημὶ δὲ τῇ πατρὸς γενικῇ καὶ τῇ ἀνδρὸς καὶ τῇ μητρὸς, καὶ ὀξύνονται ὁμοίως ταύταις ταῖς γενικαῖς.

Ἐπειδὴ δὲ εἰρήκαμεν ὅτι πᾶσα γενικὴ εἰς ΟΣ λήγουσα ὑπὲρ δύο συλλαβὰς ἀπέστραπται τὴν ὀξεῖαν τάσιν, δεῖ γινώσκειν ὅτι πᾶσα γενικὴ εἰς ΟΣ λήγουσα ὑπὲρ δύο συλλαβὰς (ὑπεσταλμένης δηλονότι τῆς γυναικὸς καὶ θυγατρὸς γενικῆς ὀξυνομένης παραλόγως) ἢ παροξύνεται ἢ προπαροξύνεται ἢ προπερισπᾶται. Προπαροξύνονται μὲν οὖν αἱ εἰς ΟΣ λήγουσαι γενικαὶ, ὑπὲρ δύο συλλαβὰς δηλονότι οὖσαι, ὅσαι εἰσὶν ἀπὸ παροξυνομένων εὐθειῶν,—οἷον Αἴας Αἴαντος, Θόας Θόαντος, πένης πένητος, Δάρης Δάρητος, Πάρις Πάριδος, Θέτις Θέτιδος, Δημήτηρ Δημήτερος, εἰνάτηρ εἰνάτερος, (σημαίνει δὲ τὴν σύνυμφον,

καὶ εἰνατέρων εὐπέπλων).

ἐχρῆν οὖν καὶ παρὰ τὸ μήτηρ καὶ θυγάτηρ παροξύτονον μήτερος καὶ θυγάτερος εἶναι κατὰ τὴν γενικὴν προπαροξυτόνως· ἀλλ', ὡς εἴρηται, παρωξύνθησαν ὁμοίως τοῖς ἰδίοις συγγενικοῖς, οἷον μητέρος καὶ θυγατέρος, ὥσπερ πατέρος, ἀνέρος, καὶ δαέρος·—ἀπὸ προπαροξυνομένων δὲ, οἷον Ἄδωνις Ἀδώνιδος, φίλημα φιλήματος, νόημα νοήματος, Ἄρτεμις Ἀρτέμιδος, Ἄθηνις Ἀθήνιδος, Θέογνις Θεόγνιδος· ἀπὸ προπερισπωμένων δὲ, οἷον μνῆμα μνήματος, βῆμα βήματος, αἷμα αἵματος, κῦμα κύματος, σῶμα σώματος, νεᾶνις νεάνιδος, θοῦρις θούριδος, οἷον "θούριδος ἀλκῆς." Παροξύνονται δὲ αἱ

εἰς ος λήγουσαι γενικαὶ, δηλονότι ὑπὲρ δύο συλλαβὰς ὑπάρχουσαι, ὅσαι εἰσὶν ἀπὸ ὀξυνομένων εὐθειῶν καὶ βραχείᾳ παραλήγονται, οἷον ταχὺς ταχέος, βραδὺς βραδέος, ἡδὺς ἡδέος, Ἀχιλλεὺς Ἀχιλλέος, Πηλεὺς Πηλέος, ἀστὴρ ἀστέρος, αἰθὴρ αἰθέρος, ἀὴρ ἀέρος, ἀσπὶς ἀσπίδος, εὐσεβὴς εὐσεβέος, εὐγενὴς εὐγενέος, ποιμὴν ποιμένος, ὀδοὺς ὀδόντος· θέσει γὰρ μακρὰ ἡ παραλήγουσα καὶ οὐ φύσει, καὶ λοιπὸν βραχεῖαν μιμεῖται. Προπερισπῶνται δὲ ὅσαι φύσει μακρᾷ παραλήγονται, οὖσαι ἀπὸ ὀξυτόνων εὐθειῶν ἢ περισπωμένων, ἀπὸ μὲν ὀξυτόνων, οἷον χειμὼν χειμῶνος, αἰὼν αἰῶνος, ἀγὼν ἀγῶνος, σωλὴν σωλῆνος, δοθιὴν δοθιῆνος, στατὴρ στατῆρος, καμπτὴρ καμπτῆρος, ἡμιθνὴς ἡμιθνῆτος, νεοδμὴς νεοδμῆτος, ψηφὶς ψηφῖδος, κρηπὶς κρηπῖδος, ἰχὼρ ἰχῶρος· ἀπὸ περισπωμένων δὲ, οἷον Ξενοφῶν Ξενοφῶντος, Ἀγλαοφῶν Ἀγλαοφῶντος, Ἱπποκῶν Ἱπποκῶντος, Δημοφῶν Δημοφῶντος, Ποσειδῶν Ποσειδῶνος, Σιμοῦς Σιμοῦντος, πλακοῦς πλακοῦντος, τιμῆς τιμῆντος, οἷον "χρυσὸν τιμῆντα καὶ ἄργυρον."

Ταῦτα μὲν περὶ τῶν εἰς ος ληγουσῶν γενικῶν τῶν ὑπὲρ δύο συλλαβάς. Ἰστέον δὲ ὅτι τὸ ἰᾶς καὶ μιᾶς οὐκ ἐφύλαξαν ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ' ἧς ἔχει καὶ ἡ εὐθεῖα· ἡ γὰρ εὐθεῖά ἐστιν ἴα καὶ μία παροξυτόνως, καὶ ὤφειλεν ἡ γενικὴ παροξύνεσθαι οἷον ἴας καὶ μίας, ἵνα φυλάξῃ ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ' ἧς ἔχει καὶ ἡ εὐθεῖα· οὐκ ἐγένετο δὲ οὕτως, ἀλλ' ἰᾶς καὶ μιᾶς περισπωμένως. Καὶ λέγει ὁ τεχνικὸς ὅτι ταῦτα Ἰωνικὴν ἔχουσι τάσιν, καὶ οὐκ ἐσαφήνισεν ἡμῖν τὸ λεγόμενον. Ἔστι δὲ τὸ λεγόμενον τοιαύτην ἔχον τὴν ἐξήγησιν· ἐπὶ τῶν εἰς α βραχυκαταλήκτων εἰώθασιν οἱ Ἴωνες βαρυτονεῖν τὰς λέξεις ὡς καὶ ἡμεῖς, οἷον ἄγυια, ἅρπυια, Πλάταια· ὅταν δὲ γένηται ἡ τελευταία συλλαβὴ μακρὰ, Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνος, οἷον ὀργυιᾶς, ἀγυιᾶς, Θεσπιᾶς, Πλαταιᾶς· ἰδοὺ ταῦτα ἐν τῇ τελευταίᾳ συλλαβῇ ἐπιδέχονται τὸν τόνον. Ἐπειδὴ οὖν τὸ ἴα καὶ μία ἐν τῇ γενικῇ καὶ δοτικῇ μακροκαταληκτοῦσι, τούτου χάριν Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον καὶ περιεσπάσθησαν, οἷον ἰᾶς καὶ μιᾶς, ἰᾷ καὶ μιᾷ. Τοῦτο οὖν τῷ

τεχνικῷ εἰρημένον ἐστὶ "τὸ γὰρ ἰᾶς καὶ μιᾶς Ἰωνικὴν ἔχει τάσιν," τουτέστιν ὅτι τῆς εὐθείας βαρυτονουμένης καὶ βραχυκαταληκτούσης ἡ γενικὴ καὶ ἡ δοτικὴ μακροκαταληκτοῦσαι Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον, οἷον ἰᾶς καὶ μιᾶς, ἰᾷ καὶ μιᾷ. Ὅθεν ἡ αἰτιατική, ἐπειδὴ οὐκ ἐγένετο μακροκατάληκτος, οὐ κατεβίβασε τὸν τόνον, ἀλλὰ παροξύνεται ὁμοίως τῇ εὐθείᾳ, οἷον ἴαν καὶ μίαν.

Τούτων οὕτως ἐχόντων, ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν ἡ ἰᾶς καὶ μιᾶς γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ μακροκαταληκτοῦσι. Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην. Διὰ τοῦτο ἡ ἰᾶς καὶ μιᾶς γενικὴ μακροκαταληκτεῖ, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ μακροκαταληκτεῖν θέλει, οἷον ἄνθρωπος ἀνθρώπου, Ὅμηρος Ὁμήρου, δίψα δίψης, Ἀντιόχεια Ἀντιοχείας, Ἀλεξάνδρεια Ἀλεξανδρείας, Μήδεια Μηδείας. Οὕτως οὖν καὶ ἴα ἰᾶς καὶ μία μιᾶς διὰ μακροῦ τοῦ α κατὰ τὴν γενικήν. Πρόσκειται "ἰσοσυλλάβως κλινομένη" διὰ τὸ Αἴας Αἴαντος καὶ Λάχης Λάχητος· ταῦτα γὰρ οὐ μακροκαταληκτοῦσι κατὰ τὴν γενικήν, ἀλλ' οὐ κλίνονται ἰσοσυλλάβως. Ἡ πατρὸς καὶ μητρὸς γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ, φημὶ δὲ τῇ πατὴρ καὶ μήτηρ, καὶ μὴ μακροκαταληκτοῦσαι, οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐ κλίνονται ἰσοσυλλάβως· πατὴρ γὰρ πατέρος ἦν καὶ μήτηρ μητέρος, καὶ κατὰ συγκοπὴν γεγόνασι πατρὸς καὶ μητρὸς, καὶ λοιπὸν ἡ συναίρεσις αἰτία γέγονε τῆς ἰσοσυλλαβίας. Πρόσκειται "κλινομένη" διὰ τὸ ἄλφα τοῦ ἄλφα, τὸ βῆτα τοῦ βῆτα· ἐπὶ τούτων γὰρ ἡ γενικὴ οὐ μακροκαταληκτεῖ ἰσοσυλλάβως κλινομένη, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν ταῦτα, ἐπειδὴ μονόπτωτά εἰσι καὶ τὴν αὐτὴν φωνὴν πανταχοῦ φυλάττουσιν.

Ἔχομεν οὖν δι' ἣν αἰτίαν ἡ ἰᾶς καὶ μιᾶς γενικὴ μακροκαταληκτεῖ. Ἡ δὲ ἰᾷ καὶ μιᾷ δοτικὴ διὰ τοῦτο μακροκαταληκτεῖ, πρῶτον μὲν ὅτι, ὡς εἴρηται, καὶ ἡ γενικὴ τούτων μακροκαταληκτεῖ, οἷον ἰᾶς καὶ μιᾶς· πᾶσα δὲ δοτικὴ ἑνικῶν ἰσοσυλλαβοῦσα τῇ ἰδίᾳ γενικῇ ἰσοχρονεῖν αὐτῇ θέλει, οἷον Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ, δίψης δίψῃ, Αἴαντος

Αἴαντι, Λάχητος Λάχητι, πένητος πένητι. Εἰ οὖν ἡ ἰᾶς καὶ μιᾶς γενικὴ, ὡς εἴρηται, μακροκαταληκτεῖ, δηλονότι εὐλόγως ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ μακροκαταληκτεῖ. Πρόσκειται "ἰσοσυλλαβοῦσα τῇ ἰδίᾳ γενικῇ" διὰ τὸ ταχέος ταχεῖ, βραδέος βραδεῖ· ἐπὶ τούτων γὰρ ἡ δοτικὴ μακροκαταληκτεῖ τῆς γενικῆς βραχυκαταληκτούσης, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἰσοσυλλαβεῖ ἡ δοτικὴ τῇ γενικῇ. Δεύτερον δὲ διὰ τοῦτο ἐν τῇ ἰᾷ καὶ μιᾷ δοτικῇ μακρόν ἐστι τὸ α, ἐπειδὴ τὸ ι ἀνεκφώνητόν ἐστιν. Ἐμάθομεν γὰρ ὅτι τὸ ι τότε εὑρίσκεται ἀνεκφώνητον, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η ἢ μετὰ τοῦ ω ἢ μετὰ τοῦ α μακροῦ ἐν μιᾷ συλλαβῇ, οἷον τῇ σοφῇ, τῷ καλῷ, τῇ Μηδείᾳ.

Ἔχομεν οὖν τὴν αἰτίαν δι' ἣν ἡ ἰᾶς καὶ μιᾶς γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ μακρὸν ἔχουσι τὸ α. Ἄξιον δέ ἐστι ζητῆσαι διὰ τί ἡ ἰᾶς καὶ μιᾶς γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ ἐπὶ τέλους ἔχουσι τὸν τόνον καὶ περισπῶνται καὶ οὐκ ὀξύνονται. Ἔστιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην. Οὐκ ἠδύναντο αἱ γενικαὶ αὗται καὶ δοτικαὶ ὀξύνεσθαι, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκαταληκτοῦσα ἐπ' ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται, χωρὶς εἰ μὴ ἀπὸ ὀξυνομένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ ο. Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, σοφοῦ σοφῷ σοφοῖν σοφῶν σοφοῖς, καλοῦ καλῷ καλοῖν καλῶν καλοῖς, τιμῆς τιμῇ τιμαῖν τιμῶν τιμαῖς, φοβερᾶς φοβερᾷ φοβεραῖν φοβερῶν φοβεραῖς, Σαπφοῦς Σαπφοῖ Σαπφοῖν Σαπφῶν Σαπφοῖς, πτεροῦ πτερῷ πτεροῖν πτερῶν πτεροῖς. Οὕτως οὖν καὶ ἡ ἰᾶς καὶ μιᾶς γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ καὶ περισπῶνται καὶ οὐκ ὀξύνονται. Πρόσκειται ἐν τῷ κανόνι "μακροκαταληκτοῦσα" διὰ τὸ μηνὸς μηνὶ, χηνὸς χηνὶ, φωτὸς φωτί· ταῦτα γὰρ οὐ περισπῶνται, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ εἰσὶ μακροκατάληκτα ἀλλὰ βραχυκατάληκτα. Πρόσκειται "ἐπ' ὀνόματων" διὰ τὴν ἐμοὶ καὶ σοὶ ἀντωνυμίαν· αὗται γὰρ οὐ περισπῶνται ἀλλ' ὀξύνονται. Πρόσκειται "ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον" διὰ τὸ Ὁμήρου

Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ· ταῦτα γὰρ μακροκατάληκτά εἰσι καὶ ὅμως οὐ περισπῶνται, ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ ἔχουσιν ἐπὶ τῆς τελευταίας συλλαβῆς τὸν τόνον. Πρόσκειται ἐν τῷ κανόνι "χωρὶς εἰ μὴ ἀπὸ ὀξυτονουμένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ Σ," ἐπειδὴ ἐὰν ἀπὸ ὀξυτονουμένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ Σ, τότε καὶ ἡ γενικὴ καὶ ἡ δοτικὴ ὀξύνονται ὁμοίως τῇ εὐθείᾳ, οἷον ὁ νεὼς τοῦ νεὼ τῷ νεῴ, ὁ λεὼς τοῦ λεὼ τῷ λεῴ, ὁ ζὼς τοῦ ζὼ τῷ ζῴ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι αἱ εἰς ΟΣ γενικαὶ δισύλλαβοι ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσιν, οἷον μηνὸς, χηνὸς, γραὸς, φωτὸς, ποδὸς, φρενὸς, συὸς, δρυὸς, σφηνὸς, σπληνὸς, Κρητὸς, κτενὸς, χθονὸς, ἑνὸς, βοὸς, χροὸς, δμωὸς, σαρκὸς, Σφιγγὸς, πατρὸς, ἀνδρὸς, μητρὸς, χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως εὑρεθῇ ἡ γενικὴ ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου ἢ χαρακτῆρι ἀκολουθήσει, ἀπὸ συναιρέσεως μὲν διὰ τὸ λᾶος· ἀπὸ γὰρ τρισυλλάβου γενικῆς τοῦ λάαος ἐγένετο λᾶος, συναιρέσεως παρακολουθησάσης, ἤγουν κράσεως, τῶν δύο ΑΑ εἰς ἓν Α, μακρὸν δηλονότι, διὸ καὶ προπερισπᾶται, οἷον

λᾶος ὑπὸ ῥιπῆς,

τουτέστιν ὑπὸ τῆς βολῆς τοῦ λίθου. Καὶ πάλιν ἔστι κέαρ κέαρος, ἔαρ ἔαρος, καὶ γίνονται κατὰ συναίρεσιν, ἤγουν κατὰ κρᾶσιν, τοῦ Ε καὶ Α εἰς Η κῆρος καὶ ἦρος προπερισπωμένως. Καὶ πάλιν ἔστιν ἡ εὐθεῖα ὑῒς ὡς ὄφις, καὶ γίνεται ἡ γενικὴ ὑΐος ὡς ὄφιος προπαροξυτόνως, καὶ κατὰ συναίρεσιν τοῦ Υ καὶ Ι εἰς τὴν ΥΙ δίφθογγον υἷος προπερισπωμένως, ὡς παρ' Ὁμήρῳ [Il. β'. 230.]

Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷος ἄποινα.

Ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ Περὶ παθῶν οὕτω τοῦτο σχηματίζων φησὶν, ὅτι ἔστιν υἷις διὰ τῆς ΥΙ κατὰ τὴν παραλήγουσαν· τούτου ἡ γενικὴ υἵιος καὶ κατὰ κρᾶσιν τῶν δύο ΙΙ εἰς ἓν, δηλονότι μακρὸν, υἷος, ὥσπερ Θέτιι Θέτι,

Θέτι καλλιπλοκάμῳ.

Τούτων οὕτως ἐχόντων, ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὸ ὑῒς ὑΐος κατὰ μὲν τὴν γενικὴν ἔπαθε συναίρεσιν τοῦ

υ καὶ ι εἰς τὴν υι δίφθογγον, κατὰ δὲ τὴν εὐθεῖαν οὐ πάσχει συναίρεσιν τοῦ υ καὶ ι εἰς τὴν υι δίφθογγον. Καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο τὸ ὕϊς κατὰ τὴν εὐθεῖαν οὐ πάσχει συναίρεσιν τοῦ υ καὶ ι εἰς τὴν υι δίφθογγον, ἐπειδὴ οὐδέποτε μετὰ τὴν υι δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον ἅρπυια, μυῖα, υἱός· εἰ ἔπαθεν οὖν τὸ ὕϊς κατὰ τὴν εὐθεῖαν συναίρεσιν τοῦ υ καὶ ι εἰς τὴν υι δίφθογγον, ἤμελλε μετὰ τὴν υι δίφθογγον σύμφωνον ἐπιφέρεσθαι τὸ ς, ὅπερ ἐστὶν ἄτοπον.

Ταῦτα μὲν ἐν τούτοις. Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα διὰ τοῦτο ἡ λᾶος γενικὴ καὶ ἡ κῆρος καὶ ἦρος βαρύνονται, ἐπειδὴ ἀπὸ τρισυλλάβου γενικῆς γεγόνασι τῆς λάαος καὶ κέαρος καὶ ἔαρος, διὰ ποίαν αἰτίαν καὶ ἡ πατρὸς καὶ μητρὸς καὶ ἀνδρὸς γενικαὶ οὐ βαρύνονται, οἷον πάτρος καὶ μῆτρος καὶ ἄνδρος, ἐπειδὴ καὶ αὗται ἀπὸ τρισυλλάβου γενικῆς γεγόνασι τῆς πατέρος καὶ μητέρος καὶ ἀνέρος. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ μὲν πατρὸς καὶ μητρὸς καὶ ἀνδρὸς γενικαὶ συγκοπὴν πεπόνθασι τοῦ ε καὶ τελείως ἀποβάλλουσι τὴν μίαν συλλαβὴν, καὶ λοιπὸν ὡς κυρίως δισύλλαβοι ὠξύνθησαν, ἡ δὲ λᾶος καὶ κῆρος καὶ ἦρος γενικαὶ κρᾶσιν πεπόνθασι καὶ δυνάμει τρισύλλαβοί εἰσιν· οὐδὲ γὰρ ἐποιήσαντο ἀποβολὴν συλλαβῆς ἀλλὰ κρᾶσιν τῶν δύο φωνηέντων, καὶ λοιπὸν ὡς δυνάμει τρισύλλαβοι εὐλόγως βαρύνονται.

Πρὸς ταῦτα ἀποροῦσί τινες, λέγοντες, εἰ ἄρα τὸ λᾶος καὶ κῆρος καὶ ἦρος ὡς δυνάμει τρισύλλαβα ἐβαρύνθησαν, διὰ ποίαν αἰτίαν τὸ ὄϊς ὄϊος, γενόμενον κατὰ συναίρεσιν οἶς οἰὸς, μὴ ἐβαρύνθη; καὶ τοῦτο γὰρ δυνάμει τρισύλλαβόν ἐστιν. Ἔστιν οὖν εἰπεῖν, ὅτι τὸ μὲν λᾶος καὶ κῆρος καὶ ἦρος οὐ μόνον ἐν τῇ εὐθείᾳ συναιροῦνται ἀλλὰ καὶ ἐν τῇ γενικῇ, οἷον λᾶας λᾶς λάαος λᾶος, κέαρ κῆρ κέαρος κῆρος, ἔαρ ἦρ ἔαρος ἦρος, καὶ τούτου χάριν ὡς δυνάμει τρισύλλαβα ὄντα ἐν τῇ γενικῇ ἐβαρύνθησαν· τὸ δὲ οἶς οἰὸς οὐκ ἔπαθεν ἐν τῇ γενικῇ συναίρεσιν ἀλλ' ἐν τῇ εὐθείᾳ μόνον, οἷον ὄϊς οἶς, καὶ λοιπὸν ἀπὸ τῆς συνηρημένης εὐθείας ἐκλίθη οἰὸς ἡ γενικὴ, καὶ τούτου χάριν ὡς μὴ οὖσα ἡ γενικὴ τρισύλλαβος δυνάμει ἀλλὰ κυρίως

δισύλλαβος ὠξύνθη. Τοῦτο δὲ καὶ ἐπὶ ἄλλων εὑρίσκεται, φημὶ δὲ τὸ ἐν τῇ εὐθείᾳ μόνον γίνεσθαι συναίρεσιν καὶ λοιπὸν ἐκ τῆς συνῃρημένης εὐθείας κλίνεσθαι τὴν γενικήν, ὡς ἐπὶ τοῦ φῶς φωτὸς καὶ ὦς ὠτός. Ἔστι γὰρ φόας φόατος καὶ ὄας ὄατος, καὶ λοιπὸν κρᾶσις παρακολουθεῖ τῇ εὐθείᾳ καὶ γίνεται φῶς καὶ ὦς, κἀκεῖθεν κλίνεται φωτὸς καὶ ὠτὸς ἡ γενική. Οὐδὲ γὰρ δυνάμεθα τὴν φωτὸς καὶ ὠτὸς γενικὴν ἀπὸ τῆς φόατος καὶ ὄατος λέγειν κατὰ κρᾶσιν, ἐπεὶ φῶτος καὶ ὦτος ὤφειλεν εἶναι βαρυτόνως, ὡς ἀπὸ τρισυλλάβου γενικῆς γενόμενα· ἀλλ' ὡς εἴρηται, ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις κἀκεῖθεν ἡ κλίσις. Σεσημείωται τὸ φρητὸς ὀξυνόμενον· ἀπὸ γὰρ τρισυλλάβου γενικῆς τῆς φρέατος γενόμενον κατὰ κρᾶσιν φρῆτος ὤφειλε βαρύνεσθαι. Οὐδὲ γὰρ δυνάμεθα λέγειν ὅτι ἐπὶ τούτου ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις κἀκεῖθεν ἡ κλίσις· οὐδὲ γὰρ εἴρηται ἡ φρῆρ εὐθεῖα τῇ χρήσει. Ἔστιν οὖν εἰπεῖν ὅτι ἡ φρητὸς γενικὴ συνέδραμε κατὰ τὴν τάσιν τῆς Κρητὸς γενικῆς καὶ σητὸς καὶ θητός· σὴς δέ ἐστιν ὁ σκώληξ καὶ θὴς ὁ μισθωτός.

Ταῦτα μὲν ἐν τούτοις. Ἰστέον δὲ ὅτι περὶ τοῦ "Θῶνος παράκοιτις" λέγει ὁ τεχνικὸς, ὅτι ἢ ἀπὸ τῆς Θῶνις εὐθείας ἐγένετο Θώνιδος καὶ Θώνιος Ἰωνικῶς, ὥσπερ Πάριδος Πάριος, καὶ κατὰ συγκοπὴν Θῶνος, ἢ ἀπὸ τῆς Θόων Θόωνος καὶ κατὰ κρᾶσιν τοῦ ο καὶ ω εἰς τὸ ω Θῶνος. Οὐχ ὑγιῶς δὲ λέγει. Πρὸς μὲν γὰρ τὸν πρῶτον λόγον ἔστιν εἰπεῖν, ὅτι εἰ ἐγένετο κατὰ συγκοπὴν, ὤφειλεν ὀξύνεσθαι ὁμοίως τοῖς ἄλλοις τοῖς κατὰ συγκοπὴν, λέγω δὲ τὸ πατέρος πατρὸς, μητέρος μητρὸς, ἀνέρος ἀνδρός· καὶ αὗται γὰρ αἱ γενικαὶ συγκοπὴν παθοῦσαι καὶ δισυλλαβήσασαι ὠξύνθησαν πρὸς τὸν χαρακτῆρα τῶν εἰς ος δισυλλάβων γενικῶν, οἷον ὥσπερ παιδὸς, μηνὸς, χηνὸς, γραὸς, φωτὸς, παντός· πρὸς δὲ τὸν δεύτερον λόγον ἔστιν εἰπεῖν, ὅτι οὐδαμοῦ ἡ Θόων εὐθεῖα, ἐξ ἧς λέγει γεγενῆσθαι τὴν Θόωνος καὶ Θῶνος γενικὴν, εὕρηται σημαίνουσα τὸν Αἰγύπτιον ἄνδρα, ὅντινα σημαίνει ἡ Θῶνος γενικὴ, ἀλλ' ἕτερον ἄνδρα, ὡς παρ' Ὁμήρῳ

Θόωνά τε ἄνακτα.

Τί οὖν ἔχομεν εἰπεῖν; Ἔστιν οὖν εἰπεῖν, ὅτι κατὰ συγκοπὴν γέγονεν ἡ Θῶνος γενικὴ ἀπὸ τῆς Θώνιος γενικῆς. Εἰ δέ τις εἴποι διὰ τί οὐκ ὀξύνεται, λέγομεν τὴν αἰτίαν ταύτην· αἱ συγκοπτόμεναι γενικαὶ ὀξυνόμεναι μιμοῦνται εὐθείας, οἷον ἡ ἀνδρὸς γενικὴ μιμεῖται τὴν χονδρὸς εὐθεῖαν, καὶ πάλιν ἡ μητρὸς καὶ πατρὸς καὶ θυγατρὸς γενικαὶ μιμοῦνται τὴν ἰατρὸς εὐθεῖαν. Ἐπειδὴ οὖν ἡ Θῶνος γενικὴ εἰ ὠξύνετο οὐκ ἤμελλε μιμεῖσθαι εὐθεῖαν, (οὐκ ἔχομεν γὰρ εὐθεῖαν εἰς ΝΟΣ καθαρὸν δισύλλαβον τῷ Ω παραληγομένην καὶ ὀξυνομένην, βαρυνομένην δὲ ἔχομεν, ὡς ἐπὶ τοῦ κῶνος· σημαίνει δὲ τὸ στροβιλοειδὲς, ἤγουν τὸ εἰς ὀξὺ λῆγον· ὦνος, σημαίνει δὲ τὴν τιμὴν,) τούτου χάριν οὐκ ὠξύνθη ἀλλ' ἐβαρύνθη. Πρόσκειται "δισύλλαβον," ἐπειδὴ ὑπὲρ δύο συλλαβὰς ἔχομεν εὐθεῖαν ὀξυνομένην, οἷον κοινωνὸς, οἰωνὸς, Τιθωνός. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται δὲ ἀνωτέρω "ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου," ἐπειδὴ τὸ τίνος βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ τινὸς ὀξυνομένου· τὸ γὰρ πευστικὸν, ἤγουν τὸ ἐρωτηματικὸν, βαρύνεται, οἷον τίνος ἐστὶν υἱός; τὸ δὲ ἀνταποδοτικὸν, ἤγουν ἀόριστον, ὀξύνεται, οἷον τινός· οὕτω γὰρ λέγομεν αὐτὸ ἀντεπιφέροντες. Καὶ πάλιν ἔστιν [Od. α'. 429.]

Εὐρύκλεια Ὦπος θυγάτηρ Πεισηνορίδαο,

καὶ βαρύνεται ἐνταῦθα ἡ γενικὴ, λέγω δὲ ἡ Ὦπος, ἐπὶ τοῦ κυρίου ὀνόματος, πρὸς ἀντιδιαστολὴν τοῦ ὠπὸς προσηγορικοῦ τοῦ ἐπὶ τοῦ ὀφθαλμοῦ.

Πρόσκειται δὲ "ἢ χαρακτῆρι ἀκολουθήσει," ἐπειδὴ ἔστι Φθᾶς Φθᾶντος ὄνομα κύριον, καὶ βαρύνεται πρὸς τὸν χαρακτῆρα τῶν μετοχῶν, ὥσπερ στάντος, βάντος, φθάντος (σημαίνει δὲ τὸν προλαβόντα). Καὶ πάλιν ἔστι Θῶν ὄνομα κύριον περισπώμενον, καὶ τούτου ἡ γενικὴ λέγεται Θῶντος προπερισπωμένως πρὸς τὸν χαρακτῆρα τῶν εἰς ΩΝ περισπωμένων ὀνομάτων· τὰ γὰρ εἰς ΩΝ περισπώμενα ὀνόματα προπερισπῶνται κατὰ τὴν γενικὴν, οἷον Ξενοφῶν Ξενοφῶντος, Κτησιφῶν Κτησιφῶντος, Ἀγλαοφῶν Ἀγλαοφῶντος, Δημοφῶν Δημοφῶντος. Οὕτως οὖν καὶ Θῶν

Θῶντος προπερισπωμένως. Ἢ πρὸς τὸν χαρακτῆρα τῆς κλῶν κλῶντος μετοχῆς καὶ ζῶν ζῶντος καὶ σμῶν σμῶντος καὶ δρῶν δρῶντος λέγομεν Θῶν Θῶντος προπερισπωμένως. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται ἀνωτέρω ἐν τῷ κανόνι "ἐπ' ὀνομάτων," οἷον "αἱ εἰς ος δισύλλαβοι γενικαὶ ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσι," διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται, οἷον στάντος, βάντος.

Τούτων οὕτως ἐχόντων, δεῖ γινώσκειν ὅτι πᾶσα εὐθεῖα εἰς ς λήγουσα καὶ ἀποβολῇ τοῦ ς τὴν γενικὴν ἀποτελοῦσα τὸν αὐτὸν τόνον τηρεῖ καὶ ἐπὶ τῆς γενικῆς, οἷον Φιλητᾶς Φιλητᾶ, Μηνᾶς Μηνᾶ, Μητρᾶς Μητρᾶ, χρυσοῦς χρυσοῦ, ἀργυροῦς ἀργυροῦ, πλακοῦς πλακοῦ, λαγῶς λαγῶ, ὀρφῶς ὀρφῶ, λεὼς λεὼ, νεὼς νεὼ, εὔνους εὔνου, ἀκλίνους ἀκλίνου, Μενέλεως Μενέλεω, Πηνέλεως Πηνέλεω.

Τὰ ἐκτείνοντα τὸ ο εἰς τὸ ω κατὰ τὴν γενικὴν Ἀττικῶς τὸν αὐτὸν τόνον φυλάττουσιν ὅν τινα εἶχον καὶ πρὸ τῆς ἐκτάσεως τοῦ ο εἰς τὸ ω, οἷον πόλιος πόλεως, μάντιος μάντεως, ὄφιος ὄφεως, λέξιος λέξεως, βασιλέος βασιλέως, Ἀχιλλέος Ἀχιλλέως, Ἀτρέος Ἀτρέως, Πηλέος Πηλέως, ἱερέος ἱερέως.

Αἱ συνῃρημέναι γενικαί, εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντελείᾳ, παροξύνονται ἐν τῇ συναιρέσει, οἷον Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους, Σωκράτεος Σωκράτους, ἐρέβεος ἐρέβους, θάρσεος θάρσους, τείχεος τείχους, βέλεος βέλους, κρέαος κρέως, γήραος γήρως· εἰ δὲ παροξύνονται ἐν τῇ ἐντελείᾳ, περισπῶνται ἐν τῇ συναιρέσει, οἷον εὐσεβέος εὐσεβοῦς, εὐγενέος εὐγενοῦς, Λητόος Λητοῦς, Σαπφόος Σαπφοῦς, Ἐρετριέως Ἐρετριῶς, Πειραιέως Πειραιῶς, Στειριέως Στειριῶς.

Αἱ διὰ τοῦ οιο Θετταλικαὶ γενικαί, εἰ μὲν ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, προπερισπῶνται, οἷον καλοῦ καλοῖο, σοφοῦ σοφοῖο, σεμνοῦ σεμνοῖο, ποταμοῦ ποταμοῖο, ὠκεανοῦ ὠκεανοῖο, εἰ δὲ ἀπὸ βαρυνομένων, προπαροξύνονται, οἷον φίλου φίλοιο, κούφου κούφοιο, Πριάμου Πριάμοιο.

Τὰ ἀπὸ Ἀττικῶν γενικῶν κατὰ πλεονασμὸν τοῦ ο γινόμενα, εἰ μὲν ἀπὸ ὀξυτόνων γενικῶν Ἀττικῶν ὦσι, προπερισπῶνται, οἷον Πετεὼ Πετεῶο, [Il. β'. 552. δ'. 338.]

υἱὸς Πετεῶο Μενεσθεύς,
ὦ υἱὲ Πετεῶο Διοτρεφέος βασιλῆος,

Ταλαὼ Ταλαῶο, ὡς παρὰ Ἀντιμάχῳ· εἰ δὲ ἀπὸ βαρυτόνων γενικῶν Ἀττικῶν ὦσι, προπαροξύνονται, οἷον τοῦ Μίνω τοῦ Μίνωο, τοῦ Ἀνδρόγεω τοῦ Ἀνδρογέωο. Τοῦ δὲ ο προσελθόντος κατεβιβάσθη μίαν συλλαβὴν ὁ τόνος διὰ τὸ μὴ δύνασθαι τετάρτην ἀπὸ τέλους εἶναι τὴν ὀξεῖαν.

Αἱ διὰ τοῦ εω γενικαὶ Ἰωνικαὶ, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται, οἷον Ἀτρείδου Ἀτρείδεω, Ὀρέστου Ὀρέστεω, Αἰνείου Αἰνείεω, ἀπαθεῖς δηλονότι οὖσαι. Ἐὰν γὰρ πάθωσι, πρὸ μιᾶς τοῦ τέλους ἔχουσι τὴν εὐθεῖαν, οἷον Ἑρμείου Ἑρμειέω καὶ κατὰ συγκοπὴν τοῦ ε Ἑρμείω παροξυτόνως, [Il. ο'. 214.]

Ἥρης Ἑρμείω τε.

Εἰ δὲ ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, παροξύνονται, οἷον αὐλητοῦ αὐλητέω, Κασῆς Κασοῦ (ἔστι δὲ ὄνομα κύριον) τοῦ Κασέω. Αἱ διὰ τοῦ αο Βοιωτικαὶ γενικαὶ, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται, οἷον Ἀτρείδου Ἀτρείδαο, Ὀρέστου Ὀρέσταο, εἰ δὲ ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, προπερισπῶνται, οἷον ἀργεστὴς ἀργεστοῦ ἀργεστᾶο, "ἀργεστᾶο νότοιο," (τοῦ λευκοῦ, ἢ τοῦ ταχυτάτου.)

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τοῦ τόνου τῆς γενικῆς.

Περὶ τοῦ τόνου τῆς δοτικῆς τῶν ἑνικῶν.

Κανονίζει τὸν τόνον τῆς δοτικῆς, καὶ λέγει ὅτι πᾶσα δοτικὴ ἑνικῶν ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει, οἷον καλοῦ καλῷ, σοφοῦ σοφῷ, Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ, φωτὸς φωτὶ, μητρὸς μητρὶ, γυναικὸς γυναικὶ, πατρὸς πατρὶ, θυγατρὸς θυγατρὶ, τινὸς τινὶ, κῆρος κῆρι, ἦρος ἦρι, λᾶος λᾶϊ, εὐσεβέος εὐσεβέϊ, ταχέος ταχέϊ, Ξενοφῶντος Ξενοφῶντι, ἀβλῆτος ἀβλῆτι, ἰᾶς ἰᾷ, μιᾶς μιᾷ,

βελτίονος βελτίονι, χερείονος χερείονι, (ἥτις δοτικὴ παθοῦσα συγκοπὴν τοῦ ο καὶ ν ἀνεδέξατο τροπὴν τῆς ει διφθόγγου εἰς τὸ η καὶ γέγονε χέρηϊ, [Il. α'. 80.]

κρεῖσσον γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ),

Αἴαντος Αἴαντι, ἀσπίδος ἀσπίδι, κνημῖδος κνημῖδι. Διὰ τοῦτο τὸ ὅτεῳ ἀναγνωστέον προπαροξυτόνως, οἷον ὡς τὸ [Od. β'. 114.]

ὅτεῴ σε πατὴρ κέλεται

ἀντὶ τοῦ ᾧ τινὶ, ἐπειδὴ ἰσοσυλλαβεῖ τῇ γενικῇ τῇ ὅτεως, ὅτεως ἐχρῆν ἀντὶ τοῦ τίνος, καὶ λοιπὸν ἀναγκάζεται ὁμοτονεῖν αὐτῇ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι αἱ πρωτότυποι ἀντωνυμίαι ἀνακόλουθοί εἰσι, καὶ ποτὲ μὲν ἐπὶ τούτων αἱ δοτικαὶ οὐκ ἀκολουθοῦσι ταῖς γενικαῖς κατὰ τὸν τόνον, ὡς ἐπὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου, (ἐμοῦ μὲν γὰρ καὶ σοῦ περισπωμένως, ἐμοὶ δὲ καὶ σοὶ ὀξυτόνως,) ποτὲ δὲ ἀκολουθοῦσιν, ὡς ἐπὶ τοῦ τρίτου προσώπου· οὗ γὰρ περισπωμένως καὶ οἷ ὁμοίως περισπωμένως.

Πρόσκειται ἐν τῷ κανόνι "ἰσοσυλλαβοῦσα τῇ γενικῇ" διὰ τὸ ταχέος ταχεῖ. Ἡ μὲν γὰρ γενικὴ ἐνταῦθα παροξύνεται, ἡ δὲ δοτικὴ περισπᾶται. Ἀλλ' οὐκ ἰσοσυλλαβεῖ ἡ δοτικὴ τῇ γενικῇ· συναίρεσιν γὰρ ὑπομείνασα ἐνδεῖ μίαν συλλαβήν. Ἐὰν δὲ λάβωμεν τὴν ἐντέλειαν αὐτῆς, ἡ ἀκόλουθος τάσις φυλάττεται, οἷον ταχέος ταχέϊ ταχεῖ, εὐσεβέος εὐσεβέϊ εὐσεβεῖ, εὐγενέος εὐγενέϊ εὐγενεῖ. Ἰδοὺ πρὸ μὲν τῆς συναιρέσεως ὁ αὐτὸς τόνος φυλάττεται, ἐπειδὴ καὶ ἡ ποσότης τῶν συλλαβῶν ἐφυλάχθη, μετὰ δὲ τὴν συναίρεσιν οὐ φυλάττεται ὁ αὐτὸς τόνος, ἐπειδὴ τότε οὐκ ἰσοσυλλαβεῖ ἡ δοτικὴ τῇ γενικῇ.

Ἰστέον δὲ ὅτι κάλλιόν ἐστι παραθέσθαι ταῦτα τὰ παραδείγματα ἃ ἡμεῖς παρεθέμεθα, ἤπερ ἃ παρέθετο ὁ τεχνικός· αὐτὸς γὰρ παρέθετο τὸ μάντει καὶ πόλει, ὅτι ἀπὸ τοῦ μάντεως καὶ πόλεως γεγόνασι μάντεϊ καὶ πόλεϊ, καὶ κατὰ συναίρεσιν μάντει καὶ πόλει, καὶ οὐκ ἰσοσυλλαβοῦσι τῇ γενικῇ. Ἐρεῖ δέ τις πρὸς αὐτὸν, ὅτι εἰ καὶ μὴ ἰσοσυλλαβοῦσιν, ἀλλ' οὖν τὸν αὐτὸν τόνον ἐφύλαξαν ἐν τῇ αὐτῇ

συλλαβῇ ἐν ᾗ ἐστὶν ἐν τῇ γενικῇ ἡ ὀξεῖα τάσις καὶ ἐν τῇ δοτικῇ, οἷον μάντεος μάντει, πόλεος πόλει. Διὰ τοῦτο οὖν εἰρήκαμεν βελτίονα εἶναι τὰ παραδείγματα ἃ ἡμεῖς παρεθέμεθα· ἐκεῖνα γὰρ μὴ ἰσοσυλλαβήσαντα τῇ γενικῇ οὐκ ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον· τὸ γὰρ ταχέος καὶ εὐσεβέος παροξύνονται, τὸ δὲ ταχεῖ καὶ εὐσεβεῖ περισπῶνται. Κάλλιον οὖν, ὡς εἴρηται, παραθέσθαι ταῦτα τὰ παραδείγματα ἤπερ τὸ μάντει καὶ πόλει· ταῦτα γὰρ ἐν τῇ αὐτῇ συλλαβῇ ἐφύλαξαν τὴν ὀξεῖαν τάσιν καὶ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ καὶ πρὸ τῆς συναιρέσεως καὶ μετὰ τὴν συναίρεσιν, οἷον μάντεος μάντεϊ μάντει, πόλεος πόλεϊ πόλει. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ παραφυλάξασθαι ἐν τῷ κανόνι, τῷ λέγοντι ὅτι πᾶσα δοτικὴ ἑνικῶν ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει, τὸ [Il. ζ'. 422.]

οἱ μὲν πάντες ἰῷ ἐν (κίον) ἤματι Ἄϊδος εἴσω·

καὶ γὰρ τὸ ἰῷ περισπᾶται δοτικῆς ὑπαρχούσης, τῆς γενικῆς βαρυτονουμένης· ἴον γάρ ἐστιν ἡ εὐθεῖα ἀντὶ τοῦ μόνον, καὶ ἡ γενικὴ ἴου παροξυτόνως, ἡ δὲ δοτικὴ ἰῷ περισπωμένως. Σημαίνει δὲ τὸ "ἰῷ ἤματι" ἀντὶ τοῦ ἐν μιᾷ ἡμέρα.

Τούτων οὕτως ἐχόντων, προστίθησιν ὁ τεχνικὸς ὅτι τῆς Τυνδάρεος εὐθείας τῆς διὰ τοῦ ε καὶ ο ἡ γενικὴ Τυνδαρέου ἐστὶ παροξυτόνως, διὰ τὴν μακρὰν τοῦ τόνου καταβιβασθέντος· ἀλλὰ καὶ ἡ δοτικὴ ὁμοίως τῇ γενικῇ Τυνδαρέῳ ἐστὶ παροξυτόνως, καὶ πρὸ μιᾶς ἔχει τὸν τόνον. Ὅταν δὲ γένηται Ἀττικῶς ἡ εὐθεῖα διὰ τοῦ ε καὶ ω Τυνδάρεως, ὡς Μενέλεως, τότε προπαροξύνεται ἡ γενικὴ, καὶ ἡ δοτικὴ ὁμοίως, οἷον τοῦ Τυνδάρεω τῷ Τυνδάρεῳ, ὥσπερ τοῦ Μενέλεω τῷ Μενέλεῳ. Ταῦτα μὲν ἐν τούτοις.

Φησὶ δὲ ὁ τεχνικὸς ὅτι αἱ μεταπεπλασμέναι δοτικαὶ εἰς ι λήγουσαι προπαροξύνεσθαι θέλουσι, (δηλονότι ὑπὲρ δύο συλλαβὰς οὖσαι· τοῦτο γάρ ἐστι τὸ εἰρημένον αὐτῷ "εἰ μὴ δισυλλαβία κωλύσῃ,) οἷον ὁ πολυπάταγος τοῦ πολυπατάγου τῷ πολυπατάγῳ παροξυτόνως· καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ πολυπάταγι προπαροξυτόνως. Καὶ πάλιν

ἔστιν ἡ διχόμηνος τῆς διχομήνου τῇ διχομήνῳ παροξυτόνως, καὶ γίνεται κατὰ μεταπλασμὸν διχόμηνι καὶ προπαροξύνεται. Αὕτη δὲ ἡ δοτικὴ δύναται καὶ ἀπὸ τῆς διχόμηνις προπαροξυτονουμένης, διὰ τοῦ ΔΟΣ κλινομένης, εἶναι εὐθείας· ἔστι γὰρ διχόμηνις διχομήνιδος διχομήνιδι, καὶ κατὰ συγκοπὴν τοῦ Δ καὶ τοῦ Ι διχόμηνι, καὶ εὐλόγως προπαροξύνεται τῷ λόγῳ τῆς συγκοπῆς· αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους, οἷον ὀπίσωθεν ὄπισθεν, ἐξαίρετος ἔξαιτος, ἁρμόσαντες ἅρσαντες, ὁμόπατρος ὄπατρος· τὸ γὰρ πατέρος πατρὸς καὶ μητέρος μητρὸς καὶ ἀνέρος ἀνδρὸς συγκοπέντα καὶ μὴ ἀναβιβάσαντα τὸν τόνον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ πρὸς τὸν χαρακτῆρα τῶν εἰς ΟΣ δισυλλάβων γενικῶν ὀνομάτων ὀξύνονται, οἷον ὥσπερ φωτὸς, χηνὸς, γραὸς, παιδός. Καὶ πάλιν ἔστι τὸ μελίκρατον καὶ τὸ χαλκόκρατον, τοῦ μελικράτου καὶ τοῦ χαλκοκράτου, τῷ μελικράτῳ καὶ τῷ χαλκοκράτῳ· καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ μελίκρατι καὶ τῷ χαλκόκρατι, καὶ προπαροξύνονται· ἐὰν δὲ εὑρεθῶσι προπερισπωμένως αἱ δοτικαὶ αὗται, τῷ μελικρᾶτι καὶ τῷ χαλκοκρᾶτι, γνῶθι ὅτι ἀπὸ τοῦ ὁ μελικρὰς καὶ ὁ χαλκοκρὰς γίνονται, καὶ οὐ κατὰ μεταπλασμὸν γεγόνασιν ἀλλὰ κατὰ ἀκόλουθον κλίσιν, οἷον μελικρὰς μελικρᾶτος μελικρᾶτι, χαλκοκρὰς χαλκοκρᾶτος χαλκοκρᾶτι.

Πρόσκειται ἐν τῷ κανόνι "ὑπὲρ δύο συλλαβὰς οὖσα," ἤγουν εἰ μὴ δισυλλαβία κωλύσῃ, ἐπειδὴ ἔστιν ὁ κλάδος τοῦ κλάδου τῷ κλάδῳ, καὶ κατὰ μεταπλασμὸν τῷ κλαδὶ, καὶ ὀξύνεται διὰ τὴν δισυλλαβίαν. Καὶ πάλιν τὸ λιτὸν τοῦ λιτοῦ τῷ λιτῷ, καὶ κατὰ μεταπλασμὸν τῷ λιτὶ, οἷον [Il. σ'. 352.]

ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν,

καὶ ὀξύνεται διὰ τὴν δισυλλαβίαν. Αἱ γὰρ ΕΣ Ι ἐκφωνούμενον λήγουσαι δισύλλαβοι δοτικαὶ ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσιν, οἷον μητρὶ, παιδὶ, χηνὶ, μηνὶ, πατρὶ, Τρωῒ, σπληνὶ, φρενὶ, χθονὶ, συῒ, δρυΐ. Δεῖ προσθεῖναι "χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως εὑρεθῇ ἡ δοτικὴ, ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου, ἢ χαρακτῆρι ἀκολουθήσει." Πρόσκειται "χωρὶς

εἰ μὴ ἀπὸ συναιρέσεως εὑρεθῇ ἡ δοτική" διὰ τὸ κέαρι κῆρι, ἔαρι ἦρι, λάαϊ λᾶϊ, Θέτιι Θέτι, [Il. σ'. 407.]

πάντα Θέτι καλλιπλοκάμῳ,

μάστιι μάστι, [Il. ψ'. 500.]

μάστι δὲ ἐνέλαυνε, (αἰὲν ἔλαυνε)

μήτιι μήτι, [Il. ψ'. 318.]

μήτι τε ἡνίοχος περιγίνεται ἡνιόχοιο·

ἰδοὺ γὰρ αἱ δοτικαὶ αὗται δισύλλαβοι οὖσαι οὐκ ὀξύνονται, ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ ἀπὸ συναιρέσεώς εἰσι καὶ τούτου χάριν δισυλλαβοῦσιν, ἐπειδὴ δυνάμει ὑπὲρ δύο συλλαβάς εἰσι. Καὶ ἡ σπῆϊ δὲ δοτική, οἷον [Il. ω'. 83.]

εὗρε δ' ἐν σπῆϊ,

προπερισπωμένη καὶ μὴ ὀξυνομένη οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ καὶ αὕτη ὑπὲρ δύο συλλαβάς ἐστι δυνάμει, ἀλλ' ἡ συναίρεσις αἰτία γέγονε τῆς δισυλλαβίας· ἔστι γὰρ σπέος σπέεος σπέεϊ, καὶ κατὰ κρᾶσιν τῶν δύο ΕΕ εἰς Η σπῆϊ, ὥσπερ Ἡρακλέεος Ἡρακλῆος, [Il. υ'. 145.]

τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο.

Πρόσκειται "ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου," ἐπειδὴ τὸ τίνι βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ τινὶ ὀξυνομένου· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνι δέδωκας; τὸ δὲ ἀνταποδοτικὸν, ἤγουν ἀόριστον, ὀξύνεται, οἷον τινί· οὕτω γὰρ λέγομεν ἀντεπιφέροντες. Πρόσκειται "ἢ χαρακτῆρι ἀκολουθήσει," ἐπειδὴ ἔστι Φθάντι κύριον καὶ βαρύνεται πρὸς τὸν χαρακτῆρα τῶν μετοχῶν, ὥσπερ φθάντι, βάντι, θέντι, δόντι. Πρόσκειται "ἐπ' ὀνομάτων," οἷον "αἱ εἰς Ι ἐκφωνούμενον λήγουσαι δισύλλαβοι δοτικαὶ ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσιν," διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται, οἷον βάντι, στάντι, θέντι, δόντι, φθάντι. "Δισύλλαβοι" πρόσκειται διὰ τὸ Αἴαντι, Θόαντι, Λάχητι, λέβητι, πένητι, Πάριδι, ὄφεϊ, πόλεϊ, ἥρωϊ, Μίνωϊ, γέλωτι, ἔρωτι, Κτησιφῶντι, Ξενοφῶντι, Σιδῶνι, ἀσπίδι, ῥανίδι, βολίδι, κνημῖδι, κρηπῖδι. Αἱ γὰρ ὑπὲρ δύο συλλαβὰς εἰς Ι ἐκφωνούμενον λήγουσαι δοτικαὶ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντι, Θόαντι, Λάχητι, λέβητι, ὑπεσταλμένης τῆς γυναικὶ

καὶ θυγατρὶ δοτικῆς· καὶ αὗται γὰρ παραλόγως ὀξύνονται, ὥσπερ καὶ ἡ γυναικὸς καὶ θυγατρὸς γενικὴ παραλόγως ὀξύνεται, ὡς ἐν τῇ περὶ γενικῆς ἀπεδείξαμεν. Πρόσκειται "εἰς ι ἐκφωνούμενον" διὰ τὸ τῇ σοφῇ, τῇ καλῇ· αὗται αἱ δοτικαὶ εἰς ι λήγουσαι περισπῶνται, ἀλλ' οὐκ ἔχουσιν ἐκφωνούμενον τὸ ι. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῶν μεταπεπλασμένων δοτικῶν, τῷ λέγοντι ὅτι αἱ μεταπεπλασμέναι δοτικαὶ αἱ εἰς ι λήγουσαι προπαροξύνεσθαι θέλουσι, δηλονότι ὑπὲρ δύο συλλαβὰς οὖσαι, "χωρὶς τῶν ἀπὸ τῶν εἰς ν θηλυκῶν φύσει μακρᾷ παραληγομένων." Ἔστι γὰρ ἡ ὑσμίνη τῆς ὑσμίνης τῇ ὑσμίνῃ καὶ ἡ Δωδώνη τῆς Δωδώνης τῇ Δωδώνῃ, καὶ ἐπειδὴ εἰς ν ἐστὶν ἡ εὐθεῖα τούτων καὶ φύσει μακρᾷ παραλήγεται, τούτου χάριν, γινόμεναι κατὰ μεταπλασμὸν ἐν τῇ δοτικῇ εἰς νι, προπερισπῶνται καὶ οὐ παροξύνονται, ὡς παρὰ τῷ ποιητῇ,

μέμασαν δὲ καὶ ὣς ὑσμῖνι μάχεσθαι

καὶ παρὰ Καλλιμάχῳ,

μή με τὸν ἐν Δωδῶνι λέγοι μόνον οὕνεκα χαλκόν.

Ἰστέον δὲ ὅτι μεταπλασμός ἐστιν ὅταν τραπῇ ἡ τελευταία συλλαβὴ τῆς λέξεως εἰς ἄλλην συλλαβήν, ὡς ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τόνου τῆς δοτικῆς τῶν ἑνικῶν.

ΠΕΡῚ ΤΟΥ͂ ΤΌΝΟΥ ΤΗ͂Σ ΑἸΤΙΑΤΙΚΗ͂Σ ΤΩ͂Ν ἙΝΙΚΩ͂Ν.

Ἰστέον δὲ ὅτι περὶ τοῦ τόνου τῆς αἰτιατικῆς διαλαμβάνει, καὶ λέγει ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς α δισυλλάβων. Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, ἀβλῆτος ἀβλῆτα· τὰ δύο προπερισπῶνται. Ἱδρῶτος ἱδρῶτα, ὁμοίως. Λιμένος λιμένα, ἀσπίδος ἀσπίδα· τὰ δύο παροξύνονται. Δημήτερος Δημήτερα· τὰ δύο προπαροξύνονται. Διομήδεος Διομήδεα, ὁμοίως. Καλοῦ καλὸν, σοφοῦ σοφόν· ταῦτα μὲν ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ καλοῦ καὶ σοφοῦ περισπᾶται, τὸ

δὲ καλὸν καὶ σοφὸν ὀξύνεται, ἐπειδὴ βραχυκαταληκτοῦσι, περισπωμένη δὲ ἐπάνω βραχείας οὐ τίθεται ἀλλ' ἐπάνω μακρᾶς φύσει, οἷον Ἑρμῆς, Ἡρακλῆς, βοῦν, νοῦν. Ἐπὶ μέντοι τοῦ Ὁμήρου Ὅμηρον καὶ ἀνθρώπου ἄνθρωπον ἐμάθομεν ὅτι ἡ μακρὰ κατεβίβασεν ἐξ ἀνάγκης τὸν τόνον ἐν τῇ γενικῇ, ἐπειδὴ καὶ αὐτὴ ὤφειλε προπαροξύνεσθαι ὁμοίως τῇ εὐθείᾳ, ὡς ἐν τῇ περὶ γενικῆς μεμαθήκαμεν. Ἡ δὲ αἰτιατικὴ μὴ ἔχουσα μακρὰν τὴν τελευταίαν συλλαβὴν ἠκολούθησε τῷ τόνῳ τῆς εὐθείας καὶ προπαρωξύνθη, οἷον Ὅμηρος Ὅμηρον, ἄνθρωπος ἄνθρωπον. Ἡ Ἀδώνιδα αἰτιατικὴ τῇ Ἀδώνιδος γενικῇ συντονοῦται· ὅταν δὲ φύγῃ τὴν τετρασυλλαβίαν, τότε τῇ ἰδίᾳ εὐθείᾳ συντονοῦται, οἷον Ἄδωνις Ἄδωνιν, ἐπειδὴ τότε ἐξ αὐτῆς κανονίζεται. Τὸ ἴαν καὶ μίαν ὁμοίως ταῖς ἰδίαις εὐθείαις βαρύνεται, φημὶ δὲ τῇ ἴα καὶ μία· ἐμάθομεν γὰρ ὅτι αἱ γενικαὶ Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον, οἷον τὸ ἰᾶς καὶ μιᾶς, ἐπεὶ καὶ αὗται ὁμοίως ταῖς ἰδίαις εὐθείαις ὤφειλον βαρύνεσθαι.

Τούτων οὕτως ἐχόντων, σεσημείωται τὸ γυναικὸς γυναῖκα καὶ θυγατρὸς θύγατρα, ὅτι ἡ μὲν γενικὴ τούτων ὀξύνεται, ἡ δὲ αἰτιατικὴ βαρύνεται· οὐ δύναται γὰρ ἡ αἰτιατικὴ ἐνταῦθα φυλάξαι τὴν ὀξεῖαν τάσιν τῆς γενικῆς, ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς Α λήγουσα ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντα, Θόαντα, πένητα, μῆνα, χῆνα, παῖδα, Κτησιφῶντα, Ξενοφῶντα, Ποσειδῶνα, ἀσπίδα, ῥανίδα, κρηπῖδα. Ὅθεν τὸ νιφάδα γινόμενον κατὰ συγκοπὴν νίφα ἀνεβίβασε τὸν τόνον, οἷον [Hes. Opp. 533.]

ἀλευόμενοι νίφα λευκήν,

ὡς μὴ δυνάμενον ὀξύνεσθαι διὰ τὸν κανόνα τὸν προλεχθέντα, καὶ πάλιν ἡ φυγὴν αἰτιατικὴ γινομένη κατὰ μεταπλασμὸν φύγα ἐβαρύνθη, ὡς παρὰ τῷ ποιητῇ [Il. θ'. 157.]

φύγαδ' ἔτραπε μώνυχας ἵππους

ἀντὶ τοῦ εἰς φυγήν, ὡς μὴ δυνάμενον ὀξυνθῆναι διὰ τὸν προλεχθέντα κανόνα. Τὸ τίνα καὶ τινὰ πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνα ἔτυψας; τὸ δὲ ἀνταποδοτικόν, ἤγουν

ἀόριστον, ὀξύνεται, οἷον τινά. Τὸ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ οὐκ ὀξύνονται ἀλλὰ περισπῶνται· ἀπὸ γὰρ τοῦ Ἐρετριέα καὶ Πειραιέα καὶ Στειριέα γεγόνασι κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς α μακρόν· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς, εὐσεβέος εὐσεβοῦς. Τούτου χάριν τῆς γυναικὸς καὶ θυγατρὸς γενικῆς ὀξυνομένης ἡ γυναῖκα καὶ θύγατρα αἰτιατικὴ οὐκ ὀξύνεται ἀλλὰ βαρύνεται. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί ἡ μὲν θύγατρα αἰτιατικὴ προπαροξύνεται, οἷον [Il. α΄. 13.]

λυσόμενός τε θύγατρα,

ἡ δὲ γυναῖκα αἰτιατικὴ προπερισπᾶται, ὡς τὸ [Il. ω΄. 58.]

γυναῖκά τε θήσατο μαζόν.

Καὶ περὶ μὲν τῆς θύγατρα αἰτιατικῆς ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο προπαροξύνεται, ἐπειδὴ ἀπὸ τοῦ θυγατέρα γέγονε κατὰ συγκοπὴν θύγατρα, ὡς παρὰ τοῦ Δημήτερα Δήμητρα, αἱ δὲ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους, οἷον ὀπίσωθεν ὄπισθεν, ἐξαίρετος ἔξαιτος, ὁμόπατρος ὄπατρος, ἁρμόσαντες ἅρσαντες, [Il. α΄. 136.]

ἅρσαντες κατὰ θυμὸν, ὅπως ἀντάξιον ἔσται.

Τὸ γὰρ πατέρος πατρὸς καὶ μητέρος μητρὸς καὶ ἀνέρος ἀνδρὸς συγκοπέντα καὶ μὴ ἀναβιβάσαντα τὸν τόνον οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ πρὸς τὸν χαρακτῆρα τῶν εἰς ος δισυλλάβων γενικῶν ἠκολούθησαν, καὶ ὀξύνονται ὥσπερ φωτὸς, χηνὸς, γραὸς, παιδὸς, μηνὸς, Τρωὸς, φρενὸς, χθονός. Ἄλλως τε δὲ διὰ τοῦτο προπαροξύνεται ἡ θύγατρα αἰτιατικὴ, ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς α λήγουσα, ἔχουσα παροξυνομένην τὴν εὐθεῖαν, προπαροξύνεται, οἷον Αἴας Αἴαντα, λέβης λέβητα, πένης πένητα, Πέλοψ Πέλοπα, χαρίεις χαρίεντα, Ἕκτωρ Ἕκτορα, Δημήτηρ Δημήτερα, εἰνάτηρ εἰνάτερα. Εἰ ἄρα οὖν ἡ θυγάτηρ εὐθεῖα παροξύνεται, δῆλον ὅτι εὐλόγως ἡ θύγατρα αἰτιατικὴ προπαροξύνεται, εἰ καὶ ἡ ἀπαθὴς θυγατέρα αἰτιατικὴ παραλόγως παροξύνεται. Ἔτι δὲ καὶ ἡ μητέρα· μήτηρ γὰρ ἡ εὐθεῖα παροξυτόνως καὶ θυγάτηρ, ὥς τε ἐν τῇ θυγατέρος γενικῇ καὶ μητέρος, ὡς

ἐμάθομεν ἐν τῷ περὶ γενικῆς λόγῳ, παραλόγως παροξύνονται ταῦτα, ἡνίκα ἐλέγομεν ὅτι ἠκολούθησαν κατὰ τὸν τόνον τῆς γενικῆς ταῦτα τοῖς ἰδίοις συγγενικοῖς, φημὶ δὲ τῷ πατέρος, ἀνέρος, δαέρος· (δαὴρ δέ ἐστιν ὁ ἀνδράδελφος.)

Περὶ τῆς γυναῖκα αἰτιατικῆς ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο προπερισπᾶται, ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς α λήγουσα, διφθόγγῳ παραληγομένη, προπερισπᾶται, οἷον γλαῦκα, καῦκα, προῖκα, αἶγα, παῖδα, δαῖτα· οὕτως οὖν καὶ γυναῖκα προπερισπωμένως, τῇ παραλήξει τῆς διφθόγγου ἀκολουθησάσης τῆς αἰτιατικῆς, εἰ καὶ ἐκεῖνα μὲν δισύλλαβά εἰσι, τοῦτο δὲ ὑπὲρ δύο συλλαβάς. Ἀλλ' οὖν, ὡς εἴρηται, διὰ τὸ ἔχειν ἐν τῇ παραληγούσῃ δίφθογγον προπεριεσπάσθη ὁμοίως ἐκείνοις. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται ἐν τῷ κανόνι τοῦ τεχνικοῦ "πλὴν τῶν εἰς α δισυλλάβων," οἷον "πᾶσα αἰτιατικὴ ἑνικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς α δισυλλάβων," ἐπειδή, ὥς φησιν ὁ τεχνικός, αἱ εἰς α λήγουσαι αἰτιατικαὶ δισύλλαβοι μόνως βαρύνονται. Ἰδοὺ γὰρ ἔστι φωτὸς, μηνὸς, χηνὸς, παντὸς ὀξυτόνως, τὸ δὲ φῶτα, μῆνα, χῆνα, πάντα βαρύνονται· εἰρήκαμεν γὰρ ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς α λήγουσα ἀπέστραπται τὴν ὀξεῖαν τάσιν. Τὸ γὰρ τίνα καὶ τινὰ, ὡς εἴρηται, πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον. Αἱ μέντοι εἰς ν λήγουσαι αἰτιατικαὶ μονοσύλλαβοι, δηλονότι μακροκατάληκτοι, περισπῶνται, οἷον μῦν, σῦν, δρῦν, λῖν (σημαίνει δὲ τὸν λέοντα,

ἐπί τε λῖν ἤγαγε δαίμων,)

γραῦν, ζῶν, (ἀντὶ τοῦ ζῶντα,) θεῦν,

τὴν θεῦν Ἄρτεμιν οἷ' ἔπαθεν,

ἀντὶ τοῦ τὴν θεόν. Γέγονε κατὰ κρᾶσιν Δωρικὴν ἢ Ἰωνικὴν τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον, ὥσπερ Ἐρέβεος Ἐρέβευς, καὶ ὤφειλεν ὀξύνεσθαι, ἐπειδὴ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, οἷον ζωός ζώς, ἑσταώς ἑστώς, Νηρηΐς Νηρής· ἀλλὰ τῷ κανόνι τῷ λεχθέντι περιεσπάσθη. Πάλιν ἔστι κλεῖν περισπωμένως· τοῦτο δὲ ἀπὸ τοῦ κλεῖς κλειδὸς κλειδὶ κλεῖδα γέγονε κατὰ ἀποβολὴν τῆς δα συλλαβῆς. Καὶ ὤφειλεν

εἶναι χωρὶς τοῦ ν· τῆς γὰρ δα συλλαβῆς ἀποκοπείσης κλεῖ εὑρίσκεται χωρὶς τοῦ ν· ἀλλ' ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν μονοσύλλαβος ἀρσενικὴ ἢ θηλυκὴ αὐτὴ καθ' ἑαυτὴν οὖσα εἰς ν θέλει λήγειν, οἷον μῦν, σῦν, γῆν, δρῦν, ναῦν, γραῦν, ζῶν, (ἀντὶ τοῦ ζῶντα,) τούτου χάριν προσέλαβε τὸ ν καὶ ἐγένετο κλεῖν. Πρόσκειται "ἀρσενικὴ ἢ θηλυκὴ" διὰ τὸ τί· τοῦτο γὰρ οὐ λήγει εἰς ν, λέγω δὲ τὸ τί, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν οὔτε ἀρσενικὸν οὔτε θηλυκὸν ἀλλ' οὐδέτερον. Πρόσκειται "αὐτὴ καθ' ἑαυτὴν οὖσα" διὰ τὸ νὴ Δία· αὕτη γὰρ ἡ αἰτιατικὴ γίνεται κατ' ἀποκοπὴν νὴ Δὶ, καὶ ἰδοὺ ἐπὶ ἀρσενικῶν ὀνομάτων εὑρίσκεται αἰτιατικὴ μονοσύλλαβος μὴ λήγουσα εἰς ν, λέγω δὲ τὸ νὴ Δί· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐχ εὑρίσκεται αὐτὴ καθ' ἑαυτὴν ἀλλ' ἐν συντάξει. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται ἀνωτέρω "δηλονότι μακροκατάληκτοι," οἷον "αἱ εἰς ν λήγουσαι αἰτιατικαὶ μονοσύλλαβοι, δηλονότι μακροκατάληκτοι, περισπῶνται," διὰ τὸ ἓν, οἷον ἓν βιβλίον· τοῦτο γὰρ ὀξύνεται, ἀλλ' οὐκ ἔστι μακροκατάληκτον ἀλλὰ βραχυκατάληκτον. Περισπωμένη δὲ οὔτε ἐπάνω βραχείας οὔτε ἐπάνω θέσει μακρᾶς τίθεται, ἀλλ' ἐπάνω φύσει μακρᾶς, οἷον Ἑρμῆς, παῖς, βοῦς, νοῦς, Ἡρακλῆς. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί ἡ περισπωμένη οὔτε ἐπάνω βραχείας οὔτε ἐπάνω θέσει μακρᾶς τίθεται, ἀλλ' ἐπάνω φύσει μακρᾶς. Καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην. Ἡ περισπωμένη διπλοῦς τόνος ἐστίν· ἀπὸ γὰρ ὀξείας καὶ βαρείας σύγκειται. Εἰκότως οὖν ἐπάνω μακρᾶς τίθεται, ὡς δῆθεν τῆς μακρᾶς οὔσης διπλῆς κατὰ τὸν χρόνον· ἀπὸ γὰρ δύο χρόνων σύγκειται, ἡ δὲ βραχεῖα ἀπὸ ἑνὸς χρόνου. Τούτου οὖν χάριν ἐπάνω βραχείας οὐ τίθεται περισπωμένη. Διὰ τοῦτο δὲ οὐδὲ ἐπάνω θέσει μακρᾶς ἀλλ' ἐπάνω φύσει μακρᾶς τίθεται, ἐπειδὴ φύσει ἐκ δύο τόνων σύγκειται, τουτέστιν ἀπὸ ὀξείας καὶ βαρείας, ἡ περισπωμένη. Ἐπειδὴ οὖν, ὡς εἴρηται, ἐκ δύο τόνων φύσει σύγκειται ἡ περισπωμένη, εἰκότως καὶ ἐπάνω φύσει μακρᾶς, ἤγουν δύο χρόνους ἐχούσης, συλλαβῆς τίθεται. Τούτου

οὖν χάριν ἐπάνω φύσει μακρᾶς τίθεται, καὶ οὐκ ἐπάνω θέσει μακρᾶς.

Τούτων οὕτως ἐχόντων, δεῖ γινώσκειν ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ν λήγουσα, φυλάττουσα τὸν χρόνον τῆς εὐθείας, πάντως καὶ τὸν τόνον αὐτῆς φυλάττει, ὑπεσταλμένων τῶν εἰς ν ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν. Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· καλὸς καλὸν, σοφὸς σοφὸν, σεμνὸς σεμνὸν, βραχὺς βραχὺν, ὀξὺς ὀξὺν, ποιητὴς ποιητὴν, αὐλητὴς αὐλητὴν, ἀθλητὴς ἀθλητὴν, πληθὺς πληθὺν, ὀϊζὺς ὀϊζὺν, Ἐρινὺς Ἐρινὺν, φίλος φίλον, κοῦφος κοῦφον, μάντις μάντιν, ὄρνις ὄρνιν, βότρυς βότρυν, ἡμέρα ἡμέραν, διφθέρα διφθέραν, Ἑλένη Ἑλένην, Ἀφροδίτη Ἀφροδίτην, Ἀτρείδης Ἀτρείδην, Ὀρέστης Ὀρέστην, μία μίαν, μέγας μέγαν, Λιχᾶς Λιχᾶν, χρυσοῦς χρυσοῦν, χαλκοῦς χαλκοῦν, ἀργυροῦς ἀργυροῦν, σιδηροῦς σιδηροῦν, βοῦς βοῦν. Πρόσκειται ἐν τῷ κανόνι "φυλάττουσα τὸν χρόνον τῆς εὐθείας" διὰ τὸ ἰχθῦς ἰχθὺν,

ἰχθὺν παιδοφύγα·

αὕτη γὰρ συστέλλει τὸ υ, καὶ οὐχ ὁμοτονεῖ τῇ περισπωμένῃ εὐθείᾳ. Πρόσκειται "ὑπεσταλμένων τῶν εἰς ν ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν" διὰ τὸ κλεὶς κλεῖν, λὶς λῖν, κὶς κῖν, (σημαίνει δὲ τὸν σκώληκα.) Ἰδοὺ γὰρ ἐπὶ τούτων ἡ μὲν εὐθεῖα ὀξύνεται, ἡ δ' αἰτιατικὴ περισπᾶται· περισπᾶται δὲ τῷ λόγῳ τῶν εἰς ν ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν, ὅν τινα εἰρήκαμεν ἀνωτέρω.

Αἱ εἰς α ἢ εἰς η λήγουσαι αἰτιατικαὶ συνῃρημέναι, εἰ μὲν ἀπὸ ἐντελῶν εἰσὶ προπαροξυνομένων, παροξύνονται ἐν τῇ συναιρέσει, οἷον Διομήδεα Διομήδη, Ἀριστοφάνεα Ἀριστοφάνη, Δημοσθένεα Δημοσθένη, Σωκράτεα Σωκράτη, εἰ δὲ ἀπὸ ἐντελῶν εἰσὶ παροξυνομένων, περισπῶνται ἐν τῇ συναιρέσει, οἷον εὐσεβέα εὐσεβῆ, ἀσθενέα ἀσθενῆ, εὐτυχέα εὐτυχῆ, Ἐρετριέα Ἐρετριᾶ, Πειραιέα Πειραιᾶ, Στειριέα Στειριᾶ.

Αἱ εἰς ω λήγουσαι αἰτιατικαὶ κατὰ συγκοπὴν μὲν οὖσαι τὸν τόνον τῆς ἀπαθοῦς λέξεως φυλάττουσιν, οἷον Ἀπόλ-

λωνα Ἀπόλλω, ἥρωα ἥρω, Μίνωα Μίνω, Ποσειδῶνα Ποσειδῶ, κυκεῶνα κυκεῶ, ἱδρῶτα ἱδρῶ, [Il. χ΄. 2.]

ἱδρῶ ἀπεψύχοντο,

ἰχῶρα ἰχῶ, [Il. ε΄. 416.]

καὶ ἀπὸ ἰχῶ χειρὸς ὠμόργνυ

(ἰχὼρ δέ ἐστι τὸ μεταβεβλημένον αἷμα)· εἰ δὲ μὴ εἰσὶ κατὰ ἀποκοπὴν, ἀπὸ μὲν τῶν εἰς ω θηλυκῶν οὖσαι ὀξύνονται, οἷον ἡ Σαπφὼ τὴν Σαπφὼ, ἡ Ἐρατὼ τὴν Ἐρατὼ, ἡ Καλυψὼ τὴν Καλυψὼ, ἡ Κλειὼ τὴν Κλειὼ, ἀπὸ δὲ τῶν εἰς ως θηλυκῶν οὖσαι περισπῶνται, οἷον ἡ αἰδὼς τὴν αἰδῶ, [Il. ο΄. 561.]

καὶ αἰδῶ θέσθαι ἐν θυμῷ,

ἡ ἠὼς τὴν ἠῶ, [Il. ι΄. 658.]

καὶ ἠῶ δῖαν ἔμιμνεν.

ὤφειλον δὲ καὶ τὰ ἀπὸ τῶν εἰς ω θηλυκῶν περισπᾶσθαι κατὰ τὴν αἰτιατικὴν τῷ λόγῳ τῆς συναιρέσεως τῆς ὀξείας καὶ βαρείας, ὡς ἐν τοῖς εἰς ω θηλυκοῖς μεμαθήκαμεν ἐν τῇ διδασκαλίᾳ τῆς Σαπφὼ αἰτιατικῆς· ἀλλὰ διὰ τὴν ὁμοφωνίαν τὴν πρὸς τὴν εὐθεῖαν ὠξύνθησαν, ὡς ἐκεῖσε μεμαθήκαμεν.

Αἱ εἰς ΗΝ λήγουσαι αἰτιατικαὶ ἀπὸ γενικῶν εἰς ΟΥΣ ληγουσῶν οὖσαι, εἰ μὲν βαρύνεται ἡ εὐθεῖα, βαρύνονται, οἷον Σωκράτης Σωκράτους Σωκράτην, Δημοσθένης Δημοσθένους Δημοσθένην, εἰ δὲ περισπᾶται ἡ εὐθεῖα, περισπῶνται, οἷον Ἡρακλῆς Ἡρακλοῦς Ἡρακλῆν, Περικλῆς Περικλοῦς Περικλῆν· εἰ δὲ ὀξύνεται ἡ εὐθεῖα, βαρύνονται διὰ τὸ τοὺς Αἰολεῖς κεχρῆσθαι ταύταις ταῖς αἰτιατικαῖς· δυσμένην γὰρ λέγουσι καὶ κυκλοτέρην καὶ εὐρυνέφην τῶν εὐθειῶν ὀξυνομένων, οἷον ὁ δυσμενὴς, ὁ κυκλοτερὴς, ὁ εὐρυνεφής. Οἱ γὰρ Αἰολεῖς βαρυντικοί εἰσι· τὸ γὰρ Ἀτρεὺς Ἄτρευς λέγουσι, καὶ τὸ Πηλεὺς Πήλευς, καὶ τὸ Ἀχιλλεὺς Ἀχίλλευς.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΚΛΗΤΙΚΗΣ ΤΩΝ ΕΝΙΚΩΝ.

Διαλαμβάνει περὶ τοῦ τόνου τῆς κλητικῆς, λέγων ὅτι πᾶσα κλητικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ εὐθεῖα, οἷον τὸ Αἴας εἰς τὸ ΑΙ ἔχει τὸν τόνον, ἀλλὰ καὶ τὸ Αἶαν ἐν τῇ αὐτῇ συλλαβῇ ἐφύλαξε τὸν τόνον.

Ἀλλὰ δεῖ γνῶναι ἡμᾶς ὅτι ἐν μὲν τῇ εὐθείᾳ ὀξεῖα τίθεται εἰς τὸ αι, (τὸ γὰρ Αἴας παροξύνεται,) ἐν δὲ τῇ κλητικῇ περισπωμένη, (τὸ γὰρ ὦ Αἶαν προπερισπᾶται, οἷον [Il. ν'. 824.]

Αἶαν ἁμαρτοεπὲς βουγάϊε.)

ἡ δὲ αἰτία ἐστὶν αὕτη· ἡ εὐθεῖα οὐκ ἠδύνατο προπερισπᾶσθαι, ἐπειδὴ φύσει μακρά ἐστιν ἡ τελευταία συλλαβὴ, (τὸ γὰρ Αἴας φύσει μακρὸν ἔχει τὸ α,) οὐδέποτε δὲ πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον Ὁμήρου, ἀνθρώπου, μήλου, κήπου, δώρου, τείχους, ἤθους· τὸ γὰρ Μοῦσαι καὶ κῆποι προπερισπώμενα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἐνταῦθα ἡ αι καὶ ἡ οι δίφθογγος ἀντὶ κοινῆς παραλαμβάνονται, ἤγουν ἀντὶ βραχείας. Ἐπειδὴ οὖν τὸ Αἴας τὸ α ἔχει φύσει μακρὸν, (καὶ ἔχομεν ἐν τοῖς προλαβοῦσι τὴν αἰτίαν· ἔχομεν γὰρ ὅτι τὰ εἰς ας ἀρσενικὰ βαρύτονα μακρὸν ἔχουσι τὸ α, οἷον Δρύας, Θόας, γίγας, Κάλχας, Αἰνείας, κοχλίας, χωρὶς τοῦ μέγας τοῦ ἐπιθέτου καὶ τοῦ λᾶας τοῦ προσηγορικοῦ καὶ τοῦ Αἴας παρὰ τῷ Ἀλκμᾶνι,) τούτου χάριν οὐ περιεσπάσθη ἀλλὰ παρωξύνθη. Ὡς γὰρ εἴρηται, οὐδέποτε πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί οὐδέποτε πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ἡ περισπωμένη δυνάμει παροξύτονός ἐστιν· ἀπὸ γὰρ ὀξείας καὶ βαρείας σύγκειται, οἷον πᾶς, βοῦς, νοῦς, Ἑρμῆς· ἡ δὲ προπερισπωμένη δυνάμει προπαροξύτονός ἐστιν· ἀπὸ γὰρ ὀξείας καὶ δύο βαρειῶν σύγκειται, οἷον τεῖχος, μῆλον, κῆπος, δῶρον, ἦθος. Εἰ ἐτίθετο οὖν περισπωμένη πρὸ φύσει μακρᾶς, εὑρίσκετο φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς δυνάμει τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ὅπερ ἐστὶν ἄτοπον· ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται ἡ λέξις. Τούτου οὖν χάριν πρὸ φύσει μακρᾶς οὐ τίθεται περισπωμένη. Πρὸ δὲ μὴ οὔσης φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον φοῖνιξ, κῆρυξ, Μοῦσαι, δῆμοι, ἐπειδὴ καὶ μὴ οὔσης φύσει μακρᾶς τῆς τελευταίας συλλαβῆς πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν

προπαροξύνεται ἡ λέξις, οἷον Ὅμηροι, ἄνθρωποι, ἅμαξαι, τράπεζαι. Ἡ γὰρ αι καὶ ἡ οι δίφθογγος ἐνταῦθα ἀντὶ κοινῆς παραλαμβάνεται, ἤγουν ἀντὶ βραχείας. Ταῦτα μὲν ἐν τούτοις. Τὸ δὲ ὦ Αἶαν, λέγω δὲ ἡ κλητική, ἐπειδὴ συνεσταλμένον ἔχει τὸ α, διὰ τοῦτο προπερισπᾶται. Διὰ τί δὲ ἡ κλητικὴ ἡ ὦ Αἶαν συνεσταλμένον ἔχει τὸ α; Ἐπειδὴ ἀπὸ τῆς Αἴαντος γενικῆς ἐγένετο κατὰ ἀποβολὴν τῆς τος συλλαβῆς, ἡ δὲ Αἴαντος γενικὴ συνεσταλμένον ἔχει τὸ α, ἤγουν θέσει μακρὸν, ἐπειδὴ αἱ διὰ τοῦ ντ κλινόμεναι γενικαὶ ἀπὸ μὲν τῶν εἰς ας βαρυτόνων οὖσαι συνεσταλμένον ἔχουσι τὸ α, ἤγουν θέσει μακρὸν, κατὰ τὴν παραλήγουσαν, οἷον Θόαντος, Βίαντος, Δρύαντος· οὕτως οὖν καὶ Αἴαντος. Ἀπὸ δὲ τῶν εἰς ας περισπωμένων ὑπὲρ μίαν συλλαβὴν οὖσαι ἐκτεταμένον ἔχουσι τὸ α, τουτέστι φύσει μακρὸν, οἷον ἀλ(λ)ᾶς ἀλ(λ)ᾶντος, πελεκᾶς πελεκᾶντος, Γλισᾶς Γλισᾶντος, (ἔστι δὲ ὄνομα πόλεως.) Πρόσκειται "ὑπὲρ μίαν συλλαβὴν" διὰ τὸ πᾶς παντός· τοῦτο γὰρ θέσει μακρὸν ἔχει τὸ α κατὰ τὴν γενικήν. Ἐπειδὴ οὖν ὦ Αἶαν ἡ κλητικὴ συνεσταλμένον ἔχει τὸ α, διὰ τοῦτο προπερισπᾶται· πᾶσα γὰρ φύσει μακρὰ πρὸ μιᾶς συλλαβῆς βραχείας, ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, ἐν ἑνὶ μέρει λόγου, κοινολεκτουμένη, μὴ ἐπεκτεινομένη διὰ τοῦ χ καὶ τοῦ ι ἢ διὰ τοῦ θ καὶ ε ἢ διὰ τοῦ δ καὶ ε ἐν τοῖς δυϊκοῖς, περισπωμένην δέχεται, οἷον παῖδες, Πᾶνες, Ἀλκμᾶνες, Τιτᾶνες, δελφῖνες, ἀκτῖνες, φῶτες, Τρῶες, μῆνες, χῆνες, μῆλον, δῶρον, κῆπος, δῆμος, βῆμα, Μοῦσα, αἷμα, ἦθος, εἶδος, τεῖχος, ἧπαρ, γυναῖκες. Πρόσκειται "φύσει μακρὰ" διὰ τὰς θέσει μακρὰς, οἷον ἄλλος, ἔργον, ἔνθα, πέμπτος, ἕκτος· περισπωμένη γὰρ οὐ τίθεται εἰ μὴ ἐπάνω φύσει μακρᾶς, οἷον Μοῦσα, Ἑρμῆς, Ἡρακλῆς. Καὶ διὰ τί ἐπάνω θέσει μακρᾶς οὐ τίθεται, ἐμάθομεν ἀνωτέρω. "Πρὸ μιᾶς" δὲ "βραχείας" πρόσκειται διὰ τὸ μὴ εὑρεθῆναι δύο βραχείας ἐπιφερομένας· πρὸ δύο γὰρ συλλαβῶν οὐ τίθεται περισπωμένη, οἷον βήματος, ποιήματος, νοήματος, σοφώτερος, λογιώτερος. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί οὐδέποτε περισπωμένη πρὸ δύο συλλαβῶν τίθεται. Καὶ ἔστιν εἰπεῖν ταύτην

τὴν ἀπολογίαν· ἡ περισπωμένη δυνάμει παροξύτονός ἐστιν· ἀπὸ γὰρ ὀξείας καὶ βαρείας σύγκειται, οἷον παῖς, βοῦς, Ἑρμῆς· ἡ δὲ προπερισπωμένη δυνάμει προπαροξύτονός ἐστιν· ἀπὸ γὰρ ὀξείας καὶ βαρειῶν δύο σύγκειται, οἷον κῆπος, μῆλον, δῶρον, τεῖχος, ἦθος. Ἐὰν οὖν τεθῇ ἡ περισπωμένη πρὸ δύο συλλαβῶν, εὑρίσκεται ἡ ὀξεῖα δυνάμει τετάρτη ἀπὸ τέλους, τουτέστιν ὑπερβαίνουσα τὴν τρισυλλαβίαν, ὅπερ ἐστὶν ἄτοπον· οὐ θέλει γὰρ τόνος ὑπερβαίνειν τὰς τρεῖς συλλαβὰς, ὡς ἀνωτέρω μεμαθήκαμεν. Τούτου οὖν χάριν οὐ τίθεται περισπωμένη πρὸ δύο συλλαβῶν. "Ἐφ' ἑαυτῆς" δὲ "ἔχουσα τὸν τόνον" πρόσκειται διὰ τὸ Ὅμηρος καὶ ἄνθρωπος· ἐνταῦθα γὰρ φύσει μακρά ἐστι πρὸ μιᾶς βραχείας, καὶ ἐπειδὴ οὐκ ἔστιν ἐπάνω τῆς φύσει μακρᾶς τόνος, οὐ περισπῶνται ταῦτα ἀλλὰ παροξύνονται. Πρόσκειται "ἐν ἑνὶ μέρει λόγου" διὰ τὸ Ζεύς γε· ἐνταῦθα γὰρ εἰς τὸ Ζεὺς παρέχομεν ὀξεῖαν, καὶ ἔστι φύσει μακρὰ πρὸ μιᾶς βραχείας, καὶ οὐ προπερισπᾶται, ἐπειδὴ οὐκ ἔστιν ἓν μέρος λόγου ἀλλὰ δύο. Πρόσκειται δὲ "κοινολεκτουμένη," ἐπειδὴ οἱ Δωριεῖς ὀξεῖαν παρέχουσιν ἐπὶ τῶν τοιούτων, οἷον παῖδες, αἶγες, γυναῖκες· ταῦτα γὰρ ἡμεῖς μὲν περισπῶμεν, οἱ δὲ Δωριεῖς παροξύνουσιν, ὀφείλοντες καὶ αὐτοὶ προπερισπᾶν. Διὰ τοῦτο οὖν πρόσκειται κοινολεκτουμένη. Πρόσκειται δὲ "μὴ ἐπεκτεινομένη διὰ τοῦ χ καὶ ι ἢ διὰ τοῦ θ καὶ ε" διὰ τὸ ναίχι καὶ εἴθε. Ταῦτα γὰρ παροξύνονται καὶ οὐχὶ προπερισπῶνται, καὶ ἔστι φύσει μακρὰ πρὸ μιᾶς βραχείας· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἐπεκτεταμένα εἰσὶ διὰ τοῦ χ καὶ ι καὶ διὰ τοῦ θ καὶ ε, καὶ τὸν τόνον, ὃν εἶχον πρὸ τῆς ἐκτάσεως, ἐφύλαξαν· ναὶ γὰρ ἦν καὶ εἰ ὀξυτόνως, καὶ κατ' ἐπέκτασιν γινόμενα ναίχι καὶ εἴθε τὴν ὀξεῖαν τάσιν ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ. Πρόσκειται δὲ "μὴ ἐπεκτεινομένη διὰ τοῦ θ καὶ ε ἐν τοῖς δυϊκοῖς" διὰ τὸ τοιώδε καὶ τοσώδε δυϊκά· ταῦτα γὰρ παροξύνονται καὶ οὐ προπερισπῶνται διὰ τὸν χαρακτῆρα τῶν δυϊκῶν· τὸ γὰρ ω ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, οἷον τὼ σοφὼ, τὼ καλὼ, τὼ ἀγαθώ. Ἐπεὶ οὖν τὸ τοιώδε καὶ τοσώδε ἐπέκτασιν ἔχουσι

τῆς ΔΕ συλλαβῆς, τούτου χάριν, ὡς σχεδὸν ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχοντα τὸ Ω, ἀποστρέφονται τὴν περισπωμένην τάσιν. Ταῦτα μὲν ἐν τούτοις.

Παρατίθεται δὲ ὁ τεχνικὸς ἕτερα παραδείγματα, οἷον Ἀχιλλεὺς Ἀχιλλεῦ. Καὶ δεῖ γινώσκειν ὅτι ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, οὐ τὸν αὐτὸν δὲ τόνον ἐπιδέχονται· τὸ μὲν γὰρ Ἀχιλλεὺς ὀξύνεται, τὸ δὲ Ἀχιλλεῦ περισπᾶται. Καὶ ἡ μὲν εὐθεῖα ὀξύνεται, ἐπειδὴ καθόλου τὰ εἰς ΕΥΣ λήγοντα ἀρσενικὰ ἐπ' εὐθείας πτώσεως κοινολεκτούμενα ὀξύνεσθαι θέλουσιν, οἷον Πηλεύς, Ἀτρεύς, βασιλεύς, Ἐρετριεύς, ἁλιεύς, Οἰνεύς, Τυδεύς, Θησεύς· οὕτως οὖν καὶ Ἀχιλλεύς. Πρόσκειται "ἀρσενικὰ" διὰ τὸ νεῦς καὶ γρεῦς· ταῦτα γὰρ περισπῶνται, ἀλλ' οὐκ εἰσὶν ἀρσενικὰ ἀλλὰ θηλυκά· νεῦς δέ ἐστιν ἡ ναῦς, καὶ γρεῦς ἡ γραῦς. Πρόσκειται "ἐπ' εὐθείας πτώσεως," ἐπειδὴ ἡ διογενέος γενικὴ γίνεται παρὰ τοῖς Δωριεῦσι διογενεῦς κατὰ κρᾶσιν τοῦ Ε καὶ Ο εἰς τὴν ΕΥ δίφθογγον, καὶ περισπᾶται. Καὶ πάλιν τοῦ Ὀδυσσέος τοῦ Ὀδυσσεῦς περισπᾶται,

Ὀδυσσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ,

ἀντὶ τοῦ Ὀδυσσέος τὴν χεῖρα ἐφίλησε. Καὶ πάλιν τοῦ Ἰδομενέος τοῦ Ἰδομενεῦς περισπωμένως,

Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα

ἀντὶ τοῦ Ἰδομενέος οὐκ ἔληγεν ἡ δύναμις. Ταῦτα δὲ οὐκ εἰσὶ κοινολεκτούμενα. Πρόσκειται "κοινολεκτούμενα," ἐπειδὴ οἱ Αἰολεῖς βαρυτόνως λέγουσιν, οἷον Ἀχίλλευς καὶ Ἄτρευς καὶ Πήλευς. Καὶ τὸ Ἄρης δὲ γενόμενον εἰς ΕΥΣ Αἰολικῶς ἐγένετο, καὶ διὰ τοῦτο βαρύνεται, οἷον Ἄρευς, καὶ ἐφύλαξε τὸν αὐτὸν τόνον καὶ ἐν ταῖς λοιπαῖς πτώσεσιν, οἷον Ἄρεος Ἄρεϊ Ἄρεα. Τὸ δὲ Ἀχιλλεῦ περισπᾶται, ἐπειδὴ πᾶσα λέξις εἰς τὸ Υ καταλήγουσα ἐν διφθόγγῳ, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται, οἷον σοφοῦ, καλοῦ, ἀγαθοῦ, σεμνοῦ, γραμματικοῦ, ἐποιοῦ, ἐνεοῦ, ἐστεφανοῦ, πανταχοῦ, ἀλλαχοῦ, οὐδαμοῦ, Πηλεῦ, Ἀτρεῦ· οὕτως οὖν καὶ Ἀχιλλεῦ περισπωμένως. Πρόσκειται "εἰς τὸ Υ καταλήγουσα" διὰ τὸ Πηλεύς, Ἀτρεύς· ταῦτα γὰρ

ὀξύνονται, ἀλλ' οὐ καταλήγουσιν εἰς τὸ τ ἀλλ' εἰς τὸ ς. "Ἐν διφθόγγῳ" δὲ πρόσκειται διὰ τὸ ταχὺ καὶ βραχύ· ταῦτα γὰρ εἰς τὸ τ καταλήγοντα ὀξύνονται, ἀλλ' οὐκ ἔχουσι τὸ τ ἐν διφθόγγῳ. Πρόσκειται δὲ "ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον" διὰ τὸ Ὁμήρου καὶ ἀνθρώπου· ταῦτα εἰς τὸ τ καταλήγουσιν ἐν διφθόγγῳ, καὶ ὅμως οὐ περισπῶνται, ἀλλ' οὐκ ἔχουσιν ἐπὶ τῆς τελευταίας συλλαβῆς τὸν τόνον ἀλλὰ πρὸ μιᾶς. Ταῦτα μὲν ἐν τούτοις.

Σημειούμεθα τρία τινὰ εἰς τὸ τ καταλήγοντα ἐν διφθόγγῳ καὶ ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχοντα τὸν τόνον, καὶ ὅμως μὴ περισπώμενα ἀλλ' ὀξυνόμενα· ἔστι δὲ ταῦτα τὸ ἰδοὺ δεικτικὸν καὶ τὸ ἰοὺ σχετλιαστικὸν καὶ τὸ οὒ ἀρνήσεως δηλωτικόν· ταῦτα γάρ, ὡς εἴρηται, ὀξύνονται καὶ οὐ περισπῶνται. Καὶ ἔχουσι διαφόρους ἀπολογίας. Λέγουσι γάρ τινες, ὅτι τὸ ἰδοὺ δεικτικὸν διὰ τοῦτο ὀξύνεται, ἐπειδὴ δεικνύοντες τῷ δακτύλῳ τὸν τύπον τῆς ὀξείας ἀποτελοῦμεν· τὸ δὲ ἰοὺ διὰ τοῦτο ὀξύνεται, ἐπειδὴ σχετλιαστικόν ἐστιν, οἱ δὲ σχετλιάζοντες ὀξείᾳ κέχρηνται φωνῇ· τὸ δὲ οὒ ἀρνητικὸν διὰ τοῦτο ὀξύνεται, ἐπειδὴ ἀρνήσεώς ἐστι δηλωτικόν, ἀρνούμενοι δὲ ἀνανεύομεν καὶ ἀποτελοῦμεν τὸν τύπον τῆς ὀξείας. Ἑτέρα δὲ ἀπολογία ἔστω τοιαύτη, ἥ τις καὶ καταναγκαστική ἐστι. Τὰ ἐπιρρήματα τὰ εἰς τὴν ου δίφθογγον λήγοντα ἢ τοπικά εἰσιν, ἢ παρηγμένα διὰ τοῦ χου ἀπὸ λέξεως ποσότητα δηλούσης, καὶ πάντα περισπῶνται· τοπικὰ μὲν οἷον ἀγχοῦ,

ἀγχοῦ δ' ἱσταμένη,

ὑψοῦ, [Il. α'. 486.]

ὑψοῦ δ' ἐπὶ ψαμάθοισι,

τηλοῦ, πανταχοῦ, ἀλλαχοῦ, οὐδαμοῦ, ἑκασταχοῦ (τουτέστιν ἐν ἑκάστῳ τόπῳ, ὡς παρὰ Δημοσθένει [p. 308, 28.] "καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας"), [Od. χ'. 4.]

αὐτοῦ πρός τε (πρόσθε) ποδῶν

ἀντὶ τοῦ ἐν τῷ αὐτῷ τόπῳ· παρηγμένα (δὲ) διὰ τοῦ χου ἀπὸ λέξεως ποσότητα δηλούσης, οἷον δὶς διχοῦ, τρὶς τριχοῦ, τετράκις τετραχοῦ, πεντάκις πενταχοῦ· τὸ γὰρ δὶς τρὶς τετρά-

κις καὶ πεντάκις ποσότητα δηλοῦσι. Τὸ ὅπου τοπικὸν ὂν καὶ μὴ περισπώμενον ἀλλὰ βαρυνόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδή, ὥς φησιν Ἀπολλώνιος ἐν τῷ Περὶ ἐπιρρημάτων, τὰ μονοσύλλαβα πευστικὰ περισπώμενα ὄντα, προσλαμβάνοντα τὸ ο καὶ γινόμενα ἀναφορικά, βαρύνονται, οἷον πῶς ὅπως, πῇ ὅπῃ· οὕτως οὖν καὶ ποῦ ὅπου. Ἐπειδὴ οὖν τὰ τρία μόνα ταῦτα, λέγω δὲ τὸ ἰδοὺ καὶ ἰοὺ καὶ οὔ, εὑρέθησαν εἰς τὴν ΟΥ δίφθογγον λήγοντα, καὶ μὴ ὄντα μήτε τοπικὰ μήτε διὰ τοῦ ΧΟΥ παρηγμένα ἀπὸ λέξεως ποσότητα δηλούσης, (τὸ μὲν γὰρ ἰδοὺ δεικτικόν ἐστι, τὸ δὲ ἰοὺ σχετλιαστικὸν, τὸ δὲ οὔ ἀρνήσεως δηλωτικὸν,) εἰκότως, ὡς παραλλάξαντα κατὰ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὴν τάσιν, καὶ οὐ περισπῶνται.

Πάλιν παρατίθεται ὁ τεχνικὸς τὸ καλὸς καλὲ καὶ εὐγενὴς εὐγενές· καὶ δεῖ γινώσκειν ὅτι ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχουσι καὶ τὸν αὐτὸν ἐφύλαξαν. Πάλιν εὐσεβὴς εὐσεβὲς, εὐτυχὴς εὐτυχὲς, ἀσθενὴς ἀσθενὲς, ποιητὴς ποιητὰ, αὐλητὴς αὐλητὰ, ἀθλητὴς ἀθλητὰ, εὑρετὴς εὑρετὰ, εὐνέτης εὐνέτα, θύτης θύτα· ἰδοὺ καὶ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχουσι καὶ τὸν αὐτὸν τόνον ἐφύλαξαν. Πάλιν ἀλήτης ἀλῆτα, ποικιλομήτης ποικιλομῆτα, [Od. ν΄. 293.]

σχέτλιε, ποικιλομῆτα,

καὶ δολομήτης δολομῆτα· καὶ ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχουσιν, οὐ τὸν αὐτὸν δὲ τόνον ἐφύλαξαν· ἡ γὰρ κλητικὴ ἐπὶ τούτων προπερισπᾶται διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας. Πάλιν Λειώδης Λειῶδες· ἰδοὺ καὶ τοῦτο μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχει, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ Λειώδης παροξύνεται, (παροξύνεται δὲ, ἐπειδὴ φύσει μακρά ἐστιν ἡ τελευταία συλλαβὴ, οὐδέποτε δὲ, ὡς ἀνωτέρω εἴρηται, πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον Ὁμήρου, ἀνθρώπου, κήπου, τείχους,) τὸ δὲ Λειῶδες προπερισπᾶται, ἐπειδὴ φύσει μακρὰ πρὸ βραχείας ἐστί· τὸν δὲ κανόνα εἰρήκαμεν ἀνωτέρω.

Ἰστέον ὅτι τὰ διὰ τοῦ ΩΔΗΣ προπερισπῶνται, οἷον δυσώδης δυσῶδες, εὐώδης εὐῶδες, πυρώδης πυρῶδες, γεώδης γεῶδες·

οὕτως οὖν καὶ Λειώδης Λειῶδες περισπωμένως κατὰ τὴν κλητικὴν, [Od. φ'. 168.]

Λειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

Ταῦτα μὲν ἐν τούτοις.

Σεσημείωται τὸ δέσποτα ἐν τῷ κανόνι, ἀκάκητα, εὐρύοπα, μητίετα, καὶ τὸ ἆνερ, πάτερ, σῶτερ, δᾶερ, ὅτι οὐκ ἐφύλαξαν κατὰ τὴν κλητικὴν ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα· ἀνὴρ γὰρ καὶ πατὴρ καὶ σωτὴρ καὶ δαὴρ ἐστιν ἡ εὐθεῖα, καὶ δεσπότης καὶ ἀκακήτης καὶ μητιέτης καὶ εὐρυόπης. Καὶ περὶ μὲν τοῦ ἆνερ, πάτερ, δᾶερ ἔστιν εἰπεῖν ὅτι ἠκολούθησαν τοῖς ἰδίοις συγγενικοῖς κατὰ τὴν κλητικὴν, φημὶ δὲ τῇ μῆτερ, θύγατερ. Ὥσπερ γὰρ τὸ μήτηρ καὶ θυγάτηρ, ὀφείλοντα ἐν τῇ γενικῇ προπαροξυνθῆναι διὰ τὸ φυλάξαι τὸν τόνον τῆς εὐθείας ἐν τῇ αὐτῇ συλλαβῇ, οἷον μήτηρ μήτερος, θυγάτηρ θυγάτερος, ὥσπερ Δημήτηρ Δημήτερος καὶ εἰνάτηρ εἰνάτερος, (σημαίνει δὲ τὴν σύννυμφον,) οὐ προπαρωξύνθησαν ἀλλὰ παρωξύνθησαν, οἷον μητέρος, θυγατέρος— ἠκολούθησαν γὰρ τοῖς ἰδίοις συγγενικοῖς αὐτῶν, φημὶ δὲ τῷ πατέρος, ἀνέρος, δαέρος, (σημαίνει δὲ τὸν ἀνδράδελφον,)— τὸν αὐτὸν τρόπον καὶ ἐκ τοῦ ἐναντίου τὰ ἀρσενικὰ τοῖς θηλυκοῖς ἠκολούθησαν κατὰ τὴν κλητικὴν, καὶ ὥσπερ μῆτερ καὶ θύγατερ διὰ τοῦ ε βαρυτόνως, οὕτω καὶ ἆνερ, πάτερ, δᾶερ διὰ τοῦ ε βαρυτόνως. Καὶ λοιπὸν ἀμοιβαῖα ἐγένετο τὰ τοῦ τόνου· τὰ μὲν γὰρ ἀρσενικὰ τοῖς θηλυκοῖς ἠκολούθησαν κατὰ τὴν κλητικὴν, τὰ δὲ θηλυκὰ τοῖς ἀρσενικοῖς κατὰ τὴν γενικήν. Τὸ δὲ σῶτερ ψευδαιολικόν ἐστι, καὶ τούτου χάριν συνέστειλε τὸ η εἰς τὸ ε ἐν τῇ κλητικῇ καὶ ἐβαρύνθη· οἱ γὰρ Αἰολεῖς ἔθος ἔχουσι πολλάκις συστέλλειν τὸ η εἰς τὸ ε ἐν τῇ κλητικῇ καὶ ἀναβιβάζειν τὸν τόνον, οἷον ὁ τριβολέτηρ ὦ τριβόλετερ, (ἔστι δὲ εἶδος ἀκάνθης). Διὰ τοῦτο δὲ εἴρηται ψευδαιολικὸν, ἐπειδὴ οὐκ ἔστι κυρίως Αἰολικόν· οἱ γὰρ Αἰολεῖς τότε συστέλλουσι τὸ η εἰς τὸ ε ἐν τῇ κλητικῇ, ἡνίκα μὴ μακρᾷ παραλήγεται, οἷον ὁ τριβολέτηρ ὦ τριβόλετερ· ἡνίκα δὲ μακρᾷ παραλήγεται, οὐ συστέλλουσι τὸ η ἐν τῇ κλητικῇ εἰς τὸ ε, οἷον ὁ χρηστήρ· τοῦτο γὰρ μακρᾷ

παραληγόμενον οὐ συστέλλει τὸ η εἰς τὸ ε ἐν τῇ κλητικῇ· (χρηστὴρ δέ ἐστιν ὁ παρέχων τοὺς χρησμούς.) Τὸ οὖν σῶτερ μακρὰν ἔχον τὴν παραλήγουσαν οὐ δύναται συσταλῆναι παρὰ τοῖς Αἰολεῦσι. Διὰ τοῦτο οὖν εἰρήκαμεν ὅτι ψευδαιολικόν ἐστι καὶ οὐ κυρίως Αἰολικόν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ ἆνερ, πάτερ, σῶτερ, δᾶερ, συστείλαντα τὸ η εἰς τὸ ε ἐν τῇ κλητικῇ, εὐλόγως ἐβαρύνθησαν· τὰ γὰρ εἰς ρ λήγοντα βραχυκατάληκτα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, χωρὶς τῆς ὑπὲρ προθέσεως καὶ τοῦ αὐτὰρ καὶ ἀτὰρ συνδέσμου. Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· μάκαρ, ἦθαρ, ἧπαρ, ἔαρ, φρέαρ, κέαρ, δέλεαρ, ὄνειαρ, ἄτερ. Οὕτως οὖν καὶ ἄνερ, πάτερ, σῶτερ, δᾶερ βαρυτόνως. Πρόσκειται "βραχυκατάληκτα" διὰ τὸ πατὴρ καὶ ἀνὴρ ὀξυνόμενα. Πρόσκειται "ὑπὲρ μίαν συλλαβὴν" διὰ τὸν γὰρ σύνδεσμον ὀξυνόμενον.

Ταῦτα μὲν περὶ τοῦ ἄνερ, πάτερ, σῶτερ, δᾶερ. Τὸ δὲ δέσποτα, ἀκάκητα, μητίετα, εὐρύοπα ἐσημειωσάμεθα, ἐπειδὴ ταῦτα κλητικὰ ὄντα προπαροξύνονται, τῆς εὐθείας παροξυνομένης· ὁ ἀκακήτης γὰρ (ὁ μὴ ἔχων κακίαν) καὶ ὁ μητιέτης καὶ ὁ εὐρυόπης ἔστιν ἡ εὐθεῖα. Καὶ περὶ μὲν τοῦ εὐρύοπα καὶ ἀκάκητα ἔχομεν εἰπεῖν ἀπολογίαν τοιαύτην. Ἔστιν εὐθεῖα εὐρύοψ, ὥσπερ Αἰθίοψ, καὶ κλίνεται εὐρύοπος εὐρύοπι εὐρύοπα, καὶ εὐλόγως προπαροξύνεται ἡ αἰτιατικὴ ὥσπερ Αἰθίοπος Αἰθίοπι Αἰθίοπα. Καὶ πάλιν ἔστιν ἀκάκης ἀκάκητος ἀκάκητι ἀκάκητα, σημαίνει δὲ τὸν μὴ ἔχοντα κακίαν· καὶ εὐλόγως προπαροξύνεται ἡ αἰτιατικὴ ὥσπερ Λάχης Λάχητος Λάχητι Λάχητα. Εἰσὶ δὲ καὶ ἄλλαι εὐθεῖαι, οἷον ὁ εὐρυόπης καὶ ὁ ἀκακήτης, αἵ τινες γινόμεναι κατὰ μεταπλασμὸν εὐρύοπα καὶ ἀκάκητα ὡμοφώνησαν τῇ αἰτιατικῇ τῇ εὐρύοπα καὶ ἀκάκητα τῇ γενομένῃ ἀπὸ τοῦ εὐρύοψ καὶ ἀκάκης. Καὶ ἐπειδὴ ὡμοφώνησαν αὗται αἱ εὐθεῖαι αἱ κατὰ μεταπλασμὸν ταῖς αἰτιατικαῖς, ἠναγκάσθησαν καὶ ὁμοτονῆσαι αὐταῖς καὶ προπαροξυνθῆναι ὁμοίως αὐταῖς. Κανὼν γὰρ ἔστιν ὁ λέγων, ὅτι πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται

τόνον, οἷον Μοῦσα ὦ Μοῦσα· ἐπ' ἀμφοτέρων μία φωνὴ καὶ εἷς ὁ τόνος· ἡ Μήδεια ὦ Μήδεια, τὸ ξύλον ὦ ξύλον, ἡ τιμὴ ὦ τιμή, τῇ Λητοῖ ὦ Λητοῖ, ἡ Λητὼ τὴν Λητώ· ὁμοίως μία φωνὴ καὶ εἷς ὁ τόνος. Δεῖ προσθεῖναι, χωρὶς τῶν εἰς ΕΥΣ γενικῶν τῶν γινομένων Ἰωνικῶς ἢ Δωρικῶς· οἱ γὰρ Ἴωνες καὶ οἱ Δωριεῖς τὴν Ὀδυσσέος καὶ Ἰδομενέος γενικὴν Ὀδυσσεῦς καὶ Ἰδομενεῦς λέγουσι, κρᾶσιν ποιούμενοι τοῦ Ε καὶ Ο εἰς τὴν ΕΥ δίφθογγον, οἷον

Ὀδυσσεῦς δὲ λαβὼν κῦσε χεῖρ' ἐπὶ καρπῷ

ἀντὶ τοῦ Ὀδυσσέος τὴν χεῖρα ἐφίλησε· καὶ πάλιν

Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα

ἀντὶ τοῦ Ἰδομενέος δ' οὐκ ἔληγεν ἡ δύναμις. Καὶ ἰδοὺ ἐπὶ τούτων ὁμοφωνεῖ ἡ γενικὴ τῇ εὐθείᾳ κατὰ τὸν αὐτὸν ἀριθμὸν (καὶ γὰρ Ὀδυσσεὺς καὶ Ἰδομενεύς ἐστιν ἡ εὐθεῖα), καὶ ὅμως οὐκ ἐπιδέχονται τὸν αὐτὸν τόνον· ἡ μὲν γὰρ εὐθεῖα ὀξύνεται, ἡ δὲ γενικὴ περισπᾶται. Πρόσκειται "κατὰ τὸν αὐτὸν ἀριθμὸν" διὰ τὸ τῆς ἀγορᾶς καὶ τὰς ἀγοράς. Ἰδοὺ γὰρ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν ὁμοφωνεῖ τῇ γενικῇ τῶν ἑνικῶν καὶ οὐχ ὁμοτονεῖ αὐτῇ· ἡ μὲν γὰρ γενικὴ τῶν ἑνικῶν περισπᾶται, ἡ δὲ αἰτιατικὴ τῶν πληθυντικῶν ὀξύνεται· ἀλλ' οὐκ εἰσὶ κατὰ τὸν αὐτὸν ἀριθμόν. Ἐπειδὴ οὖν τὸ εὐρυόπης καὶ ἀκακήτης, αἱ κλητικαὶ αὐτῶν εἰς Α ἐγένοντο, οἷον ὦ εὐρύοπα καὶ ὦ ἀκάκητα, τοῦ μὲν ὡς ἔχοντος τὸ Τ, τοῦ δὲ ὡς ὄντος εἰς ΠΗΣ, καὶ ὁμοφωνήσασαι ταῖς εὐθείαις ταῖς γινομέναις κατὰ μεταπλασμὸν ἀπὸ τοῦ εὐρυόπης καὶ ἀκακήτης, λέγω δὴ τοῦ εὐρύοπα καὶ ἀκάκητα, τούτου οὖν χάριν καὶ ὡμοτόνησαν αὐταῖς καὶ προπαρωξύνθησαν ὁμοίως αὐταῖς κατὰ τὸν προλεχθέντα κανόνα, τὸν λέγοντα ὅτι πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον. Διὰ τοῦτο οὖν προπαροξύνονται αὗται αἱ κλητικαί, λέγω δὴ ἡ εὐρύοπα καὶ ἀκάκητα. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τοῦ μητίετα ἔστιν εἰπεῖν ἀπολογίαν τοιαύτην, ὅτι ἔστι μητιέτης ἡ εὐθεῖα. Τοῦτο ἔχει τὴν αἰτιατικὴν τὸν

μητιέτην, καὶ κατὰ μεταπλασμὸν γίνεται μητίετα. Καὶ ἐπειδὴ αἱ γινόμεναι κατὰ μεταπλασμὸν εἰς Α *αἰτιατικαὶ, μὴ ἀπὸ προηγουμένης γενικῆς ἢ δοτικῆς μεταπλασθείσης εἰς* Α *ὑπὲρ δύο συλλαβὰς οὖσαι, προπαροξύνεσθαι θέλουσιν, οἷον ἁλίτροχον ἁλίτροχα, πυργοκέρατον πυργοκέρατα, διθύραμβον διθύραμβα, εὐλόγως οὖν καὶ ἡ μητίετα αἰτιατικὴ ἀπὸ τοῦ μητιέτην κατὰ μεταπλασμὸν γινομένη προπαροξύνεται. Οὐδὲ γὰρ ἔχει γενικὴν ἢ δοτικὴν προμεταπλασθεῖσαν ἐν πλάτει εἰς* Α, *εἰ καὶ σπανίως τις θέλει εἰπεῖν ἐπὶ τούτων γενικὴν ἢ δοτικὴν μεταπεπλασμένην. Τῆς οὖν αἰτιατικῆς πρῶτον μεταπλασθείσης καὶ ἡ εὐθεῖα ἡ ἀπὸ τοῦ μητιέτης γινομένη κατὰ μεταπλασμὸν εἰς* Α, *οἷον μητίετα Ζεὺς, ὑγιῶς προπαροξύνεται κατὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι πᾶσα πτῶσις ὁμοφωνοῦσα πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον. Ὡσαύτως δὲ καὶ ἡ κλητικὴ τοῦ μητιέτης γενομένη εἰς* Α, *ὡς ἔχουσα τὸ* Τ, *οἷον ὦ μητίετα, καὶ ὁμοφωνήσασα τῇ μητίετα εὐθείᾳ τῇ γενομένῃ ἀπὸ τοῦ μητιέτης κατὰ μεταπλασμὸν, ὑγιῶς προπαροξύνεται τῷ προλεχθέντι κανόνι τῷ λέγοντι, πᾶσα πτῶσις ὁμοφωνοῦσα πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον. Πρόσκειται ἀνωτέρω "μὴ ἀπὸ προηγουμένης γενικῆς ἢ δοτικῆς μεταπλασθείσης εἰς* Α," *ἐπειδὴ ἔστι τὸν ἱππότην, καὶ γίνεται κατὰ μεταπλασμὸν τὸν ἱππόταν, καὶ οὐ προπαροξύνεται, ἐπειδὴ ἔχει προηγουμένην γενικὴν καὶ δοτικὴν μεταπεπλασμένην· ἔστι γὰρ τοῦ ἱππότου, καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ ἱππότα. Πρόσκειται "ὑπὲρ δύο συλλαβὰς οὖσαι" διὰ τὸ λιτὸν τοῦ λιτοῦ τῷ λιτῷ τὸ λιτόν· τοῦτο γὰρ γίνεται κατὰ μεταπλασμὸν λῖτα,* [Il. θ'. 441.] *"κατὰ λῖτα πετάσας," οἱονεὶ καταπετάσας καὶ ἁπλώσας λιτὸν ἱμάτιον, καὶ οὐ προπαροξύνεται, ἐπειδὴ οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς. Ταῦτα μὲν ἐν τούτοις.*

Περὶ δὲ τοῦ δέσποτα ἀξιοῦσί τινες λέγειν, ὅτι ἔστι δεσπότης καὶ ἐν συνθέσει γίνεται ἀδέσποτος· ἔχομεν γὰρ τὸν ἀδέσποτον καὶ οἱ ἀδέσποτοι. Αὕτη οὖν ἡ ἀδέσποτος εὐθεῖα ἔχει κλητικὴν τὴν ἀδέσποτε, ἥτις γίνεται κατὰ μετα-

πλασμὸν εἰς Α, ὦ ἀδέσποτα, καὶ εὐλόγως προπαροξύνεται· ὁμοτονεῖ γὰρ τῇ ἰδίᾳ εὐθείᾳ τῇ ἀδέσποτος. Μετὰ οὖν τὸν μεταπλασμὸν γίνεται ἀπὸ τοῦ συνθέτου ἡ ἁπλῆ λέξις, οἷον δέσποτα, καὶ μένει προπαροξύτονος ἡ λέξις. Τὸ μὲν ἀπὸ συνθέτου γίνεσθαι ἁπλοῦν οὐκ ἔστι ξένον· ἔχομεν γὰρ τοῦτο καὶ ἐπὶ φυσικῶν πραγμάτων, ὥσπερ ἀπὸ δένδρου ἐάν τις ἀποσπάσῃ κλάδον, γίνεται ἁπλοῦν ἀπὸ συνθέτου, καὶ ἐὰν ἀπὸ ζώου ἀποσπάσῃ τις χεῖρα ἢ πόδα, γίνεται ὁμοίως ἀπὸ συνθέτου ἁπλοῦν. Καὶ ἐπὶ λέξεων δὲ τὸ αὐτὸ εὑρίσκομεν σχῆμα· ἀπὸ γὰρ τοῦ εὐστάδα λίμνην ἔχομεν ἁπλοῦν τὸ "στάδα λίμνην," καὶ ἰδοὺ ἀπὸ συνθέτου λέξεως ἐγένετο ἁπλῆ λέξις, (σημαίνει δὲ τὴν καλῶς ἱσταμένην·) καὶ τὸ "εἴρυσαν ἠνορέῃ" ἀπὸ τοῦ εὐηνορέῃ γέγονε, καὶ τὸ "δόμοις ἔνι ποιητοῖσιν" ἀπὸ τοῦ εὐποιήτοισι γέγονε· τὸ γὰρ καλῶς πεποιημένον δηλοῖ. Καὶ ἰδοὺ ἀπὸ συνθέτων λέξεων ἐγένοντο ἁπλαῖ λέξεις. Οὕτως οὖν καὶ ἐπὶ τοῦ δέσποτα ἁπλῆ ἐγένετο ἡ λέξις ἀπὸ συνθέτου. Τοσαῦτα ἔχομεν εἰπεῖν.

Ἰστέον ὅτι προπαροξύνονται κατὰ τὴν κλητικὴν τὰ εἰς ΗΣ κύρια, σύνθετα, ἔχοντα τὴν κλητικὴν εἰς ΕΣ, δηλονότι βαρυτονούμενα κατὰ τὴν εὐθεῖαν, οἷον Ἀριστοφάνης Ἀριστόφανες, Δημοσθένης Δημόσθενες, Διομήδης Διόμηδες, Πολυδεύκης Πολύδευκες, Διοπείθης Διόπειθες, Ἡρακλέης Ἡράκλεες καὶ κατὰ κρᾶσιν τῶν δύο ΕΕ εἰς τὴν ΕΙ δίφθογγον Ἡράκλεις. Περὶ δὲ τοῦ Λειώδης, ὅτι προπερισπᾶται κατὰ τὴν κλητικὴν, διὰ τὸν χαρακτῆρα, ὃν ἐμάθομεν ἀνωτέρω, προπερισπᾶται· ἐμάθομεν γὰρ ὅτι τὰ διὰ τοῦ ΩΔΗΣ προπερισπῶνται κατὰ τὴν κλητικὴν, οἷον δυσώδης δυσῶδες, εὐώδης εὐῶδες· οὕτως οὖν καὶ Λειώδης Λειῶδες προπερισπωμένως κατὰ τὴν κλητικὴν, οἷον

Λειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

Τοῦτο δὲ οὐ σύνθετόν ἐστι· περὶ τῶν εἰς ΗΣ συνθέτων ἐστὶν ὁ λόγος. Ἰστέον δὲ ὅτι τινὲς θέλουσι λέγειν τὸ Λειώδης εἶναι σύνθετον παρὰ τὸ ἅδειν τῷ λαῷ, τουτέστιν ἀρέσκειν

τῷ ὄχλῳ· ἐμίσει γὰρ τὴν μάχην, ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων [Od. φ'. 146.]

ἀτασθαλίαι δέ οἱ οἴῳ
ἦσαν ἐχθραί.

Οὗτοι οὐ καλῶς λέγουσιν, ἀλλ' ἔστιν εἰπεῖν, ὅτι τὸ Λειώδης ἁπλοῦν ἦν· παρὰ γὰρ τὸ λεῖον (τὸ ὁμαλόν) ἐγένετο Λειώδης κατὰ παραγωγήν· λέγει γὰρ ὁ ποιητής [Od. φ'. 150.]

ὁ δ' ἐπεὶ κάμε χεῖρας ἀνέλκων
ἀτρίπτους, ἁπαλάς.

παρὰ τὸ λεῖον οὖν ἐστὶ Λειώδης παράγωγον. Οὐδὲ γὰρ δύναται εἶναι σύνθετον, ἐπειδὴ καθόλου τὰ διὰ τοῦ ΩΔΗΣ ἅπαντα ἢ ἁπλᾶ εἰσὶν ἢ παρασύνθετα, οὐδέποτε δὲ σύνθετα. Ἢ γὰρ ἀπὸ ἁπλῶν παράγονται καὶ εἰσὶν ἁπλᾶ, οἷον πετρῶν πετρώδης, λίθων λιθώδης, γεῶν γεώδης, ἢ ἀπὸ συνθέτων παράγονται καὶ εἰσὶ παρασύνθετα, ὡς ἐπὶ τοῦ δυσώδης καὶ εὐώδης· ἀπὸ γὰρ συνθέτων τῶν δυσάων καὶ εὐάων γεγόνασι δυσαώδης καὶ εὐαώδης, καὶ κατὰ κρᾶσιν τοῦ Α καὶ Ω εἰς Ω δυσώδης καὶ εὐώδης. Εἰ οὖν τὸ Λειώδης οὐκ ἔστι παρασύνθετον, (οὐδὲ γὰρ παρήχθη ἀπὸ συνθέτου, ἀλλ' ἀπὸ ἁπλοῦ τοῦ λείου,) δηλονότι ἁπλοῦν ἐστί. Πάντα δὲ τὰ διὰ τοῦ ΩΔΗΣ, ὡς εἴρηται, προπερισπῶνται κατὰ τὴν κλητικήν, οἷον ὦ λιθῶδες, ὦ πετρῶδες, ὦ Λειῶδες, ὦ δυσῶδες, ὦ εὐῶδες. Καὶ τὰ διὰ τοῦ ΩΛΗΣ δὲ καὶ τὰ διὰ τοῦ ΗΡΗΣ καὶ τὰ διὰ τοῦ ΩΡΗΣ, παροξυνόμενα κατὰ τὴν εὐθεῖαν, ἐν τῇ κλητικῇ προπερισπῶνται, οἷον ἐξώλης ἐξῶλες, πανώλης πανῶλες, ξιφήρης ξιφῆρες, χαλκήρης χαλκῆρες, Διώρης Διῶρες, (ἔστι δὲ ὄνομα κύριον,) ὑλώρης ὑλῶρες. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ΗΣ ἐπίθετα βαρύτονα σύνθετα ἀπὸ οὐδετέρων, ἔχοντα τὴν κλητικὴν εἰς ΕΣ, προπαροξύνονται κατὰ τὴν κλητικήν, οἷον εὐμήκης εὔμηκες, ἐπιμήκης ἐπίμηκες, κακοήθης κακόηθες, συνήθης σύνηθες, παμμεγέθης παμμέγεθες. Τούτοις ἠκολούθησαν καὶ τὸ φιλαλήθης φιλάληθες καὶ μισαλήθης μισάληθες. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι τὰ παρὰ τὸ ἔτος παρ' ἡμῖν μέν, ὀξυνόμενα κατὰ τὴν εὐθεῖαν, καὶ κατὰ

τὴν κλητικὴν ὀξύνονται, οἷον ὁ τριετὴς ὦ τριετὲς, ὁ πενταετὴς ὦ πενταετὲς, ὁ ἑξαετὴς ὦ ἑξαετὲς, παρὰ δὲ τοῖς Ἀθηναίοις παροξυνόμενα κατὰ τὴν εὐθεῖαν ἐν τῇ κλητικῇ προπαροξύνονται, οἷον ὁ πενταέτης ὦ πεντάετες, ὁ ἑξαέτης ὦ ἑξάετες.

Δεῖ δὲ γινώσκειν ὅτι τὰ παρὰ τὸ ἀντῶ καὶ τὰ παρὰ τὸ ἀρκῶ καὶ τὰ παρὰ τὸ ἅδειν (ὃ σημαίνει τὸ ἀρέσκειν) καὶ τὰ παρὰ τὸ ἀκὴ, (ὃ σημαίνει τὴν ὀξύτητα τοῦ σιδήρου,) βαρυτονούμενα κατὰ τὴν εὐθεῖαν, ἔχουσι τὴν κλητικὴν προπαροξύτονον, οἷον κατάντης κάταντες, προσάντης πρόσαντες, αὐτάρκης αὔταρκες, ὀλιγάρκης ὀλίγαρκες, αὐθάδης αὔθαδες, τανυήκης τανύηκες, ἀμφήκης ἄμφηκες. Οὕτω γὰρ κάλλιόν ἐστι λέγειν ὅτι χαρακτῆρι ταῦτα ὑποπίπτουσιν, καὶ μὴ σημειοῦσθαι, ὡς ἐποίησεν ὁ παρὼν τεχνικός.

Καὶ τὰ εἰς ΗΡ δὲ παροξύτονα, ὅταν ἔχωσι τὴν κλητικὴν εἰς ΕΡ, προπαροξύνονται κατὰ τὴν κλητικὴν, δηλονότι ὑπὲρ δύο συλλαβὰς ὄντα, οἷον θυγάτηρ θύγατερ, Δημήτηρ Δήμητερ, εἰνάτηρ εἴνατερ. Πρόσκειται "ὑπὲρ δύο συλλαβὰς ὄντα" διὰ τὸ μήτηρ μῆτερ· τοῦτο γὰρ οὐ προπαροξύνεται κατὰ τὴν κλητικὴν, ἀλλ' οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς.

Ἰστέον δὲ ὅτι πταίουσιν οἱ λέγοντες ὦ παντόκρατορ κατὰ τὴν κλητικὴν προπαροξυτόνως· δέον γὰρ ὁμοτόνως τῇ εὐθείᾳ λέγειν παροξυτόνως, οἷον ὦ παντοκράτορ. Οὐ γάρ ἐστι τοῦτο εἰς ΗΡ, ἵνα ἀναβιβάσῃ τὸν τόνον ἐν τῇ κλητικῇ καὶ προπαροξυνθῇ.

Δεῖ γινώσκειν ὅτι αἱ εἰς ΟΡ περατούμεναι κλητικαὶ ἐν ταύτῃ τῇ συλλαβῇ φυλάττουσι τὸν τόνον ἐν ᾗ συλλαβῇ ἔχει αὐτὸν καὶ ἡ εὐθεῖα. Καὶ εἰ μὲν παραλήγονται φύσει μακρᾷ, προπερισπῶνται, οἷον ὁ Πολυμήστωρ ὦ Πολυμῆστορ, ὁ Ἀδμήτωρ ὦ Ἀδμῆτορ, ὁ οἰκήτωρ ὦ οἰκῆτορ· εἰ δὲ μὴ παραλήγονται φύσει μακρᾷ, παροξύνονται, οἷον ὁ Νέστωρ ὦ Νέστορ, ὁ Ἕκτωρ ὦ Ἕκτορ. Οὕτως οὖν καὶ ὁ παντοκράτωρ ὦ παντοκράτορ ὁμοτόνως τῇ εὐθείᾳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ΩΝ σύνθετα διὰ τοῦ Ω, δηλονότι

ὅταν ἔχωσι τὴν κλητικὴν εἰς ΟΝ διὰ τοῦ ο, προπαροξύνονται κατὰ τὴν κλητικὴν ὑπὲρ δύο συλλαβὰς ὄντα, οἷον Ἀγαμέμνων ὦ Ἀγάμεμνον, ὀλβιοδαίμων ὦ ὀλβιόδαιμον, κυλλοποδίων ὦ κυλλοπόδιον, χαμαιλέων ὦ χαμαίλεον, ἐνοσίχθων ὦ ἐνόσιχθον. Πρόσκειται "ὅταν ἔχωσι τὴν κλητικὴν εἰς ΟΝ διὰ τοῦ ο" διὰ τὸ ὦ χαλκοχίτων, ὦ φιλοπλάτων· ταῦτα γὰρ οὐ προπαροξύνονται ἐν τῇ κλητικῇ, ἀλλ' οὐκ εἰσὶ διὰ τοῦ ο, ἀλλὰ διὰ τοῦ ω. Πρόσκειται "ὑπὲρ δύο συλλαβὰς" διὰ τὸ ἄκμων ἄκμονος ὦ ἄκμον· τοῦτο γὰρ σύνθετόν ἐστι παρὰ τὸ Α ἐπιτατικὸν μόριον καὶ τὸ καμὼν, ἀκάμων καὶ κατὰ συγκοπὴν ἄκμων, οἱονεὶ ὁ πάνυ κάμνων, καὶ διὰ τοῦ ο ἔχει τὴν κλητικὴν, καὶ ὅμως οὐ προπαροξύνεται κατὰ τὴν κλητικὴν, ἐπειδὴ δισύλλαβόν ἐστι. Πρόσκειται "σύνθετα" διὰ τὸ ὦ Ἱκετᾶον καὶ ὦ Ἀρεῖον καὶ ὦ Μαχᾶον· ταῦτα γὰρ οὐ προπαροξύνονται κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπῶνται ὑπὲρ δύο συλλαβὰς ὄντα καὶ εἰς ΟΝ διὰ τοῦ ο, ἀλλ' οὐκ εἰσὶ σύνθετα ἀλλ' ἁπλᾶ.

Σημειοῦται δὲ ὁ τεχνικὸς καὶ λέγει χωρὶς τῶν παρὰ τὸ φρήν· ταῦτα δὲ πρὸ μιᾶς ἔχουσι τὸν τόνον ἐν τῇ κλητικῇ καὶ οὐ προπαροξύνονται, οἷον ὦ δαΐφρον, ὦ περίφρον, ὦ καρτερόφρον, ὦ Λυκόφρον, παροξυτόνως. Καὶ τὸ ὦ Λακεδαῖμον· οὐδὲ γὰρ προπαροξύνεται τοῦτο κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπᾶται. Ἔστι δὲ σύνθετον· οὕτω γάρ φασι λέγεσθαι τὴν πόλιν, ἐπειδὴ ἐν αὐτῇ πρῶτον οἱ θεοὶ ἔλαχον καὶ ἐκληρώσαντο τὰς πόλεις, οἱονεὶ Λαχεδαίμων τις οὖσα. Σημειούμεθα δὲ καὶ τὸ ὦ Παλαῖμον προπερισπώμενον κατὰ τὴν κλητικὴν καὶ οὐ προπαροξυνόμενον· ἔστι δὲ σύνθετον παρὰ τὴν πάλην καὶ τὸ αἴμων, ὃ σημαίνει τὸν ἐπιστήμονα. Θέλουσι δὲ καὶ τὸ ΕΥΔΑΙΜΟΝ τὸ κύριον μὴ προπαροξύνειν κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπᾶν, οἷον ὦ εὐδαῖμον, πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθέτου· ἐκεῖνο γὰρ προπαροξύνεται κατὰ τὴν κλητικὴν, οἷον ὦ εὔδαιμον, ὥσπερ τὸ κακόδαιμον καὶ ὀλβιόδαιμον. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ΩΝ συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ὄντα προπαροξύνονται κατὰ τὴν κλητικὴν, οἷον ὁ βελτίων ὦ

βέλτιον καὶ τὸ βέλτιον, καὶ ὁ ἀμείνων ὦ ἄμεινον καὶ τὸ ἄμεινον, ὁ γλυκίων ὦ γλύκιον καὶ τὸ γλύκιον, [Od. ί. 34.]

ὡς οὐδὲν γλύκιον οὗ πατρίδος ἠδὲ τοκήων,

ὁ διπλασίων ὦ διπλάσιον καὶ τὸ διπλάσιον, ὁ ἀρείων ὦ ἄρειον καὶ τὸ ἄρειον, [Il. δ'. 407.]

παυρότερον λαὸν ἀγαγόντες (ἀγάγονθ') ὑπὸ τεῖχος Ἄρειον.

Πρόσκειται "ὑπὲρ δύο συλλαβὰς" διὰ τὸ κρείττων ὦ κρεῖττον· τοῦτο γὰρ οὐ προπαροξύνεται κατὰ τὴν κλητικὴν, ἀλλ' οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα τὰ εἰς ΩΝ ἁπλᾶ οὐκ ἀναβιβάζουσι τὸν τόνον τῆς εὐθείας κατὰ τὴν κλητικὴν, οἷον ὁ Φιλήμων ὦ Φιλῆμον, ὁ Νοήμων ὦ Νοῆμον, ὁ Μαχάων ὦ Μαχᾶον, ὁ Ἱκετάων ὦ Ἱκετᾶον, ποίῳ λόγῳ τὰ εἰς ΩΝ συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ὄντα προπαροξύνονται κατὰ τὴν κλητικὴν, οἷον ὁ βελτίων ὦ βέλτιον, ὁ γλυκίων ὦ γλύκιον· ὅτι γὰρ ταῦτα προπαροξύνονται κατὰ τὴν κλητικὴν, δηλοῦσι τὰ οὐδέτερα τούτων προπαροξυνόμενα, οἷον τὸ βέλτιον, τὸ γλύκιον. Ἔστιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην, ἥν φησιν ὁ Ἀπολλώνιος ἐν τῷ Περὶ κατηναγκασμένων τόνων, ὅτι τὰ συγκριτικὰ προπαροξύνεσθαι θέλουσιν, οἷον ὀξύτερος, ταχύτερος, σοφώτερος, λογιώτερος· ἐπειδὴ οὖν ταῦτα τὰ εἰς ΩΝ συγκριτικὰ, φημὶ δὲ τὸ βελτίων καὶ ἀμείνων, διὰ τὴν ἐπὶ τέλους μακρὰν οὐκ ἠδύναντο προπαροξυνθῆναι κατὰ τὴν εὐθεῖαν, (ἔχομεν γὰρ ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται ἡ λέξις, οἷον Ὁμήρου, Ἀριστάρχου, Ἡροδότου,) τούτου οὖν χάριν ἐν τῇ κλητικῇ τῆς μακρᾶς συσταλείσης, ἤγουν τοῦ Ω εἰς τὸ Ο, ἡ κεχρεωστημένη τάσις ἐν τῇ εὐθείᾳ προσῆλθεν ἐν τῇ κλητικῇ, φημὶ δὲ ἡ προπαροξύτονος, καὶ λοιπὸν εὐλόγως προπαροξύνεται κατὰ τὴν κλητικὴν ἡ τούτων ἀκολουθία.

Τούτων οὕτως ἐχόντων, δεῖ γινώσκειν ὅτι τὰ εἰς Ω θηλυκὰ, ἐὰν μὲν ἔχωσι τὴν κλητικὴν εἰς Ω, ὀξύνονται κατὰ τὴν κλητικὴν ὁμοίως τῇ εὐθείᾳ, οἷον ἡ Ἐρατὼ ὦ Ἐρατώ,

εἰ δ' ἄγε νῦν Ἐρατώ,

ἐὰν δὲ εἰς τὴν ΟΙ δίφθογγον ἔχωσι τὴν κλητικὴν, περι-

σπῶνται κατὰ τὴν κλητικὴν ὁμοίως τῇ δοτικῇ, οἷον τῇ Λητοῖ ὦ Λητοῖ, [Il. φ΄. 498.]

Λητοῖ, ἐγὼ δέ τ(ο)ι οὔτι μαχέσομαι·

ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τοῦ τόνου τῆς κλητικῆς.

Περὶ τοῦ τόνου τῆς εὐθείας τῶν δυϊκῶν.

Ἰστέον ὅτι αἱ εἰς ε λήγουσαι εὐθεῖαι τῶν δυϊκῶν ὁμοτόνως ἔχουσι τῇ εἰς α ληγούσῃ αἰτιατικῇ τῶν ἑνικῶν, οἷον ἀβλῆτα ἀβλῆτε, λιμένα λιμένε, γυναῖκα γυναῖκε, θυγατέρα θυγατέρε, χῆνα χῆνε, Αἴαντα Αἴαντε, λέβητα λέβητε, Ξενοφῶντα Ξενοφῶντε, Ποσειδῶνα Ποσειδῶνε, Ὀδυσσέα Ὀδυσσέε. Ἰστέον δὲ ὅτι ἡ εἰς ε λήγουσα εὐθεῖα τῶν δυϊκῶν παροξυνομένη μὲν ἐν τῇ ἐντελείᾳ καὶ συναιρουμένη περισπᾶται, οἷον εὐγενέε εὐγενῆ, εὐσεβέε εὐσεβῆ· ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, ποιέω ποιῶ· προπαροξυνομένη δὲ ἐν τῇ ἐντελείᾳ καὶ συναιρουμένη παροξύνεται, οἷον Δημοσθένεε Δημοσθένη, Διομήδεε Διομήδη· ἔχομεν γὰρ ὅτι ἡ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται, ἤγουν συναιροῦνται, οἷον Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους, τείχεα τείχη, (τὸ γὰρ ἔαρος ἦρος καὶ κέαρος κῆρος διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας προπεριεσπάσθησαν.) Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἡ εὐθεῖα τῶν δυϊκῶν τὼ πρέσβη παρὰ τοῖς ῥήτορσι βαρυτόνως ἀναγινώσκεται, ὡς ἀπὸ τοῦ πρέσβυς πρέσβεος πρέσβεε πρέσβη, παρὰ δὲ Ἀριστοφάνει περισπωμένως [Fr. 495. Dind.]

ἥκετον πρεσβῆ δύο,

ὡς ἀπὸ εὐθείας ὀξυτόνου, οἷον ὡς ἀπὸ τοῦ ὁ πρεσβεὺς τοῦ πρεσβέος τὼ πρεσβέε τὼ πρεσβῆ. Ταῦτα μὲν ἐν τούτοις.

Προσέθηκε δὲ ὁ τεχνικὸς, λέγων, ὅτι εἰ δὲ ἄλεκτος εὑρεθῇ (τουτέστιν εἰ μὴ λέγεται) εἰς α ἡ αἰτιατικὴ τῶν ἑνικῶν, ὁμότονος γίνεται ἡ εἰς ε λήγουσα εὐθεῖα τῶν δυϊκῶν τῇ

γενικῇ τῶν ἑνικῶν, οἷον πόλεως πόλεε, μάντεως μάντεε, βέλεος βέλεε, τείχεος τείχεε· οὐδὲ γάρ ἐστιν ἐπὶ τούτων εἰς Α ἡ αἰτιατικὴ τῶν ἑνικῶν. Δεῖ προσθεῖναι "χωρὶς τῶν εἰς ΟΣ ὀξυτόνων γενικῶν·" ἐπὶ τούτων γὰρ οὐχ ὁμοτονεῖ ἡ εἰς Ε λήγουσα εὐθεῖα τῶν δυϊκῶν τῇ γενικῇ τῶν ἑνικῶν, οἷον μυὸς μύε, συὸς σύε, δρυὸς δρύε, κιὸς κῖε, (σημαίνει δὲ τὸν σκώληκα,) λιὸς λῖε, (σημαίνει δὲ τὸν λέοντα·) οὐδέποτε γὰρ ἡ εἰς Ε λήγουσα εὐθεῖα τῶν δυϊκῶν ὀξύνεται, ὡς δηλοῦσι τὰ προλεχθέντα παραδείγματα. Τὸ γὰρ τίνε καὶ τινὲ πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνε, τὸ δὲ ἀνταποδοτικὸν, ἤγουν ἀόριστον, ὀξύνεται, οἷον τινέ.

Ταῦτα μὲν περὶ τῆς εἰς Ε ληγούσης εὐθείας τῶν δυϊκῶν.

Ἡ δὲ εἰς Ω λήγουσα καὶ εἰς Α εὐθεῖα τῶν δυϊκῶν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχει τὸν τόνον ἐν ᾗ καὶ ἡ γενικὴ τῶν ἑνικῶν, οἷον Ὁμήρου Ὁμήρω, ἀνθρώπου ἀνθρώπω, Ἀριστάρχου Ἀριστάρχω, ἀέλλης ἀέλλα, τραπέζης τραπέζα, ἁμάξης ἁμάξα, καλοῦ καλὼ, σοφοῦ σοφώ. Καὶ ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχουσι τὸν τόνον, οὐ τὸν αὐτὸν δὲ τόνον ἐπεδέξαντο· τὸ μὲν γὰρ καλοῦ καὶ σοφοῦ περισπᾶται, τὸ δὲ καλὼ καὶ σοφὼ ὀξύνεται. Τὸ γὰρ Ω ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, οἷον σεμνὼ, ἀγαθὼ, καλὼ, σοφὼ, πτωχὼ, δειλώ. Ὅτι γὰρ τὸ Ω τὸ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, δῆλον, εἴγε τὸ μὲν οἱ καὶ τὸ τοὺς ὀξυνόμενα καὶ προσλαμβάνοντα τὴν τῆς ΔΕ συλλαβῆς ἔκτασιν προπερισπῶνται, οἷον οἷδε, τοῦσδε, τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα φύσει μακρὰ πρὸ μιᾶς συλλαβῆς βραχείας ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται, ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν γενομένη κατ' ἐπέκτασιν, οἷον τώδε οἱ ἄνθρωποι, οὐ προπερισπᾶται ἀλλὰ παροξύνεται διὰ τὸ [τὸ] Ω τὸ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεσθαι τὴν περισπωμένην τάσιν, οἷον καλὼ, σοφώ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἡ εἰς Α λήγουσα εὐθεῖα τῶν δυϊκῶν ἀεὶ μακρὸν ἔχει τὸ Α, καὶ ἢ παροξύνεται ἢ ὀξύνεται ἢ περισπᾶται· οὐδέποτε γὰρ προπαροξύνεται ἢ προπερισπᾶται

διὰ τὴν ἐπὶ τέλους φύσει μακράν. Ὡς γὰρ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, οὔτε πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οὔτε φύσει μακρᾶς τῆς ἐπὶ τέλους οὔσης προπαροξύνεται ἡ λέξις. Καὶ ἰστέον ὅτι εἰ μὲν παροξύνεται ἡ εἰς Α λήγουσα εὐθεῖα τῶν δυϊκῶν, τῇ γενικῇ τῶν ἑνικῶν συντονοῦται, οἷον Ἀτρείδου Ἀτρείδα, Ὀρέστου Ὀρέστα, θυέλλης θυέλλα, ἁμάξης ἁμάξα· εἰ δὲ ἐπὶ τέλους ἔχει τὸν τόνον ἡ εἰς Α λήγουσα εὐθεῖα τῶν δυϊκῶν, οὐκέτι τῇ γενικῇ τῶν ἑνικῶν συντονοῦται, ἀλλὰ τῇ εὐθείᾳ τῶν ἑνικῶν· καὶ εἰ μὲν ἡ εὐθεῖα τῶν ἑνικῶν ὀξύνεται, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν ὀξύνεται, οἷον κριτὴς κριτὰ, ποιητὴς ποιητὰ, αὐλητὴς αὐλητὰ, εὑρετὴς εὑρετὰ, ληστὴς ληστά· εἰ δὲ περισπᾶται ἡ εὐθεῖα τῶν ἑνικῶν, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν περισπᾶται, οἷον Μηνᾶς Μηνᾶ, Ἑρμῆς Ἑρμᾶ, Φιλητᾶς Φιλητᾶ, χρυσῆ χρυσᾶ, χαλκῆ χαλκᾶ. Ταῦτα μὲν ἐν τούτοις.

Φησὶ δὲ ὁ τεχνικὸς, ὅτι τὸ ἄμφω καὶ δύο θεματικά εἰσι, τουτέστιν οὐκ ἐγένοντο ἀπὸ ἑνικῶν· τὸ γὰρ σημαινόμενον κωλύει· πῶς γὰρ ὁ δύο ἀριθμὸς δύναται ἑνικῷ ἀριθμῷ θεωρεῖσθαι; Ἰστέον δὲ ὅτι τὸ μὲν ἄμφω ἀεὶ διὰ τοῦ ω γράφεται καὶ χωρὶς ἄρθρου λέγεται, τὸ δὲ δύο καὶ διὰ τοῦ ο γράφεται καὶ διὰ τοῦ ω, καὶ κοινῶς μὲν διὰ τοῦ ο γράφεται, Ἀττικῶς δὲ διὰ τοῦ ω καὶ ἀναλόγως τῷ δυϊκῷ ἀριθμῷ· τὸ γὰρ ω τελικόν ἐστι τῆς εὐθείας τῶν δυϊκῶν, οἷον Ὁμήρω, ἀνθρώπω. Ἰστέον δὲ ὅτι ἐν μέτρῳ εὕρηται διὰ τοῦ ο καὶ διὰ τοῦ ω, οἷον [Il. κ'. 252.]

> παρῴχηκε δὲ πλεονὺξ
> τῶν δύο μοιράων

διὰ τοῦ ο, καὶ

> δύω δὲ δυσὶν ἀντιφέρεσθαι

διὰ τοῦ ω. Ἔστι δὲ καὶ δοιὼ ἡ εὐθεῖα τῶν δυϊκῶν κατὰ διάλεκτον ὀξυτόνως διὰ τῆς οι διφθόγγου, ὡς παρὰ τῷ ποιητῇ [Il. γ'. 236.]

> δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν

καὶ πάλιν [Il. δ'. 7.]

> δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων

καὶ πάλιν [Il. ω'. 527.]

δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει·

καὶ ἔστιν ἀπὸ τοῦ ὁ δοιὸς τοῦ δοιοῦ, τοῦ σημαίνοντος τὸ ὁ διπλοῦς.

Περὶ τῆς εἰς αιν ληγούσης γενικῆς τῶν δυϊκῶν.

Ἰστέον ὅτι ἡ εἰς αιν λήγουσα γενικὴ τῶν δυϊκῶν ἀκολουθεῖ τῇ ἰδίᾳ εὐθείᾳ, τουτέστιν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχει τὸν τόνον ἐν ᾗ καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν, οἷον Πέρσα Πέρσαιν, Αἰνεία Αἰνείαιν, Παπία Παπίαιν, κοχλία κοχλίαιν, τοξότα τοξόταιν, οὐ πάντως δὲ τὸν αὐτόν. Πρόσκειται "οὐ πάντως δὲ τὸν αὐτὸν" διὰ τὸ ποιητὰ ποιηταῖν, καλὰ καλαῖν· τὸ μὲν γὰρ ποιητὰ καὶ καλὰ ὀξύνονται πρὸς τὴν εὐθεῖαν τῶν ἑνικῶν τὴν ποιητὴς καὶ καλή, τὸ δὲ ποιηταῖν καὶ καλαῖν περισπᾶται τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπ' ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται. Τὸν δὲ κανόνα τοῦτον εἰρήκαμεν ἐν τῇ περὶ τῆς γενικῆς τῶν ἑνικῶν διδασκαλίᾳ, ἡνίκα περὶ τῆς ἰᾶς καὶ μιᾶς διελάβομεν. Ὅμως δὲ ἐν τῇ αὐτῇ συλλαβῇ ἐφυλάχθη ὁ τόνος. Τὸ δὲ Πέρσα Πέρσαιν ἐν τῇ αὐτῇ συλλαβῇ ἐφυλάχθη ὁ τόνος καὶ ὁ αὐτός.

Ἔστι δὲ καὶ οὕτω λέγειν περὶ τῆς εἰς αιν ληγούσης γενικῆς τῶν δυϊκῶν. Αἱ εἰς αιν λήγουσαι γενικαὶ τῶν δυϊκῶν ἀπὸ μὲν βαρυνομένων εὐθειῶν δυϊκῶν οὖσαι συμβαρύνονται αὐταῖς, οἷον Ἀτρείδα Ἀτρείδαιν, Ὀρέστα Ὀρέσταιν, συκοφάντα συκοφάνταιν, τοξότα τοξόταιν, πολίτα πολίταιν, τέχνα τέχναιν, κόρα κόραιν· ἀπὸ δὲ ὀξυνομένων ἢ περισπωμένων εὐθειῶν δυϊκῶν οὖσαι περισπῶνται, ἀπὸ μὲν ὀξυνομένων οἷον κηδεστὰ κηδεσταῖν, ποιητὰ ποιηταῖν, αὐλητὰ αὐληταῖν, εὑρετὰ εὑρεταῖν, λῃστὰ λῃσταῖν, κριτὰ κριταῖν, ὑβριστὰ ὑβρισταῖν, ἀπὸ δὲ περισπωμένων οἷον Ἑρμᾶ Ἑρμαῖν, Ἀπελλᾶ Ἀπελλαῖν, Φιλητᾶ Φιληταῖν, χαλκᾶ χαλκαῖν, χρυσᾶ χρυσαῖν.

Καὶ ἀποροῦσί τινες, λέγοντες, διὰ τί ἡ Ἀτρείδαιν γενικὴ

τῶν δυϊκῶν οὐ περισπᾶται ὁμοίως τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν; Καὶ ἐπιλύεται ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου, λέγων, ὅτι ἡ Ἀτρείδαιν γενικὴ τῶν δυϊκῶν μᾶλλον τῇ Ἀτρείδαις δοτικῇ τῶν πληθυντικῶν ἀκολουθεῖ ἤπερ τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν· κατὰ γὰρ τὴν φωνὴν τῇ δοτικῇ τῶν πληθυντικῶν πλησιάζει· τὴν αὐτὴν γὰρ δίφθογγον ἔχει. Ἄλλως τε δὲ πᾶσαι αἱ πτώσεις βαρύνονται, οἷον Ἀτρείδης Ἀτρείδου Ἀτρείδῃ Ἀτρείδην, δυϊκὰ Ἀτρείδα Ἀτρείδαιν, πληθυντικὰ Ἀτρείδαις Ἀτρείδας· οὕτως οὖν καὶ Ἀτρείδαιν βαρυτόνως. Μόνη δὲ ἡ Ἀτρειδῶν γενικὴ τῶν πληθυντικῶν περιεσπάσθη, ἐπειδὴ καὶ μόνη διῃρέθη, οἷον Ἀτρειδέων. Ἐὰν βούλωνται οὖν περισπᾶν τὴν Ἀτρείδαιν γενικὴν τῶν δυϊκῶν ὁμοίως τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν, καὶ μὴ βαρύνειν ὁμοίως ταῖς ἄλλαις πτώσεσι, δότωσαν ἐπ' αὐτῆς τὸ ἐξαίρετον ὅπερ ἔσχεν ἡ γενικὴ τῶν πληθυντικῶν, τουτέστι τὴν διαίρεσιν· εἰ δὲ οὐ διαιρεῖται, ἄρα οὐδὲ τὸν τόνον ἕξει τῆς γενικῆς τῶν πληθυντικῶν. Ταῦτα μὲν περὶ τῆς εἰς ΑΙΝ ληγούσης γενικῆς τῶν δυϊκῶν.

Περὶ τοῦ τόνου τῆς εἰς ΟΙΝ γενικῆς τῶν δυϊκῶν.

Ἡ δὲ εἰς ΟΙΝ λήγουσα γενικὴ τῶν δυϊκῶν ἀπὸ μὲν εὐθείας τῆς εἰς Ω ληγούσης οὖσα ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττει τὸν τόνον ἐν ᾗ καὶ ἡ εἰς Ω λήγουσα εὐθεῖα τῶν δυϊκῶν, οἷον καλλίστω καλλίστοιν, ἐρήμω ἐρήμοιν, ἀνθρώπω ἀνθρώποιν, ὤμω ὤμοιν, ἡμιόνω ἡμιόνοιν καὶ ποιητικῶς ἡμιόνοιιν ἀπὸ τοῦ ὄνω ὄνοιν, καλὼ καλοῖν, σοφὼ σοφοῖν. Ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ καλὼ καὶ σοφὼ ὀξύνεται πρὸς τὸν χαρακτῆρα τῶν εἰς Ω δυϊκῶν, τὸ δὲ καλοῖν καὶ σοφοῖν περισπῶνται τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπ' ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται. Δεῖ προσθεῖναι τῷ ἀνωτέρω κανόνι "πλὴν τοῦ ἄμφω ἀμφοῖν καὶ δύο δυοῖν·" ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸν τόνον ἐν τῇ αὐτῇ συλλαβῇ· ἡ μὲν γὰρ εὐθεῖα τῶν δυϊκῶν βαρύνεται, ἡ δὲ γενικὴ περισπᾶται. Τὸ δὲ δυοῖν

γίνεται καὶ δυεῖν κατὰ τροπὴν τοῦ ο εἰς τὸ ε. Δυνάμεθα δὲ ταῦτα θεματικὰ λέγειν, φημὶ δὲ τὸ ἀμφοῖν καὶ δυοῖν, ὥσπερ καὶ τὴν εὐθεῖαν τῶν δυϊκῶν θεματικὴν λέγομεν, φημὶ δὲ τὸ ἄμφω καὶ δύο.

Ἔστι δὲ καὶ οὕτως εἰπεῖν περὶ τῆς εἰς ΟΙΝ ληγούσης γενικῆς τῶν δυϊκῶν. Αἱ εἰς ΟΙΝ λήγουσαι γενικαὶ τῶν δυϊκῶν ἀπὸ τῶν εἰς Ω ληγουσῶν δυϊκῶν εὐθειῶν πεπτωκυῖαι ἀπὸ μὲν βαρυτόνων συμβαρύνονται, οἷον φηγίνω φηγίνοιν, δακτύλω δακτύλοιν, ὁμωνύμω ὁμωνύμοιν, ἡμιόνω ἡμιόνοιν, ἀνθρώπω ἀνθρώποιν, Ὁμήρω Ὁμήροιν, Ἀριστάρχω Ἀριστάρχοιν, (περὶ γὰρ τοῦ ἄμφω ἀμφοῖν καὶ δύο δυοῖν εἰρήκαμεν,) ἀπὸ δὲ ὀξυνομένων περισπῶνται, οἷον καλὼ καλοῖν, σοφὼ σοφοῖν, σεμνὼ σεμνοῖν, ἀγαθὼ ἀγαθοῖν, χαλεπὼ χαλεποῖν, γεωργὼ γεωργοῖν. Εἰ δέ ἐστιν εἰς ΟΙΝ λήγουσα ἡ γενικὴ τῶν δυϊκῶν ἀπὸ τῆς εἰς Ε ληγούσης εὐθείας τῶν δυϊκῶν, ὁμοτονεῖ τῇ γενικῇ τῶν πληθυντικῶν, καὶ εἰ μὲν περισπᾶται ἡ γενικὴ τῶν πληθυντικῶν, περισπᾶται καὶ ἡ γενικὴ τῶν δυϊκῶν, οἷον ἀνδρῶν ἀνδροῖν, φωτῶν φωτοῖν, (ἐπὶ τῶν ἀνδρῶν,) βοῶν βοοῖν, χειρῶν χειροῖν, μηνῶν μηνοῖν, χηνῶν χηνοῖν, δρυῶν δρυοῖν, συῶν συοῖν, φρενῶν φρενοῖν, χθονῶν χθονοῖν, γυναικῶν γυναικοῖν, θυγατρῶν θυγατροῖν, τινῶν τινοῖν, Δημοσθενῶν Δημοσθενοῖν, τειχῶν τειχοῖν, βελῶν βελοῖν, Διομηδῶν Διομηδοῖν, Ἀριστοφανῶν Ἀριστοφανοῖν, εἰ δὲ βαρύνεται ἡ γενικὴ τῶν πληθυντικῶν, συμβαρύνεται καὶ ἡ γενικὴ τῶν δυϊκῶν, οἷον παίδων παίδοιν, πάντων πάντοιν, Αἰάντων Αἰάντοιν, Λαχήτων Λαχήτοιν, λεβήτων λεβήτοιν, πενήτων πενήτοιν, Παρίδων Παρίδοιν, Δημοσθενέων Δημοσθενέοιν, βελέων βελέοιν, τειχέων τειχέοιν, καὶ κατὰ κρᾶσιν Δημοσθενῶν Δημοσθενοῖν, βελῶν βελοῖν, τειχῶν τειχοῖν περισπωμένως· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, ἤγουν συναιροῦνται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, πῶς τὴν γενικὴν τῶν δυϊκῶν ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν κανονίζει, μήπω τῆς γενικῆς τῶν πληθυντικῶν κανονισθείσης; Ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ γενικὴ

τῶν πληθυντικῶν σαφεστέρα ἐστὶ τῆς γενικῆς τῶν δυϊκῶν· μᾶλλον γὰρ πᾶσι δῆλόν ἐστι τὸ πάντων καὶ Αἰάντων ἤπερ τὸ πάντοιν καὶ Αἰάντοιν. Εἰκότως οὖν ἐκ τοῦ πᾶσι δήλου καὶ σαφεστέρου τὸ ἀσαφὲς ἐκανόνισεν.

Τούτων οὕτως ἐχόντων, τὰ Ἀττικὰ τὸν τόνον τῆς εὐθείας τῶν δυϊκῶν φυλάττουσι καὶ τὸν αὐτὸν καὶ ἐν τῇ αὐτῇ συλλαβῇ, οἷον τὼ Μενέλεω τοῖν Μενέλεῳν, τὼ εὔγεω τοῖν εὔγεῳν, τὼ νεὼ τοῖν νεῷν, τὼ λεὼ τοῖν λεῷν.

Ταῦτα μὲν λέγομεν περὶ τῆς γενικῆς τῶν δυϊκῶν. Περὶ δὲ τῆς κλητικῆς τῶν δυϊκῶν ἔστιν εἰπεῖν ὅτι ἡ αὐτή ἐστι τῇ εὐθείᾳ τῶν δυϊκῶν, ὥσπερ καὶ ἡ κλητικὴ τῶν πληθυντικῶν ἡ αὐτή ἐστι τῇ ἰδίᾳ εὐθείᾳ· τῶν γὰρ δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθή, οὕτω καὶ ἡ κλητική.

Περὶ τοῦ τόνου τῆς εὐθείας τῶν πληθυντικῶν.

Δεῖ γινώσκειν ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα βαρύνεσθαι θέλει, οἷον μῆνες, χῆνες, πάντες, παῖδες, Τρῶες, χθόνες, Αἴαντες, Λάχητες, Ξενοφῶντες, Ποσειδῶνες. Τὸ γὰρ τίνες καὶ τινὲς πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνες εἰσί; τὸ δὲ ἀνταποδοτικόν, ἤγουν ἀόριστον, ὀξύνεται, οἷον τινές. Ἰστέον δὲ ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα ὁμότονός ἐστι τῇ εὐθείᾳ τῶν δυϊκῶν, οἷον μῆνε μῆνες, χῆνε χῆνες, πάντε πάντες, παῖδε παῖδες, Τρῶε Τρῶες, χεῖρε χεῖρες, χθόνε χθόνες, τίνε τίνες, Ἕκτορε Ἕκτορες, Αἴαντε Αἴαντες, λέβητε λέβητες, Πάριδε Πάριδες, γυναῖκε γυναῖκες, μητέρε μητέρες, θυγατέρε θυγατέρες. Τούτων οὖν οὕτως ἐχόντων, τὰ ἔχοντα σύμφωνον πρὸ τοῦ ε οὐ συναιροῦνται διὰ τὸ κωλύειν αὐτὰ τὸ σύμφωνον συναιρεῖσθαι, οἷον Ἕκτορες, Πάριδες, ὑπεσταλμένων τῶν εἰς ων συγκριτικῶν· ἐπὶ τούτων γὰρ κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ἔνδεια γίνεται τοῦ ν καὶ κρᾶσις τῶν φωνηέντων, οἷον μείζων μείζονος μείζονες μείζοες μείζους, βελτίων βελτίονος βελτίονες βελτίοες βελτίους, κρείσσων κρείσσονος κρείσσονες κρείσσοες κρείσσους, ἀρείων ἀρείονος ἀρείονες ἀρείοες ἀρείους. Τὰ

μέντοι καθαρεύοντα κρᾶσιν ἀναδέχονται, καὶ εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντελείᾳ, ἐν τῇ συναιρέσει παροξύνονται, οἷον Δημοσθένεες Δημοσθένεις, Διομήδεες Διομήδεις, εὐμήκεες εὐμήκεις παροξυτόνως· ἡ γὰρ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται, ὡς εἴρηται, οἷον τείχεος τείχους, βέλεος βέλους, ἤθεα ἤθη. Εἰ δὲ παροξύνονται ἐν τῇ ἐντελείᾳ, ἐν τῇ συναιρέσει περισπῶνται, οἷον εὐγενέες εὐγενεῖς, εὐσεβέες εὐσεβεῖς, εὐτυχέες εὐτυχεῖς περισπωμένως· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα, ὡς εἴρηται, εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, νοέω νοῶ. Καὶ πάλιν ἔστιν ἐπιτηδέες καὶ κατὰ κρᾶσιν ἐπιτηδεῖς, καὶ βιοπλανέες καὶ κατὰ κρᾶσιν βιοπλανεῖς, καὶ λοιπὸν κατὰ ἀποβολὴν τοῦ ι γίνεται ἐπιτηδὲς καὶ βιοπλανὲς, ὡς παρὰ Καλλιμάχῳ,

οἵτε βιοπλανὲς ἀγρὸν ἀπ' ἀγροῦ
φοιτῶσιν,

καὶ παρὰ τῷ ποιητῇ, [Il. α'. 142.]

ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν.

Ἔστι δὲ αὕτη ἡ χρῆσις αἰτιατικὴ, ἀπὸ τοῦ ἐπιτηδεῖς καὶ κατὰ ἀποβολὴν τοῦ ι ἐπιτηδές.

Αἱ μέντοι εἰς τὴν οι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὁμότονοί εἰσι τῇ εὐθείᾳ τῶν ἑνικῶν καὶ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον Ὅμηρος Ὅμηροι, ἄνθρωπος ἄνθρωποι, λίθινος λίθινοι, Ἀρίσταρχος Ἀρίσταρχοι, φιλόσοφος φιλόσοφοι, φήγινος φήγινοι, δρυΐνος δρυΐνοι, πίσυνος πίσυνοι, ἀγκύλος ἀγκύλοι, ποικίλος ποικίλοι, ἐναντίος ἐναντίοι, (ὅθεν καὶ εἰ μεγάλοι, δηλονότι καὶ ἡ σεσιγημένη εὐθεῖα ὁ μεγάλος), φίλος φίλοι, ξένος ξένοι, καλὸς καλοὶ, οἶκος οἶκοι, δῆμος δῆμοι, κῆπος κῆποι, δοῦλος δοῦλοι, σοφὸς σοφοὶ, σεμνὸς σεμνοὶ, ἀγαθὸς ἀγαθοὶ, ἐαρινὸς ἐαρινοὶ, χειμερινὸς χειμερινοὶ, Σαπφὼ Σαπφοὶ, Καλυψὼ Καλυψοὶ, Λητὼ Λητοὶ, ἁγνὸς ἁγνοὶ, σιδηροῦς σιδηροῖ, ἀργυροῦς ἀργυροῖ, πορφυροῦς πορφυροῖ. Ὅθεν τὸ ΧΑΛΚΟΙ καὶ ΧΡΥΣΟΙ διαφόρως τονοῦνται· ἀπὸ μὲν γὰρ τοῦ χαλκὸς καὶ χρυσὸς ὀξύνονται, οἷον χρυσοὶ χαλκοὶ, ἀπὸ δὲ τοῦ χρυσοῦς καὶ

χαλκοῦς περισπῶνται, οἷον χρυσοῖ χαλκοῖ. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, διὰ τί τὸ μὲν οἶκοι καὶ δῆμοι προπερισπῶνται τῷ λόγῳ τῆς κοινῆς, τὸ δὲ χαλκοῖ καὶ χρυσοῖ περισπῶνται τῷ λόγῳ τῆς μακρᾶς; Καὶ ἔστιν εἰπεῖν, ὅτι ἐπὶ βαρυτόνων ἡ οι καὶ ἡ αι δίφθογγος ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἀντὶ κοινῆς παραλαμβάνονται. Καὶ δῆλον, εἴ γε τούτων ἐπὶ τέλους οὐσῶν πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, οἷον Ὅμηροι, ἅμαξαι. Οὕτως οὖν καὶ τὸ δῆμοι καὶ οἶκοι τῷ λόγῳ τῆς κοινῆς προπερισπῶνται. Τὸ χαλκοῖ καὶ χρυσοῖ περισπῶνται ὁμοίως τῇ εὐθείᾳ τῶν ἑνικῶν τῇ χρυσοῦς καὶ χαλκοῦς.

Ταῦτα μὲν περὶ τῆς εἰς οι δίφθογγον ληγούσης εὐθείας τῶν πληθυντικῶν.

Αἱ δὲ εἰς αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν μονογενεῖς μὲν οὖσαι ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν ἑνικῶν, ὁπότε μὴ εἴη πρὸ τέλους φύσει μακρὰ ἐπὶ βαρυτόνων. Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, οἷον κοχλίας κοχλίαι, Βορέας Βορέαι, τοξότης τοξόται, νύσσα νύσσαι, ἄελλα ἄελλαι, δόξα δόξαι, τράπεζα τράπεζαι, ἅμαξα ἅμαξαι, εὐνέτης εὐνέται, φυλέτης φυλέται, δεσπότης δεσπόται, γαμέτης γαμέται, ἡδονὴ ἡδοναὶ, ποιητὴς ποιηταὶ, ἀθλητὴς ἀθληταὶ, ἀγυιὰ ἀγυιαὶ, [Od. β'. 388.]

σκιόωντό τε πᾶσαι ἀγυιαὶ,

ἡμέρα ἡμέραι. Πρόσκειται "ὁπότε μὴ εἴη πρὸ τέλους φύσει μακρὰ ἐπὶ βαρυτόνων," ἐπειδὴ ἐπὶ τούτων ἡ ὀξεῖα εἰς περισπωμένην μεθίσταται κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, οἷον Ἀτρείδης Ἀτρεῖδαι, Αἰνείας Αἰνεῖαι, πλανήτης πλανῆται, Θήβη Θῆβαι. Ἰδοὺ γὰρ ἐπὶ τούτων ἡ μὲν εὐθεῖα τῶν ἑνικῶν παροξύνεται, ἐπειδὴ φύσει μακρά ἐστιν ἡ τελευταία συλλαβὴ, οὐδέποτε δὲ, ὡς εἴρηται, πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον ἀνθρώπου, Ὁμήρου, κήπου, τείχους, ἡ δὲ εὐθεῖα τῶν πληθυντικῶν προπερισπᾶται, ἐπειδὴ φύσει μακρά ἐστι πρὸ μιᾶς βραχείας· ἡ γὰρ αι δίφθογγος ἐνταῦθα ἀντὶ κοινῆς παραλαμβάνεται. Παρεσχηματισμέναι δὲ ἀρσενικοῖς

οὖσαι αἱ εἰς τὴν αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὁμοτονοῦσι τοῖς ἰδίοις ἀρσενικοῖς, τουτέστιν ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττουσι τὸν τόνον ἐν ᾗ καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἀρσενικῶν ἔχει αὐτὸν, οἷον τύπτοντες τύπτουσαι, χαρίεντες χαρίεσσαι, βοῶντες βοῶσαι, ποιοῦντες ποιοῦσαι, ταχέες ταχεῖαι, βραδέες βραδεῖαι. Ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ ταχέες βραδέες παροξύνονται, τὸ δὲ ταχεῖαι καὶ βραδεῖαι προπερισπῶνται διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας. Σοφοὶ σοφαὶ, καλοὶ καλαὶ, σεμνοὶ σεμναὶ, ἐναντίοι ἐναντίαι, λίθινοι λίθιναι, δρύϊνοι δρύϊναι, Βυζάντιοι Βυζάντιαι, Κνίδιοι Κνίδιαι, Ῥόδιοι Ῥόδιαι, τίμιοι τίμιαι, ὅσιοι ὅσιαι, δειλοὶ δειλαὶ, λόγιοι λόγιαι, πεντακόσιοι πεντακόσιαι, διακόσιοι διακόσιαι, ἥμεροι ἥμεραι τὸ τριγενὲς, τουτέστιν οἱ μὴ ὄντες ἄγριοι· ἐπὶ γὰρ τοῦ μονογενοῦς ἡμέρα ἡμέραι παροξυτόνως. Οἱ μέντοι Ἀθηναῖοι ἐπὶ ταύτης τῆς λέξεως, καὶ μάλιστα οἱ νεώτεροι, προπαροξύνουσι· πέντε γὰρ ἥμεραι καὶ δέκα ἥμεραί φασι προπαροξυτόνως, ὡς ἀπαγγέλλουσιν οἱ περὶ Ἀττικῆς συνηθείας γράψαντες. Οὐ μόνον δὲ ἐπὶ ταύτης τῆς λέξεως τοῦτο ποιοῦσιν, λέγω δὲ προπαροξύνουσιν, ἀλλὰ καὶ ἐπὶ τῶν παραληγομένων τῷ ι, οἷον εὐπράξιαι, τιμώριαι, αἴτιαι, τραγῴδιαι, ὁμίλιαι, κωμῴδιαι· οὕτω γὰρ ἐπὶ τῶν μονογενῶν προπαροξυτόνως λέγουσιν οἱ Ἀθηναῖοι. Πάλιν ἔστιν ἡ Ῥοδία ὄνομα κύριον καὶ ἡ Ῥοδία ἐθνικὸν, καὶ ἐπὶ μὲν τοῦ ὀνόματος τοῦ κυρίου τὴν εὐθεῖαν τῶν πληθυντικῶν αἱ Ῥοδίαι φαμὲν παροξυτόνως, ὡς πρὸς τὴν εὐθεῖαν τῶν ἑνικῶν, ἐπειδὴ μονογενές ἐστιν, ἐπὶ δὲ τοῦ ἐθνικοῦ αἱ Ῥόδιαί φαμεν προπαροξυτόνως, ὡς πρὸς τὴν εὐθεῖαν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ τὴν οἱ Ῥόδιοι. Καὶ πάλιν ὑπάτη καὶ ὑπάται παροξυτόνως ἐπὶ τῆς χορδῆς· μονογενὲς γάρ ἐστιν· οἱ ὕπατοι δὲ καὶ αἱ ὕπαται ἐπὶ τοῦ ὑψηλοῦ προπαροξυτόνως· παρεσχημάτισται γὰρ ἀρσενικῷ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου οὕτω κανονίζει τὰς εἰς τὴν αι δίφθογγον ληγούσας εὐθείας τῶν πληθυντικῶν

παρεσχηματισμένας ἀρσενικοῖς. Φησὶ γὰρ ὅτι αἱ εἰς τὴν ΑΙ δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν παρεσχηματισμέναι ἀρσενικοῖς, ἐὰν μὲν ὦσιν ἀπὸ τῶν εἰς ΟΣ, τῷ τόνῳ τοῦ ἀρσενικοῦ ἀκολουθοῦσι, τουτέστι τῆς εὐθείας τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, οἷον ποικίλοι ποικίλαι, ἐναντίοι ἐναντίαι, σοφοὶ σοφαὶ, καλοὶ καλαὶ, λίθινοι λίθιναι, δρυΐνοι δρυΐναι, ἅγιοι ἅγιαι, τίμιοι τίμιαι, ὅσιοι ὅσιαι, Λύκιοι Λύκιαι τὸ τριγενές· Λυκίαι δὲ τὸ μονογενὲς πρὸς τὸ Λυκία. Ἐὰν δὲ μὴ ὦσιν ἀπὸ τῶν εἰς ΟΣ, τοῖς ἑνικοῖς ἑαυτῶν ἀκολουθοῦσι κατὰ τὸν τόνον, οἷον Θρῇσσα Θρῇσσαι, θῆσσα θῆσσαι, (ἡ μισθῷ δουλεύουσα,) τύπτουσα τύπτουσαι, χαρίεσσα χαρίεσσαι, τετυφυῖα τετυφυῖαι, ταχεῖα ταχεῖαι, βραδεῖα βραδεῖαι, μέλαινα μέλαιναι. Τὸ δὲ Τρῳαὶ καὶ δμῳαὶ ὀξυνόμενα ὁμολογοῦσι πεπτωκέναι ἀπὸ ὀξυτόνου ἑνικοῦ Τρωῒ καὶ δμωΐ.

Τούτων οὕτως ἐχόντων, τὰ Ἀττικὰ εἰς Ω καὶ εἰς Ι λήγουσι κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν καὶ ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν ἑνικῶν, οἷον ὁ Εὔνεως οἱ Εὔνεῳ, ὁ Μενέλεως οἱ Μενέλεῳ, ὁ νεὼς οἱ νεῴ, ὁ λεὼς οἱ λεῴ.

Αἱ μέντοι εἰς Α λήγουσαι εὐθεῖαι πληθυντικαὶ τῶν οὐδετέρων τριγενεῖς μὲν οὖσαι (τουτέστι παρεσχηματισμέναι ἀρσενικοῖς) ὁμοτονοῦσι τοῖς ἀρσενικοῖς, ἤγουν τῇ εὐθείᾳ τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ, οἷον σεμνοὶ σεμνὰ, ἐναντίοι ἐναντία, δειλοὶ δειλὰ, λόγιοι λόγια, ἄξιοι ἄξια, τύπτοντες τύπτοντα, βοῶντες βοῶντα, κοῦφοι κοῦφα, σοφοὶ σοφὰ, φοβεροὶ φοβερὰ, χάλκεοι χάλκεα, χρύσεοι χρύσεα, ἀργύρεοι ἀργύρεα, σιδήρεοι σιδήρεα. Μονογενεῖς δὲ οὖσαι, εἰ μὲν ἀπὸ ἰσοσυλλάβου γενικῆς ὦσι, συντονοῦνται τῇ ἰδίᾳ εὐθείᾳ τῶν ἑνικῶν, οἷον ξύλον ξύλα, δένδρον δένδρα, ξηρὸν ξηρὰ, κάνεον κάνεα, κανοῦν κανᾶ, ὀστέον ὀστέα, ὀστοῦν ὀστᾶ, σφυρὸν σφυρὰ, πλευρὸν πλευρὰ, πυρὸν πυρά. Καὶ δῆλον ὅτι παρὰ τὸ πυρόν ἐστι τὰ πυρὰ, οἷον [Il. θ'. 562.]

χίλια ἄρα ἐν πεδίῳ πυρὰ καίετο.

Ἐὰν δὲ ἀπὸ περιττοσυλλάβου γενικῆς ὦσιν αἱ εἰς Α λήγουσαι εὐθεῖαι πληθυντικαὶ τῶν οὐδετέρων, ἀεὶ βαρύνονται, οἷον

φίλημα φιλήματος φιλήματα, βῆμα βήματος βήματα, ὦς ὠτὸς ὦτα. Καὶ παρὰ τὴν πυρὸς οὖν γενικὴν ἐὰν γένηται εὐθεῖα πληθυντικῶν, πύρα γίνεται καὶ βαρυτόνως ἀναγινώσκεται. Κρέας κρέατος κρέατα, τεῖχος τείχεος τείχεα καὶ κατὰ κρᾶσιν τείχη, βέλος βέλεος βέλεα καὶ κατὰ κρᾶσιν βέλη.

Περὶ τοῦ τόνου τῆς γενικῆς τῶν πληθυντικῶν.

Κανονίζει τὴν γενικὴν τῶν πληθυντικῶν τοῦτον τὸν τρόπον. Πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα δισύλλαβος ἐπ' ὀνομάτων περισπᾷ τὴν ἰδίαν γενικήν, οἷον μῆνες μηνῶν, χῆνες χηνῶν, φῶτες φωτῶν, ἄνδρες ἀνδρῶν, χεῖρες χειρῶν, βόες βοῶν, σύες συῶν, μύες μυῶν. Πρόσκειται "δισύλλαβος" διὰ τὸ Αἴαντες Αἰάντων, Θόαντες Θοάντων, Λάχητες Λαχήτων, λέβητες λεβήτων· ταῦτα γὰρ οὐ περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, ἀλλ' οὐκ εἰσὶ δισύλλαβα. Πρόσκειται "ἐπ' ὀνομάτων" διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον δόντες δόντων, θέντες θέντων, φθάντες φθάντων, στάντες στάντων, [Il. γ'. 210.]

στάντων μὲν Μενέλαος ὑπείρεχεν εὐρέας ὤμους.

Σημειούμεθα ἐν τῷ κανόνι ἐννέα τινὰ ὡς μὴ περισπασθέντα κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν· εἰσὶ δὲ ταῦτα, Τρῶες Τρώων, τίνες τίνων, πάντες πάντων, δμῶες δμώων, παῖδες παίδων, θῶες θώων, (ἔστι δὲ θηρίου εἶδος· οἱ γὰρ ταχεῖς θοοὶ λέγονται,) κρᾶτες κράτων (αἱ κεφαλαί,) δᾷδες δᾴδων, λᾶες λάων. Ταῦτα δὲ τὰ σεσημειωμένα δοκοῦσί τινες ὑπὸ ἀναλογίαν ἄγειν· λέγουσι γάρ, ὅτι τὸ Τρῶες Τρώων καὶ δμῶες δμώων καὶ θῶες θώων καὶ παῖδες παίδων ἐβαρύνθησαν πρὸς ἀντιδιαστολὴν τοῦ αἱ Τρῳαὶ (σημαίνει δὲ τὰς Τρωϊκὰς γυναῖκας) καὶ αἱ δμῳαὶ (σημαίνει δὲ τὰς δούλας) καὶ αἱ θῳαὶ ἐπὶ τῆς ζημίας καὶ αἱ πέδαι ἐπὶ τῶν δεσμῶν· ταῦτα γὰρ περισπῶσι τὰς γενικὰς τῶν πληθυντικῶν, οἷον Τρῳῶν, δμῳῶν, πεδῶν, θῳῶν. Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι κακῶς λέγετε· εἰ

γὰρ καὶ τῷ τόνῳ συνέπιπτον, ἀλλ' οὖν τῇ γραφῇ διεστέλλοντο. Ἡ γὰρ γραφὴ οὐκ ἔστιν ἡ αὐτή· τὸ μὲν γὰρ Τρῳαὶ καὶ δμῳαὶ καὶ θῳαὶ ἔχουσι τὸ ι προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, τὸ δὲ Τρῶες δμῶες θῶες οὐκ ἔχουσι τὸ ι προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν· καὶ πάλιν τὸ παῖδες κατὰ τὴν παραλήγουσαν διὰ τῆς αι διφθόγγου γράφεται, τὸ δὲ πέδαι διὰ τοῦ ε ψιλοῦ. Τὸ δὲ τίνες τίνων πρὸς ἀντιδιαστολὴν τοῦ τινῶν λέγουσι βαρύνεσθαι· δεῖ γὰρ γινώσκειν ὅτι τοῦτο πευστικὸν μὲν ὂν βαρύνεται, ἀνταποδοτικὸν δὲ, ἤγουν ἀόριστον, περισπᾶται, οἷον τίνων ἤκουσας; τινῶν. Καὶ τὸ λᾶες δὲ λάων πρὸς ἀντιδιαστολὴν τοῦ οἱ λαοὶ τῶν λαῶν λέγουσι βαρύνεσθαι· τοῦτο δὲ καλῶς ἔχει. Καὶ τὸ κρᾶτες δὲ κράτων πρὸς ἀντιδιαστολὴν τοῦ τὰ κράτη τῶν κρατῶν λέγουσι βαρύνεσθαι. Τὸ δὲ δᾷδες δᾴδων οὐκ ἔστι φύσει δισύλλαβον· ἀπὸ γὰρ τοῦ δαΐδων κατὰ συναίρεσιν ἐγένετο δᾴδων, καὶ ἐφύλαξε τὴν αὐτὴν τάσιν. Μηδεὶς δὲ οἰέσθω τὴν δᾳδὸς γενικὴν τῶν ἑνικῶν ἀπὸ ἐντελοῦς τῆς δαΐδος γενέσθαι κατὰ συναίρεσιν, ἐπεὶ εἶχε καὶ αὐτὴ βαρύνεσθαι· ἀλλ' ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ συναίρεσις, οἷον δαῒς δᾷς, κἀκεῖθεν ἡ κλίσις. Τὸ δὲ πάντων λέγουσιν ὅτι ἀπὸ τοῦ ἅπαντες ἁπάντων ἐγένετο κατ' ἀφαίρεσιν, καὶ ἐφύλαξε τὴν βαρεῖαν τάσιν· τοῦτο δὲ οὐκ ἔστι καταναγκαστικόν· ἰδοὺ γὰρ καὶ ἐπὶ τοῦ ἅπας ἅπαντος ἡ γενικὴ τῶν ἑνικῶν ἡ παντὸς, γινομένη κατὰ ἀφαίρεσιν τοῦ α, οὐκ ἐφύλαξε τὴν βαρεῖαν τάσιν ἀλλ' ἐγένετο ἐν ὀξείᾳ τάσει, παντὸς, πρὸς τὸν χαρακτῆρα τῶν εἰς ος δισυλλάβων γενικῶν ὀνομάτων, οἷον ὥσπερ μηνὸς, χηνὸς, γραὸς, παιδὸς, φωτὸς, βοὸς, φρενὸς, χθονός. Ἕτεροι δὲ λέγουσιν, ὅτι ἐπειδὴ ἡ δοτικὴ τῶν πληθυντικῶν ἡ πᾶσι βαρύνεται, τούτου χάριν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν ἡ πάντων βαρύνεται. Οὐδ' οὗτοι δὲ ἀκριβῶς λέγουσιν· ἰδοὺ γὰρ καὶ ἡ Τρωσὶ καὶ παισὶ δοτικὴ τῶν πληθυντικῶν ὀξύνεται, καὶ ὅμως ἡ Τρώων καὶ παίδων γενικὴ τῶν πληθυντικῶν βαρύνεται. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι μὴ μόνον ταῦτα τὰ ἐννέα σεσημειωμένα,

ἀλλὰ καὶ τὸ σέες σέων ἐπὶ τῶν σκωλήκων, ὡς παρὰ Ἀριστοφάνει [v. Lys. 730.]

ὑπὸ τῶν σέων καταπονούμενον

καὶ τὸ φῷδων, ὡς παρ' Ἀριστοφάνει [Plut. 535.]

πλὴν φῴδων ἐκ βαλανείου,

σημαίνει δὲ τὰ καύματα τῶν χειρῶν. Ἔστι δὲ καὶ τὸ οὐδένες οὐδένων· καὶ τοῦτον γὰρ βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι. Καὶ τοῦ Φθὰς Φθάντος κυρίου ὀνόματος ἐὰν κλίνωμεν τὰ πληθυντικὰ, βαρυτόνως λέγομεν τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Φθάντων, τῷ λόγῳ τῶν μετοχῶν, ὥσπερ στάντες στάντων, βάντες βάντων, δόντες δόντων· μετοχικὸν γάρ ἐστι, καὶ λοιπὸν τὸν τόνον τῆς φθάντος φθάντων μετοχῆς ἀνεδέξατο, φημὶ δὲ τῆς σημαινούσης τὸ προλαβόντων. Ἔστιν οὖν ἀπολογήσασθαι περὶ ὅλων τῶν σεσημειωμένων οὕτως. Τὰ εἰς ς λήγοντα μονοσύλλαβα περιττοσυλλάβως κλινόμενα ταύτην ἔχουσι τὴν διαίρεσιν· τὰ μὲν ὀξύτονα, ἐὰν μὲν διὰ συμφώνου κλίνωνται, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον σὴς σητὸς σῆτες σητῶν, Κρὴς Κρητὸς Κρῆτες Κρητῶν, θὴς θητὸς θῆτες θητῶν, (σημαίνει δὲ τὸν μισθωτὸν,) γνὴς γνητὸς γνῆτες γνητῶν· ἐὰν δὲ διὰ καθαροῦ τοῦ ος κλιθῶσι, βαρύνονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Τρὼς Τρωὸς Τρῶες Τρώων, δμὼς δμωὸς δμῶες δμώων, θὼς θωὸς θῶες θώων, (ἔστι δὲ εἶδος θηρίου,) σεὺς σέος σέες σέων, (σημαίνει δὲ τοὺς σκώληκας·) τούτῳ γὰρ τῷ κανόνι βαρύνονται. Τὸ δὲ τίνων καὶ κράτων πρὸς διάφορον σημασίαν διάφορον ἔχουσι καὶ τὸν τόνον· τὸ γὰρ τίνων πευστικὸν μὲν ὑπάρχον βαρύνεται, ἀνταποδοτικὸν δὲ, ἤγουν ἀόριστον, περισπᾶται, οἷον τίνων ἤκουσας; τινῶν. Καὶ τὸ κράτων δὲ ἀπὸ τοῦ κρᾶτες (ὃ σημαίνει τὴν κεφαλὴν) ὑπάρχον βαρύνεται, ἀπὸ δὲ τοῦ τὰ κράτη ὑπάρχον περισπᾶται, οἷον τὰ κράτη τῶν κρατῶν. Τὸ δὲ φῷδων καὶ δᾷδων ἀπὸ τοῦ φωΐδων καὶ δαΐδων γινόμενα κατὰ συναίρεσιν τὴν βαρεῖαν τάσιν ἐφύλαξαν. Ταῦτα μὲν περὶ τῶν ὀξυνομένων. Τὰ δὲ περισπώμενα ἐκ τοῦ ἐναντίου γίνονται· ἐὰν μὲν γὰρ διὰ καθαροῦ τοῦ ος κλίνωνται, περισπῶσι τὴν

γενικὴν τῶν πληθυντικῶν, οἷον μῦς μυὸς μύες μυῶν, βοῦς βοὸς βόες βοῶν, σῦς συὸς σύες συῶν, δρῦς δρυὸς δρύες δρυῶν, ἐὰν δὲ διὰ συμφώνου κλίνωνται, βαρύνονται ἐν τῇ γενικῇ τῶν πληθυντικῶν, οἷον παῖς παιδὸς παῖδες παίδων, πᾶς παντὸς πάντες πάντων. Τὸ δὲ λάων ἐβαρύνθη πρὸς ἀντιδιαστολὴν τοῦ οἱ λαοὶ τῶν λαῶν· ἄλλως τε δὲ οὔτε ἔστι τοῦτο ἀπὸ μονοσυλλάβου εὐθείας τῆς λᾶς, ἀλλ' ἀπὸ δισυλλάβου τῆς λᾶας· ἀπὸ γὰρ τοῦ λᾶας γέγονεν ἡ γενικὴ λάαος, καὶ κατὰ κρᾶσιν τῶν δύο ΑΑ εἰς ἓν Α, δηλονότι μακρὸν, λᾶος, οἷον,

λᾶος ὑπὸ ῥιπῆς·

καὶ λοιπὸν ἡ εὐθεῖα τῶν πληθυντικῶν λάαες λᾶες καὶ ἡ γενικὴ λαάων λάων. Ταῦτα μὲν ἐν τούτοις.

Δοκεῖ δὲ ὁ Ἡρωδιανὸς λαμβάνεσθαι τούτου τοῦ κανόνος, καὶ λέγει ὅτι κακῶς λαμβάνει τὸν κανόνα. Πρῶτον μὲν γὰρ ὅτι ἀπὸ τῶν σεσημειωμένων πλέκει τὸν κανόνα, δεύτερον δὲ ὅτι ἀντίκειται τούτοις τὸ κὶς κιὸς καὶ λὶς λιός· ταῦτα γὰρ ὀξύνονται κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν καὶ διὰ καθαροῦ τοῦ ΟΣ κλίνονται, καὶ ὅμως οὐ βαρύνονται ἐν τῇ γενικῇ τῶν πληθυντικῶν ἀλλὰ περισπῶνται· κιῶν γὰρ καὶ λιῶν περισπωμένως. Ἔστι δὲ εἰπεῖν πρὸς αὐτὸν ὅτι κακῶς κατατρέχει τοῦ κανόνος. Πρῶτον μὲν γὰρ, ὅτι εἰ καὶ, ὡς λέγεις, ἀπὸ τῶν σεσημειωμένων πέπλεκται ὁ κανὼν, οὐκ ἄτοπον καὶ ἀπὸ τριῶν καὶ ἀπὸ τεσσάρων πλέκειν κανόνα· καὶ σὺ γὰρ κέχρησαι διαφόροις κανόσι τοιούτοις, πλέκεις γὰρ κανόνα καὶ ἀπὸ δύο παραδειγμάτων· πολλῷ οὖν μᾶλλον ἀπὸ πλειόνων πλεκόμενος ὁ κανὼν οὐδεμίαν μέμψιν ἑαυτῷ προσφέρει. Δεύτερον δὲ, οὐχ ὡς λέγεις αὐτὸς, ἀπὸ τῶν σεσημειωμένων πέπλεκται ὁ κανὼν, ἀλλὰ καθόλου πάντα τὰ εἰς Σ λήγοντα μονοσύλλαβα περιττοσυλλάβως κλινόμενα περιλαμβάνει ὁ κανὼν, εἴτε ὀξύτονά εἰσιν εἴτε περισπώμενα, ὡς ἐπὶ τοῦ Κρὴς Κρητὸς, σὴς σητὸς, δρῦς δρυὸς, μῦς μυὸς, βοῦς βοός· ταῦτα δὲ οὐκ εἰσὶν ἐκ τῶν σεσημειωμένων. Περὶ μέντοι τοῦ κὶς κιὸς καὶ λὶς λιὸς, ὅτι λέγει ταῦτα ἀντικεῖσθαι τῷ κανόνι, αὐτὸς ἐν ἑτέροις ἐσημειώσατο, λέγων ἡμαρτημένα εἶναι εἴτε κατὰ τόνον εἴτε κατὰ κλίσιν· ἢ γὰρ, φησὶν, ὀξύτονα ὄντα ὤφειλον διὰ

συμφώνου κλίνεσθαι, εἴτε διὰ καθαροῦ τοῦ ος κλινόμενα οὐκ ὤφειλον ὀξυτονεῖσθαι κατὰ τὴν εὐθεῖαν· τὰ γὰρ εἰς ις ὀξύτονα οὐδέποτε διὰ καθαροῦ τοῦ ος κλίνονται, ἀσπὶς ἀσπίδος, βολὶς βολίδος, κρηπὶς κρηπῖδος, κνημὶς κνημῖδος, βασιλὶς βασιλίδος. Καὶ κέχρηται τοιούτῳ παραδείγματι, ὅτι ὥσπερ Πάρις Πάριδος καὶ Θέτις Θέτιδος καὶ μῆνις μήνιδος, ἐπειδὴ βαρύτονά εἰσι κατὰ τὴν εὐθεῖαν, γίνονται παρὰ τοῖς Ἴωσι διὰ καθαροῦ τοῦ ος κατὰ τὴν γενικὴν, οἷον Πάριος, Θέτιος, μήνιος, (ἴδιον γάρ ἐστι τῶν εἰς ις βαρυτόνων τὸ διὰ καθαροῦ τοῦ ος κλίνεσθαι, οἷον ὄφις ὄφιος, μάντις μάντιος, πόλις πόλιος,) τὰ μέντοι εἰς ις ὀξύτονα, οἷον κρηπὶς κρηπῖδος, ἀσπὶς ἀσπίδος, ῥανὶς ῥανίδος, οὐ γίνονται παρὰ τοῖς Ἴωσι διὰ καθαροῦ τοῦ ος, (τοῦτο γὰρ ἀλλότριόν ἐστι τῶν εἰς ις ὀξυτόνων, λέγω δὲ τὸ ἔχειν γενικὴν διὰ καθαροῦ τοῦ ος ἐκφερομένην,) οὕτω καὶ τὸ κὶς καὶ τὸ λὶς ὀξυνόμενα καὶ εἰς ις λήγοντα οὐκ ὤφειλον ἔχειν τὴν γενικὴν διὰ καθαροῦ τοῦ ος, ἢ ἔχοντα τὴν γενικὴν διὰ καθαροῦ τοῦ ος οὐκ ὤφειλον ὀξύνεσθαι κατὰ τὴν εὐθεῖαν ἀλλὰ δηλονότι περισπᾶσθαι. Εἰ ἄρα οὖν αὐτὸς παρέθετο τὸ κὶς καὶ τὸ λὶς παράλογα ἢ κατὰ τόνον ἢ κατὰ κλίσιν, πῶς λέγει ταῦτα ἐναντιοῦσθαι τῷ κανόνι τούτῳ, φημὶ δὲ τῷ περὶ τῆς γενικῆς τῶν πληθυντικῶν; ὥστε οὖν οὐχ ὑγιῶς τέθεικε ταῦτα τὰ παραδείγματα ἐναντιούμενα τῷ κανόνι τούτῳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι αἱ εἰς τὴν αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, ἀρσενικαὶ μὲν οὖσαι, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Ὀρέσται Ὀρεστῶν, τοξόται τοξοτῶν, Ἀτρεῖδαι Ἀτρειδῶν, Αἰνεῖαι Αἰνειῶν, πολῖται πολιτῶν, χρυσαῖ χρυσῶν, Πέρσαι Περσῶν, Σκύθαι Σκυθῶν, ναῦται ναυτῶν, δημόται δημοτῶν, χωρὶς τοῦ χλοῦναι χλούνων καὶ χρῆσται χρήστων καὶ ἐτησίαι ἐτησίων· ταῦτα γὰρ οὐ περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν ἀλλὰ βαρύνονται. Θέλουσι δέ τινες ἀπολογεῖσθαι περὶ τούτων οὕτως, ὅτι ἀπὸ τοῦ χλοεῦναι χλοεύνων ἐγένετο χλοῦναι χλούνων, καὶ ἐφύλαξε τὴν βαρεῖαν τάσιν· (χλοῦναι δέ εἰσιν οἱ σύαγροι οἱ ἐν ταῖς χλόαις εὐναζόμενοι καὶ διατρίβοντες·) τὸ δὲ χρῆσται

χρήστων λέγουσι πρὸς ἀντιδιαστολὴν τοῦ οἱ χρηστοὶ τῶν χρηστῶν ἐπὶ τῶν καλῶν· (χρῆσται δέ εἰσιν οἱ δανείζοντες καὶ οἱ δανειζόμενοι·) τὸ δὲ ἐτησίαι ἐτησίων λέγουσιν ὅτι συνέδραμε κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν τοῦ ἐτήσιοι ἐτησίων· (ἐτησίαι δέ εἰσιν οἱ ἄνεμοι οἱ κατ' ἔτος πνέοντες.) Θηλυκαὶ δὲ οὖσαι αἱ εἰς τὴν ΑΙ δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, εἰ μέν εἰσι μονογενεῖς, περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Μοῦσαι Μουσῶν, ἄελλαι ἀελλῶν, ἅμαξαι ἁμαξῶν, τράπεζαι τραπεζῶν, ἄκανθαι ἀκανθῶν, εὐθῦναι εὐθυνῶν, ἔερσαι ἐερσῶν, κλῖναι κλινῶν, Ἀφροδῖται Ἀφροδιτῶν, χωρὶς τοῦ ἀφύαι ἀφύων· τοῦτο γὰρ πρὸς ἀντιδιαστολὴν τοῦ οἱ ἀφυεῖς τῶν ἀφυῶν ἐβαρύνθη· ἀφύαι δέ εἰσιν εἶδος ἰχθύος μικροῦ. Εἰ δέ εἰσι παρεσχηματισμέναι ἀρσενικοῖς, ἐὰν μὲν ὁμοφωνῶσι τῇ γενικῇ τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ ὁμοτονοῦσιν αὐτῇ, οἷον οἱ Ῥόδιοι τῶν Ῥοδίων καὶ αἱ Ῥόδιαι τῶν Ῥοδίων· μία φωνὴ καὶ εἷς ὁ τόνος· οἱ Βυζάντιοι τῶν Βυζαντίων καὶ αἱ Βυζάντιαι τῶν Βυζαντίων, οἱ ἅγιοι τῶν ἁγίων καὶ αἱ ἅγιαι τῶν ἁγίων, οἱ δίκαιοι τῶν δικαίων καὶ αἱ δίκαιαι τῶν δικαίων, οἱ φίλοι τῶν φίλων καὶ αἱ φίλαι τῶν φίλων, οἱ δοῦλοι τῶν δούλων καὶ αἱ δοῦλαι τῶν δούλων, οἱ καλοὶ τῶν καλῶν καὶ αἱ καλαὶ τῶν καλῶν, οἱ σοφοὶ τῶν σοφῶν καὶ αἱ σοφαὶ τῶν σοφῶν, οἱ Λύκιοι τῶν Λυκίων καὶ αἱ Λύκιαι τῶν Λυκίων· (περὶ δὲ τῆς χώρας αἱ Λυκίαι τῶν Λυκιῶν περισπωμένως· μονογενὲς γάρ·) οἱ ὕπατοι καὶ αἱ ὕπαται τῶν ὑπάτων,

κοῦραι πετράων ἔρριπον ἐξ ὑπάτων,

ἐπὶ δὲ τῆς χορδῆς ἡ ὑπάτη τῆς ὑπάτης καὶ αἱ ὑπάται τῶν ὑπατῶν περισπωμένως· μονογενὲς γάρ. Ἐὰν δὲ παραλλάξωσι κατὰ τὴν φωνὴν πρὸς τὴν γενικὴν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ τῷ τόνῳ παραλλάσσουσι καὶ περισπῶνται αἱ θηλυκαὶ γενικαὶ τῶν πληθυντικῶν, οἷον οἱ μέλανες τῶν μελάνων καὶ αἱ μέλαιναι τῶν μελαινῶν, οἱ μάκαρες τῶν μακάρων καὶ αἱ μάκαιραι τῶν μακαιρῶν, οἱ πάντες τῶν πάντων καὶ αἱ πᾶσαι τῶν πασῶν, οἱ γράφοντες τῶν γραφόντων καὶ αἱ γράφουσαι τῶν γραφουσῶν, οἱ χαρίεντες τῶν χαριέντων

καὶ αἱ χαρίεσσαι τῶν χαριεσσῶν, οἱ ὀξεῖς τῶν ὀξέων καὶ αἱ ὀξεῖαι τῶν ὀξειῶν, οἱ ποιοῦντες τῶν ποιούντων καὶ αἱ ποιοῦσαι τῶν ποιουσῶν. Ἰδοὺ αὗται αἱ θηλυκαὶ γενικαὶ τῶν πληθυντικῶν, παραλλάξασαι τῇ φωνῇ πρὸς τὴν γενικὴν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ τῷ τόνῳ παρήλλαξαν καὶ περιεσπάσθησαν. Ἀμέλει ἐὰν μὲν, ὡς εἴρηται, ὁμοφωνῶσιν αἱ θηλυκαὶ γενικαὶ τῶν πληθυντικῶν ταῖς πληθυντικαῖς γενικαῖς τῶν ἀρσενικῶν, παρ' ἡμῖν δηλονότι, καὶ ὁμότονοι γίνονται· ἐὰν δὲ παρὰ ταῖς διαλέκτοις τρέψωσι τὸ Ω εἰς τὸ Α αἱ θηλυκαὶ γενικαὶ, οὐκέτι φυλάττουσι τὴν αὐτὴν τάσιν ἀλλὰ περισπῶνται, οἷον κυάνεοι κυανέων καὶ κυάνεαι κυανέων, ἀμφότεροι ἀμφοτέρων καὶ ἀμφότεραι ἀμφοτέρων· ἰδοὺ γὰρ ταῦτα ὁμοτονοῦσιν, ἐπειδὴ καὶ ὁμοφωνοῦσιν· ὅταν δὲ γένωνται κατὰ τροπὴν Δωρικὴν τοῦ Ω εἰς τὸ Α, τότε καὶ περισπῶνται, οἷον κυανεᾶν καὶ ἀμφοτερᾶν ἀντὶ τοῦ κυανεῶν καὶ ἀμφοτερῶν. Καὶ ἐπὶ τῶν ὁμοίων ὁ αὐτὸς λόγος. Λέγει δὲ ὁ τεχνικὸς ὅτι δοκεῖ ἀντικεῖσθαι τὸ πόρνοι πόρνων καὶ πόρναι πορνῶν, καὶ τὸ βάκχοι βάκχων καὶ βάκχαι βακχῶν, καὶ τὸ ὄχθοι ὄχθων καὶ ὄχθαι ὀχθῶν, καὶ τὸ πέτροι πέτρων καὶ πέτραι πετρῶν, καὶ τὸ χῆροι χήρων καὶ χῆραι χηρῶν, καὶ τὸ κοῦροι κούρων καὶ κοῦραι κουρῶν· ἐπὶ τούτων γὰρ μία φωνὴ τῆς γενικῆς τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ καὶ θηλυκοῦ, καὶ οὐκ ἔστιν εἷς ὁ τόνος· τὰ γὰρ θηλυκὰ περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν. Καὶ ἐπιφέρει ἀπολογίαν, λέγων, ὅτι οὐκ ἔστιν ἐπὶ τούτων τὰ θηλυκὰ παρεσχηματισμένα ἀπὸ τῶν ἀρσενικῶν, ἀλλὰ ταῦτα πάντα τὰ θηλυκὰ μονογενῆ εἰσὶ καὶ ὡς μονογενῆ περιεσπάσθησαν, τὰ δὲ ἀρσενικὰ τοὐναντίον παρωνύμως ἐγένοντο ἀπὸ τῶν θηλυκῶν· ἡ γὰρ σημασία τούτων μᾶλλον τοῖς θηλυκοῖς ἁρμόζει. Τοιοῦτον δέ ἐστι καὶ τὸ παιδίσκη· ὥσπερ γὰρ ἀπὸ τοῦ λεκάνη γίνεται λεκανίσκη, οὕτω καὶ ἀπὸ τοῦ παῖς, κοινοῦ ὄντος τῷ γένει, (ὁ παῖς γὰρ καὶ ἡ παῖς) γίνεται ὁ παιδίσκος καὶ οἱ παιδίσκοι τῶν παιδίσκων βαρυτόνως, ἀπὸ δὲ τοῦ θηλυκοῦ τοῦ παῖς γίνεται ἡ παιδίσκη καὶ αἱ παιδίσκαι τῶν παιδισκῶν περισπωμένως ὡς μονογενὲς,

τῶν παιδισκῶν τινὶ δοὺς

παρὰ τῷ Μενάνδρῳ ἐν τῷ Ἥρωϊ. Ταῦτα μὲν ἐν τούτοις.

Λέγουσι δέ τινες ὅτι δεῖ προσθεῖναι "χωρὶς τῶν εἰς ΕΣ θηλυκῶν·" ἔστι γὰρ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν καὶ οἱ Πριαμίδαι τῶν Πριαμιδῶν περισπωμένως, αἱ Δαναΐδες δὲ τῶν Δαναΐδων καὶ αἱ Πριαμίδες τῶν Πριαμίδων βαρυτόνως, καὶ ἰδοὺ ὁμοφωνοῦσι ταῦτα κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν καὶ οὐχ ὁμοτονοῦσιν. Οὗτοι δὲ οὐκ ἐσκέψαντο τὸν κανόνα· ὁ γὰρ κανὼν περὶ τῶν εἰς ΑΙ θηλυκῶν λέγει τῶν παρεσχηματισμένων ἀρσενικοῖς, οὐ μὴν περὶ οἱουδήποτε θηλυκοῦ παρεσχηματισμένου ἀρσενικοῖς. Ταῦτα δὲ οὐκ εἰσὶν εἰς τὴν ΑΙ δίφθογγον λήγοντα ἀλλ' εἰς ΕΣ, καὶ λοιπὸν τῷ λόγῳ τῶν εἰς ΕΣ θηλυκῶν πληθυντικῶν τῶν ὑπὲρ δύο συλλαβὰς ὑπάγεται, περὶ ὧν εὐθέως ἐροῦμεν. Αἱ μέντοι εἰς ΕΣ λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὑπὲρ δύο συλλαβὰς οὖσαι βαρύνουσι τὰς γενικὰς τῶν πληθυντικῶν, οἷον ἀσπίδες ἀσπίδων, βολίδες βολίδων, ῥανίδες ῥανίδων, Ξενοφῶντες Ξενοφώντων, Ποσειδῶνες Ποσειδώνων, Αἴαντες Αἰάντων, Θόαντες Θοάντων, Λάχητες Λαχήτων, πένητες πενήτων, Κίλικες Κιλίκων, Αἰθίοπες Αἰθιόπων, πήχεες πηχέων, πελέκεες πελεκέων, τοῦ τόνου καταβιβασθέντος ἐπὶ τούτων μίαν συλλαβὴν διὰ τὴν ἐπὶ τέλους φύσει μακράν. Δεῖ προσθεῖναι "χωρὶς τοῦ γυναῖκες γυναικῶν καὶ θυγατέρες θυγατρῶν," [Il. ζ'. 252.]

Λαοδίκην ἐπάγουσαν (ἐσάγουσα) θυγατρῶν εἶδος ἀρίστην·

ταῦτα γὰρ οὐ μόνον κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν εἰσὶ παράλογα ὡς περισπασθέντα, ἀλλὰ καὶ κατὰ τὴν γενικὴν τῶν ἑνικῶν ὡς ὀξυνόμενα, φημὶ δὴ τὴν γυναικὸς καὶ θυγατρός, ὡς ἐν τῷ περὶ αὐτῆς λόγῳ μεμαθήκαμεν. Λέγουσι δέ τινες τῶν τεχνικῶν προστιθέναι "χωρὶς τῶν ἀριθμητικῶν παρὰ τοῖς Ἀθηναίοις τοῖς μεταγενεστέροις·" ἔστι γὰρ χιλιάδες καὶ μυριάδες, καὶ παρ' ἡμῖν μὲν χιλιάδων καὶ μυριάδων λέγεται βαρυτόνως ἡ γενικὴ τῶν πληθυντικῶν, παρὰ δὲ τοῖς Ἀθηναίοις χιλιαδῶν καὶ μυριαδῶν περισπωμένως. Ἰστέον δὲ ὅτι κἂν εὑρεθῶσιν ὁμοφωνοῦσαι αἱ ἀπὸ τῶν εἰς ΕΣ πληθυντικῶν εὐθειῶν γενικαὶ θηλυκαὶ ταῖς ἀρσενικαῖς ταῖς ἀπὸ τῶν εἰς ΑΙ εὐθειῶν περισπωμέναις, οὐκ ἀναγκάζονται συντονοῦσθαι αὐταῖς, οἷον οἱ Ἰλιάδαι τῶν Ἰλιαδῶν περισπωμένως καὶ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν καὶ οἱ Πριαμίδαι τῶν Πριαμιδῶν.

Τὰ μέντοι θηλυκὰ βαρυτόνως ἀναγινώσκονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον αἱ Ἰλιάδες τῶν Ἰλιάδων καὶ αἱ Δαναΐδες τῶν Δαναΐδων καὶ αἱ Πριαμίδες τῶν Πριαμίδων, καὶ ὅσα τοιαῦτα τῷ προλεχθέντι κανόνι τῶν εἰς ες *ὑπὲρ δύο συλλαβὰς ἀκολουθοῦσιν.*

Αἱ μέντοι εἰς εις *διὰ τῆς* ει *διφθόγγου εὐθεῖαι πληθυντικαί, δηλονότι ἀπὸ συναιρέσεως γενόμεναι, ἔχουσαι τὴν γενικὴν τῶν πληθυντικῶν συναιρουμένην περισπῶσιν αὐτήν, οἷον Δημοσθένεες Δημοσθένεις Δημοσθενέων Δημοσθενῶν, Διομήδεες Διομήδεις Διομηδέων Διομηδῶν, εὐμήκεες εὐμήκεις εὐμηκέων εὐμηκῶν, εὐσεβέες εὐσεβεῖς εὐσεβέων εὐσεβῶν. Λέγει δὲ ὁ τεχνικὸς ὅτι τὸ δυσώδων Ἀρίσταρχος ἀλόγως ἐβάρυνεν· ἔδει γὰρ δυσωδῶν περισπωμένως, ἐπειδὴ ἐκ τοῦ δυσωδέων γέγονε κατὰ κρᾶσιν, ὥσπερ ἀπὸ τοῦ Δημοσθενέων Δημοσθενῶν. Τὸ τριηρῶν περισπωμένως οἱ Ἀθηναῖοι κατ' ἀκολουθίαν ἀναγινώσκουσι· τινὲς δὲ καὶ τοῦτο παρ' αὐτοῖς βαρυτόνως ἀναγινώσκουσιν, οἷον τῶν τριήρων. Καὶ τὸ αὐταρκῶν δὲ παρὰ τοῖς Ἀθηναίοις βαρύνεται κατὰ τὴν ἀκρίβειαν, οἷον αὐτάρκων· καὶ τὸ ἐπίρρημα δὲ τὸ ἐξ αὐτοῦ γινόμενον αὐτάρκως βαρυτόνως ἀναγινώσκεται· καὶ λέγουσί τινες τῶν τεχνικῶν περισπωμένως αὐτὸ ἀναγινώσκειν, καὶ τὸ συνήθων δὲ καὶ κακοήθων βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι· ὡσαύτως δὲ καὶ τὰ ἐπιρρήματα τὰ ἐξ αὐτῶν γινόμενα βαρυτόνως ἐπεκράτησαν ἀναγινώσκεσθαι, οἷον συνήθως καὶ κακοήθως. Πρόσκειται "ἔχουσαι τὴν γενικὴν τῶν πληθυντικῶν συναιρουμένην" διὰ τὸ οἱ ταχεῖς τῶν ταχέων καὶ οἱ βραδεῖς τῶν βραδέων· ταῦτα γὰρ οὐ περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὔτε συναιροῦνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν. Ταῦτα μὲν ἐν τούτοις.*

Αἱ μέντοι ὑπολειπόμεναι γενικαὶ πληθυντικαί, τουτέστιν αἱ μὴ ὑποπίπτουσαι τοῖς προλεχθεῖσι κανόσιν, ἀκολουθοῦσι τῇ γενικῇ τῶν δυϊκῶν, οἷον φίλω φίλοιν φίλοι φίλων, ἀνθρώπω ἀνθρώποιν ἄνθρωποι ἀνθρώπων. Ἔστι δὲ καὶ οὕτως κανονίσαι τὴν γενικὴν τῶν πληθυντικῶν τὴν οὖσαν ἀπὸ εὐθείας

πληθυντικῆς εἰς τὴν οι δίφθογγον ληγούσης. Αἱ εἰς τὴν οι δίφθογγον λήγουσαι εὐθεῖαι πληθυντικαὶ, εἰ μὲν βαρύνονται, βαρύνουσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον λίθοι λίθων, δοῦλοι δούλων, κοῦφοι κούφων, ἐναντίοι ἐναντίων, νυμφίοι νυμφίων, πλούσιοι πλουσίων, Ὅμηροι Ὁμήρων, ἄνθρωποι ἀνθρώπων, τίμιοι τιμίων, Βυζάντιοι Βυζαντίων, τοῦ τόνου καταβιβασθέντος μίαν συλλαβὴν διὰ τὴν ἐπὶ τέλους φύσει μακράν· ὡς γὰρ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ θέλει προπαροξύνεσθαι ἡ λέξις, οἷον Ὁμήρων, ἀνθρώπων, Ἀριστάρχων, Διομηδέων. Εἰ δὲ ὀξύνονται ἢ περισπῶνται αἱ εἰς τὴν οι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον σοφοὶ σοφῶν, καλοὶ καλῶν, ἐχθροὶ ἐχθρῶν, σεμνοὶ σεμνῶν, χαλκοῖ χαλκῶν, χρυσοῖ χρυσῶν, σιδηροῖ σιδηρῶν, ἀργυροῖ ἀργυρῶν, πορφυροῖ πορφυρῶν.

Τούτων οὕτως ἐχόντων, φησὶν ὁ τεχνικὸς ὅτι τὸ πόλεων καὶ πράξεων καὶ ὄφεων καὶ μάντεων καὶ τὰ τοιαῦτα λέγει ὁ Ἀμμώνιος ἀναγινώσκεσθαι προπαροξυτόνως παρὰ τοῖς Ἀθηναίοις, τοῦ λόγου, ὡς λέγει ὁ τεχνικὸς, ἀπαιτοῦντος πρὸ μιᾶς ἔχειν τὴν τάσιν διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν, ὥσπερ Δημοσθενέων καὶ Διομηδέων. Καὶ θέλουσι λέγειν ὅτι πρὸς τὴν γενικὴν τῶν ἑνικῶν προπαροξύνονται· ἐπειδὴ γὰρ ἡ γενικὴ τῶν ἑνικῶν διὰ τοῦ ε καὶ ω ἐστὶ καὶ προπαροξύνεται, οἷον πόλεως, πράξεως, ὄφεως, μάντεως, τούτου χάριν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν προπαροξύνεται, οἷον πόλεων, πράξεων, ὄφεων, μάντεων. Εἰ δέ τις εἴποι διὰ τί γὰρ ἡ γενικὴ τῶν ἑνικῶν οὖσα διὰ τοῦ ε καὶ ω προπαροξύνεται; λέγομεν, ὅπερ λέγει ὁ τεχνικὸς ἐν τῇ τῆς γενικῆς τῶν ἑνικῶν διδασκαλίᾳ, ὅτι τὸ πόλεως, πράξεως, ὄφεως, μάντεως Ἀττικὰ, ἀπὸ τοῦ πόλιος, πράξιος, ὄφιος, μάντιος γεγονότα, τῶν κοινῶν ἐφύλαξαν τὸν τόνον.

Τὰ μέντοι εἰς α οὐδέτερα, δηλονότι εὐθείας πληθυντικῆς ὄντα, εἰ μέν εἰσι τριγενῆ, ὁμότονον ἔχουσι τὴν ἰδίαν γενικὴν τῶν πληθυντικῶν τῇ γενικῇ τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ,

οἷον οἱ φίλοι τῶν φίλων τὰ φίλα τῶν φίλων, οἱ κοῦφοι τῶν κούφων τὰ κοῦφα τῶν κούφων, οἱ ἐναντίοι τῶν ἐναντίων τὰ ἐναντία τῶν ἐναντίων, οἱ πλούσιοι τῶν πλουσίων τὰ πλούσια τῶν πλουσίων, οἱ σοφοὶ τῶν σοφῶν τὰ σοφὰ τῶν σοφῶν, οἱ σεμνοὶ τῶν σεμνῶν τὰ σεμνὰ τῶν σεμνῶν, οἱ χαλκοῖ τῶν χαλκῶν τὰ χαλκᾶ τῶν χαλκῶν, οἱ ἀργυροῖ τῶν ἀργυρῶν τὰ ἀργυρᾶ τῶν ἀργυρῶν. Εἰ δὲ μονογενῆ εὑρεθῶσιν, εἰ μὲν ἐν τῇ τελευταίᾳ συλλαβῇ τὰ εἰς Α πληθυντικὰ οὐδέτερα ἔχουσι τὸν τόνον, τουτέστιν εἰ ὀξύνονται ἢ περισπῶνται, καὶ ἐν τῇ γενικῇ τῶν πληθυντικῶν ἐν τῇ τελευταίᾳ συλλαβῇ ἐστὶν ὁ τόνος καὶ περισπᾶται ἡ γενικὴ τῶν πληθυντικῶν, οἷον τὰ ξυρὰ τῶν ξυρῶν, τὰ πτερὰ τῶν πτερῶν, τὰ σφυρὰ τῶν σφυρῶν, τὰ πλευρὰ τῶν πλευρῶν, τὰ ὀστᾶ τῶν ὀστῶν, τὰ κανᾶ τῶν κανῶν. Εἰ δὲ βαρύνονται τὰ εἰς Α πληθυντικὰ οὐδέτερα, βαρύνεται καὶ ἡ γενικὴ τῶν πληθυντικῶν, οἷον τὰ ξύλα τῶν ξύλων, τὰ δένδρα τῶν δένδρων, τὰ ὀστέα τῶν ὀστέων, τὰ γοῦνα τῶν γούνων, τὰ δοῦρα τῶν δούρων, τὰ ὦτα τῶν ὤτων, τὰ φῶτα τῶν φώτων βαρυτόνως· ἰδοὺ ταῦτα πάντα, βαρυτονουμένας τὰς εὐθείας τῶν πληθυντικῶν ἔχοντα, καὶ τὴν γενικὴν τῶν πληθυντικῶν βαρυτονουμένην ἔχουσι. Πάλιν τὰ φιλήματα τῶν φιλημάτων, τὰ νοήματα τῶν νοημάτων, δηλονότι διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν καταβιβαζομένης τῆς ὀξείας· τῆς γὰρ εὐθείας προπαροξυνομένης ἡ γενικὴ παροξύνεται, διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν τοῦ τόνου, ὡς εἴρηται, καταβιβασθέντος. Ὡσαύτως δὲ καὶ τὰ τείχεα καὶ βέλεα, προπαροξυτονούμενα κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, ἐν τῇ γενικῇ διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν κατεβίβασε τὸν τόνον καὶ ἐγένετο τειχέων καὶ βελέων παροξυτόνως· ἅτινα συναίρεσιν ἀναδεξάμενα περισπῶνται, οἷον τειχῶν καὶ βελῶν· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον ποιέὼ ποιῶ, Δημοσθενέὼν Δημοσθενῶν, παῒς παῖς, Ἡρακλέὴς Ἡρακλῆς.

Τούτων οὕτως ἐχόντων, ἔστι φρέατα καὶ γίνεται κατὰ κρᾶσιν φρῆτα, τοῦ Ε καὶ Α εἰς Η κραθέντος. Καὶ τούτου βαρυνομένου κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ὤφειλε καὶ

ἡ γενικὴ τῶν πληθυντικῶν βαρύνεσθαι καὶ εἶναι φρήτων βαρυτόνως, ὥσπερ τὰ ὦτα τῶν ὤτων, τὰ φῶτα τῶν φώτων. Ὅμως δὲ, ὥς φησιν ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου, περισπῶσιν αὐτὸ, οἷον φρητῶν, ὁμοτόνως τῇ Κρητῶν καὶ σητῶν καὶ θητῶν γενικῇ.

Περὶ τοῦ τόνου τῆς δοτικῆς τῶν πληθυντικῶν.

Λέγει ὁ τεχνικὸς ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ δοτικὴ τῶν ἑνικῶν, οἷον καλῷ καλοῖς, σοφῷ σοφοῖς, Μενελάῳ Μενελάοις, Ὁμήρῳ Ὁμήροις, ἀνθρώπῳ ἀνθρώποις, Ὀρέστῃ Ὀρέσταις, παιδὶ παισὶ, μηνὶ μησὶ, φρενὶ φρεσὶν, Αἴαντι Αἴασι, Θόαντι Θόασι, Πέλοπι Πέλοψι, Κίλικι Κίλιξι. Λέγει ὁ τεχνικὸς "χωρὶς τοῦ παντὶ πᾶσιν," ἐπειδὴ ἡ δοτικὴ τῶν ἑνικῶν ὀξύνεται, οἷον παντὶ, ἡ δὲ δοτικὴ τῶν πληθυντικῶν βαρύνεται, οἷον πᾶσι προπερισπωμένως, καὶ ταῦτα κανόνος λέγοντος, ὅτι πᾶσα δοτικὴ πληθυντικῶν δισύλλαβος ἀνεπέκτατος, εἰς ι λήγουσα, ἐπὶ μὲν μετοχῶν βαρύνεσθαι θέλει, οἷον βᾶσι, στᾶσι, δοῦσι, θεῖσιν, ἐπὶ δὲ ὀνομάτων ὀξύνεσθαι, οἷον βουσὶ, Τρωσὶ, παισὶ, μησὶ, χησὶ, φρεσὶ, χερσὶ, χωρὶς τοῦ πᾶσι δηλονότι καὶ σπέσσι, "ἐν σπέσσι γλαφυροῖσιν," ὅπερ ἀπὸ τρισυλλάβου τοῦ σπέεσσι γέγονε κατὰ συγκοπήν. Τὸ γὰρ τίσι καὶ τισὶ πρὸς διάφορον σημαινόμενον διάφορον καὶ τὸν τόνον ἔσχον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίσι δέδωκας; τὸ δὲ ἀνταποδοτικὸν, ἤγουν ἀόριστον, ὀξύνεται, οἷον τισί. Καὶ τοῦ Φθὰς δὲ Φθάντος κυρίου ὀνόματος ἐὰν θέλωμεν τὴν δοτικὴν τῶν πληθυντικῶν σχηματίσαι, δηλονότι βαρύνεται τῷ λόγῳ τῶν μετοχῶν, οἷον Φθᾶσιν, ὥσπερ στᾶσι, βᾶσι· μετοχικὸν γάρ ἐστι. Ταῦτα μὲν ἐν τούτοις.

Ἀπορεῖ δὲ ὁ Ἡρωδιανὸς ἐν τῇ α τῆς Ὀδυσσειακῆς ῥαψῳδίας, λέγων οὕτως, ὅτι ὥσπερ τὸ ἀνδρὸς καὶ πατρὸς καὶ μητρὸς ὠξύνθησαν πρὸς τὸν χαρακτῆρα, φημὶ δὲ ὁμοίως τοῦ μηνὸς, χηνὸς, γραὸς, διὰ τί μὴ τὸν αὐτὸν τρόπον ὠξύνθη τὸ σπέσσιν, ἀπὸ τοῦ σπέεσσι γενόμενον κατὰ συγκοπὴν, πρὸς

τὸν χαρακτῆρα τοῦ μησὶ, Τρωσὶ, βουσί; Καὶ ἐπιλύεται, λέγων, ὅτι ὁ διπλασιασμὸς τοῦ Σ ἴδιός ἐστι τῶν ὑπὲρ δύο συλλαβὰς δοτικῶν πληθυντικῶν, αἵ τινες καὶ μόνως βαρύνονται, οἷον κύνεσσι, θήρεσσιν. Οὕτως οὖν καὶ σπέεσσι. Τοῦτο τοίνυν συγκοπὲν καὶ γενόμενον σπέσσι διὰ μὲν τὴν δισυλλαβίαν ὤφειλεν ὀξύνεσθαι, διὰ δὲ τὸν διπλασιασμὸν τοῦ Σ, ὅς τις ἀεὶ ἐν βαρυνομέναις δοτικαῖς θεωρεῖται, κατὰ τοῦτο ἐβαρύνθη. Τὸ "ποσσὶ δὲ ὑπὸ λιπαροῖσιν ἐδήσατο" ἔχει διπλασιασμὸν τοῦ Σ καὶ οὐ βαρύνεται, ἀλλ' οὐ παραλήγοντος τοῦ Ε, ὥσπερ ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων, οἷον τοῦ κύνεσσι, θήρεσσι, καὶ τῶν τοιούτων.

Τούτων οὕτως ἐχόντων, δεῖ προσθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ "καὶ χωρὶς τοῦ οὐδενὶ οὐδέσι καὶ μηδενὶ μηδέσιν·" ἐπὶ τούτων γὰρ τῆς δοτικῆς τῶν ἑνικῶν ὀξυτονουμένης ἡ δοτικὴ τῶν πληθυντικῶν βαρύνεται· οὐδέσι γὰρ καὶ μηδέσι βαρυτόνως ἐπεκράτησαν ἀναγινώσκεσθαι.

Αἱ μέντοι, φησὶ, πλεονάσασαι δοτικαὶ πληθυντικαὶ τῷ Α παροξύνονται, οἷον πατρὶ πατράσι, θυγατρὶ θυγατράσιν, ἀνδρὶ ἀνδράσιν, υἷι υἱάσιν. Ἔστι γὰρ υἷς υἷος υἷι, καὶ κατὰ συναίρεσιν τοῦ Υ καὶ Ι εἰς τὴν ΥΙ δίφθογγον υἷι· καὶ ἐπειδὴ τοῦ Σ προσερχομένου ἀσυνταξία ἤμελλε γίνεσθαι, (οὐδέποτε γὰρ μετὰ τὴν ΥΙ δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον μυῖα, ἅρπυια, υἱὸς,) τούτου χάριν ἐπλεόνασε τὸ Α καὶ γέγονεν υἱάσιν. Αἱ μέντοι μεταπεπλασμέναι δοτικαὶ πληθυντικαὶ προπαροξύνεσθαι θέλουσιν, οἷον προβάτοις πρόβασιν, ἐγκάτοις ἔγκασιν, ἄστροις ἄστρασιν, ὑπεσταλμένου τοῦ ἀρῷξιν, ὥσπερ παρὰ Σοφοκλεῖ ἐν Ἀχιλλέως Ἐρασταῖς,

ὁ δὲ ἔνθ' ὅπλοις ἀρῷξιν Ἡφαίστου τεχνίτου·

τοῦτο γὰρ κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ἀρρήκτοις γενόμενον, τοῦ Η τραπέντος εἰς τὸ Ω, προπερισπᾶται καὶ οὐ προπαροξύνεται.

Αἱ εἰς ΑΙΣ λήγουσαι δοτικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν οὖσαι βαρύνονται, ἤγουν παροξύνονται, οἷον Ἀτρεῖδαι Ἀτρείδαις, ναῦται ναύταις, τράπεζαι τραπέζαις,

ἅμαξαι ἁμάξαις, ἄκανθαι ἀκάνθαις, ἄελλαι ἀέλλαις, Μοῦσαι Μούσαις, ἀπὸ δὲ ὀξυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι ἢ ἀπὸ περισπωμένων περισπῶνται, οἷον ἀθληταὶ ἀθληταῖς, κηδεσταὶ κηδεσταῖς, καλαὶ καλαῖς, σεμναὶ σεμναῖς, ἡδοναὶ ἡδοναῖς· ἰδοὺ ταῦτα ἀπὸ ὀξυτόνων εὐθειῶν περιεσπάσθησαν. Ἀπὸ δὲ περισπωμένων, οἷον χαλκαῖ χαλκαῖς, χρυσαῖ χρυσαῖς, σιδηραῖ σιδηραῖς, ἀργυραῖ ἀργυραῖς, λεονταῖ λεονταῖς, Ἑρμαῖ Ἑρμαῖς.

Αἱ εἰς ΟΙΣ λήγουσαι δοτικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον δῆμοι δήμοις, ὄχλοι ὄχλοις, ἐναντίοι ἐναντίοις, πλησίοι πλησίοις, Ὅμηροι Ὁμήροις, Ἀρίσταρχοι Ἀριστάρχοις, ἄνθρωποι ἀνθρώποις, λίθινοι λιθίνοις, δρύϊνοι δρυΐνοις, ἀπὸ δὲ ὀξυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι ἢ ἀπὸ περισπωμένων περισπῶνται, ἀπὸ ὀξυτόνων μὲν, οἷον σοφοὶ σοφοῖς, ἀγαθοὶ ἀγαθοῖς, ἐαρινοὶ ἐαρινοῖς, σεμνοὶ σεμνοῖς, ἀπὸ δὲ περισπωμένων, οἷον χαλκοῖ χαλκοῖς, ἀργυροῖ ἀργυροῖς, σιδηροῖ σιδηροῖς, πορφυροῖ πορφυροῖς.

Τὰ εἰς ΟΙΣ οὐδέτερα μονογενῆ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν ὄντα παροξύνονται, οἷον τέκνα τέκνοις, δένδρα δένδροις, ξύλα ξύλοις, μέτρα μέτροις, ἀπὸ δὲ ὀξυτόνων ἢ περισπωμένων περισπῶνται, ἀπὸ μὲν ὀξυτόνων οἷον σφυρὰ σφυροῖς, πλευρὰ πλευροῖς, πτερὰ πτεροῖς, ἀπὸ δὲ περισπωμένων οἷον κανᾶ κανοῖς, ὀστᾶ ὀστοῖς, χαλκᾶ χαλκοῖς.

Τὰ Ἀττικὰ ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν πληθυντικῶν, οἷον οἱ Μενέλεῳ τοῖς Μενέλεῳς, οἱ Νικόλεῳ τοῖς Νικόλεῳς, οἱ νεῴ τοῖς νεῴς.

Περὶ τοῦ τόνου τῆς αἰτιατικῆς τῶν πληθυντικῶν.

Πᾶσα αἰτιατικὴ πληθυντικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ γενικὴ τῶν ἑνικῶν, οἷον Αἴαντος Αἴαντας, λέβητος λέβητας, κοχλίου κοχλίας, Ὁμήρου Ὁμήρους, Ἀριστάρχου Ἀριστάρχους, ἀνθρώπου ἀνθρώπους, καλοῦ καλούς, σοφοῦ σοφούς. Ἐν μὲν τῇ αὐτῇ συλλαβῇ καὶ ταῦτα ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· ἡ μὲν γὰρ γενικὴ περισπᾶται, ἡ δὲ αἰτιατικὴ ὀξύνεται πρὸς τὴν καλοὶ

καὶ σοφοὶ εὐθεῖαν τῶν πληθυντικῶν. Πάλιν χαλκοῦ χαλκοῦς, χρυσοῦ χρυσοῦς· ταῦτα καὶ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν καὶ τὸν αὐτόν. Πάλιν ἀθλητοῦ ἀθλητάς· τοῦτο δὲ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξεν, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ ἀθλητοῦ περισπᾶται, τὸ δὲ ἀθλητὰς ὀξύνεται πρὸς τὴν εὐθεῖαν ἀθληταὶ τῶν πληθυντικῶν. Δεῖ προσθεῖναι ἐν τῷ κανόνι "χωρὶς εἰ μὴ ὁμοφωνήσωσιν αἱ αἰτιατικαὶ συνῃρημέναις εὐθείαις," οἷον τοῦ ταχέος τοὺς ταχεῖς καὶ τοῦ βραδέος τοὺς βραδεῖς. Ἰδοὺ γὰρ ἐνταῦθα οὐκ ἔχουσιν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον αἱ αἰτιατικαὶ πληθυντικαὶ ἐφ᾽ ἧς καὶ αἱ γενικαὶ τῶν ἑνικῶν· αἱ μὲν γὰρ γενικαὶ βαρύνονται τῶν ἑνικῶν, αἱ δὲ αἰτιατικαὶ τῶν πληθυντικῶν περισπῶνται. Ἀλλ᾽ οὐκ ἀντίκεινται ἡμῖν ταῦτα, ἐπειδὴ ὡμοφώνησαν αἱ αἰτιατικαὶ συνῃρημέναις εὐθείαις πληθυντικαῖς, καὶ λοιπὸν ἠναγκάσθησαν καὶ ὁμοτονῆσαι αὐταῖς, οἷον οἱ ταχέες οἱ ταχεῖς καὶ τοὺς ταχεῖς, οἱ βραδέες οἱ βραδεῖς καὶ τοὺς βραδεῖς. Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι "καὶ χωρὶς τῶν εἰς ΟΣ *ὀξυτονουμένων γενικῶν," ὅτι οὐχ ὁμοτονοῦσιν αἱ αἰτιατικαὶ ταῖς γενικαῖς καὶ ὀξύνονται ἀλλὰ βαρύνονται, οἷον γυναικὸς γυναῖκας, φωτὸς φῶτας, ἀνδρὸς ἄνδρας, παιδὸς παῖδας, μυὸς μύας, ῥοὸς ῥόας, δμωὸς δμῶας, μηνὸς μῆνας, χηνὸς χῆνας. Οὐδὲ γὰρ δύνανται αἱ αἰτιατικαὶ πληθυντικαὶ αὗται ὀξυτονεῖσθαι, ἐπειδὴ αἱ εἰς* ΑΣ *λήγουσαι αἰτιατικαὶ πληθυντικαὶ συνεσταλμένον ἔχουσαι τὸ* Α *βαρύνονται, οἷον Αἴαντας, Θόαντας, Πάριδας, Λάχητας, Ξενοφῶντας, Ποσειδῶνας, ἀσπίδας, λαμπάδας. Πρόσκειται "συνεσταλμένον ἔχουσαι τὸ* Α*" διὰ τὸ καλὰς καὶ σοφάς· ἰδοὺ γὰρ ἐπὶ τούτων αἱ αἰτιατικαὶ πληθυντικαὶ εἰς* ΑΣ *λήγουσαι ὀξύνονται· ἀλλ᾽ οὐκ ἔχουσι συνεσταλμένον τὸ* Α *ἀλλ᾽ ἐκτεταμένον· ταῦτα γὰρ τὸ* Α *ἐκτεταμένον ἔχουσι. Ταῦτα μὲν ἐν τούτοις.*

Ἰστέον δὲ ὅτι αἱ εἰς Σ *λήγουσαι μακροκατάληκτοι εὐθεῖαι, ἔχουσαι ὁμόφωνον τὴν αἰτιατικήν, καὶ ὁμότονον αὐτὴν ἔχουσιν, οἷον οἱ ταχεῖς τοὺς ταχεῖς, οἱ βραδεῖς τοὺς βραδεῖς, οἱ ἱππεῖς τοὺς ἱππεῖς, οἱ εὐσεβεῖς τοὺς εὐσεβεῖς, οἱ εὐγενεῖς τοὺς*

εὐγενεῖς, οἱ ἰχθῦς τοὺς ἰχθῦς, οἱ βότρυς τοὺς βότρυς, οἱ στάχυς τοὺς στάχυς, οἱ Δημοσθένεις τοὺς Δημοσθένεις, οἱ κακοήθεις τοὺς κακοήθεις.

Αἱ εἰς ΑΣ λήγουσαι αἰτιατικαὶ, συνεσταλμένον ἔχουσαι τὸ Α, πᾶσαι βαρύνονται, καὶ ἔχουσι τὸν τόνον τῶν εὐθειῶν τῶν πληθυντικῶν, οἷον Αἴαντες Αἴαντας, λέβητες λέβητας, Ξενοφῶντες Ξενοφῶντας, σωλῆνες σωλῆνας, γυναῖκες γυναῖκας, Ἀρκάδες Ἀρκάδας, ἀσπίδες ἀσπίδας, λαμπάδες λαμπάδας.

Αἱ εἰς ΑΣ λήγουσαι αἰτιατικαὶ, ἐκτεταμένον ἔχουσαι τὸ Α, ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον ναῦται ναύτας, τοξόται τοξότας, Ἑλέναι Ἑλένας, περόναι περόνας, ἡμέραι ἡμέρας, ἄελλαι ἀέλλας, τράπεζαι τραπέζας, ἅμαξαι ἁμάξας, ἄκανθαι ἀκάνθας, ἀπὸ δὲ ὀξυνομένων ὀξύνονται, οἷον αὐληταὶ αὐλητὰς, ἀθληταὶ ἀθλητὰς, ποιηταὶ ποιητὰς, ἡδοναὶ ἡδονὰς, πλησμοναὶ πλησμονὰς, καλαὶ καλὰς, σοφαὶ σοφὰς, ἀπὸ δὲ περισπωμένων περισπῶνται, οἷον Ἑρμαῖ Ἑρμᾶς, ἁπλαῖ ἁπλᾶς, λεονταῖ λεοντᾶς, χαλκαῖ χαλκᾶς, χρυσαῖ χρυσᾶς, ἀργυραῖ ἀργυρᾶς, σιδηραῖ σιδηρᾶς, συκαῖ συκᾶς.

Αἱ εἰς ΟΥΣ λήγουσαι αἰτιατικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον δῆμοι δήμους, πλησίοι πλησίους, ἐναντίοι ἐναντίους, Ὅμηροι Ὁμήρους, Ἀρίσταρχοι Ἀριστάρχους, ἄνθρωποι ἀνθρώπους, φήγινοι φηγίνους, δρύϊνοι δρυΐνους, ξύλινοι ξυλίνους, λίθινοι λιθίνους, ἀπὸ δὲ ὀξυνομένων ὀξύνονται, οἷον καλοὶ καλοὺς, σοφοὶ σοφοὺς, ἐαρινοὶ ἐαρινοὺς, ἀγαθοὶ ἀγαθοὺς, ἀπὸ δὲ περισπωμένων περισπῶνται, οἷον χαλκοῖ χαλκοῦς, χρυσοῖ χρυσοῦς, ἀργυροῖ ἀργυροῦς, σιδηροῖ σιδηροῦς, πορφυροῖ πορφυροῦς.

Τὰ Ἀττικὰ ὁμοτονοῦσι ταῖς εὐθείαις τῶν πληθυντικῶν, οἷον οἱ εὔγεῳ τοὺς εὔγεως, οἱ Μενέλεῳ τοὺς Μενέλεως, οἱ νεῴ τοὺς νεὼς, οἱ λεῴ τοὺς λεώς. Ταῦτα μὲν ἐν τούτοις.

Ἡ δὲ κλητικὴ τῶν πληθυντικῶν ὁμοτονεῖν θέλει τῇ ἰδίᾳ εὐθείᾳ· ἔχομεν γὰρ ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν, ὡς ἡ ὀρθὴ, οὕτω καὶ ἡ κλητική.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων.

Σχολία σὺν Θεῷ
εἰς τοὺς ῥηματικοὺς κανόνας
ἀπὸ φωνῆς Γεωργίου τοῦ Χοιροβοσκοῦ.

Ἐπειδὴ ἐν συντόμῳ παραδίδωσιν ἡμῖν ὁ Θεοδόσιος τοὺς προκειμένους κανόνας, φημὶ δὲ τὴν τῶν ῥημάτων διδασκαλίαν, μάθωμεν καὶ ἡμεῖς ἐν συντόμῳ τὰ προλεγόμενα τοῦ παρόντος συγγράμματος. Σκοπὸν ἔχει ὁ τεχνικὸς περὶ κλίσεως ῥημάτων διαλαβεῖν. Τὸ δὲ εἰδέναι τὴν κλίσιν τῶν ῥημάτων χρήσιμον εἰς τὸ μήτε βαρβαρίζειν μήτε σολοικίζειν, οἷον ἵνα μὴ ἀντὶ τοῦ εἰπεῖν τέτυφας εἴπωμεν τέτυφες, καὶ ἀντὶ τοῦ εἰπεῖν ἐτύψαμεν ἐτύψατε εἴπωμεν ἐτύψομεν ἐτύψετε, καὶ ἵνα μὴ ἀντὶ τοῦ εἰπεῖν ἤλθομεν ἤλθετε καὶ ἐλάβομεν ἐλάβετε καὶ ἐφάγομεν ἐφάγετε καὶ ἐδράμομεν ἐδράμετε εἴπωμεν διὰ τοῦ α, ὥς τινες λέγουσιν ἐν τῇ συνηθείᾳ, οἷον ἐφάγαμεν ἐφάγατε καὶ ἤλθαμεν ἤλθατε καὶ ἐδράμαμεν ἐδράματε καὶ ἐλάβαμεν ἐλάβατε. Ἰστέον δὲ ὅτι ἄλλο βαρβαρισμὸς καὶ ἄλλο σολοικισμός. Βαρβαρισμὸς μέν ἐστι τὸ ἁμαρτάνειν περὶ μίαν λέξιν εἴτε περὶ τόνον, ὡς ἐάν τις ἀντὶ τοῦ εἰπεῖν ἄνθρωπος προπαροξυτόνως εἴπῃ ἀνθρωπὸς ὀξυτόνως, εἴτε περὶ κλίσιν, ὡς ἐάν τις ἀντὶ τοῦ εἰπεῖν Δημοσθένης Δημοσθένεος Δημοσθένους εἴπῃ Δημοσθένης Δημοσθένου, εἴτε περὶ γραφήν, ὡς ἐάν τις τὸ γράφω ἢ λέγω καὶ τὰ ὅμοια γράψῃ διὰ τοῦ ο, εἴτε περὶ πνεῦμα, ὡς ἐάν τις τὴν ὑπὸ πρόθεσιν ψιλώσῃ ὀφείλουσαν δασυνθῆναι, εἴτε περὶ χρόνον, ὡς ἐάν τις τοῦ Θόας τὸ ας συστείλῃ. Σολοικισμὸς δέ ἐστι τὸ ἁμαρτάνειν περὶ τὴν σύνταξιν καὶ τὴν φράσιν, τοῦτ᾽ ἔστιν ὡς ὅταν ἑκάστη λέξις καθ᾽ ἑαυτὴν κειμένη καλῶς ἔχῃ, ἐν δὲ τῇ συντάξει καὶ τῇ φράσει ἀτάκτως καὶ ἀνακολούθως παραλαμβάνηται, οἷον ἐγὼ περιπατῶν ὁ τοιχὸς ἔπεσεν, ἀντὶ τοῦ εἰπεῖν ἐμοῦ περιπατοῦντος ὁ τοιχὸς ἔπεσεν· ἰδοὺ γὰρ ἐνταῦθα ἑκάστη λέξις καθ᾽ ἑαυτὴν κειμένη καλῶς ἔχει, ἀλλ᾽ ἐν τῇ συντάξει καὶ τῇ φράσει ἀτάκτως καὶ ἀνακολούθως παραλαμβά-

νονται. Ὅθεν καὶ σολοικισμὸς λέγεται οἱονεὶ σώου λόγου αἰκισμός, τοῦτ᾽ ἔστιν ὕβρις τοῦ ὁλοκλήρου λόγου. Καὶ κατ᾽ ἄλλο δὲ χρήσιμον τὸ εἰδέναι τὴν κλίσιν τῶν ῥημάτων, ἐπειδὴ οὐδέποτε τέλειος λόγος γίνεται χωρὶς ἑνὸς τῶν τριῶν ῥημάτων τούτων, τοῦτ᾽ ἔστιν ὁριστικοῦ, προστακτικοῦ, εὐκτικοῦ, ἢ λεγομένου ἢ νοουμένου· λεγομένου μὲν ὁριστικοῦ, ὡς ἐπὶ τοῦ,

τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

ἔχει γὰρ τὸ προσέφη ὁριστικόν· προστακτικοῦ δὲ ὡς ἐπὶ τοῦ,

ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον·

ἔχει γὰρ τὸ ἔννεπε προστακτικόν, καὶ πάλιν,

μῆνιν ἄειδε, θεά, Πηληϊάδεω Ἀχιλῆος·

ἔχει δὲ τὸ ἄειδε προστακτικόν· εὐκτικοῦ δὲ ὡς ἐπὶ τοῦ,

τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν·

ἔχει γὰρ τὸ τίσειαν εὐκτικόν· νοουμένου δέ, ὡς ἐπὶ τοῦ,

εἷς οἰωνὸς ἄριστος ἀμύνασθαι περὶ πάτρης·

νοεῖται γὰρ τὸ ἔστιν, καὶ ὡς ἐπὶ τοῦ,

οὐκ ἀγαθὸν πολυκοιρανίη·

νοεῖται γὰρ τὸ ἔστιν, ἀντὶ τοῦ οὐκ ἀγαθόν ἐστι πολυκοιρανίη.

Τούτων οὕτως ἐχόντων, ἐμάθομεν ἐν τοῖς προλαβοῦσιν ὅτι ὀκτὼ μέρη τοῦ λόγου εἰσίν, ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος, καὶ ὅτι προτέτακται τὸ ὄνομα τοῦ ῥήματος, καθὸ τὸ μὲν ὄνομα οὐσίας σημαντικόν, τὸ δὲ ῥῆμα συμβεβηκότος· καὶ γὰρ ὁ Σωκράτης προτερεύει τοῦ γράφειν αὐτὸν καὶ τύπτειν. Εἰκότως οὖν τὸ ὄνομα, ὡς σημαντικὸν ὂν οὐσίας, προτερεύει τοῦ ῥήματος σημαντικοῦ ὄντος τῶν συμβεβηκότων. Κατὰ δεύτερον δὲ λόγον προτερεύει τὸ ὄνομα τοῦ ῥήματος, ὅτι τὸ μὲν ὄνομα συναναιρεῖ, τὸ δὲ ῥῆμα συναναιρεῖται· καὶ γὰρ ἀναιρουμένου Σωκράτους συναναιρεῖται καὶ τὸ γράφειν αὐτὸν καὶ τὸ τύπτειν. Τὰ δὲ συναναιροῦντα προτερεύουσι τῶν συναναι-

ρουμένων, οἷον τὸ καθόλου φυτὸν προτερεύει τῆς ἐλαίας, ἐπειδὴ ἀναιρουμένου τοῦ φυτοῦ συναναιρεῖται καὶ ἡ ἐλαία, (μὴ ὄντος γὰρ καθόλου φυτοῦ οὐδὲ ἡ ἐλαία ἔστι,) τῆς δὲ ἐλαίας ἀναιρουμένης οὐκ ἀναιρεῖται τὸ καθόλου φυτόν· οὐ γὰρ μόνον ἡ ἐλαία φυτὸν, ἀλλὰ καὶ ἡ ἄμπελος καὶ ἡ συκῆ καὶ τὰ λοιπά. Οὕτως οὖν καὶ τῆς οὐσίας ἀναιρουμένης συναναιρεῖται καὶ τὰ συμβεβηκότα· καὶ γὰρ ἀναιρουμένου Σωκράτους συναναιρεῖται καὶ τὸ τύπτειν αὐτὸν καὶ τὸ γράφειν. Τῶν δὲ συμβεβηκότων ἀναιρουμένων οὐ συναναιρεῖται ἡ οὐσία· δύναται γὰρ Σωκράτης ἠρεμεῖν καὶ μήτε τύπτειν μήτε γράφειν. Κατὰ τρίτον δὲ λόγον προτερεύει τὸ ὄνομα τοῦ ῥήματος, ὅτι τὸ μὲν ὄνομα συνεισφέρεται, τὸ δὲ ῥῆμα συνεισφέρει. Καὶ γὰρ ἐάν τις εἴπῃ τύπτει ἢ γράφει, πάντως συνεισφέρει καὶ τὴν οὐσίαν, ἤγουν τὸν τύπτοντα καὶ τὸν γράφοντα. Τὰ δὲ συνεισφερόμενα προτερεύουσι τῶν συνεισφερόντων, οἷον τὸ καθόλου φυτὸν προτερεύει τῆς ἐλαίας, ἐπειδὴ συνεισφέρεται. Καὶ γὰρ ἐάν τις εἴπῃ ἐλαίαν, πάντως συνεισφέρει καὶ τὸ φυτόν· ἡ γὰρ ἐλαία φυτόν· ἐὰν δέ τις εἴπῃ φυτὸν, οὐ πάντως συνεισφέρει καὶ τὴν ἐλαίαν· οὐ γὰρ μόνον ἡ ἐλαία φυτὸν, ἀλλὰ καὶ ἄμπελος καὶ συκῆ καὶ ἄλλα τινά. Τὸ δὲ συνεισφέρεται δεῖ νοεῖν ἀντὶ τοῦ συννοεῖται. Περὶ δὲ τῆς τάξεως πάντων τῶν μερῶν τοῦ λόγου, ἔτι δὲ καὶ περὶ τῆς αἰτίας τῆς ὀνομασίας αὐτῶν, τοῦτ᾽ ἔστι διὰ τί οὕτως ὠνομάσθησαν, οἷον διὰ τί τὸ ὄνομα λέγεται ὄνομα ἢ τὸ ῥῆμα ῥῆμα καὶ τὰ λοιπὰ ὁμοίως, ἐν τοῖς προλεγομένοις τοῦ Ὀνοματικοῦ Ἡρωδιανοῦ μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Ἐπειδὴ δὲ πᾶσα διδασκαλία ἐξ ὅρου καὶ παρεπομένων θέλει παραλαμβάνεσθαι, διαληπτέον πρῶτον περὶ τοῦ ὅρου τοῦ ῥήματος. Ῥῆμα τοίνυν ἐστὶ μέρος λόγου ἄπτωτον ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν μετ᾽ ἐνεργείας ἢ πάθους ἢ οὐδετέρου τούτων, προσώπου σημαντικὸν ὅτε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ. "Μέρος λόγου" πρόσκειται, ἐπειδὴ ἔχομεν ὅτι ὀκτὼ μέρη τοῦ λόγου εἰσὶ, τὸ δὲ ῥῆμα ἕν ἐστιν ἐκ τῶν ὀκτὼ μερῶν τοῦ λόγου.

"Ἄπτωτον" δὲ πρόσκειται πρὸς ἀντιδιαστολὴν τῶν μετοχῶν· αἱ μὲν γὰρ μετοχαὶ πτωτικαί εἰσι, τὰ δὲ ῥήματα ἄπτωτα. "Ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν" πρόσκειται διὰ τὰ χρονικὰ τῶν ἐπιρρημάτων, οἷον τὸ χθὲς, σήμερον, αὔριον· ἰδοὺ γὰρ καὶ ταῦτα χρόνου σημαντικά εἰσι καὶ διαφόρους χρόνους δηλοῦσιν, ἀλλ' ἐν ἀλλοτρίαις φωναῖς, οὐκ ἐν ἰδίοις μετασχηματισμοῖς· οὐδὲν γὰρ μετέχει κατὰ φωνὴν τὸ χθὲς τοῦ σήμερον καὶ τοῦ αὔριον, ἀλλὰ τελεία μεταλλαγὴ τῆς φωνῆς ἐγένετο. Τὰ μέντοι ῥήματα ἐν ἰδίαις φωναῖς διαφόρους χρόνους δηλοῦσι· καὶ γὰρ τύπτω ὁ ἐνεστὼς, ὁ παρατατικὸς ἔτυπτον, τέτυφα ὁ παρακείμενος, ἐτετύφειν ὁ ὑπερσυντέλικος, ἔτυψα ὁ ἀόριστος, ὁ μέλλων τύψω· καὶ ἰδοὺ διαφόρους χρόνους δηλοῦσιν, οὐκ ἐν ἀλλοτρίαις δὲ φωναῖς ἀλλ' ἐν ἰδίαις μεταλλαγαῖς τῶν λέξεων· μετέχει γὰρ ἑκάστη λέξις τούτων τῆς ἄλλης λέξεως καὶ οὐ τελείως παρετράπησαν. "Μετ' ἐνεργείας ἢ πάθους" πρόσκειται, ἐπειδὴ τῶν ῥημάτων τὰ μὲν ἐνέργειαν τὰ δὲ πάθος δηλοῦσι καὶ παριστῶσιν, οἷον τύπτω τύπτομαι. Τὸ δὲ "οὐδετέρου" πρόσκειται διὰ τὴν ἀκρίβειαν, ἐπειδὴ εἰσί τινα ῥήματα ἃ οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῦσιν, ὡς ἐπὶ τοῦ ζῶ, πλουτῶ, ὑπάρχω· ταῦτα γὰρ οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῦσι. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα κακία ὅρου τὸ ἐλλείπειν καὶ πλεονάζειν, τί δήποτε τριῶν διαθέσεων οὐσῶν, ἐνεργείας φημὶ καὶ πάθους καὶ μεσότητος, ἐν τῷ ὅρῳ τῆς ἐνεργείας μόνης ἐμνημόνευσε καὶ τοῦ πάθους ὁ τὸν ὅρον ὁρισάμενος, καὶ οὐχὶ καὶ τῆς μεσότητος. Καὶ λέγομεν, ὅτι μνημονεύσας τῆς ἐνεργείας καὶ τοῦ πάθους καὶ τὴν μεσότητα συμπεριέλαβε· καὶ γὰρ καὶ ἡ μεσότης ἢ ἐνέργειαν σημαίνει ἢ πάθος, ἕτερον δὲ οὐδὲν σημαίνει· ἐνέργειαν μὲν οὖν, οἷον τέτυπα καὶ ἐγραψάμην ἀντὶ τοῦ τέτυφα καὶ ἔγραψα, πάθος δὲ, οἷον τέτηκα καὶ ἐλουσάμην ἀντὶ τοῦ ἐτάκην καὶ ἐλούσθην. "Προσώπων" δὲ "σημαντικὸν" πρόσκειται, ἐπειδὴ τὰ ῥήματα πρόσωπα σημαίνουσι. Πρόσκειται δὲ "ὅτε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ," ἐπειδὴ τῶν ῥημάτων τὰ μὲν ἔχουσι πρόσωπα ὡς τὰ ὁριστικὰ, προστακτικὰ, εὐκτικὰ,

ὑποτακτικά, ἅτινα καὶ διάθεσιν ψυχῆς ἔχουσι, τοῦτ' ἔστι προαίρεσιν, τὰ δὲ οὐχί, ὥσπερ τὰ ἀπαρέμφατα, ἐπειδὴ οὐκ ἔχουσι διάθεσιν ψυχῆς, τοῦτ' ἔστιν προαίρεσιν, οὔτε πρόσωπα ἔχουσιν. Κάλλιον δὲ πρόσκειται τῷ προσώπων σημαντικὰ τὰ ῥήματα τὸ "ὅτε καὶ ψυχῆς προαίρεσιν ἔχουσιν·" ὅτε γὰρ μὴ ἔχουσι θέλημα ψυχῆς, οὔτε πρόσωπα ἔχουσι. Τοσαῦτα περὶ τοῦ ὅρου τοῦ ῥήματος ἐν συντόμῳ ἔχομεν εἰπεῖν.

Παρέπεται δὲ τῷ ῥήματι ὀκτώ· ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοί, πρόσωπα, χρόνοι, καὶ συζυγίαι. Ἐγκλίσεις μὲν οὖν εἰσὶ πέντε, ὁριστική, ἀπαρέμφατος, εὐκτική, προστακτική, ὑποτακτική· οὕτω γὰρ δοκεῖ τῷ Ἀπολλωνίῳ περὶ τῆς τάξεως αὐτῶν διαλαβεῖν. Ἐγκλίσεις δὲ πέντε οὐ κυρίως ἀλλὰ καταχρηστικῶς· ὡς γὰρ ἡ εὐθεῖα οὐ κυρίως καλεῖται πτῶσις ἀλλὰ καταχρηστικῶς, οὕτω καὶ ἡ ἀπαρέμφατος οὐ κυρίως καλεῖται ἔγκλισις ἀλλὰ καταχρηστικῶς· οὐ γὰρ ἔχει διάθεσιν ψυχῆς, τοῦτ' ἔστι προαίρεσιν, ὅπερ ἴδιον ἐγκλίσεως· ἔγκλισις γὰρ ἡ ψυχικὴ προαίρεσις, τοῦτ' ἔστι καθ' ἣν ἐγκλίνεται ἡ ψυχὴ ἢ εἰς ὃ ῥέπει ἡ ψυχή· ἐγκλίνει γὰρ καὶ ῥέπει εἰς τὸ ὁρίσαι ἢ εἰς τὸ προστάξαι ἢ εἰς τὸ εὔξασθαι ἢ διστάσαι. Ἰστέον δὲ ὅτι τὰς ἐγκλίσεις καὶ τὰς διαθέσεις οἱ παλαιοὶ κοινῶς διαθέσεις ἐκάλουν, καὶ λοιπὸν ὕστερον διεμέρισαν, καὶ τὰς μὲν ψυχικὰς ἐκάλεσαν ἐγκλίσεις, τὰς δὲ σωματικὰς διαθέσεις, οἷον τὸ μὲν ἐνθυμηθῆναι τύψαι ἔγκλισιν καλοῦσιν, εἰς ὃ ῥέπει ἡ ψυχή, τὸ δὲ ἐνεργῆσαι τύψαι διάθεσιν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι πρώτη ἡ ὁριστική, καί τοι ὀφειλούσης τῆς ἀπαρεμφάτου πρώτην ἔχειν τάξιν, ἐπειδὴ ἐξ αὐτῆς γίνονται πᾶσαι αἱ ἐγκλίσεις καὶ εἰς αὐτὴν ἀναλύονται. Ὥσπερ γὰρ ἐκ τῶν τεσσάρων στοιχείων τὰ ἡμέτερα σώματα συνίστανται καὶ εἰς αὐτὰ πάλιν ἀναλύονται, οὕτω καὶ ἐκ τῆς ἀπαρεμφάτου συνίστανται αἱ ἄλλαι ἐγκλίσεις καὶ εἰς αὐτὴν ἀναλύονται. Ἐκ γὰρ τοῦ τύπτειν μεταλαμβάνω καὶ λέγω τύπτω καὶ τύπτε καὶ τύπτοιμι καὶ ἐὰν τύπτω· καὶ ἰδοὺ ἐξ αὐτῆς συνίστανται. Ἀλλὰ καὶ εἰς αὐτὴν ἀναλύονται· ἐὰν γὰρ λέγω τύπτω καὶ ἐρωτηθῶ τί ὡρισάμην, λέγω τὸ τύπτειν, καὶ

πάλιν ἐὰν εἴπω τύπτε καὶ ἐρωτηθῶ τί προσέταξα, λέγω τὸ τύπτειν, καὶ ἐὰν εἴπω τύπτοιμι καὶ ἐρωτηθῶ τί ηὐξάμην, λέγω τὸ τύπτειν, καὶ ἐὰν εἴπω ἐὰν τύπτω καὶ ἐρωτηθῶ τί ἐδίστασα, λέγω τὸ τύπτειν. Ὡς εἴπομεν οὖν, ἐκ τῶν ἀπαρεμφάτων γίνονται αἱ ἄλλαι ἐγκλίσεις καὶ εἰς αὐτὴν πάλιν ἀναλύονται, ὡς ἐδείξαμεν, ὥσπερ καὶ ἐπὶ τῶν ἡμετέρων σωμάτων. Ταῦτα δὲ ἐκ τῶν τεσσάρων στοιχείων γίνονται, πυρὸς, ἀέρος, ὕδατος καὶ γῆς, καὶ εἰς αὐτὰ ἀναλύονται, ὡς καὶ ὁ ποιητὴς ἐδήλωσεν εἰπὼν

ὕδωρ καὶ γαῖα γένοισθε.

Ἀλλ' ἐπειδὴ τὰ ἀπαρέμφατα ἀμφιβάλλονται εἰ ἄρα εἰσὶ ῥήματα ἢ οὐχὶ, οὐ δεῖ δὲ τὰς ἀρχὰς ποιεῖσθαι ἀπὸ τῶν ἀμφιβόλων, τούτου χάριν οὐ προετάγησαν τῶν ἄλλων ἐγκλίσεων· πῶς δὲ ἀμφιβάλλονται, μετ' ὀλίγον εἰσόμεθα. Προτέτακται δὲ ἡ ὁριστικὴ κατὰ τρόπους τοιούτους, ἐπειδὴ οὐκ ἔχει συνεζευγμένους τοὺς χρόνους ἀλλὰ πάντας διακεχωρισμένους, τῶν ἄλλων ἐγκλίσεων μὴ ἐχουσῶν διακεχωρισμένους πάντας τοὺς χρόνους. Ἔχομεν δὲ ἐν τοῖς ὁριστικοῖς ἐνεστῶτα ἰδίως οἷον τύπτω, καὶ παρατατικὸν ἰδίως οἷον ἔτυπτον, καὶ τοὺς λοιποὺς ὁμοίως· αἱ δὲ ἄλλαι ἐγκλίσεις συνεζευγμένους ἔχουσι τοὺς χρόνους, καὶ εἰ μὴ πάντας, τινὰς ἐξ αὐτῶν. Ἐν μὲν γὰρ τοῖς ἀπαρεμφάτοις καὶ τοῖς εὐκτικοῖς ἐνεστῶτα καὶ παρατατικὸν ὁμοῦ φαμὲν, οἷον τύπτειν τύπτοιμι, καὶ παρακείμενον καὶ ὑπερσυντέλικον, οἷον τετυφέναι καὶ τετύφοιμι, ἀόριστον δὲ ἰδίως καὶ μέλλοντα, οἷον τύψαι τύψειν, τύψαιμι τύψοιμι· ἐν δὲ τοῖς προστακτικοῖς καὶ τοῖς ὑποτακτικοῖς πάντες οἱ χρόνοι συνημμένοι εἰσίν· ἐνεστῶτα γὰρ καὶ παρατατικὸν ὁμοῦ φαμὲν, οἷον τύπτε—ἐὰν τύπτω, καὶ παρακείμενον καὶ ὑπερσυντέλικον ὁμοῦ, οἷον τέτυφε—ἐὰν τετύφω, καὶ ἀόριστον καὶ μέλλοντα, οἷον τύψον—ἐὰν τύψω. Διὰ ταύτην οὖν τὴν αἰτίαν, ὡς ἔχουσα ἡ ὁριστικὴ πάντας τοὺς χρόνους διακεχωρισμένους, προτέτακται τῶν ἄλλων ἐγκλίσεων. Κατὰ δεύτερον δὲ λόγον, ὅτι πᾶσα παραγωγὴ καὶ πᾶσα σύνθεσις ἀπὸ ῥήματος γινομένη ἐκ τῶν ὁριστικῶν γίνεται καὶ οὐκ ἐκ τῶν ἄλλων ἐγκλίσεων,

οἷον πατροτύπτης ἀπὸ τοῦ τύπτω, Ἀριστοφάνης ἀπὸ τοῦ φαίνω, Διοπείθης ἀπὸ τοῦ πείθω, Διομήδης ἀπὸ τοῦ μήδω, ὃ σημαίνει τὸ βουλεύομαι, γράμμα ἀπὸ τοῦ γέγραμμαι, ψάλτης ἀπὸ τοῦ ἔψαλται, δότης ἀπὸ τοῦ δέδοται, θύτης ἀπὸ τοῦ τέθυται. Κατὰ τρίτον δὲ λόγον, ὅτι καὶ αἱ ἄλλαι ἐγκλίσεις σκοπὸν ἔχουσι προκόψαι εἰς τὴν ὁριστικὴν καὶ ἴσασι προϋπάρχουσαν αὐτήν. Ὁ γὰρ λέγων τινὶ τύπτε γράφε διὰ τοῦτο λέγει, ἵνα εἴπῃ ἐκεῖνος γράφω ἢ ἔγραψα καὶ τύπτω ἢ ἔτυψα· καὶ ὁ λέγων ὑγιαίνοιμι διὰ τοῦτο εὔχεται, ἵνα ἔλθῃ εἰς αὐτὸ τὸ πρᾶγμα καὶ εἴπῃ ὑγίανα ὑγιαίνω· καὶ ὁ λέγων ἐὰν ὑγιάνω διὰ τοῦτο διστάζει, ἵνα ἔλθῃ εἰς αὐτὸ τὸ πρᾶγμα καὶ εἴπῃ ὑγιαίνω ὑγίανα. Εἰκότως οὖν προτέτακται ἡ ὁριστικὴ τῶν ἄλλων ἐγκλίσεων.

Δευτέρα δὲ ἡ ἀπαρέμφατος, καὶ τοῦτο εὐλόγως, εἴ γε, ὡς εἴρηται, ὤφειλε καὶ πρώτη εἶναι, ἀλλ' ἐπειδή, ὡς εἴπομεν, ἀμφιβάλλεται εἴτε ῥῆμά ἐστιν ἢ οὔ, οὐ δεῖ δὲ τὰς ἀρχὰς ἐκ τῶν ἀμφιβαλλομένων ποιεῖσθαι, διὰ τοῦτο οὐ προτέτακται. Ἔλθωμεν καὶ εἴπωμεν πῶς ἀμφιβάλλεται ἡ ἀπαρέμφατος εἰ ῥῆμά ἐστιν ἢ οὐχί. Καὶ δεῖ γινώσκειν, ὅτι πᾶν ῥῆμα θέλει ἔχειν πρόσωπα, θέλει ἔχειν θέλημα ψυχῆς, θέλει ἔχειν ἀριθμούς· τὰ δὲ ἀπαρέμφατα οὐδὲν ἐκ τούτων ἔχουσιν, οὔτε γὰρ πρόσωπα ἔχουσιν οὔτε θέλημα ψυχῆς οὔτε ἀριθμούς· ἐντεῦθεν οὐκ ἄρα ῥήματά εἰσιν. Ἄλλως τε δὲ οὐδέποτε δύο ῥήματα ἄνευ συνδέσμου παραλαμβανόμενα τέλειον λόγον ἀποτελοῦσιν, οὐδεὶς γὰρ λέγει τύπτω ἀνάγνωθι ἢ τύπτω ἀναγινώσκω, ἀλλὰ μετὰ συνδέσμου, οἷον τύπτω καὶ ἀνάγνωθι, καὶ τύπτω καὶ ἀναγινώσκω· τὰ μέντοι ἀπαρέμφατα παραλαμβάνονται ἄνευ συνδέσμου μετὰ ῥήματος καὶ ἀποτελοῦσι τέλειον λόγον, ὡς ἐπὶ τοῦ μέλλω γράφειν, ἐπιθυμῶ φιλοσοφεῖν, προθυμοῦμαι περιπατεῖν· οὐκ ἄρα οὖν ῥήματα τὰ ἀπαρέμφατα. Καὶ γὰρ τὰ ῥήματα ἔχουσιν ἐνέργειαν, πάθος, μεσότητα, οἷον τύπτω τύπτομαι τέτυπα, ἔχουσι διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς ἢ ἐν ἰδίαις ἐναλλαγαῖς τῶν λέξεων, οἷον τύπτω ἔτυπτον τέτυφα τέτυπα ἐτετύφειν ἐτετύπειν ἔτυψα ἔτυπον τύψω τυπῶ·

ὁμοίως δὲ καὶ τὰ ἀπαρέμφατα ἔχουσι διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς, οἷον τύπτειν τετυφέναι τετυπέναι τύψαι τυπεῖν τύψειν τυπεῖν τυπέσθαι· ἆρα οὖν ῥήματα τὰ ἀπαρέμφατα. Περὶ δὲ τοῦ μὴ ἔχειν τὰ ἀπαρέμφατα μήτε πρόσωπα μήτε ἀριθμοὺς μήτε θέλημα ψυχῆς, λέγομεν, ὅτι τὰ ἀπαρέμφατα ὀνόματά εἰσι τῶν πραγμάτων· ἀντὶ γὰρ τοῦ εἰπεῖν ὁ περίπατος λέγω τὸ περιπατεῖν, καὶ ἀντὶ τοῦ εἰπεῖν ἡ φιλοσοφία λέγω τὸ φιλοσοφεῖν. Τὸ δὲ πρᾶγμα αὐτὸ καθ' ἑαυτὸ νοούμενον οὐ θεωρεῖται ἔν τινι, ὥσπερ [ἢ χρῶμα ἢ] λευκότης [ἔν τινι θεωρεῖται δὲ μὴ ἔν τινι θεωρεῖται χρῶμα ὡς ἂν εἴη οὐ συμβεβηκὸς θεωρηθήσεται ἀλλ' αὐθυπόστατον· αὕτη γὰρ] αὐτὴ καθ' ἑαυτὴν οὖσα οὐ θεωρεῖται ἔν τινι. Τὸν αὐτὸν οὖν τρόπον καὶ τὰ ἀπαρέμφατα ὡς ὀνόματα ὄντα τῶν πραγμάτων αὐτὰ καθ' ἑαυτὰ ὄντα οὐκ ἐγένοντο ἔν τινι, μὴ γενόμενα δὲ ἔν τινι εἰκότως οὐδὲ πρόσωπα ἔχουσι. Τούτου χάριν οὐκ ἔχουσι τὰ ἀπαρέμφατα πρόσωπα. Μὴ ὄντων δὲ προσώπων εἰκότως οὐδὲ θέλημα ψυχῆς δύναται εἶναι· πῶς γὰρ δύναται εἶναι θέλημα ψυχῆς ἄνευ προσώπων; Τὸ γὰρ μὴ ὂν πῶς ἔχει θελῆσαι; Εἰκότως οὖν οὔτε θέλημα ψυχῆς ἔχουσι τὰ ἀπαρέμφατα. Ἀλλ' οὔτε δὲ ἀριθμὸς δύναται εἶναι προσώπων μὴ ὄντων· ἐκ γὰρ τῶν διαφόρων προσώπων τίκτεται καὶ ὁ διάφορος ἀριθμός, οἷον ἐκ τοῦ ἑνὸς προσώπου γίνεται ὁ ἑνικὸς ἀριθμὸς καὶ ἐκ τῶν δύο γίνεται ὁ δυϊκὸς καὶ ἐκ τῶν πλειόνων γίνεται ὁ πληθυντικός. Τούτου χάριν οὔτε ἀριθμοὺς ἔχουσι τὰ ἀπαρέμφατα, εἰκότως οὖν οὔτε πρόσωπα οὔτε ἀριθμοὺς οὔτε θέλημα ψυχῆς. Περὶ δὲ τῆς συντάξεως, ὅτι ἄνευ συνδέσμου παραλαμβανόμενα τὰ ἀπαρέμφατα μετὰ ῥημάτων ἀποτελοῦσι τέλειον λόγον, οἷον θέλω γράφειν, βούλομαι ἀναγινώσκειν, ἔστιν εἰπεῖν, ὅτι οὐ μετὰ πάντων τῶν ῥημάτων συντασσόμενα τέλειον λόγον ἀποτελοῦσιν, (οὐ γὰρ λέγομεν τύπτω ἀναγινώσκειν ἢ περιπατῶ διαλέγεσθαι,) ἀλλὰ μετὰ μόνων τῶν προαιρετικῶν, φημὶ δὲ τὸ θέλω καὶ βούλομαι καὶ προαιροῦμαι, καὶ τῶν ἐφετικῶν, (ἐφετικὰ δὲ λέγονται τὰ ἐπιθυμίας δηλωτικά, ἔφεσις γὰρ τὸ ἐπιθυμεῖν,) οἷον θέλω

γράφειν, ἐπιθυμῶ φιλοσοφεῖν, προθυμοῦμαι περιπατεῖν, εὔχομαι ὑγιαίνειν, θέλω ἀναγινώσκειν, βούλομαι φιλοσοφεῖν, προαιροῦμαι ἐξηγεῖσθαι, καὶ ἁπλῶς εἰπεῖν μετὰ τῶν σημαινόντων ἔλλειψιν πράγματος, ὡς ἐπὶ τοῦ δεῖ γράφειν, χρὴ διαλέγεσθαι, χρεωστῶ παιδεύειν, ὀφείλω εὐεργετεῖν. Δεύτερον δὲ, διὰ τοῦτο μετὰ τούτων τὰ ἀπαρέμφατα συντασσόμενα τέλειον λόγον ἀποτελοῦσιν, ἐπειδὴ ταῦτα, λέγω δὴ τὸ θέλω καὶ βούλομαι καὶ προαιροῦμαι καὶ τὰ ὅμοια, ἔχουσι θέλημα ψυχῆς, ἔχουσι πρόσωπα, ἔχουσιν ἀριθμοὺς, πράγματι δὲ μόνῳ ἐλλείπουσιν, (ὁ γὰρ βουλόμενος ἢ θέλων τι ποιῆσαι, ὡς λεῖπον τὸ πρᾶγμα, θέλει ποιῆσαι αὐτὸ,) τὰ δὲ ἀπαρέμφατα ἐκ τοῦ ἐναντίου· πράγματος γὰρ μόνου δηλωτικά εἰσι, μὴ ἔχοντα μήτε πρόσωπα μήτε ἀριθμοὺς μήτε θέλημα ψυχῆς. Εἴ τι οὖν λείπει τοῖς ἀπαρεμφάτοις, ἀναπληροῦται διὰ τούτων, καὶ εἴ τι λείπει τούτοις, ἀναπληροῦται διὰ τῶν ἀπαρεμφάτων, καὶ ὡς ἔστιν εἰπεῖν, ἑκάτερον δι' ἑκατέρου ἀναπληροῦται. Τούτου οὖν τὰ ἀπαρέμφατα χάριν μετὰ τούτων συντασσόμενα ἀποτελοῦσι τέλειον λόγον. Ἔχομεν τὰ περὶ τῆς ἀπαρεμφάτου.

Τρίτη δὲ ἡ εὐκτικὴ κατὰ Ἀπολλώνιον, ἐπειδὴ τελείας ἔχει φωνὰς ὡς πρὸς τὴν προστακτικήν· ἔχει γὰρ καὶ πρῶτον καὶ δεύτερον καὶ τρίτον πρόσωπον, τῆς προστακτικῆς δεύτερον καὶ τρίτον πρόσωπον μόνον ἐχούσης. Τὰ γὰρ προστακτικὰ πρῶτα πρόσωπα οὐκ ἔχουσιν, ἐπειδὴ οὐδεὶς ἑαυτῷ προστάττων ἐστίν· οὐ γὰρ λέγομεν ἐγὼ τύπτε. Πρόσκειται "κατὰ Ἀπολλώνιον," ἐπεὶ ὁ Διονύσιος καὶ ὁ Θεοδόσιος τὴν προστακτικὴν προτάσσουσι τῆς εὐκτικῆς, ὡς, εἰ θεῷ φίλον, ἐκεῖσε γινόμενοι μαθησόμεθα.

Ἡ δὲ προστακτικὴ προτέτακται τῆς ὑποτακτικῆς, ἐπειδὴ ἡ προστακτικὴ ἀποτελεῖ τέλειον λόγον, ἡ δὲ ὑποτακτικὴ οὐκ ἀποτελεῖ τέλειον λόγον· ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι οὐδέποτε τέλειος λόγος γίνεται χωρὶς ἑνὸς τῶν τριῶν ῥημάτων τούτων, τουτέστιν ὁριστικοῦ προστακτικοῦ εὐκτικοῦ, ἢ λεγομένου ἢ νοουμένου. Τοσαῦτα περὶ τῶν ἐγκλίσεων ἔχομεν εἰπεῖν.

Διαθέσεις δέ εἰσι τρεῖς, ἐνέργεια, πάθος, μεσότης· ἐνέργεια μὲν οὖν οἷον τύπτω, πάθος δὲ οἷον τύπτομαι, μεσότης δὲ ἡ ποτὲ μὲν ἐνέργειαν δηλοῦσα, ποτὲ δὲ πάθος παριστῶσα, ὡς ἐπὶ τοῦ τέτηκα καὶ τέτυπα· τὸ μὲν γὰρ τέτυπα ἐνέργειαν δηλοῖ ἀντὶ τοῦ ἔτυψα, τὸ δὲ τέτηκα πάθος· ἀντὶ γὰρ τοῦ ἐτάκην. Καὶ πάλιν ἐγραψάμην ἐλουσάμην· τὸ μὲν γὰρ ἐγραψάμην ἐνέργειαν δηλοῖ· ἀντὶ γὰρ τοῦ ἔγραψα· τὸ δὲ ἐλουσάμην πάθος παρίστησιν· ἀντὶ γὰρ τοῦ ἐλούσθην. Καὶ ἀποροῦσί τινες, λέγοντες, διὰ ποίαν αἰτίαν [φημὶ δὴ] τὰ λεγόμενα μέσα μὴ ἐκ τοῦ σημαινομένου ἐκλήθησαν, ἵνα ὅταν μὲν σημαίνωσιν ἐνέργειαν λέγωνται ἐνεργητικά, ὡς ἐπὶ τοῦ τέτυπα καὶ ἐγραψάμην, ὅταν δὲ σημαίνωσι πάθος, λέγωνται παθητικά, ὡς ἐπὶ τοῦ τέτηκα καὶ ἐλουσάμην. Ἔστιν οὖν εἰπεῖν, ὅτι ὁ χαρακτὴρ, ἤγουν ὁ τύπος, τῆς φωνῆς ἐπεκράτησεν ἐπὶ τούτων. Ὥσπερ γὰρ ἐν τοῖς ὀνόμασι πολλάκις τοῦ σημαινομένου ἐπικρατεῖ ὁ χαρακτὴρ, (ἰδοὺ γὰρ τὸ παιδίον εἰ καὶ ἄρρεν καὶ θῆλυ δηλοῖ, ὅμως οὔτε ἀρσενικὸν οὔτε θηλυκὸν καλεῖται, ἀλλ' οὐδέτερον πρὸς τὸν χαρακτῆρα τῆς φωνῆς, ἐπειδὴ οὔτε ἀρσενικὸν χαρακτῆρα ἔχει οὔτε θηλυκὸν,) τὸν αὐτὸν οὖν τρόπον καὶ ἐπὶ τῆς μέσης διαθέσεως ὁ χαρακτὴρ τῆς φωνῆς ἐπεκράτησε τοῦ σημαινομένου. Διὰ τί δὲ καλεῖται διάθεσις, προϊόντες, εἰ θεῷ φίλον, μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Εἴδη δέ εἰσι δύο, πρωτότυπον καὶ παράγωγον, καὶ πρωτότυπον μὲν οἷον ἄρδω, παράγωγον δὲ οἷον ἀρδεύω. Τινὲς δὲ ἐθέλησαν λέγειν μὴ ἔχειν τὰ ῥήματα εἴδη, λέγοντες, ὅτι οὐκ ἔχουσιν ἐναλλαγὴν τοῦ σημαινομένου· τὸ αὐτὸ γὰρ σημαίνει καὶ τὸ ἱστῶ καὶ τὸ ἵστημι, ὁμοίως καὶ τὸ τιθῶ καὶ τίθημι καὶ τὸ διδῶ καὶ δίδωμι· ἐν δὲ τοῖς εἴδεσι τῶν ὀνομάτων ἐναλλαγὴ γίνεται σημαινομένου, οἷον πατρωνυμικοῖς, κτητικοῖς, συγκριτικοῖς, ὑπερθετικοῖς, ὑποκοριστικοῖς, παρωνύμοις, ῥηματικοῖς. Ἔστι δὲ εἰπεῖν, ὅτι εἰ καὶ μὴ γίνεται ἐναλλαγὴ σημαινομένων, ἀλλ' οὖν ἐναλλαγὴ φωνῆς γίνεται, ὡς ἐν τῷ ἄρχω ἀρχεύω, ἄρδω ἀρδεύω, τιθῶ τίθημι, ἱστῶ ἵστημι. Ἄλλως τε δὲ πολλάκις καὶ ἐναλλαγὴ σημαινομένων γίνεται. Καὶ ἀπὸ

ὀνομάτων γίνονται παράγωγα ῥήματα καὶ ἐναλλάσσουσι τὸ σημαινόμενον, οἷον πόλεμος πολεμίζω, Ἀντίγονος ἀντιγονίζω, Φίλιππος φιλιππίζω, Μῆδος μηδίζω. Ἰδοὺ ταῦτα ἀπὸ ὀνομάτων παραχθέντα ἐναλλαγὴν ἐποιήσαντο τοῦ σημαινομένου· τὸ μὲν γὰρ πόλεμος σημαίνει τὸν πόλεμον, τὸ δὲ πολεμίζω τὰ τοῦ πολέμου φρονῶ, καὶ πάλιν τὸ μὲν Ἀντίγονος τὸν Ἀντίγονον σημαίνει, τὸ δὲ ἀντιγονίζω τὰ τοῦ Ἀντιγόνου φρονῶ, καὶ πάλιν τὸ μὲν Φίλιππος τὸν Φίλιππον σημαίνει, τὸ δὲ φιλιππίζω τὰ τοῦ Φιλίππου φρονῶ. Καὶ ἀπὸ ῥημάτων δὲ γίνονται ὁμοίως παράγωγα ῥήματα καὶ ἐναλλάσσουσι τὸ σημαινόμενον, οἷον βρώσω βρωσείω· τὸ μὲν γὰρ βρώσω τὸ μέλλω φαγεῖν σημαίνει, τὸ δὲ βρωσείω τὸ ἐπιθυμίαν ἔχω τῆς βρώσεως. Καὶ πάλιν πολεμήσω πολεμησείω· τὸ μὲν γὰρ πολεμήσω τὸ μέλλω πολεμῆσαι δηλοῖ, τὸ δὲ πολεμησείω τὸ ἐπιθυμίαν ἔχω τοῦ πολέμου. Καὶ πάλιν ὄψω ὀψείω· τὸ μὲν γὰρ ὄψω τὸ μέλλω θεωρῆσαι δηλοῖ, τὸ δὲ ὀψείω τὸ ἐπιθυμίαν ἔχω τοῦ θεωρῆσαι. Καὶ ταῦτα μὲν ἀπὸ μελλόντων παραγόμενα ἐνεστῶτος χρόνου γίνονται.

Σχήματα δέ εἰσι τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μὲν οἷον φρονῶ, σύνθετον δὲ οἷον καταφρονῶ, παρασύνθετον δὲ τὸ ἀπὸ συνθέτου γινόμενον, ὡς ἀπὸ τοῦ Ἀντίγονος συνθέτου γίνεται τὸ ἀντιγονίζω παρασύνθετον.

Ἀριθμοὶ δέ εἰσι τρεῖς, ἑνικὸς, δυϊκὸς, καὶ πληθυντικός· ἑνικὸς μὲν οἷον τύπτω, δυϊκὸς δὲ οἷον τύπτετον, πληθυντικὸς δὲ οἷον τύπτομεν.

Πρόσωπα δέ εἰσι τρία, πρῶτον, δεύτερον, καὶ τρίτον. Καὶ λέγει ὁ Διονύσιος ὅτι πρῶτον μέν ἐστιν ἀφ' οὗ ὁ λόγος, οἷον τύπτω· δεύτερον δὲ πρὸς ὃν ὁ λόγος, οἷον τύπτεις· τρίτον δὲ περὶ οὗ ὁ λόγος, οἷον τύπτει. Λαμβάνεται δὲ ὁ Ἀπολλώνιος τοῦ προκειμένου λόγου, λέγων ὅτι δέον ἐστὶ καὶ προσθεῖναί τινα καὶ εἰπεῖν οὕτως, ὅτι πρῶτον μέν ἐστι πρόσωπον ἀφ' οὗ ὁ λόγος καὶ περὶ ἐμοῦ τοῦ προσφωνοῦντος, δεύτερον δέ ἐστι πρόσωπον πρὸς ὃν ὁ λόγος καὶ περὶ αὐτοῦ τοῦ προσφωνουμένου, τρίτον δέ ἐστι πρόσωπον περὶ οὗ ὁ λόγος

μήτε προσφωνοῦντος μήτε προσφωνουμένου. Δύναται δὲ κατὰ τὴν ἀκρίβειαν τὸ μὲν πρῶτον καὶ δεύτερον πρόσωπον καλῶς ἔχειν, ὡς καὶ ὁ Διονύσιος εἶπεν ὅτι πρῶτον μέν ἐστιν πρόσωπον ἀφ' οὗ ὁ λόγος· ἀεὶ γὰρ ἀπὸ πρώτου ἐστὶν ὁ λόγος καὶ οὐδεπώποτε ἀπὸ δευτέρου οὔτε ἀπὸ τρίτου· δεύτερον δὲ πρὸς ὃν ὁ λόγος· ἀεὶ γὰρ πρὸς δεύτερον πρόσωπόν ἐστιν ὁ λόγος, καὶ οὐδέποτε οὔτε πρὸς πρῶτον οὔτε πρὸς τρίτον· τὸ δὲ τρίτον πρόσωπον οὐκ ἔχει καλῶς, λέγω δὲ τὸ περὶ οὗ ὁ λόγος, ὡς ὁ Διονύσιος ἐδόξασε. Δύναται δὲ καὶ περὶ πρώτου εἶναι ὁ λόγος καὶ περὶ δευτέρου· ἐὰν γὰρ εἴπω τύπτω, περὶ τινός ἐστιν ὁ λόγος, τοῦτ' ἔστι περὶ ἐμοῦ, καὶ πάλιν ἐὰν εἴπω τύπτεις, περί τινός ἐστιν ὁ λόγος, τοῦτ' ἔστι περὶ σοῦ. Τούτου οὖν χάριν δέον ἐστὶ προσθεῖναι ἐν τῷ τρίτῳ προσώπῳ προσδιορισμόν τινα, καὶ εἰπεῖν ὅτι τρίτον ἐστὶ πρόσωπον περὶ οὗ ὁ λόγος μήτε προσφωνοῦντος μήτε προσφωνουμένου· διὰ μὲν γὰρ τοῦ εἰπεῖν μήτε προσφωνοῦντος χωρίζομεν τὸ πρῶτον πρόσωπον, διὰ δὲ τοῦ εἰπεῖν μήτε προσφωνουμένου χωρίζομεν τὸ δεύτερον πρόσωπον. Χάριν δὲ σαφηνείας οὐκ ἄτοπόν ἐστι προσθεῖναι καὶ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ δευτέρῳ διορισμούς τινας, καὶ εἰπεῖν ὅτι πρῶτον μέν ἐστι πρόσωπον ἀφ' οὗ ὁ λόγος καὶ περὶ ἐμοῦ τοῦ προσφωνοῦντος, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος καὶ περὶ αὐτοῦ τοῦ προσφωνουμένου, τρίτον δὲ περὶ οὗ ὁ λόγος μήτε προσφωνοῦντος μήτε προσφωνουμένου. Ταῦτα μὲν ἐν τούτοις. Ἰστέον δὲ ὅτι ὥσπερ ἐν τοῖς ἀριθμοῖς τὰ ἀπὸ τριῶν καὶ ἐπέκεινα πληθυντικὰ λέγονται, οὕτω καὶ ἐν τοῖς προσώποις τὰ ἀπὸ τριῶν καὶ ἐπέκεινα τρίτα λέγονται. Διὰ τί δὲ ἐν ταῖς ἀντωνυμίαις διάφορα τρίτα εὑρίσκεται, οἷον ἐκεῖνος, οὗτος, αὐτὸς, ὅδε,

ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει,

ἐν τῷ Περὶ ἀντωνυμιῶν, εἰ θεῷ φίλον, μαθησόμεθα.

Χρόνοι καθολικοί εἰσι τρεῖς, ἐνεστὼς, παρεληλυθὼς, μέλλων. Ἐκ τούτων ὁ ἐνεστὼς οὐκ ἐπιδέχεται διαίρεσιν, ἐπειδὴ κινδυνεύει μὴ εἶναι χρόνος. Λέγουσι γάρ τινες, ὅτι εἰ ἄρα ὁ χρόνος ἀεὶ κινεῖται, οὐκ ἄρα δύναται ἵστασθαι· εἰ δὲ μὴ

ἵσταται, οὐκ ἄρα ἔστιν ὁ ἐνεστὼς χρόνος. Ἀλλὰ λέγομεν ὅτι οἱ χρόνοι εἰ μὴ ἐνεστήκασιν, οὐδὲ παρήρχοντο· πῶς γὰρ δύναται παρελθεῖν τὸ μὴ σταθέν; καὶ γὰρ ἡ χθεσινὴ ἡμέρα, εἰ μὴ πρότερον ἐνέστη, οὐδὲ παρήρχετο· καὶ πάλιν ἐάν τις βρέξῃ τὸν δάκτυλον αὐτοῦ εἰς κρουνὸν ἀεὶ ῥέοντα ἢ τὸν πόδα αὐτοῦ εἰς ποταμὸν ἀεὶ ῥέοντα, δῆλον ὅτι οὔτε ἐν τῷ παρελθόντι οὔτε ἐν τῷ μέλλοντι δύναται βρέξαι αὐτὸν, ἀλλ᾽ ἐν τῷ ἐνεστῶτι χρόνῳ. Καὶ ἡ διαχάραξις ἡ γινομένη ἐκ τοῦ τροχοῦ δῆλον ὅτι ἐν τῷ ἐνεστῶτι χρόνῳ γίνεται καὶ οὔτε ἐν τῷ παρελθόντι οὔτε ἐν τῷ μέλλοντι. Καὶ πάντα δὲ τὰ γινόμενα καὶ πάντα τὰ λεγόμενα ἐν τῷ ἐνεστῶτι χρόνῳ καὶ γίνονται καὶ λέγονται. Ἔστι δὲ ὁ ἐνεστὼς ἀκαριαῖος, τοῦτ᾽ ἔστιν ἅμα τῷ λέγεσθαι ἔχει καὶ τὸ εἶναι. Εἰκότως οὖν οὐκ ἐπιδέχεταί τινα διαίρεσιν. (Ἰστέον δὲ ὅτι παρὰ μὲν τοῖς γραμματικοῖς πλατικός ἐστιν ὁ ἐνεστὼς, τοῦτ᾽ ἔστιν ἐν πλάτει, ὡς ὅταν εἴπωμεν ὅτι ὁ ἐνεστὼς ἐνιαυτὸς τοιόσδε ἐστὶ, παρὰ δὲ τοῖς φιλοσόφοις ἀκαριαῖός ἐστι, τοῦτ᾽ ἔστιν ἅμα τῷ λέγεσθαι ἔχει καὶ τὸ εἶναι.) Ὁ δὲ παρῳχημένος, τοῦτ᾽ ἔστιν ὁ παρεληλυθὼς, πλάτος ἔχων ἐπιδέχεται διαφόρους διαιρέσεις. Τὰ γὰρ παρελθόντα ἢ ἐν μέρει παρῆλθον καὶ οὔπω ἐπληρώθησαν, καὶ ἀποτελοῦσι τὸν λεγόμενον παρατατικὸν, οἷον ἔτυπτον ἔτρωγον, καὶ οὔπω ἐπληρώθη τὸ πρᾶγμα, ἀλλ᾽ ἐν μέρει παρῆλθεν· ὅθεν καὶ παρατατικὸς λέγεται παρὰ τὸ τεταμένην καὶ ἀπλήρωτον ἔχειν τὴν σημασίαν. Εἰ δὲ νεωστὶ παρῆλθον τὰ παρελθόντα καὶ νεωστὶ ἐπληρώθη τὸ πρᾶγμα, ἀποτελεῖ τὸν λεγόμενον παρακείμενον, οἷον τέτυφα πεποίηκα, ὅς τις καὶ διὰ τοῦτο καλεῖται παρακείμενος, ἐπειδὴ παράκειται αὐτῷ ἡ πλήρωσις, τοῦτ᾽ ἔστι νεωστὶ ἐπληρώθη. Ἢ πρὸ πολλοῦ παρῆλθον τὰ παρελθόντα, καὶ ἀποτελεῖ τὸν λεγόμενον ὑπερσυντελικὸν, οἷον ἐτετύφειν, ὅς τις καὶ διὰ τοῦτο ὑπερσυντελικὸς λέγεται παρὰ τὸ πρὸ πολλοῦ πληρωθῆναι· συντελικὸς γὰρ ὁ πεπληρωμένος. Ἰστέον δὲ ὅτι ὁ μὲν παρακείμενος ἔχει ἐν ἑαυτῷ τὸ ἄρτι· τὸ γὰρ τέτυφα τὸ ἄρτι πληρωθὲν δηλοῖ· ὁ δὲ ὑπερσυντελικὸς ἔχει ἐν ἑαυτῷ τὸ πάλαι· τὸ γὰρ ἐτετύφειν τὸ

πάλαι πληρωθὲν δηλοῖ. Ἐὰν δὲ τὰ παρελθόντα ἄδηλα ὦσι πότε παρῆλθον, ἀποτελεῖ τὸν λεγόμενον ἀόριστον, οἷον ἔτυψα· ἄδηλον γὰρ εἴτε νεωστὶ εἴτε πρὸ πολλοῦ· διὰ τοῦτο καὶ ἀόριστος λέγεται. Ἰστέον δὲ ὅτι ὁ ἀόριστος, ἐὰν μὲν προσλάβῃ τὸ ἄρτι, ἰσοδυναμεῖ τῷ παρακειμένῳ· τὸ γὰρ ἔτυψα ἄρτι ἐν ἴσῳ ἐστὶ τῷ τέτυφα· ἐὰν δὲ προσλάβῃ τὸ πάλαι, ἰσοδυναμεῖ τῷ ὑπερσυντελικῷ· τὸ γὰρ ἔτυψα πάλαι ἐν ἴσῳ ἐστὶ τῷ ἐτετύφειν. Ὁ δὲ μέλλων καὶ αὐτὸς ἔχων πλάτος ὀφείλει ἐπιδέξασθαι διαίρεσιν· τὰ γὰρ μέλλοντα ἢ μετ᾽ ὀλίγον μέλλουσι γενέσθαι ἢ μετὰ πολύ. Ἀλλ᾽ ἐπειδὴ τὰ μέλλοντα ἄγνωστά εἰσι, τὰ δὲ ἄγνωστα οὐ δύνανται ἅτε δὴ ἀγνοούμενα διαίρεσιν ἐπιδέξασθαι, διὰ τοῦτο οὐκ ἐπιδέχεται διαίρεσιν ὁ μέλλων· ὅμως δὲ αὐτὸν διεῖλον οἱ Ἀθηναῖοι εἰς μέλλοντα καὶ μετ᾽ ὀλίγον μέλλοντα. Εὑρίσκονται οὖν ἓξ χρόνοι, τουτέστιν ὁ ἐνεστὼς, καὶ ὁ μέλλων, καὶ αἱ τέσσαρες διαιρέσεις τοῦ παρῳχημένου χρόνου, τουτέστιν ὁ παρατατικὸς, ὁ παρακείμενος, ὁ ὑπερσυντελικὸς, ὁ ἀόριστος. Τούτων δὲ συγγένειαί εἰσι τρεῖς, ἔχει γὰρ ὁ ἐνεστὼς συγγένειαν πρὸς τὸν παρατατικὸν, ὁ παρακείμενος πρὸς τὸν ὑπερσυντελικὸν, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον, τέτυφα ἐτετύφειν, γέγραφα ἐγεγράφειν· ὥσπερ γὰρ ὁ ἐνεστὼς ἀπλήρωτός ἐστιν, ἐνισταμένην γὰρ καὶ ἀπλήρωτον ἔχει τὴν σημασίαν, οὕτω καὶ ὁ παρατατικὸς ἀπλήρωτός ἐστι, παρατεταμένην γὰρ καὶ ἀπλήρωτον ἔχει τὴν σημασίαν· καὶ ὥσπερ ἐν τῷ παρακειμένῳ, πεπληρωμένῳ ὄντι κατὰ τὴν σημασίαν, παράκειται τὸ ἄρτι, (τὸ γὰρ τέτυφα τὸ ἄρτι πληρωθὲν δηλοῖ,) τὸν αὐτὸν τρόπον καὶ τῷ ὑπερσυντελικῷ (πεπληρωμένῳ ὄντι κατὰ τὴν σημασίαν) παράκειται τὸ πάλαι· (τὸ γὰρ ἐτετύφειν τὸ πάλαι πληρωθὲν δηλοῖ·) ὁ δὲ ἀόριστος συγγένειαν ἔχει πρὸς τὸν μέλλοντα, οἷον τύψω ἔτυψα· καὶ δοκεῖ ἐναντίον εἶναι· πῶς γὰρ ὁ παρῳχημένος δύναται συγγένειαν ἔχειν πρὸς τὸν μέλλοντα, ἐναντίον γάρ ἐστι τὸ παρελθὸν πρᾶγμα τῷ μέλλοντι γίνεσθαι; ἀλλ᾽ ἔστιν εἰπεῖν ὅτι διὰ τοῦτο ἔχει συγγένειαν ὁ ἀόριστος καὶ ὁ μέλλων, ἐπειδὴ ἀμφότεροι ἀόριστόν τι δηλοῦσι καὶ ἄδηλον, καὶ γὰρ

ὁ ἀόριστος ἄδηλός ἐστιν, ὁμοίως καὶ ὁ μέλλων ἄδηλος ὑπάρχει. Περὶ δὲ τῆς τάξεως τῶν χρόνων ἐν τῷ ῥηματικῷ Ἀπολλωνίου, εἰ θεῷ φίλον, μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Συζυγίαι δέ εἰσι τῶν ῥημάτων ιγ΄· ἓξ μὲν τῶν εἰς Ω ληγόντων βαρυτόνων ῥημάτων, τρεῖς δὲ τῶν εἰς Ω περισπωμένων, τέσσαρες δὲ τῶν εἰς ΜΙ· καὶ ἡ πρώτη συζυγία τῶν βαρυτόνων πρὸ τοῦ Ω χαρακτηρίζεται διὰ τοῦ (α΄) συμφώνου τοῦ Β, καὶ ἐπειδὴ τὸ Β μέσον ἐστὶ τοῦ Π καὶ Φ ἐκφέρεται ἡ πρώτη συζυγία διὰ τοῦ Β ἢ Π ἢ Φ, οἷον λείβω, τέρπω, γράφω, καὶ ἐπειδὴ τὸ ἰδίωμα τῆς συζυγίας οὐ φυλάττεται ἐὰν ὦσι τρία σύμφωνα χαρακτηριστικά, κυρίως γὰρ συζυγία λέγεται παρὰ τὸ δύο ἄγειν, διὰ τοῦτο προσλαμβάνει τὸ Τ ἐκ τῆς γ΄ συζυγίας, καὶ πλεονάζει τὸ Π, καὶ γίνεται ΠΤ, καὶ λοιπὸν εὑρίσκεται ἀπὸ τεσσάρων χαρακτηριζομένη ἡ πρώτη συζυγία τῶν βαρυτόνων, τουτέστιν διὰ τοῦ Β, ἢ Π ἢ Φ ἢ ΠΤ, οἷον λείβω, τέρπω, γράφω, κόπτω· διὰ τοῦτο τὸ Τ πλεονάζει, καὶ οὐκ ἄλλο σύμφωνον, ἐπειδή, ὡς προϊόντες εἰσόμεθα, ὁ ἐνεστὼς ἀναλογεῖ τῇ γενικῇ· ἐπεὶ οὖν ἐν τῇ γενικῇ πέφυκε πολλάκις καὶ τὸ Τ πλεονάζειν, οἷον ἄνακος ἄνακτος, γάλακος γάλακτος, νυκὸς νυκτὸς, τούτου χάριν καὶ ἐν τῷ ἐνεστῶτι κατὰ μίμησιν τῆς γενικῆς αὐτὸ πλεονάζει· διὰ τοῦτο δὲ μετὰ τοῦ Π ἐν τῇ πρώτῃ συζυγίᾳ ἐστὶν, καὶ πάλιν μετὰ τοῦ Κ ἐν τῇ β΄, ἐπειδὴ ὁμοίως αὐτῷ ψιλά εἰσι, φημὶ τῷ Τ· κανὼν δέ ἐστιν ὁ λέγων, ὅτι ψιλὰ ψιλῶν ἡγεῖται, καὶ δασέα δασέων, καὶ μέσα μέσων κατὰ σύλληψιν, οἷον κτύπος πτῶσις, φθόνος χθὼν, ἕβδομος ἐριγδοῦπος. Ἡ δὲ δευτέρα συζυγία τῶν βαρυτόνων διὰ τοῦ Γ ἢ Κ ἢ Χ, οἷον λέγω, πλέκω, τρέχω· ἐπειδὴ δὲ πάλιν ἐκ τριῶν συμφώνων οὐ δύναται συνίστασθαι συζυγία, τούτου χάριν προσλαμβάνει τὸ Τ ἐκ τῆς γ΄ συζυγίας, καὶ πλεονάζει τὸ Κ, καὶ λοιπὸν εὑρίσκεται ἐκφερομένη διὰ τοῦ Γ ἢ Κ ἢ Χ ἢ ΚΤ, οἷον λέγω, πλέκω, τρέχω, τίκτω. Ἡ δὲ γ΄ συζυγία τῶν βαρυτόνων διὰ τοῦ Δ ἢ Θ ἢ Τ, οἷον ᾄδω, πλήθω,
223 a ἀνύτω. Ἐπειδὴ δὲ ἐνταῦθα οὐχ εὑρίσκομεν παραπεφυλαγμένον τὸ ἰδίωμα τῆς συζυγίας, ἀπὸ γὰρ τῶν γ΄ συμφώνων πρόσκειται, ὅπερ οὐκ ἔστιν ἴδιον συζυγίας, συζυγία γάρ, ὡς

εἴρηται, κυρίως λέγεται παρὰ τὸ δύο ἄγειν, διὰ τοῦτο οἱ ὀνοματοθέται πρὸς ἀκρίβειαν ἐξετάσαντες ἐποίησαν τὴν γ′ συζυγίαν τῶν βαρυτόνων ἐλλείπειν τὸ τ, καὶ ἐκφέρεσθαι διὰ μόνου τοῦ δ καὶ θ, οἷον, ᾄδω, πλήθω· τὸ γὰρ ἀνύτω ἀνύω λέγουσι, καὶ τὸ πράττω πράσσω· σπανίως δὲ εὕρηται καὶ τὸ τ χαρακτηριστικὸν τῆς γ′ συζυγίας τῶν βαρυτόνων, ὡς ἐπὶ τοῦ πέτω πέτομαι, καὶ λίτω λίτομαι. Ἡ δὲ δ′ συζυγία τῶν βαρυτόνων διὰ δ′ συμφώνου τοῦ ζ ἐκφέρεται· καὶ ἐπειδὴ τὸ ζ οὐκ ἔσχεν ἄλλο τί ποτε πρὸς ἀναπλήρωσιν τοῦ ἰδιώματος τῆς συζυγίας μὴ δυναμένης ἄλλο σύμφωνον δέξασθαι διὰ τὸ προληφθῆναι τὰ μὲν ἐν τῇ πρώτῃ συζυγίᾳ, τὰ δὲ ἐν τῇ β′, τὰ δὲ ἐν τῇ γ′, τὰ δὲ ἀμετάβολα ἐν τῇ ε′, μὴ δυναμένη(ς) προσλαβεῖν μήτε τὸ ξ μήτε τὸ ψ, διὰ τὸ ταῦτα χαρακτηριστικὰ εἶναι βαρυτόνου μέλλοντος, τὸ μὲν ψ τῆς α′ συζυγίας οἷον λείβω λείψω, τὸ δὲ ξ τῆς δευτέρας, οἷον λέγω λέξω, πλέκω πλέξω, καὶ ἐν τῇ δ′ οἷον, πλήσσω πλήξω, σφάζω σφάξω, οὐ δύναται δὲ τὰ χαρακτηριστικὰ τοῦ βαρυτόνου μέλλοντος χαρακτηριστικὰ εἶναι καὶ βαρυτόνου ἐνεστῶτος, (ἀλλ' οὐκ ἔστι χαρακτηριστικὸν βαρυτόνου μέλλοντος ἀλλὰ περισπωμένου, ὡς ἐπὶ τοῦ φυσῶ νοσῶ. Πρόσκειται "βαρυτόνου μέλλοντος" διὰ τὸ κείρω κερῶ· ἰδοὺ γὰρ τὸ ρ χαρακτηριστικὸν ὂν τοῦ μέλλοντος βαρυτόνου ἐστι καὶ χαρακτηριστικὸν ἐνεστῶτος, ἀλλ' οὐκ ἔστι χαρακτηριστικὸν βαρυτόνου μέλλοντος ἀλλὰ περισπωμένου·) διὰ τοῦτο ἐκ τοῦ μέλλοντος ἡ δ′ συζυγία τῶν βαρυτόνων τρόπον τινὰ δανείζεται τὸ σ καὶ διπλασιάζει αὐτὸ, καὶ λοιπὸν ἐκφέρεται ἡ δ′ συζυγία τῶν βαρυτόνων διὰ τοῦ ζ ἢ σσ, οἷον φράζω, ὀρύσσω, καὶ κυρίως φυλάττεται ἡ ἀκολουθία τῆς συζυγίας, ἔχει γὰρ τὸ ζ διπλοῦν, καὶ τὸ σ διπλασιαζόμενον καὶ ἰσοδυναμοῦν τῷ ζ. Διὰ τοῦτο δὲ διπλασιάζεται τὸ σ, πρῶτον μὲν ἵνα ἰσοδυναμήσῃ τῷ ζ διπλῷ ὄντι, δεύτερον δὲ ὅτι, ὡς εἴρηται, τὸ σ χαρακτηριστικὸν βαρυτόνου μέλλοντος, οὐ δύναται χαρακτηριστικὸν εἶναι καὶ βαρυτόνου ἐνεστῶτος. Ἡ δὲ ε′ συζυγία τῶν βαρυτόνων διὰ τῶν δ′ ἀμεταβόλων φέρεται λ, μ, ν, ρ, οἷον πέλω, νέμω, κρίνω, σπείρω. Ἡ δὲ ϛ′ διὰ καθαροῦ τοῦ ω οἷον ἱππεύω, πλέω, βασιλεύω· δαπανηθέντων γὰρ

τῶν ιζ′ συμφώνων, τῶν μὲν ἐν τῷ ἐνεστῶτι, τῶν δὲ ἐν τῷ μέλλοντι, εὐλόγως ἡ ϛ′ συζυγία καθαριεύει· καὶ ὃ εἶχε διὰ συμφώνου χαρακτηρίζεσθαι διὰ τῶν φωνηέντων ἐν τῇ παραληγούσῃ διαφόρων ὄντων χαρακτηρίζεται. Καὶ ἀποροῦσι τινὲς, λέγοντες, εἰ ἄρα αἱ συζυγίαι ἐκ διαφόρων ὄντων στοιχείων θέλουσι χαρακτηρίζεσθαι, ὡς εἴρηται, πῶς τὴν ϛ′ συζυγίαν διὰ καθαροῦ μόνου τοῦ ω λέγομεν χαρακτηρίζεσθαι; Ἔστιν
223 b οὖν εἰπεῖν, εἰ καὶ διὰ καθάρου ω λέγομεν αὐτὴν ἐκφέρεσθαι, ἀλλ' οὐ τοῦτο δηλοῦμεν, ὅτι τὸ ω ἐστὶ χαρακτηριστικὸν τῆς ϛ′ συζυγίας, ἀλλ' ὅτι διὰ τῶν πρὸ αὐτοῦ φωνηέντων, διαφόρων ὄντων, χαρακτηρίζεται, οἷον ἱππεύω, πλέω, μηνύω. Τινὲς δὲ καὶ ἑβδόμην συζυγίαν προστιθέασι διὰ τοῦ ξ καὶ ψ, οἷον ἀλέξω, ἕψω, αὔξω· ἀλλὰ λέγομεν ὅτι ταῦτα περισπῶνται, ἀλεξῶ γὰρ καὶ αὐξῶ καὶ ἑψῶ εἰσὶ περισπώμενα· οἱ μέντοι Ἀθηναῖοι βαρύνουσιν αὐτὰ, ἀλέξω καὶ ἕψω καὶ αὔξω βαρυτόνως λέγοντες αὐτά· ὅτι γὰρ περισπῶνται ταῦτα δηλοῖ ὁ μέλλων ἀλεξήσω καὶ ἑψήσω καὶ αὐξήσω τῶν περιττοσυλλάβως, ὥσπερ ποιῶ ποιήσω, νοῶ νοήσω, φιλῶ φιλήσω· ὁ γὰρ μέλλων ἀπὸ μὲν βαρυτόνων ὑπάρχων θεμάτων ἰσοσυλλαβεῖ τῷ ἐνεστῶτι, οἷον τύπτω τύψω, λέγω λέξω, πλέκω πλέξω, κείρω κερῶ, φθείρω φθερῶ, ἀπὸ δὲ περισπωμένων θεμάτων ὑπάρχων καὶ α′ συλλαβῇ περιττεύει ὁ μέλλων τοῦ ἐνεστῶτος, οἷον ποιῶ ποιήσω, νοῶ νοήσω, βοῶ βοήσω, χρυσῶ (χρυσώσω), καὶ ἐπὶ τῶν ἐχόντων ἓν λ, κἄν τε βαρύτονα εἰσὶ κἂν περισπώμενα, ὁμοίως καὶ α′ συλλαβῇ περιττεύει ὁ μέλλων τοῦ ἐνεστῶτος, οἷον θέλω θελήσω, μέλω μελήσω, ὠφελῶ ὠφελήσω. Εἰ ἄρα οὖν ἐπὶ τοῦ ἀλεξῶ, ἑψῶ, αὐξῶ μιᾷ συλλαβῇ περιττεύει ὁ μέλλων τοῦ ἐνεστῶτος, οἷον ἀλεξήσω, αὐξήσω, ἑψήσω, καὶ οὐκ ἐκφέρεται δι' ἑνὸς τοῦ λ ὁ ἐνεστὼς, δηλονότι περισπᾶται καὶ ὁ ἐνεστὼς, ἄλλως τε δὲ οὐ δύναται ταῦτα βαρύνεσθαι, ἐπειδὴ τὸ ξ καὶ τὸ ψ ἔχουσι· ἐμάθομεν δὲ ὅτι τὰ χαρακτηριστικὰ τοῦ βαρυτόνου μέλλοντος οὐ δύναται εἶναι χαρακτηριστικὰ τοῦ βαρυτόνου ἐνεστῶτος, οἷον τὸ σ χαρακτηριστικὸν ὂν τοῦ βαρυτόνου μέλλοντος, ὡς ἐπὶ τοῦ ποιήσω νοήσω, οὐκ ἔστι χαρακτηριστικὸν τοῦ βαρυτόνου ἐνεστῶτος, ἀλλὰ περισπωμένου, ὡς ἐπὶ τῷ φυσῶ, νοσῶ· εἰ ἄρα οὖν τὸ ξ καὶ ψ

χαρακτηριστικά εἰσι βαρυτόνου μέλλοντος, ὡς ἐπὶ τοῦ τύψω, λέξω, δηλονότι οὐ δύναται καὶ χαρακτηριστικὰ εἶναι καὶ βαρυτόνου ἐνεστῶτος. Ταῦτα μὲν περὶ τῶν συζυγιῶν τῶν εἰς ω βαρυτόνων ῥημάτων.

Τῶν δὲ περισπωμένων ῥημάτων συζυγίαι εἰσὶ τρεῖς· καὶ ἐπειδὴ διὰ συμφώνου οὐ δυνάμεθα χαρακτηρίσαι ταύτας τὰς συζυγίας διὰ τοῦ β′ καὶ γ′ προσώπου χαρακτηρίζομεν αὐτάς. Ἡ μὲν γὰρ πρώτη συζυγία τῶν περισπωμένων ἐκφέρεται ἐπὶ τῷ β′ καὶ γ′ προσώπῳ διὰ τῆς ει διφθόγγου, οἷον νοῶ νοεῖς νοεῖ, ποιῶ ποιεῖς ποιεῖ· ἡ δὲ δευτέρα διὰ τῆς αι διφθόγγου, προσγραφομένου μὲν τοῦ ι, μὴ συνεκφωνουμένου δέ, οἷον βοῶ βοᾷς βοᾷ, γελῶ γελᾷς γελᾷ· ἡ δὲ τρίτη διὰ τῆς οι διφθόγγου, οἷον χρυσῶ χρυσοῖς χρυσοῖ, στεφανῶ στεφανοῖς στεφανοῖ. Καὶ ἄξιόν ἐστι ζητῆσαι εἰ ἄρα προτερεύει τὸ α τοῦ ε, πῶς μὲν ἡ δευτέρα συζυγία κατὰ τὸ β′ πρόσωπον τὴν αι δίφθογγον ἔχει, ἡ δὲ α′ τὴν ει δίφθογγον; Καί ἐστιν εἰπεῖν, ὅτι ἐν τοῖς ῥήμασι τιμιωτέρα ἡ ει δίφθογγος, καὶ διὰ τοῦτο τὴν πρώτην ἔσχε τάξιν· πᾶν γὰρ ῥῆμα βαρύτονον εἰς ω λῆγον ὁριστικὸν διὰ τῆς ει διφθόγγου ἔχει τὸ δεύτερον καὶ τρίτον πρόσωπον ἐκφερόμενον, οἷον τύπτω
224 a τύπτεις τύπτει, λέγω λέγεις λέγει, πλέκω πλέκεις πλέκει. Πρόσκειται "βαρύτονον" διὰ τὸ βοῶ βοᾷς βοᾷ, χρυσῶ χρυσοῖς χρυσοῖ· "ὁριστικὸν" δὲ πρόσκειται διὰ τὰ ὑποτακτικά, οἷον ἐὰν τύπτω ἐὰν τύπτῃς ἐὰν τύπτῃ· τοῦτο γὰρ διὰ τοῦ η καὶ ι ἐκφέρεται κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον. Ἔστι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν ταύτην· ἡ ἐντέλεια τῶν περισπωμένων τὴν ει δίφθογγον ἔχει, καὶ σχεδὸν εἰπεῖν ἐξ αὐτῆς συνίστανται αἱ γ′ συζυγίαι τῶν περισπωμένων, συναιρουμένη γὰρ ἡ ει δίφθογγος μετὰ τοῦ προηγουμένου φωνήεντος ἀποτελεῖ τὰς γ′ συζυγίας τῶν περισπωμένων, οἷον ποιεεῖς ποιεῖς, βοάεις βοᾷς, χρυσόεις χρυσοῖς· εἰκότως οὖν ὡς ἀποτελοῦσα τὰς γ′ συζυγίας τῶν περισπωμένων ἡ ει δίφθογγος τὴν πρώτην συζυγίαν ἐκληρώσατο· τὸ γὰρ ἀποτελοῦν τοῦ ἀποτελουμένου προτερεύει, οἷον ὁ τέκτων ἀποτελῶν τὸν θρόνον προτερεύει τοῦ θρόνου τοῦ ἐξ αὐτοῦ ἀποτελουμένου. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, τίνος χάριν τὰ μὲν β′ πρόσωπα τῶν περισπωμένων συναιρούμενα διαφωνοῦσιν, οἷον ποιέεις ποιεῖς, βοάεις βοᾷς, χρυσόεις χρυσοῖς, τὰ δὲ πρῶτα συναιρούμενα οὐ διαφωνοῦσιν, οἷον ποιέω ποιῶ, βοάω βοῶ, χρυσόω χρυσῶ; Καὶ ἔστιν εἰπεῖν, ὅτι ἡ συναίρεσις ἐστὶν ἡ αἰτία· ἐν μὲν γὰρ τῷ πρώτῳ προσώπῳ τὰ προηγούμενα φωνήεντα συναιρούμενα μετὰ τοῦ ω εἰς τὸ ω συναιροῦνται, καὶ τούτου χάριν οὐ διαφωνοῦσιν· ἐν δὲ τῷ β′ προσώπῳ διαφόρως γίνεται ἡ συναίρεσις τῶν προηγουμένων φωνηέντων μετὰ τῶν ἐπιφερομένων φωνηέντων, ὡς σὺν θεῷ ἐν τῷ κειμένῳ μαθησόμεθα, καὶ τούτου χάριν διαφωνοῦσι. Καὶ ἀποροῦσι πάλιν, λέγοντες, διὰ τί γὰρ μὴ καὶ ἐν τῷ β′ προσώπω ἐπὶ τῶν περισπωμένων κράσις παρακολουθεῖ τοῦ προηγουμένου φωνήεντος μετὰ τῆς ει διφθόγγου εἰς τὴν ει δίφθογγον, οἷον ποιέεις ποιεῖς, βοάεις βοᾷς, χρυσόεις χρυσοῖς; Ἔστιν οὖν εἰπεῖν, ὅτι εἰ ἐγένετο τοῦτο, σύγχυσις ἐγένετο τῶν συζυγιῶν, καὶ οὐκ ἔμελλον γιγνώσκειν ποῖα εἰσὶν α′ συζυγίας, καὶ ποῖα δευτέρας, καὶ ποῖα τρίτης. Ἐπὶ γὰρ τῷ α′ προσώπῳ εἰ καὶ ὅλα εἰς τὸ ω συναιροῦνται, ἀλλ᾽ οὖν οὐ γίνεται σύγχυσις, ἐπειδὴ, ὡς μεμαθήκαμεν, τὰ περισπώμενα οὐ χαρακτηρίζεται ἀπὸ τοῦ α′ προσώπου, ἀλλὰ διὰ τοῦ δευτέρου καὶ τρίτου. Ταῦτα μὲν περὶ τῶν συζυγιῶν τῶν περισπωμένων.

Τέσσαρες δέ εἰσι συζυγίαι τῶν εἰς μι, ὧν ἡ μὲν πρώτη παράγεται ἀπὸ τῆς α′ συζυγίας τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ τιθῶ τιθεῖς γέγονε τίθημι, ἱῶ ἱεῖς ἵημι, (ἐπὶ τοῦ πέμπω,) ἡ δὲ δευτέρα ἀπὸ τῆς δευτέρας τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ κιχρῶ κιχρᾷς γίνεται κίχρημι, ἱστῶ ἱστᾷς ἵστημι, ἡ δὲ γ′ ἀπὸ τῆς γ′ συζυγίας τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ διδῶ διδοῖς δίδωμι, (ἐπὶ τοῦ παρέχειν,) τὸ γὰρ ἐπὶ τοῦ δεσμεύειν πρώτης συζυγίας, οἷον διδεῖς δίδημι ἀντὶ δεσμεύω· ἡ δὲ δ′ συζυγία τῶν εἰς μι μὴ ἔχουσα δ′ συζυγίαν τῶν περισπωμένων εἰκότως ἀπὸ τῆς ϛ′ συζυγίας τῶν βαρυτόνων παράγεται, οἷον ἀπὸ τοῦ πηγνύω πήγνυμι, ὀμνύω ὄμνυμι, δεικνύω δείκνυμι. Καὶ γὰρ συζυγίαι τῶν περισπωμένων ὅσον κατὰ τὴν ἐντέλειαν

224 b ἀπὸ τῆς ϛʹ συζυγίας τῶν βαρυτόνων εἰσί· τὸ γὰρ τιθῶ ἀπὸ τοῦ τιθέω, καὶ τὸ ἱστῶ ἀπὸ τοῦ ἱστάω, καὶ τὸ διδῶ ἀπὸ τοῦ διδόω· τὸ δὲ τιθέω καὶ ἱστάω καὶ διδόω τῆς ϛʹ συζυγίας τῶν βαρυτόνων εἰσί· ἀκριβέστερον δὲ καὶ περὶ τῆς διδασκαλίας τῶν εἰς ΜΙ ἐν ἰδίῳ τόπῳ αὐτῶν μαθησόμεθα. Τοσαῦτά ἐστιν εἰπεῖν περὶ τῶν παρεπομένων τῷ ῥήματι.

Ἐπειδὴ δὲ περὶ κλίσεως ῥημάτων διαλαβεῖν δεῖ, οὐκ ἐπὶ παντὸς δὲ ῥήματος γίγνεται κλίσις, μάθωμεν κατὰ πόσους τρόπους ἐπιλιμπάνουσιν αἱ φωναί. Ἰστέον ὅτι κατὰ δʹ τρόπους ἐπιλιμπάνουσιν αἱ φωναὶ, ἢ γὰρ διὰ σημασίαν, ἢ δι' ἀσυνταξίαν, ἢ κατὰ τὸ φορτικὸν, ἢ κατὰ τύχην ὅπερ καὶ ἀτριβὲς καλεῖται. Καὶ διὰ σημασίαν μὲν ἐπιλιμπάνουσιν αἱ φωναὶ, ὡς ὅταν λέγωμεν τοῦ εἷς ἑνὸς μὴ εἶναι δυϊκὰ ἢ πληθυντικά· τὸ γὰρ σημαινόμενον κωλύει· ὥσπερ καὶ τοῦ τέσσαρες καὶ τοῦ πέντε καὶ τοῦ ἓξ οὔκ εἰσιν οὔτε ἑνικὰ οὔτε δυϊκὰ, αὕτη γὰρ ἡ φύσις κωλύει καὶ ἡ σημασία· καὶ πάλιν πᾶσα μετοχὴ θέλει εἶναι τριγενὴς, οἷον ὁ γράψας, ἡ γράψασα, τὸ γράψαν, ὁ τύπτων, ἡ τύπτουσα, τὸ τύπτον· τοῦ μέντοι ἐκτρώσασα θηλυκοῦ τὸ ἀρσενικὸν οὐκ ἔστι· τὸ γὰρ σημαινόμενον κωλύει· οὐ παρέπεται γὰρ τοῖς ἀνδράσι τὸ ἐκτροῦν· δι' ἀσυνταξίαν δὲ, ὡς ὅταν λέγωμεν ὅτι τῆς Μόψοπος γενικῆς ἡ εὐθεῖα ἐπιλιμπάνει διὰ τὸ ἀσύντακτον· ἤμελλε γὰρ εἶναι ἡ εὐθεῖα ὁ Μόψοψ, ὅπερ ἐστὶν ἀσύντακτον, τουτέστιν οὐκ ἔχον χαρακτῆρα Ἑλληνικόν· οὐδέποτε γὰρ ἁπλῇ λέξει κατὰ συνέχειαν συλλαβῶν τὸ αὐτὸ διπλοῦν εὑρίσκεται· πρόσκειται "ἐν ἁπλῇ λέξει" διὰ τὸ ἐξάξαι, ἐνταῦθα γὰρ τὸ αὐτὸ διπλοῦν ἐστὶ κατὰ συνέχειαν συλλαβῶν, τουτέστι μετὰ τὴν συλλαβὴν τὴν ἔχουσαν τὸ διπλοῦν εὐθέως ἑτέρα συλλαβὴ ἐπάγεται ἔχουσα τὸ αὐτὸ διπλοῦν· ἀλλ' οὐκ ἔστιν ἁπλῆ λέξις, ἀλλὰ σύνθετος, ἀπὸ γὰρ τῆς ἐξ προθέσεως σύγκειται καὶ τοῦ ἄξαι ῥήματος. Πρόσκειται δὲ "κατὰ συνέχειαν συλλαβῶν" διὰ τὸ ζευγίζω· σημαίνει δὲ τὸ ζεύγη κράτος· ἐνταῦθα γὰρ τὸ αὐτὸ διπλοῦν ἐστὶ καὶ ἐν ἁπλῇ λέξει, ἀλλ' οὐ κατὰ συνέχειαν συλλαβῶν· οὐδὲ γὰρ μετὰ τὴν συλλαβὴν τὴν ἔχουσαν τὸ διπλοῦν εὐθέως ἐπιφέρεται ἡ ἑτέρα συλλαβὴ ἔχουσα τὸ αὐτὸ διπλοῦν,

ἀλλὰ μεταξὺ τῶν συλλαβῶν τῶν ἐχουσῶν τὸ διπλοῦν ἐστὶν ἑτέρα συλλαβή. "Τὸ αὐτὸ δὲ διπλοῦν" πρόσκειται διὰ τὸ ζεῦξαι· ἐνταῦθα γὰρ ἐν ἁπλῇ λέξει καὶ κατὰ συνέχειαν συλλαβῶν ἐστιν διπλοῦν· μετὰ γὰρ τὴν συλλαβὴν τὴν ἔχουσαν τὸ διπλοῦν εὐθέως ἐπιφέρεται ἑτέρα συλλαβὴ ἔχουσα διπλοῦν, ἀλλ' οὐκ ἔστι τὸ αὐτὸ διπλοῦν· διὰ τοῦτο Ξέρξης βάρβαρον εἶναι λέγομεν, ὡς ἔχον ἐν ἁπλῇ λέξει κατὰ συνέχειαν συλλαβῶν τὸ αὐτὸ διπλοῦν· τῆς οὖν Μόψοπος γενικῆς εἰ ἐλέγετο ἡ εὐθεῖα, ἤμελλεν εἶναι Μόψοψ, καὶ λοιπὸν ηὑρίσκετο ἐν τῇ αὐτῇ συλλαβῇ καὶ ἐν ἁπλῇ λέξει τὸ αὐτὸ διπλοῦν, ὅπερ ἐστὶν ἀδύνατον. Κατὰ τὸ φορτικὸν δὲ, ὡς ὅταν λέγωμεν ἀπὸ τοῦ ξέω προσερχομένου τοῦ Σ πρὸ τοῦ Ω γίνεται ὁ μέλλων, ξέσω, καὶ ἀπὸ τοῦ ἱππεύω, ἱππεύσω ὁμοίως, ἀπὸ δὲ τοῦ χέω οὐ γίγνεται ὁ μέλλων προσθέσει τοῦ Σ χέσω, διὰ τὸ μὴ συνεμπεσεῖν τῷ κακοφώνῳ τῷ ἀπὸ τοῦ χέζω, ἀλλὰ χεύσω γίνεται ὁ μέλλων, καὶ τοῦ Υ πρὸ τοῦ
225 a Σ προσελθόντος· οὗτος δὲ ὁ τρόπος, φημὶ δὴ ὁ κατὰ τὸ φορτικὸν, τοῖς σώφροσι τῶν ἀνδρῶν ἐπιλιμπάνει, [a] οἱ κωμικοὶ ἐπιτηδεύουσι λέγειν τὰ κακόφωνα ταῦτα παιγνίου χάριν. Κατὰ τύχην δὲ, ὡς ὅταν εἴπωμεν τοῦ γυνὴ ἡ γενικὴ οὐκ ἔστι, λέγω δὲ ἡ γυνῆς, οὐδὲ τοῦ ὕδωρ ἡ γενικὴ ἐστὶ, λέγω δὴ ἡ ὕδωρος· ἡ γὰρ γυναικὸς γενικὴ καὶ ἡ ὕδατος ἑτερόκλιτά εἰσιν, ὡς ἀπὸ τοῦ γύναιξ καὶ ὕδας. Ταῦτα δὲ, φημὶ δὴ ἡ γυνῆς γενικὴ καὶ ἡ ὕδωρος, οὔτε διὰ σημασίαν οὔτε δι' ἀσυνταξίαν οὔτε κατὰ τὸ φορτικὸν ἐπιλιμπάνουσιν, ἀλλὰ κατὰ τύχην.

Ἔλθωμεν οὖν καὶ εἰς τὸ ῥῆμα, καὶ εἴπωμεν πῶς καὶ αὐτὰ τὰ ῥήματα ἐπιλιμπάνουσιν. Ἰστέον ὅτι διὰ σημασίαν ἐπιλιμπάνουσι ῥήματα, ὡς ὅτε λέγομεν, ὅτι προστακτικὰ οὐκ ἔχουσι πρῶτα πρόσωπα· τὸ γὰρ σημαινόμενον κωλύει, οὐδεὶς γὰρ ἑαυτῷ προστάσσει· καὶ πάλιν τῶν ῥημάτων τὰ μὲν καὶ φωνῇ καὶ σημασίᾳ εἰσὶν ἐνεργητικὰ, ὡς τὸ τύπτω, καὶ λακτίζω, ὑβρίζω, δέρω, φονεύω· ταῦτα γὰρ καὶ σημα-

[a] οἱ κωμικοὶ] ἑταιρικὰ δὲ καὶ Barocc. 116.

σίαν ἔχουσιν ἐνεργητικὴν καὶ φωνὴν καθὸ εἰς ω λήγουσι· τὰ δὲ πάλιν καὶ φωνῇ καὶ σημασίᾳ εἰσὶ παθητικά, ὡς τὸ ὑβρίζομαι, λακτίζομαι, δέρομαι, φονεύομαι, τύπτομαι· ταῦτα γὰρ σημασίαν ἔχουσι παθητικὴν καὶ φωνὴν ὡσαύτως παθητικήν, καθὸ εἰς ΜΑΙ λήγουσι. Τὰ δὲ τῇ φωνῇ μέν εἰσιν ἐνεργητικά, τῷ δὲ σημαινομένῳ παθητικά, ὡς τὸ θνήσκω, πίπτω, ὀφθαλμιῶ, πυρεσσῶ, ῥιγῶ, φρίσσω, τρέμω, χαίρω· ταῦτα γὰρ τῇ φωνῇ μέν εἰσιν ἐνεργητικὰ καθὸ εἰς ω λήγουσι, τῷ δὲ σημαινομένῳ παθητικά, πάθος γὰρ σημαίνουσι· διὸ καὶ αὐτὰ πάθη καλοῦσιν, ἐπειδὴ οἴκοθεν ἔχουσι τὸ πάθος· τούτων παθητικὴ φωνὴ οὐχ εὑρίσκεται· οὐδεὶς γὰρ λέγει χαίρομαι, τρέμομαι, ἢ ῥιγῶμαι, ἢ πυρέττομαι, ἢ φρίσσομαι, ἢ θνήσκομαι, ἢ πίπτομαι, ἢ ὀφθαλμιοῦμαι, ἐπειδὴ καὶ τῷ σημαινομένῳ κωλύονται ταῦτα εἶναι παθητικά, τῆς παθητικῆς σημασίας προαναπληρωθείσης ἐν τῇ ἐνεργητικῇ φωνῇ. Τὰ δὲ ἐκ τοῦ ἐναντίου φωνὴν μὲν ἔχουσι παθητικήν, σημασίαν δὲ ἐνεργητικήν, ὡς τὸ ἔρχομαι, εὔχομαι, δέχομαι, ὀρχοῦμαι, πέτομαι· ταῦτα γὰρ φωνὴν ἔχουσι παθητικήν, καθὸ εἰς ΜΑΙ λήγουσι, σημαινόμενον δὲ ἐνεργητικόν, ἐνέργειαν γὰρ σημαίνουσι, διὸ καὶ αὐτὰ ἐνεργητικὰ καλοῦνται, ἐπεὶ οἴκοθεν ἔχουσι τὴν ἐνέργειαν. Τούτων ἐνεργητικὴ φωνὴ οὐχ εὑρίσκεται, οὐδὲ γὰρ λέγεται ἔρχω, ἢ εὔχω, ἢ πέτω, ἢ νήχω, ἢ ὀρχῶ, καὶ τὰ λοιπά, ἐπειδὴ τὸ σημαινόμενον κωλύει· προανεπληρώθη γὰρ τὸ σημαινόμενον αὐτῶν διὰ τῆς παθητικῆς φωνῆς. Κατὰ δὲ τὴν ἀσυνταξίαν ἐπιλιμπάνουσι ῥήματα ὡς τὰ τοιαῦτα· ἐπὶ τοῦ ἵσταται, δίδοται, πεποίηται, πρὸ τοῦ ΤΑΙ προσέρχεται τὸ Ν, καὶ ἀποτελεῖται τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, οἷον ἵστανται, δίδονται, πεποίηνται· ἐπὶ δὲ τοῦ τέτυπται καὶ νένυκται καὶ κέκαρται, ἐπεὶ πρὸ τοῦ Τ ἐστὶ σύμφωνον, προσερχομένου τοῦ Ν, ἀσυνταξία γίνεται· εὑρίσκεται γὰρ ΠΝΤ καὶ ΚΝΤ καὶ ΡΝΤ, καὶ τούτου χάριν διὰ τὴν ἀσυνταξίαν ἐπιλιμπάνει ἐνταῦθα τὸ γʹ πρόσωπον τῶν πληθυντικῶν, καὶ διὰ μετοχῆς ἀναπληροῦνται καὶ ὑπαρκτικοῦ
225 b ῥήματος, οἷον τετυμμένοι εἰσί, καὶ κεκαρμένοι εἰσί, καὶ νενυγμένοι εἰσί. Κατὰ δὲ τὸ φορτικὸν ἔχομεν τὸ ἐπὶ τοῦ χέω

χέσω, γίνεται γὰρ χεύσω. Κατὰ τύχην δὲ πολλὰ εὑρήσομεν ῥήματα ἐπιλιμπάνοντα, οἷον τοῦ ἔλαβον, τοῦ ἔμαθον, τοῦ ἔφαγον, τοῦ ἔδακον, τοῦ ἔπεσον, τοῦ ἔμεσον· οὐχ εὑρίσκεται ὁ ἐνεστὼς ἐν αὐτοῖς ἐν χρήσει, ἀλλ' ἐπιλιμπάνει κατὰ τύχην, οὐδὲ γάρ ἐστιν ὁ λείβω ἐνεστὼς ἐν χρήσει, οὔτε ὁ μήθω, οὔτε ὁ φήγω, οὔτε ὁ δήκω, οὔτε ὁ μέσω, οὔτε ὁ πέσω· καὶ ἀλλὰ δὲ τοιαῦτα πολλὰ ῥήματα κατὰ τύχην ἐπιλιμπάνοντα, οἷον τὰ διὰ τοῦ ΑΝΩ βαρύτονα, ἄχρι τοῦ παρατατικοῦ κλίνονται, λαμβάνω, μανθάνω, κιχάνω, λανθάνω, ἐρυγγάνω, τὸ ἐρεύγομαι. Πρόσκειται "βαρύτονα," διὰ τὰ περισπώμενα, οἷον διὰ τὸ στεφανῶ, στεφανώσω· πάλιν τὰ διὰ τοῦ ΑΘΩ καὶ τὰ διὰ ΕΘΩ καὶ τὰ διὰ τοῦ ΤΘΩ ἄχρι τοῦ παρατατικοῦ μόνου κλίνονται, οἷον κιάθω, (σημαίνει δὲ τὸ πορεύομαι,) ἀμυνάθω, (σημαίνει δὲ τὸ βοηθῶ,) φλεγέθω, (σημαίνει δὲ τὸ φλέγω,) ἐρέθω, (σημαίνει δὲ τὸ ἐρεθίζω,) μινύθω, (σημαίνει δὲ τὸ ἐλαττῶ,) φθινύθω, (σημαίνει δὲ τὸ φθείρω·) πάλιν δὲ τὰ εἰς ΒΩ βαρύτονα, ἔχοντα πρὸ τοῦ Β σύμφωνον, ἢ τὸ Ε μόνον, ἄχρι τοῦ παρατατικοῦ κλίνονται, οἷον σέβω, φέρβω (τὸ τρέφω,) ἀτέμβω, (τὸ στερίσκω,) ἐρέμβω· διὰ τοῦτο ἁμαρτάνουσιν οἱ λέγοντες ἐρέμφθην. Ὡς γὰρ εἴρηται ἕως τοῦ παρατατικοῦ μόνου κλίνονται· σημειούμεθα παρὰ Σοφοκλεῖ καὶ παρὰ Πλάτωνι τὸ ἐσέφθην καὶ τὸ σεφθῆναι· οὗτοι γὰρ τὸ σέβω καὶ εἰς τὸν ἀόριστον ἔκλιναν. Πρόσκειται "βαρύτονα" διὰ τὸ ἀσεβῶ, ἀσεβήσω, πρόσκειται δὲ "ἢ τὸ Ε μόνον" διὰ τὸ λείβω, λείψω· τοῦτο γὰρ οὐκ ἔχει τὸ Ε μόνον, ἀλλὰ μετὰ τοῦ Ι. Καὶ τὰ διὰ τοῦ ΣΚΩ ῥήματα ἄχρι τοῦ παρατατικοῦ μόνου κλίνονται, οἷον ἀρέσκω, πιφάσκω (τὸ φανερῶ,) μεθύσκω, στερίσκω, πιπράσκω, χωρὶς τοῦ θνήσκω, θνήξω, καὶ ἀλύσκω, ἀλύξω· τὸ γὰρ διδάξω οὐκ ἔστιν ἀπὸ τοῦ διδάσκω, ἀλλ' ἀπὸ τοῦ διδάχω, ἐξ οὗ καὶ τὸ διδαχή. Πρόσκειται "βαρύτονα" διὰ τὸ ἀσκῶ, ἀσκήσω. Πάλιν τὰ διὰ τοῦ ΕΙΝΩ ὑπὲρ β' συλλαβὰς βαρύτονα ἄχρι τοῦ παρατατικοῦ μόνου κλίνονται, οἷον ἐρεείνω, φαείνω, ἀλεείνω (τὸ ἐκκλίνω.) Πρόσκειται "ὑπὲρ δύο συλλαβὰς" διὰ τὸ τείνω, τενῶ· πρόσκειται "βαρύτονα" διὰ τὸ ταπεινῶ, ταπεινώσω. Καὶ τὰ διὰ τοῦ ΕΙΩ, λέγω δὲ διὰ τῆς ΕΙ διφθόγγου παράγωγα ἀπὸ ἐνεστῶτος ἢ ἀπὸ

τοῦ μέλλοντος, ἕως τοῦ παρατατικοῦ μόνου κλίνονται· ἀπὸ μὲν ἐνεστῶτος, οἷον κίχω κιχείω, ὄλω ὀλείω, τέλω τελείω, ἀπὸ δὲ μελλόντων, οἷον βρώσω βρωσείω, πολεμήσω πολεμησείω· ταῦτα δέ, φημὶ δὴ τὰ ἀπὸ μελλόντων γινόμενα, ἐπιθυμίαν τινὰ σημαίνουσιν, οἷον βρωσείω, τὸ ἐπιθυμίαν ἔχω τῆς βρώσεως σημαίνει, καὶ ὀψείω, τὸ ἐπιθυμίαν ἔχω τοῦ θεωρῆσαι, καὶ τὸ πολεμησείω τὸ ἐπιθυμίαν ἔχω τοῦ πολεμῆσαι· καὶ τὰ ἀπὸ τοῦ ἐνεστῶτος γενόμενα τὸ αὐτὸ σημαινόμενον φυλάττουσι, τὸ γὰρ κίχω κιχείω τὸ αὐτὸ σημαινόμενον φυλάττουσι, καὶ τὸ ὄλω ὀλείω ὁμοίως, καὶ τὸ τέλω τελείω. Καὶ τὰ διὰ τοῦ ΤΩ ὑπὲρ δύο συλλαβὰς ποιοῦντα παράγωγα εἰς ΜΙ, καὶ τὰ ἀπὸ τούτων παραγόμενα εἰς ΜΙ,
226 a ἄχρι παρατατικοῦ μόνου κλίνονται, οἷον πηγνύω πήγνυμι, ὀμνύω ὄμνυμι, ὀλλύω ὄλλυμι, δεικνύω δείκνυμι, ῥηγνύω ῥήγνυμι, ὀρνύω ὄρνυμι. Πρόσκειται δὲ "ὑπὲρ δύο συλλαβάς," διὰ τὸ κλύω, (σημαίνει δὲ τὸ ἀκούω,) κλῦμι, κλύσω, ἔκλυον, ἐξ οὗ καὶ τὸ κλῦθι, καὶ διὰ τὸ δύω, δῦμι, δύσω, ἐξ οὗ καὶ τὸ ἔδυ καὶ ὑπέδυ. Πρόσκειται "ποιοῦντα παράγωγα εἰς ΜΙ," διὰ τὸ μηνύω μηνύσω, ἐρύω ἐρύσω, ἑλκύω ἑλκύσω, ταῦτα γὰρ κλίνονται καὶ μετὰ τὸν παρατατικόν, ἀλλ' οὐ ποιοῦσι παράγωγα εἰς ΜΙ. Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τῆς προεξηγήσεως τοῦ κειμένου· ἐφεξῆς δὲ ἀρχόμεθα καὶ αὐτοῦ τοῦ κειμένου.

Σχόλια τοῦ κειμένου, ΤΥΠΤΩ.

Ἐὰν ἔχῃ ἡ ε´ συζυγία τῶν βαρυτόνων τὴν ΑΙ συλλαβὴν δεδιπλασιασμένην, καὶ λήγει εἰς ἀμετάβολον, οἷον καρκαίρω, μαρμαίρω, παμφαίνω, μορμύρω· ὁμοίως καὶ τὰ εἰς Ω λήγοντα ἔχοντα πρὸ τοῦ Ω δύω σύμφωνα κατ' ἐπιπλοκήν, ὧν τὸ Β ἐστὶν ἀμετάβολον, οἷον μέμβλω, ὄφλω, ἔγρω, δάκνω, καὶ τὰ εἰς Ω καθαρὸν τῇ ΥΙ διφθόγγου παραληγόμενα, οἷον ὀπυίω, ἀλλυίω (?) ἀγυίω, ἐξ οὗ καὶ ἀγυιά· καὶ τὰ διὰ τοῦ ΤΩ ὑπὲρ δύο συλλαβὰς ποιοῦντα παράγωγα εἰς ΜΙ, οἷον πηγνύω, πήγνυμι· καὶ τὰ Ἀττικῶς βαρυνθέντα, ἀλέξω, αὔξω, ἕψω, ἔθω, ῥόφω· καὶ τὰ ποιητικά, ὡς τὸ ὄσσω ἐκ τοῦ ὄπτω, καὶ λεύσσω ἐκ τοῦ βλέπω, καὶ πέσσω ἐκ τοῦ πέπτω, καὶ κορύσσω ἐκ τοῦ κορύπτω, καὶ τὰ παρ' αὐτοῖς παραγόμενα ἀπὸ μέλλοντος εἰς ἐνεστῶτα,

ὡς τὸ ὄρσω· καὶ τὰ εἰς ΔΩ, εἰ ἔχει πρὸ τοῦ Δ ἢ τὸ Λ ἢ τὸ Ν, οἷον σπένδω, κυλίνδω, ἕλκω, μέλπω, ταῦτα πάντα ἄχρι τοῦ παρατατικοῦ κλίνεται.

Σχόλια τοῦ κειμένου.

Ἐν ὀνόματι τοῦ θεοῦ ἀρχόμεθα τοῦ κειμένου τοῦ ῥήματος· ἔχει δὲ οὕτω τὸ κείμενον· "τῶν ἐν τοῖς ὁριστικοῖς ῥήμασιν ἐνεστώτων ἐνεργητικῶν δύο εἰσὶ καταλήξεις, ἥτε εἰς Ω καὶ παράγωγος ἡ εἰς ΜΙ."

Ἰστέον δὲ ὅτι τὰ εἰς Ω λήγοντα ῥήματα ἢ πρωτότυπά εἰσιν ἢ παράγωγα· πρωτότυπα μὲν, οἷον τύπτω, γράφω, ἄρδω· παράγωγα δὲ, οἷον ἀρδεύω, ἀρχεύω· ἀπὸ γὰρ τοῦ ἄρδω καὶ ἄρχω παρήχθησαν. Τὰ δὲ εἰς ΜΙ πάντα παράγωγά εἰσιν, καὶ οὐδέποτε πρωτότυπα· ἀπὸ γὰρ τοῦ τιθῶ γίνεται τίθημι, καὶ ἀπὸ τοῦ ἱστῶ γέγονεν ἵστημι, καὶ ἀπὸ τοῦ διδῶ, δίδωμι, καὶ ἀπὸ τοῦ ζευγνύω ζεύγνυμι. Ὥσπερ δὲ διαλαμβάνοντες περὶ τῶν ἀρσενικῶν ὀνομάτων ἐλέγομεν εἶναι ε΄ αὐτῶν τελικὰ, Ν, Ξ, Ρ, Σ, Ψ, καὶ προσετίθεμεν προσδιορισμούς τινας, λέγοντες, ὅτι τελικὰ ἀρσενικῶν ὀνομάτων ἀνεπεκτάτων κοινὰ κατὰ εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν εἰσὶν ε΄, Ν, Ξ, Ρ, Σ, Ψ, οἷον Δίων, Φοῖνιξ, Νέστωρ, Πάρις, Πέλοψ· οὕτως καὶ ἐνταῦθα δεῖ ἡμᾶς μετὰ πάσης ἀκριβείας ἐξετάσαι τὸ κείμενον. Λέγει ὁ τεχνικὸς ὅτι δύο εἰσὶ καταλήξεις τῶν ῥημάτων, ἥτε εἰς Ω, καὶ παράγωγος ἡ εἰς ΜΙ, προσέθηκε δὲ "ἐν τοῖς ὁριστικοῖς ῥήμασι," καὶ δῆλον ὅτι εἰπὼν "ὁριστικοῖς" πρὸς ἀντιδιαστολὴν τῶν λοιπῶν ἐγκλίσεων εἶπεν, "ἐνεστώτων" δὲ διὰ τοὺς ἄλλους χρόνους, "ἐνεργητικῶν" δὲ διὰ τὰ παθητικὰ καὶ μέσα· δεῖ δὲ ἡμᾶς προσθεῖναι, πρώτων προσώπων ἑνικῶν, καὶ πρώτων μὲν διὰ τὰ β΄ καὶ γ΄ πρόσωπα, οἷον τύπτεις, τύπτει, ἑνικῶν δὲ διὰ τὰ δυϊκὰ καὶ πληθυντικὰ, οἷον τύπτετον, τύπτομεν. Ζητοῦμεν δὲ διὰ τί προσέθηκεν "ἐν τοῖς ὁριστικοῖς·" δοκεῖ γὰρ περιττῶς καὶ αὐτὸ τὸ ὂν σημαίνειν καὶ μὴ πρὸς ἀντιδιαστολὴν ἑτέρου τινὸς
226 b παραλαμβάνεσθαι καὶ ἐνταῦθα· εἰ γὰρ εἴπῃ τις ὅτι πρὸς ἀντιδιαστολὴν τῶν ἀπαρεμφάτων πρόσκειται ἐνταῦθα

τὸ "ὁριστικοῖς," λέγομεν ὅτι τὰ ἀπαρέμφατα πρόσωπα οὐκ ἔχουσιν οὔτε ἀριθμούς· περὶ δὲ πρώτου προσώπου καὶ ἑνικοῦ ἀριθμοῦ ἐστὶν αὐτῷ ἐνταῦθα ὁ λόγος· εἰ δέ τις εἴπῃ, ὅτι διὰ τὰ προστακτικὰ πρόσκειται "ὁριστικοῖς," λέγομεν ὅτι τὰ προστακτικὰ α′ πρόσωπα οὐκ ἔχουσι· περὶ δὲ τοῦ α′ προσώπου, ὡς εἴρηται, ἐστὶν αὐτῷ ὁ λόγος. Ἀλλ' ἴσως ἐρεῖ τις ὅτι πρὸς ἀντιδιαστολὴν τῶν ὑποτακτικῶν πρόσκειται τὸ ὁριστικοῖς· ἀλλὰ λέγομεν ὅτι καὶ αὐτὰ τὰ ὑποτακτικὰ εἰς ω λήγουσιν, οἷον ἐὰν τύπτω, ἐὰν τύψω· ἐὰν δὲ εἴπῃ τις, ὅτι πρὸς ἀντιδιαστολὴν τῶν εὐκτικῶν πρόσκειται τὸ ὁριστικοῖς, λέγομεν ὅτι καὶ τὰ εὐκτικὰ εἰς μι λήγουσι, οἷον τύψοιμι, τύψαιμι. Τί οὖν ἔχομεν εἰπεῖν; Λέγομεν ὅτι δυνατὸν πρὸς ἀντιδιαστολὴν τῶν εὐκτικῶν νοῆσαι τὸ ἐν τοῖς ὁριστικοῖς· τὰ γὰρ εὐκτικὰ εἰς μι λήγοντα οὐκ ἔχουσι τὴν κατάληξιν ταύτην ἀπὸ παραγωγῆς ἀλλ' ἀπὸ κλίσεως, οἷον τύπτω, τύπτοιμι, ἔτυψα, τύψαιμι, τὰ δὲ ὁριστικὰ ἀπὸ παραγωγῆς ἔχουσι τὴν εἰς μι κατάληξιν, καὶ οὐκ ἀπὸ κλίσεως, οἷον τιθῶ τίθημι, ἱστῶ ἵστημι, διδῶ δίδωμι, πηγνύω πήγνυμι. Σημειῶσαι ὅτι ἄλλο τὸ ἀπὸ παραγωγῆς, καὶ ἄλλο τὸ ἀπὸ κλίσεως· οἷον τὸ μὲν Πάρις Πάριδος ἀπὸ κλίσεως ἔχει τὸ δ, καὶ οὐκ ἀπὸ παραγωγῆς, τὸ δὲ Πηλεὺς Πηλείδης οὐκ ἀπὸ κλίσεως ἔχει τὸ δ, ἀλλ' ἀπὸ παραγωγῆς· οὕτως οὖν τὰ μὲν ὁριστικά, τουτέστι τὸ τιθῶ τίθημι, ἱστῶ ἵστημι, ζευγνύω ζεύγνυμι ἀπὸ παραγωγῆς ἔχουσι τὴν εἰς μι κατάληξιν, καὶ οὐκ ἀπὸ κλίσεως· τὰ δὲ εὐκτικά, φημὶ δὲ τὸ τύπτοιμι καὶ λέγοιμι, οὐκ εἰσὶν ἀπὸ παραγωγῆς ἔχοντα τὴν εἰς μι κατάληξιν, ἀλλ' ἀπὸ κλίσεως. Εἴρηκε δὲ καὶ "παράγωγος ἡ εἰς μι." Εἰπὼν οὖν "παράγωγος" ἀνεῖλε τὰ εὐκτικὰ μὴ ἔχοντα ἐκ παραγωγῆς τὴν εἰς μι κατάληξιν. Ἔτι δὲ δυνάμεθα λέγειν, ὅτι τὸ "ἐν τοῖς ὁριστικοῖς" προσέθηκεν οὐ μόνον πρὸς ἀντιδιαστολὴν τῶν εὐκτικῶν, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῶν ὑποτακτικῶν· τὰ γὰρ εὐκτικὰ ἔχοντα κατάληξιν τὴν εἰς μι οὐκέτι ἔχουσι καὶ τὴν εἰς ω, καὶ τὰ ὑποτακτικὰ πάλιν τὴν εἰς ω κατάληξιν ἔχοντα οὐκέτι δὲ καὶ τὴν εἰς μι ἔχουσιν· ἐν δὲ τοῖς ὁριστικοῖς ἔφη δύο εἶναι καταλήξεις, τὴν εἰς ω καὶ τὴν εἰς μι

ἀπὸ παραγωγῆς. Λέγει ὁ τεχνικὸς, ὅτι εἰπόντες πρῶτον περὶ τῶν εἰς ω ῥημάτων, ὕστερον περὶ τῶν εἰς μι διαληψόμεθα· καὶ εὐλόγως περὶ τῶν εἰς ω ληγόντων πρῶτον διαλαμβάνει, καὶ τελευταῖον περὶ τῶν εἰς μι, ἐπειδὴ τὰ εἰς μι ἀπὸ τῶν εἰς ω παράγονται· ἀπὸ γὰρ τοῦ τιθῶ γέγονε τίθημι, καὶ ἀπὸ τοῦ ἱστῶ ἵστημι, καὶ ἀπὸ τοῦ διδῶ τὸ δίδωμι, καὶ ἀπὸ τοῦ ζευγνύω τὸ ζεύγνυμι, καὶ ἀπὸ τοῦ πηγνύω τὸ πήγνυμι· ἐν οἷς καὶ ἡ πρᾶξις.

Ἐὰν τοίνυν εἰς ω λήγῃ τὸ ῥῆμα, βαρύτονόν ἐστιν, οἷον λέγω, φέρω, ὅσα δὲ περιεσπάσθη, ταῦτα ἀπὸ βαρυτόνων συνῃρέθη, ποιέω ποιῶ, βοάω βοῶ, χρυσόω χρυσῶ. Ἰστέον δὲ ὅτι τὰ εἰς ω λήγοντα ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν πρὸς ἀντιδιαστολὴν τῶν εἰς ω θηλυκῶν ὀνόματων· πολλὰ γὰρ εὑρίσκομεν ῥήματα καὶ ὀνόματα θηλυκὰ εἰς ω λήγοντα, ἅτινα ἐκ τοῦ τόνου διαστέλλονται. Τὰ γὰρ εἰς ω λήγοντα θηλυκὰ ὀξύνονται, τῶν ῥημάτων μὴ ὀξυνομένων,
227 a οἷον κλείω Κλειὼ, καλύψω Καλυψὼ, πείθω πειθὼ, εἴκω, εἰκὼ, [Aristoph. Nub. 559.]

τὰς εἰκοὺς τῶν ἐγχέλεων·

εἴκω δέ ἐστι τὸ ὁμοιῶ, εἰκὼ δὲ ἡ εἰκών· "τὰς εἰκοὺς τῶν ἐγχέλεων," οἱονεὶ τὰς εἰκόνας καὶ ὁμοιώσεις. Τὰ οὖν εἰς ω λήγοντα ῥήματα εὐλόγως ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν πρὸς ἀντιδιαστολὴν, ὡς εἴρηται, τῶν εἰς ω θηλυκῶν ὀνομάτων· εἰκότως καὶ τὰ ἐξ αὐτῶν κλινόμενα καὶ τὰ ἐξ αὐτῶν παραγόμενα ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον τύπτω τύπτεις τύπτει, λέγω λέγεις λέγει, τιθῶ τίθημι, ἱστῶ ἵστημι, διδῶ δίδωμι· καὶ καθόλου λέγομεν, ὅτι πάντα τὰ ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, καὶ πάντα βαρύνονται ἢ δυνάμει ἢ ἐνεργείᾳ, ἐνεργείᾳ μὲν, οἷον λέγω, γράφω, τύπτω, δυνάμει δὲ, ὡς πάντα τὰ περισπώμενα οἷον ποιῶ, βοῶ, χρυσῶ, νοῶ, ταῦτα γὰρ δυνάμει βαρύτονα εἰσί. Καὶ ἀποροῦσι τινὲς, λέγοντες, εἰ ἄρα ἡ περισπωμένη ἀπὸ ὀξείας καὶ βαρείας σύγκειται, διὰ τί μὴ λέγομεν τὰ περισπώμενα δυνάμει ὀξύτονα, ἀλλὰ δυνάμει βαρύτονα; Ἔστιν οὖν εἰπεῖν, ὅτι τοὺς τόνους ἐκ τοῦ τέλους κανονίζομεν·

ὀξύτονον γὰρ λέγομεν τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον καλὸς, σοφὸς, καὶ παροξύτονον τὸ πρὸ μιᾶς τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον νέος, φίλος, καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως· ἐπειδὴ ἡ περισπωμένη ἐν τῷ τέλει ἔχει τὴν βαρεῖαν, τούτου χάριν τὰ περισπώμενα ὡς πρὸς τὸ τέλος ἀφορῶντες δυνάμει καλοῦμεν βαρύτονα. Καθόλου οὖν, ὡς εἴρηται, πάντα τὰ ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν χωρὶς ὀλίγων. Εἰσὶ τὰ ὀξύτονα ἄχρι λβ', καὶ μὴ νομίσωμεν ταῦτα τὰ λβ' πολλὰ εἶναι πρὸς δ' χιλιάδας ἢ δ' μυριάδας μὴ ὀξυτονουμένας. Εἰσὶ δὲ τὰ ὀξυτονούμενα ταῦτα, δὸς, θὲς, σχὲς, (τὸ κώλυσον,) σπὲς, (τὸ ἀκολούθησον), καὶ εἰπὲ, φρὲς, (τὸ φέρε,) ἕς, (τὸ ἀπόλυσον·) ταῦτα δὲ μονοσύλλαβα ὄντα καὶ βραχυκατάληπτα, ἐξ ἀνάγκης ὀξύνονται, περισπασθῆναι μὴ δυνάμενα διὰ τὴν βραχεῖαν· ἡ γὰρ περισπωμένη οὐ τίθεται ἐπάνω βραχείας, ἀλλ' ἐπάνω φύσει μακρᾶς, οἷον μῦς, παῖς, βοῦς· βαρύνεσθαι δὲ μὴ δυνάμενα διὰ τὴν μονοσυλλαβίαν, ἐπειδὴ πᾶσα λέξις μονοσύλλαβος ἢ ὀξύνεται ἢ περισπᾶται, οὐ μὴν βαρύνεται, οἷον Κρὴς, Τρὼς, Ζεὺς, Φρὺξ, νὺξ, θρὶξ, νοῦς, βοῦς, παῖς· εὐλόγως ταῦτα ὀξύνονται· ταῦτα δὲ ἐν τῇ συνθέσει ὑπερβαίνοντα τὴν μονοσυλλαβίαν βαρύνονται, καὶ τὸ σπὲς δὲ, ὡς ἐν τῷ ἐνίσπες καὶ ἐπίσπες, καὶ τὸ σχὲς, ὡς ἐν τῷ ἐπίσχες καὶ κατάσχες, τὸ δὲ φρὲς, σημαίνει (δὲ) τὸ φέρε, ὡς ἐν τῷ εἴσφρες, τὸ δὲ ἕς, σημαίνει δὲ τὸ ἀπόλυσον, ὡς ἐν τῷ ἄφες, πρόες, [Il. α'. 127.]

> ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες,

οἱονεὶ πρόπεμψον· τὸ δὲ δὸς, ὡς ἐν τῷ σύνδος, παράδος· τὸ δὲ θὲς, ὡς ἐν τῷ ἐπίθες, παράθες. Ταῦτα μὲν ἐν τούτοις.

Ἔστι δὲ καὶ τὸ χρὴ ὀξυτονούμενον, οἷον [Il. β'. 24.]

> οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα·

γέγονε δὲ τοῦτον τὸν τρόπον· ἔστι χρῆμι, χρὴς, χρῆσι, καὶ κατὰ ἀποκοπὴν γίνεται χρὴ ὀξυτονούμενον. Ὀξύνεται δὲ καὶ τὸ ἐλθὲ, καὶ εἰπὲ, καὶ εὑρέ· περὶ ὧν ἐν τοῖς προστακτικοῖς, εἰ θεῷ φίλον, μαθησόμεθα· καὶ τὸ εἰμὶ, τὸ σημαῖνον τὸ ὑπάρχω, καὶ τὸ φημὶ, τὸ σημαῖνον τὸ λέγω, καὶ τὸ κατὰ ἀποβολὴν τοῦ φ γινόμενον, λέγω δὴ τὸ ἠμὶ, τὸ σημαῖνον τὸ

λέγω, ὅπερ ὡς εἴρηται ἐκ τοῦ φημὶ, “παῖ φημὶ ἠμὶ,” Ἀριστοφάνης ἐν Βατράχοις [37.], ἐξ οὗ ἐστὶ τὸ ἦ τὸ σημαῖνον τὸ εἶπεν, οἷον [Il. α΄. 528.]

227 b ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.

καὶ τὸ [Il. δ΄. 419.]

ἦ ῥὰ, καὶ ἐξ ὄχεων

ἀντὶ τοῦ εἶπε δή. Ἐγένετο δὲ ποίως; Τοῦτον τὸν τρόπον· ἔστιν ἦμι τὸ σημαῖνον τὸ λέγω, ὅπερ ὡς εἴρηται ἐκ τοῦ φημὶ γέγονε κατὰ ἀποβολὴν τοῦ φ, τούτου ὁ μέλλων ἤσω, ὁ β΄ ἀόριστος ἦν, καὶ τὸ β΄ πρόσωπον ἦς, καὶ τὸ τρίτον ἦ, ἀντὶ τοῦ εἶπε. Καὶ διὰ τί δὲ τὸ εἰμὶ καὶ τὸ φημὶ καὶ τὸ ἠμὶ ὀξύνονται, ἐν τοῖς εἰς μι, εἰ θεῷ φίλον, μαθησόμεθα. Τὰ δὲ λοιπὰ ὀξυνόμενα ἀπὸ κλίσεως εἰσὶ τούτων τῶν δύο, λέγω δὲ τὸ φημὶ καὶ τὸ ἠμί· τὸ γὰρ ἠμὶ, τὸ ἐπὶ τοῦ λέγω, οὐ φαίνεται κλινόμενον κατὰ τὸν ἐνεστῶτα· πρόσκειται “κατὰ τὸν ἐνεστῶτα” διὰ τὸ

ἦ καὶ κυανέῃσιν ἐπ' ὄφρυσι

ἀορίστου β΄ ὑπάρχον, ὡς εἴρηται· ἀπὸ δὲ τοῦ εἰμὶ γίνεται εἶς, οἷον, [Od. δ΄. 611.]

αἵματος εἶς ἀγαθοῖο, φίλον τέκος

ἀντὶ τοῦ ὑπάρχεις, καὶ ἐσσὶ, καὶ ἐστὸν, καὶ ἐστὶν, καὶ ἐσμὲν, καὶ ἐστὲ, καὶ εἰσίν· ἀπὸ δὲ τοῦ φημὶ γίνεται φὴς, φησὶ, καὶ κατὰ ἀποκοπὴν φῆς· “(σὲ) γὰρ φῆ Ταργήλιος·” τὸ δὲ Ταργήλιος ὄνομά ἐστι δαίμονος· φατὸν, φαμὲν, φατὲ, φασὶ, καὶ τὸ φαθὶ δὲ προστακτικὸν ὀξύνουσιν, ὡς παρ' Ἀριστοφάνει [Eq. 22.]

ἐξόπισθεν νῦν
αὐτοῦ φαθὶ τοῦ μολῶμεν,

ἀντὶ εἰπέ. Τὸ δὲ λαβὲ καὶ ἰδὲ παρ' ἡμῖν βαρύνεται, οἷον λάβε, ἴδε, παρὰ δὲ τοῖς Ἀττικοῖς ὀξύνεται, λαβὲ γὰρ καὶ ἰδὲ λέγουσιν ὀξυτόνως· τὰ δὲ κατὰ διάλεκτον οὐ θέλομεν συναριθμεῖν, ἐπειδὴ πολλὰ εὑρίσκομεν, καὶ μάλιστα παρὰ τοῖς Δωριεῦσι, κατὰ πάθος ὀξυνόμενα· τὸ γὰρ δασμηφορεῖν ἀποβάλλει τὸ ι παρὰ τοῖς Δωριεῦσι, καὶ γίνεται ἐν ὀξείᾳ τάσει δασμηφορέν· (δασμηφορεῖν δέ ἐστι τὸ φέρειν τὰ

δημόσια·) τοιοῦτοι δὲ εἰσὶν οἱ Δωριεῖς, λέγω δὲ πολλάκις εὑρίσκονται ἀποβάλλοντες τῆς ει διφθόγγου τὸ ι, οἷον συρίζεις, συρίσδες, ὡς παρὰ Θεοκρίτῳ

ἁδὺ δὲ καὶ τὺ συρίσδες.

"Τύπτεις." Καὶ λέγει ὅτι πᾶν πρῶτον εἰς ω λῆγον, ἀμοιβῇ ἢ τροπῇ τοῦ ω εἰς ΕΙΣ τὸ δεύτερον πρόσωπον ποιεῖ, οἷον κόπτω κόπτεις, λέγω λέγεις, γράφω γράφεις, ἀείδω ἀείδεις· ὁ δὲ λόγος δῆλον ὅτι περὶ τῶν ὁριστικῶν, περὶ ὧν ὁ τεχνικὸς σκοπὸν ἔχει διαλαβεῖν· τοῦτο δὲ εἴρηται διὰ τὰ ὑποτακτικά· ἰδοὺ γάρ ἐστιν, ἐὰν κόπτω ἐὰν κόπτῃς, ἐὰν λέγω ἐὰν λέγῃς· ἰδοὺ τούτων τὰ β' διὰ τοῦ η καὶ ι ἐκφέρονται, καὶ οὐ διὰ τῆς ει διφθόγγου τῆς ε καὶ ι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ω λήγοντα ῥήματα, καὶ τὰ εἰς μι, θέλουσιν ἔχειν τὸ δεύτερον πρόσωπον εἰς σ καταλῆγον· καὶ τὰ μὲν εἰς ω ἔχουσιν ἰσοσύλλαβον τὸ β' πρόσωπον τῷ ἰδίῳ πρώτῳ προσώπῳ, καὶ διὰ τῆς ει διφθόγγου ἐκφερόμενον τὸ β' πρόσωπον ἐν τοῖς ὁριστικοῖς· ὁμοίως δὲ καὶ ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐν τῷ ἐνεστῶτι διὰ τῆς αι διφθόγγου ἐκφέρεται τὸ β' πρόσωπον, προσγραφομένου μὲν τοῦ ι, μὴ συνεκφερομένου δὲ, οἷον γελῶ γελαῖς γελᾷς, ὁρῶ ὁραῖς ὁρᾷς, νικῶ νικᾷς νικᾷ. Πρόσκειται "ἐν τῷ ἐνεστῶτι" διὰ τὸν μέλλοντα, βοήσω γὰρ βοήσεις, καὶ γελάσω γελάσεις, διὰ τῆς ει διφθόγγου καὶ οὐ διὰ τῆς αι. Ἐπὶ δὲ τρίτης συζυγίας τῶν περισπωμένων διὰ τῆς οι διφθόγγου ἐκφέρεται τὸ β' πρόσωπον ἐν τῷ ἐνεστῶτι, οἷον χρυσῶ χρυσοῖς χρυσοῖ, ὀρθῶ ὀρθοῖς ὀρθοῖ, στεφανῶ στεφανοῖς στεφανοῖ, καὶ γυψῶ γυψοῖς γυψοῖ. Πρόσκειται "ἐν τῷ ἐνεστῶτι" διὰ τὸν μέλλοντα· χρυσώσω γὰρ καὶ χρυσώσεις διὰ τῆς ει διφθόγγου καὶ οὐ διὰ τῆς οι. Περὶ μέντοι τῶν ἄλλων περισπωμένων, τουτέστι τῶν ἄλλου χρόνου [ἢ τῶν χρόνων] ὄντων, λέγω δὲ τοῦ μέλλοντος χρόνου, διὰ τῆς ει διφθόγγου ἐκφέρεται τὸ
228 a δεύτερον πρόσωπον, οἷον κερῶ κερεῖς, τελῶ τελεῖς, ῥανῶ ῥανεῖς, τυπῶ τυπεῖς· τὰ μέντοι ὑποτακτικὰ διὰ τοῦ η καὶ ι ἔχουσι τὸ δεύτερον πρόσωπον ἐκφερόμενον, οἷον ἐὰν τύπω ἐὰν τύπῃς, ἐὰν λέγω ἐὰν λέγῃς, ἐὰν νοῶ ἐὰν νοῇς· χωρὶς τῆς

β′ καὶ γ′ συζυγίας τῶν περισπωμένων· ἐκεῖναι γὰρ ὁμοφωνοῦσι τοῖς ἰδίοις ὁριστικοῖς κατὰ τὸ β′ ἢ γ′ πρόσωπον, οἷον βοῶ βοᾷς βοᾷ, ἐὰν βοῶ ἐὰν βοᾷς ἐὰν βοᾷ, ἐὰν γελῶ ἐὰν γελᾷς ἐὰν γελᾷ, χρυσῶ χρυσοῖς χρυσοῖ, ὀρθῶ ὀρθοῖς ὀρθοῖ, ἐὰν χρυσῶ ἐὰν χρυσοῖς ἐὰν χρυσοῖ· οἱ μέντοι Δωριεῖς καὶ οἱ Αἰολεῖς τρέπουσι τὴν ει δίφθογγον εἰς η, οἷον λέγης, οἱ δὲ Δωριεῖς ἔστιν ὅτε τὸ ι ἀποβάλλουσιν ἐκ τῆς ει διφθόγγου, οἷον συρίζεις συρίσδες, ὡς παρὰ Θεοκρίτῳ,

ἀδὺ δὲ καὶ τὺ
συρίσδες.

Τὰ μέντοι εἰς μι, καὶ αὐτὰ ἔχοντα τὸ δεύτερον πρόσωπον εἰς σ καταλῆγον, οἷον τίθημι τίθης, ἔχει διαφορὰν ταύτην πρὸς τὰ εἰς ω, ὅτι ἐνδέον ἔχουσι το β′ προσώπον τοῦ πρώτοι προσώπου μιᾷ συλλαβῇ, καὶ ὅτι δι' ἑνὸς φωνήεντος ἐκφωνούμενον ἔχει τὸ β′ πρόσωπον, οἷον τίθημι τίθης, ἵστημι ἵστης, δίδωμι δίδως, ζεύγνυμι ζεύγνυς. Διὰ τοῦτο σημειούμεθα τὸ φῇς ἔχον τὸ ι προσγεγραμμένον· ἀπὸ γὰρ τοῦ φημὶ γέγονε τροπῇ τῆς μι εἰς σ· ὤφειλε χωρὶς τοῦ ι εἶναι, ἀλλ' ἡ παράδοσις βούλεται ἔχειν αὐτὸ τὸ ι προσγεγραμμένον. Τὸ δὲ εἶς, τὸ ὑπάρχεις σημαῖνον, καὶ τὸ εἶς, τὸ σημαῖνον τὸ πορεύῃ, ἀπὸ τοῦ πρώτου προσώπου ἔχει τὴν ει δίφθογγον· ἔστι γὰρ πρῶτον πρόσωπον τὸ εἰμὶ τὸ ὑπάρχω, [Od. ι′. 19.]

εἰμὶ δ' Ὀδυσεὺς Λαερτιάδης.

τοῦτο κατὰ τροπὴν τοῦ μι εἰς σ ποιεῖ τὸ β′ πρόσωπον, οἷον εἶς, οἷον [Od. δ′. 611.]

αἵματος εἶς ἀγαθοῖο, φίλον τέκος, οἷ ἀγορεύεις,

ἀντὶ τοῦ ὑπάρχεις, καὶ λοιπὸν ἐκεῖθεν ἔσχε τὴν ει δίφθογγον· ὁμοίως δὲ καὶ τὸ εἶμι, τὸ σημαῖνον τὸ πορεύομαι, βαρυτονούμενον [Od. β′. 318.]

εἶμι μὲν, οὐδ' ἁλίη ὁδὸς ἔσεται

κατὰ τροπὴν τῆς μι εἰς σ τὸ β′ ποιεῖ πρόσωπον εἶς, [Hesiod. Opp. 206.]

τῇδ' εἶς ᾗ σ' ἂν ἐγὼ ἄγω καὶ ἀοιδόν περ ἐοῦσαν

ἀντὶ τοῦ πορεύῃ· καὶ λοιπὸν ἐκεῖθεν ἔσχε τὴν ει δίφθογγον. Καὶ τὰ εἰς ω καὶ τὰ εἰς μι ἔχουσι τὸ β′ πρόσωπον εἰς σ κατα-

λῆγον, καὶ καθολικώτερον δὲ, τουτέστιν εἰπεῖν, ὅτι πᾶν πρῶτον πρόσωπον εἰς ν λῆγον μὴ ἔχον τὸ μ κλιτικὸν πάντως ἔχει τὸ δεύτερον πρόσωπον εἰς σ καταλῆγον, οἵου δήποτε χρόνου, οἵας δήποτε ἐγκλίσεως, οἵας δήποτε διαθέσεως, οἷον ἔτυπτον ἔτυπτες, ἔλεγον ἔλεγες, ἐτύφθην ἐτύφθης, τυφθείην τυφθείης, καὶ δαρείην δαρείης. Πρόσκειται "μὴ ἔχον τὸ μ κλιτικὸν" διὰ τὸ ἐτυπτόμην· τοῦτο γὰρ εἰς ν λήγει, καὶ οὐκ ἔχει τὸ δεύτερον πρόσωπον εἰς σ καταλῆγον· ἐτύπτου γάρ· ἐπεὶ ἔχει τὸ μ κλιτικὸν, τουτέστιν ἀπὸ κλίσεως. Τύπτω γάρ ἐστι τὸ θέμα, καὶ οὐκ ἔχει αὐτό. Ταῦτα μὲν ἐν τούτοις.

Λέγει δὲ ὁ τεχνικὸς ὅτι τὰ περισπώμενα πρὸς τὴν συναίρεσιν ποιοῦνται τὴν γραφὴν, οἷόν ἐστι ποιέω, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ω γίνεται ποιῶ· τούτου τὸ β′ πρόσωπον 228 b ποιέεις, καὶ τὸ λοιπὸν τὸ ε καὶ ἡ ει δίφθογγος κιρνᾶται, καὶ γίνεται ποιεῖς· καὶ πάλιν ἐστὶ βοάω, καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ω εἰς ω γίνεται βοῶ· τούτου τὸ β′ πρόσωπον βοάεις, τὸ δὲ α καὶ ε εἰς α μακρὸν κιρνᾶται παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις, οἷον τὰ ἐμὰ, τἀμά· οὕτως οὖν καὶ βοάεις βοᾷς, καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ε εἰς τὸ α μακρὸν, καὶ μένει τὸ ι προσγεγραμμένον· παρὰ μὲν τοῖς Δωριεῦσιν εἰς η κιρνᾶται τὸ α καὶ ε, οἷον τὰ ἐμὰ, τἠμά· οὕτως οὖν καὶ ἐν τῷ ὁράεις ποιοῦσι τὸ α καὶ ε εἰς η κατὰ κρᾶσιν, καὶ λέγουσιν ὁρῇς, καὶ πάλιν διψάεις διψῇς, πεινάεις πεινῇς, καὶ μένει τὸ ι προσγεγραμμένον· κέχρηνται δὲ τούτοις ἀπὸ Δωρίδος διαλέκτου οὖσι καὶ οἱ Ἀθηναῖοι· φημὶ δὲ τὸ πεινῆς, καὶ διψῆς, καὶ ὁρῆς. Μὴ νομίσωμεν δὲ ὅτι τὸ α παρ' ἡμῖν, φημὶ δὲ ὡς ἐν τῷ πεινᾷς καὶ διψᾷς καὶ ὁρᾷς, ὅτι ἐτράπη παρὰ τοῖς Δωριεῦσιν εἰς η ἐν τῷ πεινῇς καὶ διψῇς καὶ ὁρῇς· οὐδέποτε γὰρ τὸ παρ' ἡμῖν α εἴτε μακρὸν εὑρεθῇ εἴτε βραχὺ τρέπεται εἰς η παρὰ τοῖς Δωριεῦσι· τοὐναντίον γὰρ τὸ η εἰς α μακρὸν τρέπουσιν, οἷον ἡδὺ, ἁδὺ,

ἁδύ τι τὸ ψιθύρισμα,

ἀλλ' ὡς εἴρηται κρᾶσις Δωρικὴ τοῦ α καὶ ε εἰς η. Τοιοῦτόν ἐστι καὶ τὸ ἐν τῇ κοινῇ διαλέκτῳ ἐπικρατῆσαν· λέγω δὲ τὸ ζῇς· ἔστι γὰρ ἄω τὸ σημαῖνον τὸ πνέω· τοῦτο κατὰ ἐπί-

τασιν τοῦ ΖΑ ἐπιρρήματος γίνεται ζάω, οἱονεὶ πάνυ πνέω, ὥσπερ πλοῦτος, ζάπλουτος, ὁ πάνυ πλούσιος· καὶ ἀπὸ τοῦ οὖν τοῦ ζάω γίνεται κατὰ κρᾶσιν ζῶ, τούτου τὸ δεύτερον πρόσωπον ζάεις, καὶ λοιπὸν κατὰ κρᾶσιν Δωρικὴν τοῦ Α καὶ Ε εἰς Η γίνεται ζῇς, καὶ μένει τὸ Ι προσγεγραμμένον, ὥσπερ πεινάεις πεινῇς· τοῦτο δὲ, φημὶ δὴ τὸ ζῇς, οὕτως ἐπεκράτησε καὶ παρ' ἡμῖν λέγεσθαι. Πάλιν ἐστὶ χρυσόω, καὶ κατὰ κρᾶσιν τοῦ Ο καὶ Ω εἰς Ω γίνεται χρυσῶ· τούτου τὸ δεύτερον πρόσωπον χρυσόεις, καὶ ὤφειλε κατὰ κρᾶσιν τοῦ Ο καὶ Ε εἰς τὴν ΟΥ δίφθογγον γίνεσθαι χρυσοῦς, τὸ γὰρ Ο καὶ Ε εἰς τὴν ΟΥ δίφθογγον κιρνᾶται, οἷον τὸ ἐμὸν, τοὐμὸν, ἀλλ' ἐπειδὴ ἤμελλε τρία φωνήεντα εἶναι ἐν μιᾷ συλλαβῇ, φημὶ δὲ τὸ Ο καὶ Υ καὶ Ι, οὐδέποτε δὲ ἐν μιᾷ συλλαβῇ γ' φωνήεντα εὑρίσκονται, ἀνάγκην ἔχει ἓν ἐκ τούτων τῶν γ' φωνηέντων ἀποβληθῆναι· καὶ τὸ μὲν Ι οὐ δύναται ἀποβληθῆναι, ἐπεὶ τὰ εἰς Ω λήγοντα ῥήματα θέλουσιν ἔχειν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ προσώπῳ δίφθογγον τὴν μετὰ τοῦ Ι, οἷον τύπτω τύπτεις τύπτει, βοῶ βοᾷς βοᾷ· τὸ δὲ Ο οὐκ ἠδύνατο ἀποβληθῆναι, ἐπειδὴ ἤμελλεν εἶναι (μετὰ ΥΙ) δίφθογγον ἐπιφερόμενον σύμφωνον τὸ Σ, ὅπερ ἐστὶν ἀδύνατον, οὐδέποτε γὰρ μετὰ τὴν ΥΙ δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον μυῖα, ἅρπυια, υἱός. Μὴ δυνάμενον οὖν μήτε τὸ Ι ἀποβάλλειν, διὰ τὸ ἔχειν τὸ πρῶτον πρόσωπον εἰς Ω καταλῆγον, μήτε τὸ Ο, διὰ τὸ μηδέποτε (μετὰ) τὴν ΥΙ δίφθογγον εὑρίσκεσθαι σύμφωνον ἐπιφερόμενον, ἐξ ἀνάγκης ἀπέβαλε τὸ Υ καὶ ἐγένετο χρυσοῖς διὰ τῆς ΟΙ διφθόγγου, ἢ, ὡς ἔχει τινὰ τῶν ἀντιγράφων, ἀπέβαλε τὸ Ε τοῦ χρυσόεις ἐντελοῦς, καὶ ἔμεινεν ἡ ΟΙ δίφθογγος, καὶ ἐγένετο χρυσοῖς.

"Τύπτει." Λέγει ὅτι πᾶν δεύτερον εἰς Σ λῆγον ἀποβολῇ τοῦ Σ ποιεῖ τὸ τρίτον πρόσωπον, οἷον τύπτεις τύπτει,
229 a λέγεις λέγει, ἐτύφθης ἐτύφθη, ποιεῖς ποιεῖ, βοᾷς βοᾷ, χρυσοῖς χρυσοῖ, ἔλεγες ἔλεγε, ἔτυπτες ἔτυπτε, ἔλαβες ἔλαβε, ἔμαθες ἔμαθε, χωρὶς τοῦ παρακειμένου καὶ τοῦ πρώτου ἀορίστου, καὶ τῶν ἀπὸ τῶν εἰς ΜΙ. Καὶ "χωρὶς μὲν τοῦ παρακειμένου καὶ τοῦ πρώτου ἀορίστου" πρόσκειται, ἐπειδὴ

ἐπὶ τούτων οὐ μόνον τὸ Σ ἀποβάλλεται, ἀλλὰ καὶ τροπὴ παρακολουθεῖ τοῦ Α εἰς τὸ Ε, οἷον τέτυφας τέτυφε, πεποίηκας πεποίηκε, ἔτυψας ἔτυψε. "Χωρὶς δὲ τῶν ἀπὸ τῶν εἰς ΜΙ" πρόσκειται, ἐπειδὴ ἐπὶ τούτων κατὰ τὸν ἐνεστῶτα, παρ' οἷς τὸ Σ οὐκ ἀποβάλλεται, ἀλλὰ καὶ τὸ Ι προσέρχεται, οἷον τίθημι τίθης τίθησι, ἵστημι ἵστης ἵστησι, δίδωμι δίδως δίδωσι, ζεύγνυμι ζεύγνυς ζεύγνυσι. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, διὰ ποίαν αἰτίαν τὰ μὲν ῥήματα προσωπικῶς κινούμενα κατὰ τὸ τέλος κινοῦνται, οἷον τύπτω τύπτεις τύπτει, γράφω γράφεις γράφει; Πρόσκειται "προσωπικῶς," διὰ τὸ ἔτυπτον καὶ ἔγραφον· ταῦτα γὰρ κατὰ τὴν ἀρχὴν κινηθέντα χρονικῶς ἐκινήθησαν καὶ οὐ προσωπικῶς, αἱ δὲ ἀντωνυμίαι προσωπικῶς κινούμεναι κατὰ τὸ ἄρχον κινοῦνται, οἷον ἐμοῦ σοῦ οὗ, ἐμοὶ σοὶ οἷ, ἐμὲ σὲ ἕ. Καὶ ἔστιν εἰπεῖν, ὅτι πρῶτον μὲν ἄλλο μέρος λόγου ἐστὶ τὸ ῥῆμα, καὶ ἄλλο ἡ ἀντωνυμία, καὶ οὐκ ἀνάγκη τὰ αὐτὰ παρακολουθεῖν τῷ ῥήματι καὶ τῇ ἀντωνυμίᾳ· δεύτερον δὲ, τὰ μὲν ῥήματα πρόσωπα μόνον ἔχουσιν, οὐ μὴν καὶ πτώσεις, αἱ δὲ ἀντωνυμίαι καὶ πρόσωπα ἔχουσι καὶ πτώσεις· πρόσωπα μὲν, ἐμοῦ σοῦ οὗ, πτώσεις δὲ, οἷον ἐμὸς ἐμοῦ ἐμὸν, καὶ λοιπὸν ὡς ἔχουσαι αἱ ἀντωνυμίαι καὶ πτώσεις καὶ πρόσωπα, καὶ μὴ δυνάμεναι ἐν ἑνὶ τόπῳ τὰς δύο κινήσεις ἀναδέξασθαι, διὰ τὸ μὴ γενέσθαι σύγχυσιν, τούτου χάριν πτωτικῶς μὲν κινούμεναι κατὰ τὸ τέλος κινοῦνται, οἷον ἐμὸς ἐμοῦ ἐμῷ ἐμὸν, προσωπικῶς δὲ κατὰ τὴν ἄρχουσαν, οἷον ἐμοῦ σοῦ οὗ. Διὰ τί δὲ μὴ ἐκ τοῦ ἐναντίου ἐκινήθησαν, τουτέστι πτωτικῶς μὲν κατὰ τὴν ἄρχουσαν, προσωπικῶς δὲ κατὰ τὸ τέλος, ἐν τῷ προοιμίῳ τοῦ β' λόγου τοῦ ῥηματικοῦ Ἀπολλωνίου, εἰ θεῷ φίλον, μαθησόμεθα.

"Δυϊκὰ, τύπτετον τύπτετον."

Λέγει ὅτι δύο ζητοῦμεν ἐν τοῖς δυϊκοῖς ζητήματα· καὶ πρῶτον μέν ἐστι ζήτημα, διατί ἐπιλείπει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, β' δὲ ἐστὶ ζήτημα, ὅτι διατί τὸ β' καὶ γ' πρόσωπα ὁμοφωνοῦσιν ἀλλήλοις; Καὶ ἔστιν εἰπεῖν, ὡς λέγει ὁ τεχνικὸς, ὅτι ὅταν εὑρεθῇ τὸ πρῶτον πρόσωπον τῶν

πληθυντικῶν τὸ μ ἔχον ἐν τῇ τελευταίᾳ συλλαβῇ ἀπολιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, οἷον τετύφαμεν τετύφατε τετύφατον τετύφατον, ἐτύψαμεν ἐτύψατον ἐτυψάτην, καὶ λοιπὸν ἐξ ἀνάγκης δύο ἀπολιμπάνονται, β′ καὶ τρίτον· περὶ δὲ τῆς τρίτης συνεμπτώσεως λέγει, ὅταν εὑρεθῇ τὸ γ′ πρόσωπον τῶν πληθυντικῶν εἰς σι ἢ εἰς ται λῆγον· ὁμοφωνοῦσι τὰ β′ καὶ γ′ τῶν δυϊκῶν, ὡς ἔχομεν ἐπὶ τοῦ ἐνεστῶτος παρακειμένου καὶ μέλλοντος· ἐν τούτοις γὰρ ὁμοφωνοῦσι τὰ β′ καὶ γ′ πρόσωπα τῶν δυϊκῶν, οἷον τύπτουσι τύπτετον τύπτετον,
262 b τύπτονται τύπτεσθον τύπτεσθον, πεποιήκασι πεποιήκατον πεποιήκατον, πεποίηνται πεποίησθον πεποίησθον, ποιήσουσι ποιήσετον ποιήσετον, ποιήσονται ποιήσεσθον ποιήσεσθον. Ἡνίκα δὲ τὸ γ′ τῶν πληθυντικῶν μήτε εἰς σι μήτε εἰς ται λήγει, οὐχ ὁμοφωνοῦσι τὰ γ′ τῶν δυϊκῶν τοῖς ἰδίοις β′, ἀλλὰ διαλλάττουσι, καὶ τροπὴ τοῦ ο εἰς η γίνεται, ὡς ἐπὶ παρατατικοῦ, ὑπερσυντελικοῦ, καὶ ἀορίστου, οἷον ἔτυπτον ἐτύπτετον ἐτυπτέτην, ἐτύπτοντο ἐτύπτεσθον ἐτυπτέσθην, ἐτετύφεισαν ἐτετύφειτον ἐτετυφείτην, ἐπεποίηντο ἐπεποίησθον ἐπεποιήσθην, ἔτυψαν ἐτύψατον ἐτυψάτην, ἐποιήσαντο ἐποιήσασθον ἐποιησάσθην. Γέγονε δὲ ἐνταῦθα τὸ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ β′ τῶν πληθυντικῶν τροπῇ τοῦ ε εἰς ον, οἷον τύπτετον, τύπτετον· καθόλου γὰρ πᾶν β′ πληθυντικῶν τροπῇ τοῦ ε εἰς ον τὸ δεύτερον τῶν δυϊκῶν ποιεῖ, οἷον τετύφατε τετύφατον, ἐτύψατε ἐτύψατον, τύπτεσθε τύπτεσθον, ἐτύψασθε ἐτύψασθον· τὸ δὲ γ′ τῶν δυϊκῶν ὁμοφωνεῖ ἐνταῦθα τῷ ἰδίῳ β′, οἷον τύπτετον, τύπτετον, ἐπειδὴ εἰς ι λήγει τὸ γ′ πρόσωπον τῶν πληθυντικῶν, τύπτουσι γάρ. Τούτων οὕτως ἐχόντων, ζητοῦμεν κατὰ ποῖον τρόπον ἐπιλιμπάνει τὸ α′ πρόσωπον τῶν δυϊκῶν ἐνταῦθα· ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι κατὰ τέσσαρας τρόπους ἐπιλιμπάνουσιν αἱ φωναί· ἢ γὰρ διὰ σημασίαν, ἢ δι' ἀσυνταξίαν, ἢ κατὰ τὸ φορτικόν, ἢ κατὰ τύχην· καὶ ὅτι δὲ οὐ διὰ σημασίαν ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, ὥσπερ ἐν τοῖς προστακτικοῖς, δῆλον ἐκ τούτου (τοῦ?) καὶ τὰ ἑνικὰ καὶ τὰ πληθυντικὰ ἔχειν πρῶτον πρόσωπον, ἢ (εἰ) γὰρ διὰ σημασίαν ἐπιλιμπάνει τὸ πρῶτον

πρόσωπον τῶν δυϊκῶν, καὶ ἐν τοῖς ἑνικοῖς καὶ ἐν τοῖς πληθυντικοῖς ἔμελλεν ἐπιλιμπάνειν τὸ α′ πρόσωπον· ἰδοὺ γὰρ ἐν τοῖς προστακτικοῖς διὰ σημασίαν ἐπιλιμπάνει τὸ α′ πρόσωπον, ἐπειδὴ οὐδεὶς ἑαυτὸν προστάσσει, καὶ πανταχοῦ ἐπιλαμπάνει, τουτέστιν ἑνικοῖς καὶ δυϊκοῖς καὶ πληθυντικοῖς. Ἔστιν οὖν εἰπεῖν, ὅτι διὰ τὴν ἀσυνταξίαν ἐπιλιμπάνει ἐνταῦθα τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν· ἀσυνταξίαν γὰρ λέγομεν τὸ μὴ ἔχειν χαρακτῆρα Ἑλληνικόν. Ἔστι γὰρ κανὼν τοιοῦτος· πᾶν δυϊκὸν ῥῆμα θέλει χαρακτηρίζεσθαι ἢ διὰ τοῦ Τ ἢ διὰ τοῦ Θ, οἷον τύπτετον τυπτόμεθον· ἔστι δὲ καὶ ἄλλος κανὼν ὁ λέγων, ὅτι πᾶν μέρος λόγου ἐπιδεχόμενον ἀριθμοὺς θέλει χαρακτηρίζεσθαι δι' ἐκείνου τοῦ στοιχείου ἐν τοῖς δυϊκοῖς, δι' οὗ καὶ τὸ πληθυντικὸν χαρακτηρίζεται, χωρὶς τῶν πρωτοτύπων ἀντωνυμιῶν· αὗται γὰρ θεματικαί εἰσι, καὶ οὐκ ἔχουσιν ἀκολουθίαν πρὸς ἀλλήλας· ἔστι γὰρ ἡμεῖς τὸ πληθυντικὸν διὰ τοῦ Μ, καὶ τὸ δυϊκὸν νῶι, καὶ οὐκ ἔχει τὸ Μ. Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· τὸ Αἴαντες ἔχει τὸ Ν καὶ τὸ Τ, ἀλλὰ καὶ τὸ Αἴαντε ἔχει τὸ ΝΤ· τὸ 230 a Πάριδες ἔχει τὸ Δ, ἀλλὰ καὶ τὸ Πάριδε ἔχει τὸ Δ. Πάλιν ἐν τῷ γυναῖκες καὶ ἐν τῷ γυναῖκε ἐφυλάχθη τὸ Κ, καὶ ἐν τῷ μεγάλοι καὶ ἐν τῷ μεγάλε τὸ Λ, ἀλλὰ καὶ τὸ ὕδατα καὶ τὸ ὕδατε τὸ αὐτὸ Τ ἐφύλαξαν. Διὰ τοῦτο οἱ Δωριεῖς ἀναλογικώτεροί εἰσι, τὰ πληθυντικὰ ἄρθρα λέγοντες μετὰ τοῦ Τ, οἷον τοὶ ποιμένες καὶ ταὶ μοῦσαι, ἵνα τὸ αὐτὸ φυλαχθῇ καὶ ἐν τοῖς πληθυντικοῖς καὶ ἐν τοῖς δυϊκοῖς· τὰ γὰρ δυϊκὰ τὼ καὶ τὰ, οἷον τὼ Αἴαντε, τὰ μούσα· ὁμοίως δὲ καὶ ἐν τοῖς ῥήμασι τυπτόμεθα ἐστὶ τὸ πληθυντικὸν διὰ τοῦ Θ, καὶ τυπτόμεθον τὸ δυϊκὸν διὰ τοῦ Θ. Ἔχομεν οὖν τοὺς δύο κανόνας· ἔχομεν γὰρ ὅτι τὸ δυϊκὸν ῥῆμα ἢ διὰ τοῦ Τ χαρακτηρίζεται ἢ διὰ τοῦ Θ, καὶ ὅτι τὸ ἐν τοῖς πληθυντικοῖς σύμφωνον φυλάττεσθαι θέλει καὶ ἐν τοῖς δυϊκοῖς, οἷον τύπτομεν τὸ πληθυντικὸν, καὶ ἔχει τὸ Μ ἐν τῇ τελευταίᾳ συλλαβῇ, ἀναγκάζεται δὲ τοῦτο τὸ Μ φυλαχθῆναι καὶ ἐν τοῖς δυϊκοῖς· εἶχεν οὖν γίγνεσθαι τύπτομον τὸ α′ πρόσωπον τῶν δυϊκῶν, τροπῇ τῆς ΜΕΝ εἰς ΜΟΝ, ὥσπερ καὶ ἀπὸ τοῦ τυπτό-

μεθα γίγνεται τυπτόμεθον, τροπῇ τῆς ΘΑ εἰς ΘΟΝ· ἀλλ' ἐπειδὴ οὐκ ἔχει τὸ χαρακτηριστικὸν τῶν δυϊκῶν ῥημάτων, λέγω δὲ τὸ Τ ἢ τὸ Θ, οὐκ ἠδύνατο γενέσθαι τύπτομον, ἀλλ' οὔτε δὲ τύπτοθον ἢ τύπτοτον, ἐπειδὴ οὐ φυλάσσει τὸ ἐν τοῖς πληθυντικοῖς σύμφωνον, λέγω δὲ τὸ Μ· ἀναγκαζόμενον δὲ ἢ τὸ Τ φυλάττειν ἢ τὸ Θ χαρακτηριστικὸν τῶν δυϊκῶν ῥημάτων, οὐκ ἠδύνατο ἐξενενεχθῆναι διὰ τοῦ Μ, ἀναγκαζόμενον δὲ φυλάττειν τὸ χαρακτηριστικὸν τοῦ πληθυντικοῦ τὸ Μ, οὐκ ἠδύνατο ἐξενεχθῆναι οὔτε διὰ τοῦ Θ, οὔτε διὰ τοῦ Τ. Τῶν οὖν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὸ Τ ἢ τὸ Θ χαρακτηριστικὸν τῶν δυϊκῶν ῥημάτων, τοῦ δὲ ἑτέρου ἀπαιτοῦντος τὸ Μ τὸ ἐν τοῖς πληθυντικοῖς, ἐξ ἀνάγκης ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, ἡνίκα τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ Μ ἔχει ἐν τῇ τελευταίᾳ συλλαβῇ. Ταῦτα μὲν ὁ Ἀπολλώνιος.

Τὰ δὲ ὑπὸ τοῦ Ἡρωδιανοῦ λεγόμενα ταῦτα· ὅτι τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν ἐνταῦθα ἀναγκάζεται ἔχειν τὸ Τ ἢ τὸ Θ, τὸ χαρακτηριστικὸν τοῦ δυϊκοῦ ῥήματος, καὶ τὸ Μ τοῦ πληθυντικοῦ, καὶ λοιπὸν ἀναγκάζεται γενέσθαι τύπτοθμον ἢ τυπτόμετον, ἀδύνατον δὲ τὸ Μ πρὸ τοῦ Τ, οὐ συνίσταται γὰρ οὔτε κατὰ σύλληψιν οὔτε κατὰ διάστασιν· κατὰ σύλληψιν μὲν, ὅτι τὰ ὑποτασσόμενα τινὶ ἐν συλλήψει ἐὰν ἀντιπροηγήσωνται ἐν διαστάσει ἀντιπροηγοῦνται, οἷον ἐν τῷ πρῶτος τὸ Ρ ὑποτέτακται τοῦ Π κατὰ σύλληψιν, ἐὰν δὲ προηγήσηται τὸ Ρ τοῦ Π, κατὰ διάστασιν αὐτοῦ προηγεῖται, ὡς ἐπὶ τοῦ ἕρπω, καὶ πάλιν ἐν τῷ κλέος τὸ Λ ὑποτέτακται τοῦ Κ κατὰ σύλληψιν, ἀντιπροηγούμενον δὲ τὸ Λ τοῦ Κ ἐν τῷ ἕλκω κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγεῖται, καὶ πάλιν ἐν τῷ θνήσκω
230 b τὸ Ν ὑποτέτακται τοῦ Θ κατὰ σύλληψιν, ἀντιπροηγούμενον δὲ τὸ Ν τοῦ Θ, ὡς ἐν τῷ ἄνθος, κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγήσατο· ἐπειδὴ οὖν τὸ Μ ὑποτέτακται τοῦ Θ καὶ τοῦ Τ κατὰ σύλληψιν, ὡς ἐν τῷ τμῆμα καὶ Ἀθμονὶς, (σημαίνει δὲ δῆμον Ἀττικὸν,) δῆλον ὅτι ἐὰν ἀντιπροηγήσηται (τοῦ Θ καὶ) τοῦ Τ τὸ Μ, οὐ δύναται αὐτῶν ἀντιπροηγήσασθαι κατὰ σύλληψιν, ἀλλὰ κατὰ διάστασιν. Ἀλλ' οὔτε δὲ πάλιν κατὰ διά-

στασιν δύναται ἀντιπροηγήσασθαι τὸ μ τούτων, φημὶ δὲ τοῦ τ καὶ τοῦ θ, ἐπειδὴ πᾶσα συλλαβὴ καταλήγουσα εἰς τὸ μ θέλει ἔχειν τὴν ἑξῆς συλλαβὴν ἀρχομένην ἀπὸ τοῦ β ἢ ἀπὸ τοῦ π, ἢ ἀπὸ τοῦ φ, ἢ ἀπὸ τοῦ ψ, ἢ ἀπὸ τοῦ μ, οἷον συμβουλή, σύμπονος, σύμφωνος, σύμψηφος, συμμέτοχος· ἐπειδὴ οὖν οὔτε κατὰ σύλληψιν οὔτε κατὰ διάστασιν ἠδύνατο τὸ μ πρὸ τοῦ θ ἢ τοῦ τ, ἐξ ἀνάγκης ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, ἡνίκα τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ μ ἔχει ἐν τῇ τελευταίᾳ συλλαβῇ.

Τινὲς δὲ πρὸς ταύτην τὴν ἀντιλογίαν ἀντιλέγοντες, ὡς δῆθεν κακῶς εἰπόντος τοῦ Ἡρωδιανοῦ, κέχρηνται τοιούτῳ λόγῳ· ὅτι εἰ θέλει ἔχειν ἐνταῦθα τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν τὸ μ τοῦ πληθυντικοῦ καὶ τὸ τ ἢ τὸ θ τοῦ δυϊκοῦ, μὴ εἴπωμεν τύπτομθον ἢ τύπτομτον, ἵνα μὴ γένηται ἀσυνταξία, ἀλλ' ὑπερβιβάσωμεν τὰ σύμφωνα καὶ γενέσθαι τύπτοθμον ἢ τύπτοτμον, καὶ ἔχει λοιπὸν ἢ τὸ τ ἢ τὸ θ τοῦ δυϊκοῦ, καὶ τὸ μ τοῦ πληθυντικοῦ, καὶ οὐκ ἔστιν ἀσυνταξία· εὑρίσκομεν γὰρ καὶ τὸ τ καὶ τὸ θ πρὸ τοῦ μ, ὡς ἐν τῷ τμῆμα, καὶ Ἀθμονίς. Ἡμεῖς δὲ ἀντιλέγομεν πρὸς αὐτοὺς κακῶς λέγοντας, καὶ ἀπολογούμεθα ὑπὲρ τοῦ Ἡρωδιανοῦ καλῶς εἰρηκότος οὕτως· ὅτι ὃν τρόπον ἔχομεν γνῶναι ἐν τῷ παρατατικῷ, ὡς τὸ κείρω γενόμενον κέκαρκα ἐφύλαξε καὶ τὸ ἀμετάβολον καὶ τὸ χαρακτηριστικὸν κ τοῦ παρατατικοῦ, καὶ δεύτερον ἐπέχει τὸ κ τὸ χαρακτηριστικὸν σύμφωνον, τὸ δὲ ρ πρῶτον, τοῦτον τὸν τρόπον καὶ τὸ τύπτοθμον ἢ τύπτοτμον οὐκ ἠδύνατο συστῆναι, ἐπειδὴ τὸ χαρακτηριστικὸν σύμφωνον τῶν δυϊκῶν οὐκ ἔχει τὴν β' τάξιν ἐνταῦθα, τουτέστιν ἢ τὸ τ ἢ τὸ θ, ἀλλὰ τὸ μ τὸ ἔχον τὴν δευτέραν τάξιν, καὶ λοιπὸν ἐνόμιζε τοῦτο τὸ μ χαρακτηριστικὸν εἶναι τοῦ δυϊκοῦ ῥήματος, καὶ οὐκ ἔτι τὸ τ ἢ τὸ θ· ὥστε οὖν οὐ δύναται ὑπερβιβασθῆναι τὰ σύμφωνα ἐπὶ τούτων καὶ γενέσθαι τύπτοθμον ἢ τύπτοτμον, ἀλλ' εἰ ὅλως ἀναγκαζόμεθα φυλάττειν τὰ δύο, τουτέστι καὶ τὸ μ τοῦ πληθυντικοῦ καὶ τὸ τ ἢ τὸ θ τοῦ δυϊκοῦ, ἀναγκαζόμεθα φυλάξαι τὸ χαρακτηριστικὸν τοῦ δυϊκοῦ β' ἐπέχον τάξιν τὸ τ ἢ τὸ θ, τὸ δὲ μ πρώτην.

Τοσαῦτα περὶ τοῦ πρώτου προσώπου τῶν δυϊκῶν ἔχομεν εἰπεῖν, ὅτι πεφύκασι τὰ δυϊκὰ πολλάκις δέχεσθαι ὁμόφωνα, ὡς καὶ περὶ τῶν ὀνομάτων λέγομεν ὀρθῆς καὶ αἰτιατικῆς, γενικῆς καὶ δοτικῆς, καὶ περὶ μετοχῶν, καὶ ἀντωνυμιῶν, καὶ ἐπὶ τῶν 231 a ἄρθρων· εἰκότως οὖν καὶ ἐν τοῖς ῥήμασι τὸ αὐτὸ νενόηται, καὶ πολλάκις ὁμοφωνοῦσιν ἀλλήλοις τὰ δυϊκά. Ἰστέον δὲ ὅτι κἂν πολλάκις ὁμοφωνῶσιν ἀλλήλοις τὰ δυϊκὰ ἐν τοῖς ῥήμασιν, ἀλλ' οὖν οὐκ ἔχουσιν συνεζευγμένα τὰ πρόσωπα, ὥσπερ τὰ πτωτικὰ πτώσεις ἔχουσι συνεζευγμένας. Ταῦτα μὲν ἐν τούτοις. Ἀποροῦσι δέ τινες, λέγοντες, διὰ τί τὸ τρίτον πρόσωπον λέγομεν ἐν τοῖς δυϊκοῖς, ὁ γὰρ γ' ἀριθμὸς ἀρχὴ πλήθους ἐστὶ, καὶ οὐκ ἔστιν ἴδιον δυϊκοῦ ἀριθμοῦ; Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι εἰ καὶ γ' πρόσωπα λέγομεν ἐν τοῖς δυϊκοῖς, ἀλλ' οὖν ἕκαστον αὐτῶν δύο πρόσωπα σημαίνει, ἐπεὶ κατὰ τὸν λόγον ὑμῶν καὶ ἐν τοῖς ἑνικοῖς ἓν μόνον πρόσωπον ὤφειλεν εἶναι καὶ οὐ τρία, ἀλλ' εἰ καὶ τρία εἰσὶ κἀκεῖ πρόσωπα, ἀλλ' οὖν ἕκαστον αὐτῶν ἓν πρόσωπον σημαίνει. Πάλιν ἄξιόν ἐστι ζητῆσαι, τίνος χάριν ἀπὸ τῶν πληθυντικῶν κανονίζομεν τὰ δυϊκὰ ἐν τοῖς ῥήμασι, δοκεῖ γὰρ τὸ ἀτάκτως ἔχειν· οὐδεὶς γὰρ τὰ πρῶτα ἐκ τῶν ὑστέρων κανονίζει. Καὶ ἔστιν εἰπεῖν, ὅτι πολλάκις χάριν σαφηνείας καὶ ἐκ τῶν ὑστέρων κανονίζομεν τὰ πρῶτα, ὥσπερ καὶ ἐπὶ τῶν φυσικῶν πραγμάτων πολλάκις ἐκ τῶν ὑστέρων γινώσκομεν τὰ πρῶτα· καὶ γὰρ βλέποντες καπνὸν λέγομεν ὅτι ἐκεῖ πῦρ, καὶ στοχαζόμεθα ἐκ τοῦ καπνοῦ ὑστέρου ὄντος· καὶ πάλιν λέγομεν περὶ γυναικὸς ὅτι ἡ γυνὴ αὕτη τέτοκε, πόθεν δῆλον; ἐπειδὴ γάλα ἔχει· καὶ ἰδοὺ ἀπὸ τῶν ὑστέρων τὰ πρῶτα κανονίζομεν, μετὰ γὰρ τὸ τεκεῖν ἔχει γάλα· οὕτως οὖν καὶ ἐν τοῖς ῥήμασι χάριν σαφηνείας τὰ δυϊκὰ ἐκ τῶν πληθυντικῶν κανονίζομεν· τοσοῦτον γὰρ σαφέστερα εἰσὶ τῶν δυϊκῶν τὰ πληθυντικὰ, ὅτι καὶ οἱ ἰδιῶται γινώσκουσιν αὐτὰ, τὰ μέντοι δυϊκὰ οὐ γινώσκουσιν. Ἄλλως τε δὲ, ὃ καὶ ἀληθέστερόν ἐστι καὶ ἀναγκαιότερον διὰ τί κανονίζομεν τὰ δυϊκὰ ἐκ τῶν πληθυντικῶν, ὡς λέγει ὁ Φιλόξενος, ἐπειδὴ τὰ δυϊκὰ ὑστερογενῆ εἰσιν· ὕστερον γὰρ ἐπενοήθησαν τὰ δυϊκά. Ὅθεν οὐδὲ πᾶσα διάλεκτος κέχρηται

τῷ δυϊκῷ ἀριθμῷ· οἱ γὰρ Αἰολεῖς παντελῶς δυϊκὰ οὐκ ἔχουσιν, ὥσπερ οἱ Ῥωμαῖοι ἄποικοι ὄντες τῶν Αἰολέων· ἀλλ' οὔτε δὲ διάλεκτος ἔχει τὰ δυϊκὰ, ἀλλ' εἰς πάντα τῷ πληθυντικῷ ἀριθμῷ κέχρηται ἀντὶ τοῦ δυϊκοῦ ἀριθμοῦ, μὴ ἔχουσα δυϊκά· εἰκότως οὖν, ἐπειδὴ τελευταῖον ἐπενοήθησαν τὰ δυϊκὰ, ἐκ τῶν πληθυντικῶν κανονίζονται προτερευόντων αὐτῶν.

"Πληθυντικά· τύπτομεν."

Τὰ εἰς ω λήγοντα ῥήματα προσθέσει τῆς ΜΕΝ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιοῦσι, καὶ ἢ φυλάττουσι τὸ ω, ἢ τρέπουσιν αὐτὸ εἰς τὸ ο ἢ εἰς τὴν ΟΥ δίφθογγον, καὶ καθόλου ἐπὶ πάντων τῶν ὑποτακτικῶν καὶ ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐν τῷ ἐνεστῶτι φυλάττουσι τὸ ω, οἷον ἐὰν λέγω, ἐὰν λέγωμεν, ἐὰν γράφωμεν, ἐὰν τύπτωμεν, ἐὰν ποιῶμεν, ἐὰν χρυσῶμεν, ἐὰν τύψωμεν, ἐὰν γράφωμεν, ἐὰν
231 b λέξωμεν, ἐὰν ποιήσωμεν. Πρόσκειται, "ἐν τῷ ἐνεστῶτι," διὰ τὸ βοήσομεν, καὶ γελάσομεν· ταῦτα γὰρ δευτέρας συζυγίας τῶν περισπωμένων τρέπουσι τὸ ω εἰς τὸ ο κατὰ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, ἀλλ' οὐκ εἰσὶν ἐνεστῶτος χρόνου, ἀλλὰ μέλλοντος· ἐπὶ δὲ τῶν ἄλλων περισπωμένων εἰς τὴν ΟΥ δίφθογγον τρέπεται τὸ ω ἐπί τε τοῦ ἐνεστῶτος χρόνου καὶ τοῦ μέλλοντος, περισπωμένων δηλονότι ὁριστικοῦ, οἷον ποιῶ ποιοῦμεν, νοῶ νοοῦμεν, χρυσῶ χρυσοῦμεν, στεφανῶ στεφανοῦμεν· ἐπὶ μέντοι τῶν ἄλλων τῶν βαρυτόνων, τουτέστι μὴ ὄντων ὑποτακτικῶν, ἐάν τε ἐνεστώτων ἐάν τε μελλόντων ὦσι, τρέπεται τὸ ω εἰς ο, οἷον τύπτω τύπτομεν, λέγω λέγομεν, γράφω γράφομεν, τύψω τύψομεν, ποιήσω ποιήσομεν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ τεχνικὸς τῷ ἀπὸ τῆς μετοχῆς κανόνι ἐχρήσατο, λέγων, ὅτι τῶν ἐνεστώτων καὶ μελλόντων ἡ γενικὴ τῆς μετοχῆς ἀποβάλλουσα τὴν ΤΟΣ συλλαβὴν, καὶ πρὸ τοῦ Ν λαμβάνουσα τὸ Μ καὶ τὸ Ε τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, οἷόν ἐστι τύπτων τύπτοντος, καὶ ἰδοὺ τοῦτο ἀποβάλλει τὴν ΤΟΣ, καὶ λαμβάνει πρὸ τοῦ Ν τὸ Μ καὶ Ε, καὶ γίνεται τύπτομεν, καὶ πάλιν ἐστὶ τύψων τύψοντος, καὶ ἀποβάλλει ὁμοίως τὴν ΤΟΣ, καὶ πρὸ τοῦ Ν λαμβάνει τὸ Μ

καὶ ε, καὶ γίνεται τύψομεν, ὡσαύτως λέγων λέγοντος λέγομεν, λέξων λέξοντος λέξομεν, καὶ λοιπὸν οἵα ἐστὶ παραλήγουσα τῆς γενικῆς τῆς μετοχῆς τοιαύτη ἐστὶ καὶ ἡ παραλήγουσα τοῦ α´ προσώπου τῶν πληθυντικῶν. Ἡ δὲ παραλήγουσα τῆς γενικῆς τῆς μετοχῆς τοιαύτη· ἡ γενικὴ τῶν μετοχῶν ἡ ἀπὸ τῶν εἰς ω βαρυτόνων εἰς ο παραλήγεται, οἷον ὁ γράφων τοῦ γράφοντος, ὁ τρέχων τοῦ τρέχοντος, ὁ λέγων τοῦ λέγοντος, ὁ γράψων τοῦ γράψοντος, ὁ λέξων τοῦ λέξοντος· αἱ δὲ ἀπὸ περισπωμένων τῆς πρώτης συζυγίας καὶ τρίτης τῇ ου διφθόγγῳ παραλήγονται, οἷον ὁ ποιῶν τοῦ ποιοῦντος, ὁ νοῶν τοῦ νοοῦντος, ὁ τελῶν τοῦ τελοῦντος, ὁ στεφανῶν τοῦ στεφανοῦντος· ἡ δὲ γενικὴ τῆς μετοχῆς τῆς δευτέρας συζυγίας τῶν περισπωμένων τῷ ω παραλήγεται, οἷον βοῶν βοῶντος, γελῶν γελῶντος, περῶν περῶντος. Καὶ εὐλόγως μὲν ἐπὶ τῆς πρώτης καὶ τρίτης συζυγίας τῶν περισπωμένων τῇ ου διφθόγγῳ παραλήγεται ἡ γενικὴ τῆς μετοχῆς, ἐπὶ δὲ τῆς δευτέρας τῷ ω· ἡ γὰρ συναίρεσίς ἐστιν ἡ αἰτία· καὶ γὰρ ποιέων ποιέοντος, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ου δίφθογγον γίνεται ποιοῦντος, ὥσπερ Δημοσθένεος Δημοσθένους, καὶ πάλιν χρυσόων χρυσόοντος, καὶ κατὰ κρᾶσιν τῶν δύο οο εἰς τὴν ου δίφθογγον γίνεται χρυσοῦντος, ὥσπερ νόος νοῦς· καὶ πάλιν ἐστὶ βοάων βοάοντος, καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ο εἰς ω γίνεται βοῶντος, ὥσπερ ἐτύψαο ἐτύψω, ἐλούσαο ἐλούσω. Περὶ δὲ τῶν περισπωμένων τῶν ὄντων μέλλοντος χρόνου, ἡ γενικὴ τῆς μετοχῆς τῇ ου διφθόγγῳ παραλήγεται, οἷον κερῶν κεροῦντος, τιλῶν τιλοῦντος, μιανῶν 232 a μιανοῦντος, ὁμοίως τῇ πρώτῃ συζυγίᾳ τῶν περισπωμένων, ὥσπερ ποιῶν ποιοῦντος, νοῶν νοοῦντος. Ταῦτα μὲν ἐν τούτοις.

Προστίθησι δὲ ὁ τεχνικὸς, ὅτι ὁ δὲ λόγος ἁρμόζει καὶ ἐπὶ τῶν εἰς μι, οἷον τιθεὶς τιθέντος, καὶ ἀποβάλλει τὴν τος συλλαβὴν, καὶ πρὸ τοῦ ν λαμβάνει τὸ μ καὶ τὸ ε, καὶ ποιεῖ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τίθεμεν, καὶ κιχρὰς κιχράντος κίχραμεν, διδοὺς διδόντος δίδομεν, ζευγνὺς ζευγνύντος ζεύγνυμεν.

“ Τύπτετε.”

Τὰ εἰς ΜΕΝ πληθυντικὰ τροπῇ τῆς ΜΕΝ εἰς ΤΕ ποιοῦσι τὸ δεύτερον πρόσωπον, καὶ ἢ φυλάττουσι τὴν παραλήγουσαν, ἢ τρέπουσιν αὐτήν· καὶ ὅσα μὲν ἔχουσι τὴν μετοχὴν εἰς Σ, ταῦτα φυλάττουσι τὴν παραλήγουσαν, οἷον ἐτύψαμεν ἐτύψατε, ἐπειδὴ τύψας ἐστὶν ἡ μετοχὴ, ἐτύφθημεν ἐτύφθητε, ἐπειδὴ τυφθεὶς ἦν ἡ μετοχὴ, ἐδίδομεν ἐδίδοτε, ἐπεὶ διδοὺς ἡ μετοχή· εἰ δὲ ἐπὶ τῶν εἰς Ω ῥημάτων, τῶν ἐχόντων δηλονότι εἰς ΜΕΝ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, ἡ μετοχὴ εἰς Σ ἐπὶ παρατατικοῦ καὶ ὑπερσυντελικοῦ ἐνεργητικῆς τε καὶ μέσης διαθέσεως, οἷον τετυφὼς τετυπὼς, καὶ ἐπὶ ἀορίστου πρώτου ἐνεργητικοῦ, οἷον τύψας, καὶ ἐπὶ τῶν δύο ἀορίστων τῶν παθητικῶν τούτων τοῦ πρώτου καὶ δευτέρου τυφθεὶς τυπείς· τρέπουσι δὲ τὴν παραλήγουσαν, ὅσα οὐκ εἰς Σ ἔχουσι τὴν μετοχὴν, ὡς ἐπὶ ἐνεστῶτος καὶ παρατατικοῦ, οἷον τύπτομεν τύπτετε ἐτύπτομεν ἐτύπτετε· τύπτων γὰρ ἡ μετοχή· καὶ ἐπὶ τῶν μελλόντων, οἷον τύψομεν τύψετε· τύψων γὰρ ἡ μετοχή· τυποῦμεν τυπεῖτε· τυπῶν γὰρ ἡ μετοχή· κεροῦμεν κερεῖτε, κερῶν γὰρ ἡ μετοχή· εὐφρονοῦμεν εὐφρονεῖτε, εὐφρονῶν γὰρ ἡ μετοχή· καὶ ἐπὶ τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ, οἷον ἐλάβομεν ἐλάβετε, λαβὼν γὰρ ἡ μετοχή· ἐδράμομεν ἐδράμετε, δραμὼν γὰρ ἡ μετοχή. Ταῦτα δὲ εἴρηται ἐπὶ τῶν εἰς Ω· τὰ γὰρ εἰς ΜΙ λήγοντα ἐπὶ μελλόντων μόνον τρέπουσι τὴν παραλήγουσαν· τούτου γὰρ μόνου, φημὶ δὲ τοῦ μέλλοντος, ἡ μετοχὴ οὐκ εἰς Σ, ὡς κατὰ μέρος ἔχομεν γνῶναι τὴν κλίσιν διεξιόντες, οἷον θήσομεν θήσετε, θήσων γὰρ ἡ μετοχή. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, εἰ ἄρα ἐπὶ τοῦ χρυσοῦμαι χρυσοῦνται ἡ μετοχὴ οὐκ εἰς Σ, χρυσῶν γὰρ ἡ μετοχὴ, διὰ τί οὐκ ἐτράπη ἡ παραλήγουσα, ἀλλ' ἐφυλάχθη; Ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ συναίρεσις ἐστὶν ἡ αἰτία τοῦ εὑρεθῆναι τὴν ΟΥ δίφθογγον καὶ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ δευτέρῳ· κατὰ τὴν παραλήγουσαν γὰρ χρυσόομεν χρυσόετε τῆς παραληγούσης τραπείσης διὰ τὸ μὴ ἔχειν τὴν μετοχὴν εἰς Σ, χρυσόων γὰρ

ἡ μετοχή, καὶ λοιπὸν κατὰ κρᾶσιν τῶν δύο ΟΟ εἰς τὴν ΟΥ δίφθογγον γίνεται χρυσοῦμεν, ὥσπερ νόος νοῦς, καὶ πάλιν 232 b κατὰ κρᾶσιν τοῦ Ο καὶ Ε εἰς τὴν ΟΥ δίφθογγον γίνεται χρυσοῦται, ὥσπερ τὸ ἐμὸν τοὐμόν· καὶ λοιπὸν ἡ κρᾶσις καὶ ἐν τῷ πρώτῳ προσώπῳ καὶ ἐν τῷ δευτέρῳ εἰς τὴν ΟΥ δίφθογγον γινομένη παρέσχεν ὑπόνοιαν ὅτι ἐφυλάχθη ἡ παραλήγουσα τοῦ πρώτου προσώπου καὶ ἐν τῷ δευτέρῳ· τὰ γὰρ περισπώμενα πρὸς τὴν συναίρεσιν ποιεῖται τὴν παραλήγουσαν, οἷον βοάομεν βοάετε, βοάων γὰρ ἡ μετοχή, καὶ λοιπὸν κατὰ κρᾶσιν τοῦ Α καὶ Ο εἰς Ω γίνεται βοῶμεν, καὶ πάλιν ἐλούσαο, ἐλούσω, καὶ τὸ Α καὶ Ε εἰς Α μακρὸν γίνεται βοᾶτε, ὥσπερ τὰ ἐμά, τἀμά· καὶ πάλιν ποιέομεν ποιέετε, ποιέων γὰρ ἡ μετοχή, καὶ κατὰ κρᾶσιν τοῦ Ε καὶ Ο εἰς τὴν ΟΥ δίφθογγον γίνεται ποιοῦμεν, ὥσπερ χάλκεος χαλκοῦς· διὰ τοῦτο δὲ ἐν τῷ ποιεῖτε τὰ δύο ΕΕ εἰς τὴν ΕΙ δίφθογγον ἐκράθησαν, καὶ οὐκ εἰς τὴν Η, ἐπειδὴ τὰ εἰς ΜΕΝ καὶ εἰς ΤΕ τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν κατὰ τὴν παραλήγουσαν, οἷον τύπτομεν τύπτετε ἐτύψαμεν ἐτύψατε, βοῶμεν βοᾶτε, ἐτύφθημεν ἐτύφθητε, χρυσοῦμεν χρυσοῦτε. Εἰ οὖν τὸ ποιοῦμεν διὰ β′ φωνηέντων ἐκφέρεται κατὰ τὴν παραλήγουσαν, δηλονότι ἀναγκάζεται καὶ τὸ ποιεῖτε διὰ β′ φωνηέντων ἐκφέρεσθαι κατὰ τὴν παραλήγουσαν, καὶ δῆλον ὅτι εἰς τὴν ΕΙ δίφθογγον ἐγένετο ἡ κρᾶσις, καὶ οὐκ εἰς τὸ Η.

"Τύπτουσιν." Κανονίζει τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἀπὸ τῆς δοτικῆς τῶν ἰδίων μετοχῶν, λέγων ὅτι τῶν ἐνεστώτων καὶ μελλόντων τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ὁμόφωνα γίνεται τῇ δοτικῇ πληθυντικῇ τῶν ἰδίων μετοχῶν, οἷον οἱ τύπτοντες τῶν τυπτόντων τοῖς τύπτουσι, τύπτομεν τύπτετε τύπτουσιν· οἱ γράφοντες τῶν γραφόντων τοῖς γράφουσι, γράφομεν γράφετε γράφουσιν· οἱ τύψοντες τῶν τυψόντων τοῖς τύψουσι, τύψομεν τύψετε τύψουσιν· οἱ γράψοντες τῶν γραψόντων τοῖς γράψουσι, γράψομεν γράψετε γράψουσιν· ὁ δὲ λόγος ἁρμόζει καὶ ἐπὶ τῶν εἰς ΜΙ, οἱ τιθέντες τῶν τιθέντων τοῖς τιθεῖσι, καὶ τίθεμεν τίθετε τιθεῖσι, καὶ πάλιν οἱ κιχράντες τῶν κιχράντων τοῖς κιχρᾶσι,

κίχραμεν κίχρατε κιχρᾶσι, καὶ πάλιν οἱ διδόντες τῶν διδόντων τοῖς διδοῦσι, δίδομεν δίδοτε διδοῦσι, ζεύγνυμεν ζεύγνυτε ζευγνῦσι. Λέγει δὲ ὁ τεχνικὸς, ὅτι σεσημείωται τὸ φασὶν, ὅτι τῆς μετοχῆς βαρυνομένης τὸ ῥῆμα ὠξυτονήθη· οἱ φάντες γὰρ, τῶν φάντων, τοῖς φᾶσιν ἡ μετοχὴ βαρυτόνως, τὸ δὲ ῥῆμα ὀξυτόνως λέγομεν, οἷον φαμὲν φατὲ φασί· καὶ τὸ εἰσὶ δὲ ὀφείλομεν προσθεῖναι, ὅτι τῆς μετοχῆς βαρυνομένης, οἱ ἔντες γὰρ, τῶν ἔντων, τοῖς εἶσι, καὶ τὸ ῥῆμα ὠξυτονήθη, ἐσμὲν
233 a γὰρ, ἐστὲ, εἰσίν. Ἔχουσι δὲ ἀπολογίαν τοιαύτην εἰπεῖν, ὅτι αἱ μετοχαὶ βαρύνονται, ἐπειδὴ πᾶσα δοτικὴ πληθυντικῶν εἰς ι λήγουσα δισύλλαβος ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλει, οἷον Τρωσὶ, βουσὶ, χησὶ, μησὶ, πλὴν τοῦ πᾶσι καὶ τοῦ σπέσσι·

ἐν σπέσσι γλαφυροῖσι,

ὅπερ ἀπὸ τοῦ σπέεσσι γέγονε κατὰ συγκοπήν· τὸ γὰρ τίσι καὶ τισὶν πρὸς διάφορον σημαινόμενον, καὶ διὰ τοῦτο διάφορον καὶ τὸν τόνον ἔχει· πευστικὸν μὲν γὰρ ὑπάρχον βαρύνεται, οἷον τίσιν δέδωκας, ἀνταποδοτικὸν δὲ ὂν, ἤγουν ἀόριστον, ὀξύνεται, οἷον τισὶν ἠπήντησαι· ἐπὶ δὲ μετοχῶν βαρύνεσθαι θέλει, οἷον στᾶσι, δοῦσι, βᾶσι, θεῖσι. Τούτῳ οὖν τῷ λόγῳ, ὡς μετοχαὶ οὖσαι, καὶ τὸ φᾶσι καὶ τὸ εἶσι βαρύνονται, τὸ δὲ ῥῆμα ὠξυτονήθη τὸ φασὶν, ἔτι δὲ καὶ τὸ εἰσὶν, ἐπειδὴ ταῦτα ἐγκλιτικὰ, οἷον ἄνθρωποί εἰσι, ἄνθρωποί φασι· τὰ δὲ ἐγκλιτικὰ αὐτὰ καθ' ἑαυτὰ ὄντα ἐν τῇ τελευταίᾳ συλλαβῇ θέλουσιν ἔχειν τὸν τόνον, οἷον φημὶ, εἰμὶ, ἐστί. Πρόσκειται "αὐτὰ καθ' ἑαυτὰ ὄντα," ἐπειδὴ ἐν τῇ συντάξει ἀναπέμπουσι τὸν τόνον τὸν ἴδιον ἐν τῇ προηγουμένῃ λέξει, ἢ τῇ προηγουμένῃ συλλαβῇ, οἷον ἄνθρωπός εἰμι, αἰδεῖσθαί φημι, πρός τινων, βασίλειός ἐστιν, ἢ τῇ προηγουμένῃ συλλαβῇ, οἷον ἤκουσέν ἡμων, ἔδωκέν ἡμιν, ἐτίμησέν ἡμας· τούτων οὖν χάριν καὶ τὸ φασὶ καὶ τὸ εἰσὶν ὡς ἐγκλιτικὰ, οἷον ἄνθρωποί εἰσιν, ἄνθρωποί φασι· ταῦτα ὄντα ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχουσι τὸν τόνον, ἐν δὲ τῇ τελευταίᾳ συλλαβῇ ἔχοντα τὸν τόνον εὐλόγως ὀξύνονται· περισπᾶσθαι γὰρ οὐκ ἠδύναντο, βραχυκαταληκτοῦσι γάρ· περισπωμένη δὲ ἐπάνω βραχείας οὐ τίθεται, οὔτε ἐπάνω θέσει

μακρᾶς, ἀλλ' ἐπάνω φύσει μακρᾶς, οἷον Ἑρμῆς, παῖς, Ἡρακλῆς. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τῶν δύο σεσημειωμένων, φημὶ δὲ τοῦ φασὶ καὶ τοῦ εἰσὶ, τοῦ ἑνὸς μόνου ἐμνημόνευσεν ὁ τεχνικὸς, λέγω δὲ τοῦ φασὶ, οὐκέτι δὲ τοῦ εἰσί· καὶ ἔστιν εἰπεῖν ἀπολογίαν ταύτην· διὰ τοῦτο τοῦ εἰσὶν οὐκ ἐμνημόνευσεν ὁ τεχνικὸς, ἐπειδὴ οὐκ ἔστιν ἡ δοτικὴ τῶν πληθυντικῶν τῆς μετοχῆς τούτου ἐν χρήσει· οὐκ ἔστι γὰρ ἐν χρήσει οἱ ἔντες, τῶν ἔντων, τοῖς εἶσι· καὶ λοιπὸν ὡς μὴ οὔσης τῆς δοτικῆς τῶν πληθυντικῶν ἐν χρήσει τῆς ὀφειλούσης ἐλέγξαι τὴν παραλογίαν, παρεσιώπησεν αὐτό. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ, ὅτι τὸ τύπτουσι καὶ τὰ ὅμοια γίνεται ἐφελκυστικὰ τοῦ ν, οἷον τύπτουσιν, γράφουσιν· ὥσπερ γὰρ ἔχομεν μαθεῖν, ὅτι τὸ ε ἐν τοῖς ῥήμασι γίνεται ἐφελκυστικὸν τοῦ ν, ὡς ἐν τῷ ἔτυπτε ἔτυπτεν, ἔλεγε ἔλεγεν, ἔγραφε ἔγραφεν, οὕτω καὶ τὸ ι καθολικῶς λέγομεν εἶναι ἐφελκυστικὸν τοῦ ν, ὅτε ἔχει προηγούμενον τὸ σ ἢ δυνάμει ἢ ἐνεργείᾳ, ἐνεργείᾳ μὲν, ὥσπερ Αἴασι Αἴασιν, λέβησι λέβησιν, τύπτουσι τύπτουσιν, γράφουσι γράφουσιν, δυνάμει δὲ, οἷον, ἔστι ἔστιν, τὸ γὰρ σ ἐνταῦθα δυνάμει, ἀπὸ γὰρ τοῦ ἔσσιν γέγονε κατὰ
233 b τροπὴν τοῦ σ εἰς τ· καὶ πάλιν Φοίνιξι Φοίνιξιν, Πέλοψι Πέλοψιν· δυνάμει γὰρ ἐνταῦθα τὸ σ· τὸ γὰρ ξ ἐκ τοῦ κ καὶ σ δοκεῖ συγκεῖσθαι, καὶ τὸ ψ ἐκ τοῦ π καὶ σ. Πολλάκις δὲ καὶ τοῦ φ προηγουμένου γίνεται τὸ ι ἐφελκυστικὸν τοῦ ν, οἷον ὄρεσφιν, τουτέστιν ἐκ τοῦ ὄρους. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί τὸ ι ἡνίκα ἔχει τὸ σ προηγούμενον ἢ δυνάμει ἢ ἐνεργείᾳ γίνεται ἐφελκυστικὸν τοῦ ν, ὡς προέφημεν; Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· τὸ στοιχεῖον τὸ ἔσχατον τῆς δοτικῆς τῶν ἑνικῶν παρέσχατόν ἐστι τῆς δοτικῆς τῶν πληθυντικῶν, οἷον τῷ καλῷ τοῖς καλοῖς, τῇ μούσῃ ταῖς μούσαις, τῇ φοβερᾷ ταῖς φοβεραῖς· ἰδοὺ ἐν μὲν τῇ δοτικῇ τῶν ἑνικῶν τὸ ι ἔσχατόν ἐστιν, ἐν δὲ τῇ δοτικῇ τῶν πληθυντικῶν τὸ ι παρέσχατόν ἐστι, τουτέστι πλησίον τοῦ ἐσχάτου στοιχείου· ἐπειδὴ οὖν ἐν τῇ Αἴαντι καὶ Φοίνικι καὶ Πέλοπι δοτικῇ ἑνικῇ τὸ ι ἔσχατόν ἐστιν, ἐν δὲ τῇ δοτικῇ τῶν πλη-

θυντικῶν προσλαμβάνων τὸ Ν γίνεται Αἴασιν, Φοίνιξιν, Πέλοψιν· τούτου χάριν προσλαμβάνει τὸ Ν, ἵνα εὑρεθῇ τὸ Ι παρέσχατον τῆς δοτικῆς τῶν πληθυντικῶν. Ἐπειδὴ δὲ ἐν τοῖς ὀνόμασιν ἐφελκυστικὸν ἐγένετο τοῦ Ν προηγουμένου τοῦ Σ ἢ δυνάμει ἢ ἐνεργείᾳ, τούτου χάριν καθολικῶς ἐπεκράτησε καὶ ἐπὶ τῶν μὴ ὄντων ὀνομάτων τὸ τοιοῦτον σχῆμα, φημὶ δὲ τὸ γίνεσθαι τὸ Ι ἐφελκυστικὸν τοῦ Ν προηγουμένου τοῦ Σ ἢ δυνάμει ἢ ἐνεργείᾳ, οἷον ἐστὶ ἐστὶν, Αἴασι Αἴασιν, Πέλοψι Πέλοψιν, Φοίνιξι Φοίνιξιν. Ταῦτα μὲν ἐν τούτοις.

“Παρατατικός. Ἔτυπτον.”

Ἰστέον ὅτι πᾶς παρατατικὸς ἐνεργητικὸς ὁριστικὸς κατὰ τὸ πρῶτον πρόσωπον εἰς Ν λήγει, καὶ πρὸ τοῦ Ν ἀπὸ τῶν εἰς Ω ῥημάτων ὑπάρχων, θέλει ἔχειν ἢ τὸ Ο, ἢ τὸ Ω, ἢ τὴν ΟΥ δίφθογγον· περὶ γὰρ τῶν εἰς ΜΙ ἐν τῷ ἰδίῳ τόπῳ, εἰ θεῷ φίλον, μαθησόμεθα. Καὶ ἀπὸ μὲν βαρυτόνων ῥημάτων ὑπάρχων τὸ Ο ἔχει πρὸ τοῦ Ν, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον, λέγω ἔλεγον, ἀπὸ δὲ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ὑπάρχων τὸ Ω ἔχει, οἷον βοῶ ἐβόων, γελῶ ἐγέλων, κοπιῶ ἐκοπίων, ῥιγῶ ἐρρίγων· ἀπὸ δὲ τῆς πρώτης συζυγίας καὶ τῆς τρίτης τῶν περισπωμένων ὑπάρχων τὴν ΟΥ δίφθογγον ἔχει, οἷον ποιῶ ποιεῖς ἐποίουν, νοῶ νοεῖς ἐνόουν, ὀρθῶ ὀρθοῖς ὤρθουν, ἱδρῶ ἱδροῖς ἵδρουν· τούτων δὲ φημὶ τῶν περισπωμένων ἡ συναίρεσις ἐστὶν ἡ αἰτία· ἀπὸ γὰρ τοῦ ἐποίεον γέγονεν ἐποίουν κατὰ κρᾶσιν τοῦ Ε καὶ Ο εἰς τὴν ΟΥ δίφθογγον, ὥσπερ χάλκεος χαλκοῦς, καὶ πάλιν ἀπὸ τοῦ ἐβόαον γέγονεν ἐβόων κατὰ κρᾶσιν τοῦ ΑΟ εἰς Ω, ὥσπερ ἐλούσαο ἐλούσω· καὶ πάλιν ἀπὸ τοῦ ἐχρύσοον γέγονεν ἐχρύσουν, κατὰ κρᾶσιν τῶν δύο ΟΟ εἰς τὴν ΟΥ δίφθογγον, ὥσπερ νόος, νοῦς. Ταῦτα μὲν ἐν τούτοις.

Ὁ δὲ τεχνικὸς ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς τοῦ ἐνεστῶτος κανονίζει τὸν παρατατικὸν, λέγων οὕτως· ἡ γενικὴ τῆς μετοχῆς τοῦ ἐνεστῶτος ἀποβάλλουσα τὴν τελευταίαν συλλαβὴν,
234 a καὶ τὴν ἄρχουσαν αὔξουσα, χρονικῶς ἢ συλλαβικῶς τὸν παρατατικὸν ποιεῖ, οἷον τύπτοντος ἔτυπτον, γράφοντος ἔγραφον, λέγοντος ἔλεγον, ποιοῦντος ἐποίουν, γελῶντος ἐγέλων, χρυ-

σοῦντος ἐχρύσουν, στεφανοῦντος ἐστεφάνουν· καὶ ἐὰν μὲν ἀπὸ συμφώνου ἄρχηται ὁ ἐνεστὼς συλλαβικῶς μεγεθύνεται ὁ παρατατικός· προσλαμβάνει γὰρ κατ' ἀρχὰς τὸ ε, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον· τὸ δὲ βούλομαι ἠβουλόμην, δύναμαι ἠδυνάμην Ἀττικά· κατὰ ἔκτασιν γὰρ Ἀττικὴν τοῦ ε εἰς τὸ η γέγονε. Τὸ δὲ ἤθελον οὐ γέγονε κατ' ἔκτασιν· ἀλλὰ β' ἐνεστῶτές εἰσιν, ὁ θέλω καὶ ὁ ἐθέλω· γίνεται τὸ ἔθελον διὰ τοῦ ε ὥσπερ τύπτω ἔτυπτον, ἀπὸ δὲ τοῦ ἐθέλω ἤθελον διὰ τοῦ η ὥσπερ ἐλέγχω ἤλεγχον. Δεῖ προσθεῖναι χωρὶς τῶν Ἰωνικῶν καὶ τῶν ποιητικῶν, ἀπὸ γὰρ τοῦ τύπτω γίνεται τὸ τρίτον πρόσωπον τοῦ παρατατικοῦ τύπτεν,

τύπτε δ' ἐπιστροφάδην

παρὰ τῷ ποιητῇ [Il. φ'. 20.], καὶ τύπτεσκεν ποιητικῶς ἀντὶ τοῦ ἔτυπτεν. Οἱ γὰρ Ἴωνες καὶ οἱ ποιηταὶ πολλάκις συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν, εἴτε ἀπὸ συμφώνου εἴτε ἀπὸ φωνήεντος ἄρχεται ὁ ἐνεστώς, οἷον τύπτω, ἔτυπτον, καὶ πάλιν ἄγω, ἦγον,

ἄγεν δέ ἑ μοῖρα βαρεῖα

ποιητικῶς, καὶ ἄγεσκεν Ἰωνικῶς ἀντὶ τοῦ ἦγε, καὶ πάλιν ἅπτομαι, ἡπτόμην, καὶ ἡψάμην, καὶ [Il. φ'. 666.]

ἅψατο δ' ἡμιόνων

ποιητικῶς ἢ Ἰωνικῶς ἀντὶ τοῦ ἥψατο. Δεῖ προσθεῖναι, χωρὶς τοῦ εἴπεσκε· τοῦτο γὰρ τῆς μετοχῆς ἄρχουσαν ἐφύλαξεν τῆς εἰπὼν εἰπόντος, οὐ μὴν τοῦ ἐνεστῶτος, ἔπω γὰρ ὁ ἐνεστώς, ἐξ οὗ τὸ ἐνέπω ἐστίν. Ἔτι δεῖ προσθεῖναι ἐν τῷ λόγῳ τῷ λέγοντι ὅτι ἐὰν ἀπὸ συμφώνου ἄρχηται ὁ ἐνεστὼς συλλαβικῶς μεγεθύνεται ἡ ἄρχουσα τοῦ παρατατικοῦ, τουτέστι προσόδῳ τοῦ ε αὔξεται, καὶ χωρὶς τῶν ἀπὸ προθέσεων ἀρχομένων, οἷον καταγράφω κατέγραφον, καταλέγω κατέλεγον, οὐδὲ γὰρ ταῦτα προσέλαβον τὸ ε κατὰ τὴν ἄρχουσαν, οὐδὲ γὰρ λέγομεν ἐκατέγραφον ἢ ἐκατέλεγον ἢ περιεπάτουν· ἀλλ' ἔνδον τῆς προθέσεως ἔχουσι τὸ ε. Ἔτι δεῖ προσθεῖναι, καὶ χωρὶς τοῦ δυσαρεστῶ καὶ τοῦ δυσαπιστῶ· ταῦτα γὰρ οὐ προσλαμβάνουσι τὸ ε κατὰ τὴν ἀρχήν, οὐδὲ γὰρ λέγομεν ἐδυσαρέστουν καὶ ἐδυσηπίστουν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐὰν ἀπὸ τοῦ ρ ἄρχηται τὸ θέμα, ἤγουν ὁ ἐνεστώς, καὶ ἕτερον ρ προσλαμβάνει ὁ παρατατικός, οἷον ῥάπτω ἔρραπτον, ῥαπίζω ἐρράπιζον, ῥέω ἔρρεον· ἡ δὲ αἰτία ἐστὶν αὕτη· ἰστέον ὅτι τὸ ρ ἐνομίσθη φωνῆεν εἶναι· ἐκ τοσούτων γὰρ κανόνων τὸ ρ μόνον ἐκ πάντων τῶν συμφώνων δέχεται καὶ δασεῖαν, οἷον ῥαπίζω, ῥάπτω, δέχεται καὶ ψιλήν, οἷον μέρος, φέρω, ὥσπερ καὶ τὰ φωνήεντα· καὶ διὰ τοῦτο ὑπενοήθη φωνῆεν εἶναι· μόνα γὰρ τὰ φωνήεντα δέχεται δασεῖαν καὶ ψιλήν· ψιλὴν μὲν οἷον ἀκούω, ἐλεῶ, δασεῖαν δέ, οἷον εὗρον, ὕλη, ὕβρις, ὥσπερ γὰρ οὐ τίθεται τόνος ἐπάνω συμφώνων, ἀλλ' ἐπάνω φωνηέντων, οἷον ἄνθρωπος, δῆμος, καλός, τὸν αὐτὸν τρόπον, οὔτε ἐπάνω συμφώνου τίθεται πνεῦμα, ἀλλ' ἐπάνω φωνήεντος· μόνον δὲ τὸ ρ, ὡς 234 b ἔχομεν, πέφυκε καὶ δασύνεσθαι καὶ ψιλοῦσθαι, καὶ διὰ τοῦτο, ὥσπερ εἴρηται, ἐπενοήθη φωνῆεν εἶναι. Τὰ δὲ εἰς α λήγοντα θηλυκά, συνεσταλμένον ἔχοντα τὸ α, ἐὰν μὲν ἔχωσι πρὸ τοῦ α σύμφωνον, τρέπουσι τὸ α εἰς η ἐν τῇ γενικῇ, οἷον μοῦσα μούσης, δόξα δόξης, δίψα δίψης· ἐὰν δὲ φωνῆεν ἔχωσι πρὸ τοῦ α, φυλάττουσι τὸ α καὶ ἐν τῇ γενικῇ, οἷον μαῖα μαίας, Ἀντιόχεια Ἀντιοχείας, Ἀλεξάνδρεια Ἀλεξανδρείας· ὁμοίως δὲ καὶ τὰ ἔχοντα τὸ ρ φυλάττουσι τὸ α ἐν τῇ γενικῇ, οἷον σφαῖρα σφαίρας, θύρα θύρας. Δῆλον οὖν ὅτι οὐκ ἔστι σύμφωνον τὸ ρ, ἀλλὰ φωνῆεν· εἰ γὰρ ἦν σύμφωνον, οὐκ ὤφειλε τὸ α φυλαχθῆναι ἐν τῇ γενικῇ, ἀλλὰ τραπῆναι εἰς τὸ η. Καὶ ἐξ ἄλλου δὲ λόγου δείκνυται τὸ ρ φωνῆεν ὑπάρχον· τὰ εἰς ος λήγοντα ἀρσενικὰ ποιοῦντα κατ' ἰδίαν θηλυκά, τουτέστι μὴ κοινὰ τῷ γένει, διὰ τὸ ὁ φιλόσοφος καὶ ἡ φιλόσοφος, εἰ μὲν ἔχουσι πρὸ τοῦ ο φωνῆεν εἰς α ποιοῦσι τὸ θηλυκόν, οἷον Βυζάντιος Βυζαντία, Ῥόδιος Ῥοδία, ἀλλότριος ἀλλοτρία, μέτριος μετρία· εἰ δὲ σύμφωνον ἔχουσι πρὸ τοῦ ο εἰς η ποιοῦσι τὸ θηλυκόν, οἷον σοφὸς σοφή, καλὸς καλή, ἀγαθὸς ἀγαθή, εἰ δὲ ἔχουσι πρὸ τοῦ ο τὸ ρ, εἰς α ποιοῦσι τὸ θηλυκόν, οἷον φοβερὸς φοβερά, χλιαρὸς χλιαρά, καθαρὸς καθαρά· δῆλον οὖν ὅτι οὐκ ἔστι σύμφωνον τὸ ρ, ἀλλὰ φωνῆεν· εἰ γὰρ ἦν σύμφωνον, εἰς η ὤφειλε ποιῆσαι τὸ θηλυκόν, καὶ οὐκ

εἰς Α. Ἰστέον δὲ ὅτι τὰ ἔχοντα τὸ Ρ θηλυκὰ τὸ (sic) Α χαίρουσιν, εἴτε μονογενῆ εἰσὶ, εἴτε μὴ μονογενῆ, οἷον φαρέτρα, φαλάκρα, ποδάγρα, χαράδρα, σαπρὰ, μικρὰ, καθαρὰ, μακρὰ, πονηρά· καὶ σημειοῦταί τινα ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου μὴ ἐξενεχθέντα διὰ τοῦ Α, ἀλλὰ διὰ τοῦ Η, εἰσὶ δὲ ταῦτα· Ἄσκρη, (πόλις Βοιωτίας,) κόρη, ἀθάρη, (ἔστι δὲ σιτῶδές τι ἑψητὸν, ὅπερ ἐν τῇ συνηθείᾳ ἄρσανα (λαθυρὸν? ms. Bar.) καλοῦσι,) δέρη (ὁ τράχηλος,) Ἐφύρη (ὄνομα πόλεως, ὡς παρὰ τῷ ποιητῇ

ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργιος ἱπποβότοιο,

ἔστι δὲ ἡ νῦν λεγομένη Κόρινθος·) Κύρη, (ἐστὶ δὲ ὄνομα πηγῆς, ἀφ᾽ ἧς καὶ ἡ Κυρήνη πόλις·) Τερψιχόρη· (Ἀττικοὶ δὲ διὰ τοῦ Α φασὶ Τερψιχόρα,) ἐπικόρρη, (σημαίνει δὲ τὸ ἐπὶ τοῖς κόρση γὰρ ἡ κεφαλὴ, καὶ ἀπὸ τοῦ κόρση καὶ κόρρη, ὡς ἄρσην καὶ ἄρρην) Ὀλύκρη (πόλις,) Κάτρη (καὶ αὕτη πόλις Κρητικὴ, ἀπὸ Κάτρεως,) Ἄγρη, (πόλις Λυδίας,) Ἀντισάρη, (πόλις,) τινὲς δὲ Τισάρη φασί· κάρη, (σημαίνει δὲ τὴν κεφαλὴν, καὶ ὀξύνεται· τὸ γὰρ κάρη τὸ βαρυτονούμενον οὐδέτερόν ἐστιν· ἀπὸ γὰρ τοῦ κάρηνον γενόμενον κατὰ ἀποκοπὴν ἐστίν·) καὶ παρὰ τῷ ποιητῇ τὸ Ἴρη (ἔστι δὲ ὄνομα πόλεως· οἷον, [Il. ι΄. 150.]

Καρδαμύλην Ἐνόπηντε καὶ Ἰρὴν ποιήεσσαν)

ταῦτα δὲ Ἰωνικά φασιν εἶναι. Ταῦτα μὲν οὖν ἐν τούτοις.

Ἰστέον ὅτι τὸ ὀγδόη δοκεῖ ἀντικεῖσθαι τῷ κανόνι τῶν ἐχόν-
235 a των πρὸ τοῦ Ο τὸ φωνῆεν, ὅτι τὸ πρὸ τοῦ Ο ἔχον φωνῆεν εἰς Η ἐποίησε τὸ θηλυκὸν, καὶ οὐκ εἰς Α· καὶ ἐστὶν εἰπεῖν τὴν διαίρεσιν ἣν φησι περὶ τῶν φωνηέντων ὁ Ἀπολλώνιος ὁ τεχνικὸς ἔχουσαν οὕτως· Εἰσὶ φωνήεντά τινα χαίροντα τῷ Α, τινὰ δὲ τῷ Η, τινὰ δὲ καὶ τῷ Η καὶ τῷ Α· καὶ τὸ μὲν Α χαίρει τῷ Η, οἷον Δανάη, καὶ τῷ Α, οἷον πράα· τὸ δὲ Ε τῷ Α χαίρει, οἷον νέα, τὸ δὲ Ι τῷ Α χαίρει, οἷον ἀνία, τὸ δὲ Ο καὶ τῷ Η χαίρει καὶ τῷ Α, οἷον ἀθρόα, στόα, πνόη, ἀκόη, ὀγδόη· τὸ δὲ Υ τῷ Η χαίρει, οἷον Λιβύη, ἐγγύη, ὡσαύτως δὲ καὶ τὸ Ω τῷ Η χαίρει, οἷον ζωή. Δυνατὸν δέ ἐστι λέγειν, ὅτι τῷ λόγῳ τῶν τακτικῶν τὸ ὀγδόη διὰ τοῦ Η ἐξενέχθη, ὥσπερ τὸ ἕκτη,

ἑβδόμη καὶ ἐνάτη, εἰ καὶ ταῦτα σύμφωνον ἔχουσι προηγούμενον. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι καὶ ἀπὸ τῆς Αἰολίδος διαλέκτου δείκνυται τὸ ρ φωνῆεν· εἰώθασι γὰρ οἱ Αἰολεῖς προστιθέναι τὸ υ, φωνήεντος ἐπιφερομένου, ὡς ἐπὶ τοῦ ἕαδεν, εὔαδεν, καὶ πάλιν τὸ ἠώς, ἄως λέγουσιν οἱ Δωριεῖς, οἱ δὲ Αἰολεῖς τοῦτο λέγουσιν αὔως, προστιθέντες τὸ υ, καὶ πάλιν ἀάτην αὐάτην λέγουσιν οἱ Αἰολεῖς, συμφώνου δὲ ἐπιφερομένου οὐδέποτε προστιθέασι τὸ υ οἱ Αἰολεῖς· τὸ γὰρ νόσος νοῦσος, καὶ Ὄλυμπος Οὔλυμπος ποιητικά εἰσι καὶ οὐκ Αἰολικά· τοῦ δὲ ρ ἐπιφερομένου πολλάκις προστιθέασι τὸ υ οἱ Αἰολεῖς, οἷον αὔρηκτος, ἄρηκτος γάρ· δῆλον οὖν ὅτι φωνῆεν ἐστὶ καὶ οὐ σύμφωνον. Οὗτοι μέν εἰσιν οἱ λόγοι οἱ δεικνύοντες φωνῆεν εἶναι τὸ ρ. Ἔλθωμεν οὖν καὶ δείξωμεν ὅτι συμφωνόν ἐστι καὶ οὐ φωνῆεν.

Ἰστέον οὖν ὅτι πᾶν φωνῆεν καθ' ἑαυτὸ φωνὴν ἀποτελοῦν, οἷον α, ε, η, ι, ο, υ, ω, ὅθεν καὶ φωνήεντα λέγονται παρὰ τὸ φωνὴν ἀφ' ἑαυτῶν ἀποτελεῖν· τὸ δὲ ρ οὐ δύναται καθ' ἑαυτὸ φωνὴν ἀποτελεῖν, μετὰ γὰρ τοῦ ω ἐκφωνεῖται· δῆλον οὖν ὅτι οὐκ ἔστι φωνῆεν, ἀλλὰ σύμφωνον· ἄλλως τε δὲ οὐδέποτε ἐν μιᾷ συλλαβῇ γ' φωνήεντα εὑρίσκονται, ἀλλ' ἢ ἓν ἢ δύο φωνήεντα, ὡς ἐπὶ τῶν διφθόγγων, οἷον εὖχος, οἶκος, αὐλῶ· ἐὰν οὖν εἴπωμεν τὸ ρ φωνῆεν εἶναι, εὑρεθήσονται ἐν τῷ ῥεῦμα καὶ ῥοῦς τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ, ὅπερ ἐστὶν ἀδύνατον. Ἐπειδὴ δὲ ἀνώτερον ἐλέγομεν ὅτι τὸ ρ πέφυκεν ἐπιδέχεσθαι καὶ δασεῖαν καὶ ψιλήν, δεῖ γὰρ γινώσκειν, ὅτι τὸ ρ ἀρχόμενον λέξεως δασύνεσθαι θέλει, οἷον ῥώμη, ῥήτωρ, [a] ῥαπίζω, μεταξὺ δὲ δύο φωνηέντων ἐν ἁπλῇ λέξει ψιλοῦσθαι θέλει, οἷον μέρος, φέρει, χαίρω, πρόσκειται "ἐν ἁπλῇ λέξει" διὰ τὸ φιλορωμαῖος καὶ μισορήτωρ· ἐνταῦθα γὰρ ἐπειδὴ οὐκ ἔστιν ἁπλῆ λέξις, μένει τὸ ρ δασυνόμενον καὶ φυλάττον τοῦ Ῥωμαῖος καὶ ῥήτωρ τὴν δασεῖαν. Πρόσκειται δὲ "μεταξὺ δύο φωνηέντων" διὰ τὸ
235 b ἀφρὸς καὶ ὠχρός· ἐνταῦθα γὰρ τὸ ρ δασύνεται· ἐπεὶ κανών

[a] Multa quæ h. l. addit Bar. fol. 74. vid. in Append.

ἐστιν ὁ λέγων, ὅτι τὸ ρ μετὰ τῶν δασέων δασύ ἐστι, καὶ μετὰ τῶν ψιλῶν ψιλόν· μετὰ τῶν δασέων, οἷον θρόνος, ἄφρων, μετὰ δὲ τῶν ψιλῶν ψιλὸν, οἷον κάπρος, ἄκρος, τρόπος· τούτων οὖν χάριν προσλαμβάνει ὁ παρατατικὸς ἕτερον ρ, οἷον ἔρραπτον, ἐρράπιζον, ἵνα φυλάξῃ τὸ πνεῦμα· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ἐὰν εὑρεθῇ δύο ρρ, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται, οἷον πόῤῥω, ἄῤῥωστος, ἐπίῤῥημα, ἀῤῥαγές· τοῦ οὖν δευτέρου ρ δασυνομένου, ἐπὶ τοῦ ἔρραπτον καὶ ἐρράπιζον φυλάττεται τὸ πνεῦμα τοῦ ἐνεστῶτος καὶ ἐν τῷ παρατατικῷ, φημὶ δὲ ἡ δασεῖα τοῦ ῥάπτω, καὶ τοῦ ῥαπίζω. Ἰστέον δὲ ὅτι πολλάκις οἱ ποιηταὶ διὰ τὸ μέτρον δι' ἑνὸς τοῦ ρ ἐκφέρουσι τοὺς παρῳχημένους ἐπὶ τῶν ἀπὸ τοῦ ρ ἀρχομένων ῥημάτων, οἷον ὡς παρὰ τῷ ποιητῇ ἐν τῷ β' στοιχείῳ τῆς Ἰλιάδος, [400.]

ἄλλος δ' ἄλλῳ ἔρεζε θεῷ

καὶ πάλιν [Il. ι'. 643.]

μνήσομαι ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί, ἡνίκα εὑρεθῶσι δύο ρρ, τὸ πρῶτον ψιλοῦται καὶ οὐ δασύνεται, οἷον ἄρρωστος, ἐπίρρημα. Καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο, ἐπειδὴ οὔτε συλλαβὴ οὔτε λέξις εἰς δασὺ καταλήγει, ὅθεν Ἀτθὶς καὶ Σαπφὼ καὶ Βάκχος, τὰ πρῶτα διὰ ψιλῶν γράφομεν καὶ οὐ δασέων· εἰ οὖν ἡνίκα ἦσαν δύο ρρ, τὸ μὲν πρῶτον ἐδασύνετο, ἔμελλεν ἡ συλλαβὴ εἰς δασυνόμενον τὸ ρ καταλήγειν, ὅπερ ἐστὶν ἀδύνατον· τούτου οὖν χάριν ἡνίκα εὑρεθῶσι δύο ρρ, τὸ πρῶτον ψιλοῦται, καὶ οὐ δασύνεται.

Εἰ δὲ ἀπὸ φωνήεντος ἄρχοιτο ὁ ἐνεστὼς, χρονικῶς αὔξεται ὁ παρατατικὸς, οἷον ἄγω ἦγον, ἐλέγχω ἤλεγχον, ἐλαύνω ἤλαυνον, ἑρμηνεύω ἡρμήνευον, ἐρωτῶ ἠρώτων, ἀριστῶ ἠρίστουν, ὀρθῶ ὤρθουν, ὀμνύω ὤμνυον. Δεῖ προσθεῖναι, χωρὶς τῶν Ἰωνικῶν καὶ ποιητικῶν· οἱ γὰρ Ἴωνες καὶ οἱ ποιηταὶ συναρχομένους πολλάκις ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν, οἷον ἄγω, ἦγον,

ἄγε δέ (ε) μοῖρα βαρεῖα,

ἀντὶ τοῦ ἦγε, καὶ πάλιν ἅπτομαι, ἡψάμην,

ἅψατο δ' ἡμιόνων,

ἀντὶ τοῦ ἥψατο· χωρὶς τοῦ εἴπεσκε· τοῦτο γάρ, ὡς εἴρηται, τὴν τῆς εἰπὼν μετοχῆς ἄρχουσαν ἐφύλαξεν, οὐ μὴν τὴν τοῦ ἐνεστῶτος, ἕπω γὰρ ὁ ἐνεστώς, ἐξ οὗ τὸ ἔννεπεν. Ἔτι δεῖ προσθεῖναι, χωρὶς τῶν ἀπὸ προθέσεως ἀρχομένων, διὰ τὸ ἀναγινώσκω ἀνεγίνωσκον, καὶ ἀνέρχομαι ἀνηρχόμην, οὐδὲ γὰρ ηὔξηθη ἐπὶ τούτων χρονικῶς ἡ ἄρχουσα τοῦ παρατατικοῦ. Ἡ γὰρ ἄρχουσα τοῦ ἐνεστῶτος ἐφυλάχθη καὶ ἐν τῷ παρατατικῷ, ἀλλ' ἔσωθεν ἐγένετο καὶ ἐπὶ τούτων ἡ κλίσις, ὡς ἐπὶ τῶν πρὸ αὐτῶν τοῦ ἀνεγίνωσκον καὶ ἀνηρχόμην. Ταῦτα μὲν ἐν τούτοις.

Ἑπτὰ δὲ ὄντων τῶν φωνηέντων Α, Ε, Η, Ι, Ο, Υ, Ω, τέσσαρα εἰσὶν ἀμετάβολα ἐν τοῖς παρῳχημένοις, Η, Ω, Ι, Υ, οἷον ἡβῶ ἥβουν, ὠθῶ ὤθουν, ἰξεύω ἴξευον, ὑδρεύω ὕδρευον· ταῦτα γὰρ οὐ τρέπονται ἐν τοῖς παρῳχημένοις. Ἰστέον δέ, ὅτι ἐν τῷ ἴξευον, ὑδρεύω ὕδρευον, τὰ δίχρονα φύσει μακρὰ γίνονται, τὸ γὰρ Ι καὶ Υ, εἰ καὶ οὐ μεταβάλλονται ἐν τοῖς παρῳχημένοις εἰς ἄλλα φωνήεντα, ἀλλ' οὖν φύσει μακρὰ γίνονται. Δεῖ δὲ γινώσκειν ὅτι τινές, ὧν εἷς ἐστι καὶ ὁ Τρύφων, ἠθέλησαν
235 a bis φυσικῷ λόγῳ ἐξετάσαι καὶ εἰπεῖν, ὅτι τὸ Η καὶ τὸ Ω ἐν τοῖς παρῳχημένοις μείζονα εἰσὶ τοῦ Η καὶ τοῦ Ω τῶν ἐν τῷ ἐνεστῶτι, ἐπειδὴ ἀεὶ ὁ παρῳχημένος χρόνος πλέον τί ποτε ἐπιδέχεται τοῦ ἐνεστῶτος ἢ χρόνον ἢ συλλαβήν· συλλαβὴν μέν, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον, λέγω ἔλεγον· χρόνον δέ, οἷον ἄγω ἦγον, ἐλέγχω ἤλεγχον, ὀμνύω ὤμνυον, οὐκοῦν καὶ τὸ Η τὸ ἐν τῷ παρατατικῷ μεῖζόν ἐστι τοῦ Η τοῦ ἐν τῷ ἐνεστῶτι. Ἀλλὰ πρὸς τοῦτο λέγει ὁ Ἀπολλώνιος ὁ τεχνικός, ὅτι ὥσπερ τὰ σώματα τὸ ἴδιον μέγεθος ἀπολαμβάνοντα ἀνεπαύξητα καθεστήκασι, τὸν αὐτὸν τρόπον καὶ τὰ τέ[λα] μεγέθη τῶν μακρῶν οὐ δύνανται πλέον μεγεθύνεσθαι, ὡς ἀπολαβόντα τὸ ἴδιον μέγεθος. Εἰ δέ τις εἴποι, καὶ διὰ τί τὸ Α φύσει μακρὸν ὑπάρχον τρέπεται κατὰ τοὺς παρῳχημένους, οἷον ἀριστῶ ἠρίστων; Λέγομεν, ὅτι τὸ Α οὐκ ἔχει μέγεθος τὸ ἐκτείνεσθαι μόνον, ἀλλὰ καὶ τὸ συστέλλεσθαι· δίχρονον γὰρ

ὂν, οὐκ ἔτι μόνον ἐκτείνεσθαι πέφυκεν, ἀλλὰ καὶ συστέλλεσθαι. Τρία δέ εἰσιν ἐν τοῖς παρῳχημένοις μεταβολικὰ φωνήεντα, α, ε, ο· ταῦτα γὰρ τρέπονται ἐν τοῖς παρῳχημένοις, οἷον τὸ μὲν α εἰς η τρέπεται, οἷον ἄγω ἦγον, ἅπτω ἧπτον, ἀριστῶ ἠρίστουν, ἁρμενίζω ἡρμένιζον, ἀκούω ἤκουον, ἀρτύω ἤρτυον, χωρὶς τῶν Ἰωνικῶν καὶ ποιητικῶν, διὰ τὸ ἆγεν καὶ ἅψατο, καθὼς προγέγραπται, καὶ χωρὶς τῶν ἀπὸ προθέσεως, καθὼς καὶ περὶ αὐτῶν προγέγραπται. Δεῖ προσθεῖναι, καὶ χωρὶς τῶν ἀηθέσσω ἀήθεσσον, [Il. κ΄. 493.]

ἀήθεσσον γὰρ ἔπ᾽ αὐτὸν

(ἀηθέσσω δέ ἐστι τὸ ἀήθης ὑπάρχω,) καὶ χωρὶς τῶν ἐν τῇ συνηθείᾳ λεγομένων ἀηδίζομαι ἀηδιζόμην. [a][A] Τὰ δὲ ἀπὸ τοῦ ο ἀρχόμενα ῥήματα τὸ ο εἰς ω μεγεθύνουσιν ἐν τῷ παρατατικῷ, οἷον ὀμνύω ὤμνυον, ὁμολογῶ ὡμολόγουν, ὀρθῶ ὤρθουν, ὁρῶ ὥρων, καὶ ἐν πλεονασμῷ ἑώρων· τὸ δὲ ε ποτὲ μὲν εἰς η τρέπεται, οἷον ἐλέγχω ἤλεγχον, ἐλαύνω ἤλαυνον, [a][B] ποτὲ δὲ καὶ τὸ ι προσλαμβάνει, οἷον ἔχω εἶχον, ἕρπω εἷρπον . . . δὲ αὐτὰ κανονίσαι οὕτως· τὰ ἀπὸ τοῦ ε ἀρχόμενα ῥήματα ἐὰν εὑρεθῶσιν ἐν τῷ παρατατικῷ, οἷον ἑρμηνεύω ἡρμήνευον, ἑτοιμάζω ἡτοίμαζον, ἐλέω ἠλέουν, χωρὶς τοῦ ἐθίζω εἴθιζον, (τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται,) καὶ τοῦ ἐργάζομαι εἰργαζόμην, (ὅπερ καὶ διφορεῖται· τινὲς μὲν γὰρ διὰ τῆς ει διφθόγγου γράφουσιν αὐτὸ, τινὲς διὰ τοῦ η,) καὶ ε΄ χωρὶς τοῦ εἰστιῶ εἰστίων, (σημαίνει δὲ τὸ ἀριστοποιῶ,) καὶ χωρὶς τοῦ ἐρύω εἴρυον, (σημαίνει δὲ τὸ ἑλκύω,) εἵλκυον, καὶ εἵλκυσα, καὶ χωρὶς τοῦ ἑρπύω, ἥρπυον, (ἑρπύζω δέ ἐστι τὸ βαδίζω·) τὰ δὲ δισύλλαβα εἰ μὲν περισπῶνται, καὶ αὐτὰ τρέπουσι τὸ ε εἰς τὸ η, ἐρῶ ἐρεῖς ἤρων, ἑψῶ ἑψεῖς ἥψουν, χωρὶς τοῦ ἐῶ ἐεῖς (sic) εἴων, τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται·
5 b bis τὰ δὲ δισύλλαβα βαρύτονα ἔχουσι διαφορ　τινὰ ἐξ αὐτῶν διὰ τοῦ η γίνονται, οἷον ἕρδω ἧρδον, (σημαίνει δὲ τὸ πράττω,) ἔλπω ἧλπον, (σημαίνει δὲ τὸ ἐλπίζω,) τινὰ δὲ διὰ τῆς ει διφθόγγου, οἷον ἔχω εἶχον, ἕλκω εἷλκον, ἕρπω εἷρπον, ἔπω, εἶπον, (σημαίνει δὲ τὸ λέγω, καὶ τὸ ἀκολουθῶ,)

[a] [A. B.] Plura vide in Appendice.

ἔθω εἶθον, (σημαίνει δὲ τὸ ἐξ ἔθους τι διαπράττομαι,) ἢ ὅθεν ὁ μέσος γίνεται, εἶθα, καὶ εἴωθα ἐν πλεονασμῷ τῆς Ω. Δέον γινώσκειν ὅτι τῶν διφθόγγων ἡ ΕΙ καὶ ἡ ΟΥ οὐ τρέπονται, ὡς τὸ εἰκονίζω εἰκόνιζον, εἰκάζω εἴκαζον, εἴργω εἶργον, οὐρῶ οὔρουν, οὐριοδρομῶ οὐριοδρόμουν, (οὐριοδρομεῖν δέ ἐστι τὸ ἐπιτηδείως πλέειν·) αἱ δὲ λοιπαὶ εἰς τὰ οἰκεῖα μεταβάλλονται, οἷον οἴχομαι ᾠχόμην, (τὸ γὰρ Ο εἰς τὸ Ω τρέπεται, ὡς ἐμάθομεν,) καὶ πάλιν αἰσχύνομαι ᾐσχυνόμην, αἰτῶ ᾔτουν· τὸ γὰρ Α εἰς τὸ Η τρέπεται.

Ἰστέον δὲ ὅτι ια΄ δίφθογγοί εἰσι· ε΄ γὰρ ὄντων φωνηέντων προτακτικῶν Α, Ε, Η, Ο, Ω, δύο δὲ ὑποτακτικῶν Ι καὶ Υ, εὐλόγως ια΄ ἀποτελοῦνται δίφθογγοι· οἷον τὸ Ι καὶ Υ τῷ Α προσερχόμενα ἀποτελοῦσι δύο διφθόγγους, τουτέστιν, ΑΙ καὶ ΑΥ, καὶ πάλιν τὸ Ι καὶ Υ τῷ Ε προσερχόμενα ἀποτελοῦσι δύο διφθόγγους, τουτέστι τὴν ΕΙ καὶ τὴν ΕΥ, καὶ πάλιν τὸ Ι καὶ Υ προσερχόμενα τῷ Η δύο ἀποτελοῦσι διφθόγγους, τήν τε ΗΙ, οἷον τῇ καλῇ, καὶ τὴν ΗΥ, οἷον ηὔλουν, καὶ πάλιν τὸ Ι καὶ Υ τῷ Ω προσερχόμενα ἀποτελοῦσι δύο διφθόγγους τήν τε ΩΙ καὶ ΩΥ, οἷον τῷ καλῷ, καὶ ὠὐτὸς "εὖτε μὲν ὠὐτὸς ἀνὴρ" ἀντὶ τοῦ αὐτὸς, καὶ πάλιν τὸ Ι καὶ Υ τῷ Ο προσερχόμενα δύο ἀποτελοῦσι διφθόγγους τήν τε ΟΙ καὶ ΟΥ. Ἰδοὺ οὖν ἐκ τῶν ε΄ προτακτικῶν φωνηέντων καὶ ἐκ τῶν δύο ὑποτακτικῶν ι΄ ἀπετελέσθησαν δίφθογγοι, καὶ τὰ δύο δὲ ὑποτακτικὰ συμπλεκόμενα ἀλλήλοις τὴν ΥΙ δίφθογγον ἀποτελοῦσιν, οἷον υἱός· καὶ λοιπὸν εὑρίσκονται ια΄ δίφθογγοι. Δίφθογγοι δὲ λέγονται διὰ τὸ ἕκαστον αὐτῶν ἔχειν δύο φωνηέντων φθόγγους. Φθόγγους γὰρ λέγομεν ἐνταῦθα τὰ φωνήεντα, κἂν ἐκφωνῶνται, κἂν μὴ ἐκφωνῶνται, ὥστε οὖν κἂν ἔχῃ τὸ Ι ἐκφωνούμενον, κἂν ἔχῃ αὐτὸ ἀνεκφώνητον, δίφθογγον καλεῖται παρὰ τὸ ἔχειν ὡς εἴρηται δύο φωνήεντα· οὐδὲ γὰρ ἡνίκα τὸ Ι ἀνεκφώνητόν ἐστιν ἀπώλεσε τὸ εἶναι φωνῆεν καὶ ἐγένετο σύμφωνον, ἀλλὰ καὶ τότε φωνῆέν ἐστιν, ἀλλὰ διὰ τὸ μέγεθος τῶν μακρῶν φωνηέντων ἀνεκφώνητόν ἐστιν, οἷον τῷ σοφῷ, τῇ μούσῃ, τῷ κοχλίᾳ. Ἰστέον δὲ ὅτι τὴν ΑΙ δίφθογγον τὴν ἔχουσαν τὸ Ι ἐκφωνούμενον, οἷον οἱ κοχλίαι,

καὶ τὴν αι δίφθογγον τὴν ἔχουσαν τὸ ι ἀνεκφώνητον, οἷον τῷ κοχλίᾳ, μίαν λέγομεν εἶναι δίφθογγον καὶ οὐ δύο, ἐπειδὴ τὰ αὐτὰ φωνήεντα ἔχουσι, καὶ οὐδεμίαν ἔχουσι ἐναλλαγὴν περὶ τὰ φωνήεντα, ἀλλὰ ἐπὶ μόνον τὸν χρόνον τοῦ α. Καὶ γὰρ ἡνίκα μὲν τὸ α βραχύ ἐστι τότε ἐκφωνεῖται τὸ ι, οἷον οἱ κοχλίαι· ἡνίκα δὲ τὸ α μακρόν ἐστι, τότε ἀνεκφώνητόν ἐστιν, οἷον τῷ κοχλίᾳ. Εἰσὶν οὖν ὡς εἴρηται ια΄ δίφθογγοι. Ἰστέον ὅτι τούτων τῶν ια διφθόγγων αὗται μόναι αἱ τρεῖς τρέπονται
236 a κατὰ τοὺς παρῳχημένους· φημὶ δὲ ἡ αι τρέπεται εἰς τὸ η, οἷον αἰσχύνομαι ᾐσχυνόμην, αἰτῶ ᾔτουν, καὶ ἡ αυ δίφθογγος τρέπει καὶ αὐτὴ τὸ α εἰς η, οἷον, αὐλῶ ηὔλουν, αὔξω ηὔξουν, αὐχῶ ηὔχουν, αὐτομολῶ ηὐτομόλουν, καὶ ἡ οι δίφθογγος τρέπει τὸ ο εἰς ω, οἷον οἴχομαι ᾠχόμην, οἰκῶ ᾤκουν, οἰκοδομῶ ᾠκοδόμουν, οἰκονομῶ ᾠκονόμουν· [C.] σεσημείωται τὸ οἰωνίζω οἰωνιζόμην, καὶ ἄλλα τινὰ παρὰ τοῖς ποιηταῖς, ἃ οὐ χρώμεθα ἐν συνηθείᾳ, μὴ τρέψαντα τὴν οι δίφθογγον κατὰ τοὺς παρῳχημένους εἰς τὸ ω. Ταῦτα μὲν οὖν ἐν τούτοις. Αἱ δὲ ἄλλαι δίφθογγοι οὐ τρέπονται, ὡς ἐπὶ τοῦ οὐρῶ οὔρουν, οὐριοδρομῶ οὐριοδρόμουν, εἰκονίζω εἰκόνιζον, εἰκάζω εἴκαζον. Ταῦτα μὲν ἐν τούτοις.

Ἔχομεν δὲ ἐν τοῖς προλαβοῦσιν, ὅτι τὰ γνήσια μεγέθη ἀρκοῦνται τῷ ἰδίῳ μεγέθει καὶ ἀνεπαύξητα καθεστήκασιν, ὥσπερ εἰρήκαμεν ἐπὶ τοῦ η καὶ ω. Ἐπειδὴ οὖν ἡ ει δίφθογγος ἔχει γνήσιον μέγεθος, τὸ γὰρ ε μεγεθυνόμενον διὰ τῆς προσθήκης τοῦ ι μεγεθύνεται, οἷον τυφθέντος τυφθεῖσα, δαρέντος δαρεῖσα, καὶ αὐτὸ δὲ τὸ ει, τὸ ὄνομα τοῦ στοιχείου, διὰ τοῦ ε καὶ ι γράφεται καὶ ἐκφωνεῖται, τούτου χάριν ἡ ει δίφθογγος ἄτρεπτός ἐστιν· ὁμοίως καὶ ἡ ου δίφθογγος οὐ τρέπεται, ὡς ἔχουσα γνήσιον μέγεθος· τὸ γὰρ ο μεγεθυνόμενον διὰ τῆς προσθήκης τοῦ υ μεγεθύνεται, οἷον τύπτοντος τύπτουσα, λέγοντος λέγουσα, καὶ αὐτὸ δὲ τὸ ου, τὸ ὄνομα τοῦ στοιχείου, διὰ τοῦ ο καὶ υ καὶ γράφεται καὶ λέγεται καὶ ἐκφωνεῖται, καὶ διὰ τοῦτο καὶ αὐτὸ ἄτρεπτον μένει. Αὗται οὖν αἱ δίφθογγοι ὡς ἔχουσαι γνήσιον μέγεθος οὐ τρέπονται, ἡ δὲ αι δίφθογγος καὶ αυ, ἐπειδὴ οὐκ ἔχουσι

γνήσιον μέγεθος, διὰ τοῦτο τρέπονται· τὸ γὰρ Α μεγεθυνόμενον (οὐ?) διὰ τῆς προσθήκης τοῦ Ι ἢ τοῦ Υ μεγεθύνεται· ὡς γὰρ εἴρηται τὸ μὲν Ι καὶ τὸ (τοῦ) Ε ἐστὶν αἴτιον, τοῦ (τὸ) δὲ Υ τὸ (τοῦ) Ο, ἐπειδὴ δι' αὐτῶν γράφεται· ὁμοίως ἡ ΟΙ δίφθογγος μὴ ἔχουσα γνήσιον μέγεθος τρέπεται, τὸ γὰρ Ο μεγεθυνόμενον οὐ διὰ τῆς προσθήκης τοῦ Ι μεγεθύνεται· τούτῳ οὖν τῷ λόγῳ καὶ ἡ ΑΥ (ΕΥ) δίφθογγος, ὡς μὴ ἔχουσα γνήσιον μέγεθος, (τὸ γὰρ Υ οὐκ ἔστι γνήσιον μέγεθος τοῦ Α(Ε), ἀλλὰ τοῦ Ο, ὡς προείρηται, τοῦ γὰρ Ο ἐστιν ἴδιον τὸ Υ,) ὀφείλει τρέπειν τὸ Ε εἰς τὸ Η, ὡς καὶ παρὰ Ἀττικοῖς· ηὐφράνθη γὰρ λέγουσι καὶ ηὐχόμην· ἀλλ' ἐπεκράτησεν κατὰ κοινὴν διάλεκτον ἡ ΕΥ δίφθογγος μὴ τρέπεσθαι, οἷον εὔχομαι εὐχόμην, εὐφραίνομαι εὐφραινόμην, εὐχαριστῶ εὐχαρίστουν, καὶ ἴσως χάριν εὐφωνίας ὡς λέγει ὁ Ἡρωδιανός. Ἐπεκράτησεν οὖν, ὡς εἴρηται, ἡ ΕΥ δίφθογγος παρ' ἡμῖν οὐ τρέπεσθαι τὸ Ε εἰς τὸ Η κατὰ τοὺς παρῳχημένους χρόνους, εὔχομαι εὐχόμην· παρὰ δὲ τοῖς Ἀθηναίοις τρέπεται αὐτὸ εἰς τὸ Η, ηὐχόμην γὰρ καὶ ηὐφραινόμην λέγουσιν οἱ Ἀττικοὶ διὰ τοῦ Η καὶ Υ. Τὰ μέντοι ἀπὸ προθέσεως ἀρχόμενα ῥήματα ἄτρεπτον ἔχουσι τὴν πρόθεσιν· πρόθεσις γάρ ἐστιν, ἧς οὐδὲν θέλει προτίθεσθαι· διὰ τοῦτο καὶ ὡς ἄν τις εἴποι ἔσωθεν γίνεται ἡ κλίσις, οἷον καταγράφω κατέγραφον, ἀναγινώσκω ἀνεγί-
236 b νωσκον, περιπατῶ περιεπάτουν, κατορθῶ κατώρθουν· τὸ δὲ ἀληθέστερον κατὰ χρόνον γίνεται ἡ σύνθεσις, οἷον ὡς ἐπὶ τοῦ χειρογραφῶ ἐχειρογράφουν, καὶ ὡς ἐπὶ τοῦ καλαμογραφῶ ἐκαλαμογράφουν, καὶ ἐπὶ τῶν ἄλλων συνθέτων, τῶν μὴ ὄντων ἀπὸ προθέσεως κλίσις ἐγένετο συνθέσεως, μετὰ γὰρ τὴν σύνθεσιν ἐγένετο ἡ κλίσις, τουτέστι πρῶτον συνετέθησαν, καὶ οὕτω ἐκλίθησαν, οἷον φιλοσοφῶ ἐφιλοσόφουν, χειροκοπῶ ἐχειροκόπουν· ἐπὶ μέντοι τῶν ἀπὸ προθέσεως ἀρχομένων τὸ ἐναντίον γίνεται, σύνθεσις γὰρ γίνεται κλίσεως· τουτέστι, κατὰ χρόνον γίνεται ἡ σύνθεσις, καὶ ὡς ἂν τις εἴποι, πρῶτον κλίνονται, καὶ οὕτω συντίθενται, οἷον ἀπὸ τοῦ γράφω γίνεται καταγράφω, καὶ ἀπὸ τοῦ καταγράφω κατέγραφον, καὶ ἀπὸ τοῦ γέγραφα γίνεται καταγέγραφα,

καὶ ἀπὸ ἐγεγράφειν γίνεται κατεγεγράφειν, καὶ ἀπὸ τοῦ ἔγραψα τὸ κατέγραψα, καὶ ἀπὸ τοῦ γράψω τὸ καταγράψω· τοῦτο δὲ γίνεται, ἵνα μὴ ἐξαμαυρωθῇ ἡ πρόθεσις ἔξωθεν τί ποτε δεχομένη. Τῆς γὰρ προθέσεως, ὡς ἐμάθομεν, οὐδὲν ἐθέλει προτίθεσθαι.

Διὰ τί δὲ τῶν προθέσεων πασῶν τῶν εἰς φωνῆεν ληγουσῶν ἐκθλιβομένων, οἷον καταέγραφον κατέγραφον, ἀναερχόμην ἀνηρχόμην, διαῆλθον διῆλθον, ἡ ΠΡΟ καὶ ἡ ΠΕΡΙ οὐκ ἐκθλίβονται, οἷον προέρχομαι περιέρχομαι, ἐν τῷ περὶ προθέσεων, εἰ θεῷ φίλον, μαθησόμεθα. Ταῦτα μὲν ὁ Ἀπολλώνιός φησι.

Πρὸς τοῦτον δὲ ἀντιλέγει ὁ Ἡρωδιανὸς, λέγων, ὅτι πρῶτον μὲν οὐκ ἔστιν ἡ κατὰ πρόθεσις ἐν τῷ κατέγραφον, ἀλλὰ μέρος ἐστὶ τοῦ ῥήματος, εἰ καὶ ἀπὸ προθέσεως ἐγένετο ἡ σύνθεσις. Ὥσπερ γὰρ ἐν τῷ εὐγενὴς οὐκ ἔστι τὸ ΕΥ ἐπίρρημα, ἀλλὰ μέρος ἐγένετο τοῦ ὀνόματος, εἰ καὶ ἀπὸ ἐπιρρήματος ἐγένετο ἡ σύνθεσις, οὕτω καὶ ἐν τῷ γράφω οὐ λέγομεν, ὅτι πρόθεσίς ἐστιν ἡ κατὰ, ἀλλὰ μέρος τοῦ ῥήματος, εἰ καὶ ἀπὸ προθέσεως ἐγένετο ἡ σύνθεσις, ἄλλως τε ἰδοὺ τὸ συνήγορος ἀπὸ προθέσεως ἄρχεται, καὶ ὅμως λέγεται εὐσυνήγορος· καὶ πάλιν σύμβουλος εὐσύμβουλος, ἐπανοίκτης θυρεπαινοίκτης, οὐκ ὤφειλεν οὖν οὐδὲ ταῦτα ἀπὸ προθέσεως ἀρχόμενα δέξασθαι ἔξωθεν τί ποτε. Ταῦτα μὲν οὖν ὁ Ἡρωδιανός· ἡμεῖς δὲ ἀπολογούμεθα ὑπὲρ τοῦ Ἀπολλωνίου, λέγοντες, ὅτι ἄλλο λέξις καὶ ἄλλο συλλαβή. Ἐὰν μὲν γὰρ λέξις προσέλθῃ μετὰ σύνθεσιν, φυλάσσεται τὸ ἰδίωμα ἀρχικὸν, ἐὰν δὲ συλλαβὴ, οὐκέτι· καὶ δῆλον ἐκ τῆς δασείας· ὥσπερ γὰρ λέγομεν ὅτι ἡ δασεῖα φίλαρχός ἐστιν, οἷον Ῥώμη, ῥήτωρ, εὗρον, ὕβρις, ὕλη, καὶ ὅμως ἐν ταῖς συνθέσεσιν φυλάττεται ἡ δασεῖα, ὡς ἐν τῷ
237 a καθίσταμαι, φιλορωμαῖος, μισορήτωρ, ἐφεῦρον, ἐπειδὴ λέξις προσῆλθε καὶ ἐφυλάχθη τὸ ἰδίωμα τὸ ἀρχικὸν, ἐὰν δὲ προσέλθῃ συλλαβὴ, τότε ἐξαμαυροῦται κυρίως ἡ ἄρχουσα τῆς λέξεως, οἷόν ἐστιν, ὁρῶ ὁρᾷς, πόθεν γίνεται ὁ παρατατικὸς ὥρων, δασυνομένης τῆς πρώτης συλλαβῆς, καὶ ἐπειδὴ ἐπλεόνασε τὸ Ε καὶ ἐγίνετο ἑώρων, ἅμα τῷ πλεονασμῷ

παρεφθάρη καὶ ἡ ἄρχουσα· συλλαβὴ γὰρ προῆλθε, καὶ διὰ τοῦτο ἀνέδραμεν ἡ δασεῖα ἀπὸ τῆς δευτέρας συλλαβῆς ἐπὶ τὴν πρώτην· ἔχομεν γὰρ ὅτι φίλαρχός ἐστιν ἡ δασεῖα· καὶ πάλιν ἐπὶ τοῦ ἐμὸς, σὸς, ὅς, τὸ ὅς δασύνεται· ὅταν δὲ πλεονάσῃ τὸ ε καὶ γένηται ἑὸς, ἀνατρέχει ἡ δασεῖα εἰς τὴν πρώτην συλλαβὴν, ὡς δῆθεν διὰ τοῦ πλεονασμοῦ τῆς συλλαβῆς ἐξαμαυρωθείσης τῆς ἀρχούσης· ἐν δὲ τοῖς συνθέτοις, οὐδὲν τοιοῦτον, ὡς εἴρηται, γίνεται, ἀλλὰ καὶ φυλάττεται ἡ δασεῖα, ἅτε δὴ τῆς ἁπλῆς λέξεως ἔτι ἐμφαινούσης τὴν ἰδίαν ἄρχουσαν. Τοῦτον τὸν τρόπον καὶ αἱ πρόθεσεις, ἐὰν μὲν προσλάβωσι ἄλλην λέξιν, μετὰ τὴν σύνθεσιν φυλάττουσι τὴν ἰδίαν ἀρχικὴν συλλαβὴν, οἷον συνήγορος εὐσυνήγορος, σύμβουλος εὐσύμβουλος· ἐὰν δὲ προσλάβωσι συλλαβὴν ἐξαυμαυροῦσι τὴν ἰδίαν ἀρχικὴν σημασίαν, καὶ τούτου χάριν τὸ καταγράφω οὐ δύναται γενέσθαι ἐκατέγραφον, ἐπειδὴ αἱ συλλαβαὶ, ὡς εἴρηται, προσερχόμεναι ταῖς λέξεσιν, ἐκφυλάττουσιν αὐτῶν τὸ ἰδίωμα τὸ ἀρχικόν· ἐν τῷ γοῦν συνήγορος εὐσυνήγορος, καὶ ἐπανοίκτης θυρεπανοίκτης, εἰ καὶ προσέρχονται ταῖς προθέσεσιν· ἀλλ' αὗται οὐκ εἰσὶ συλλαβαὶ ἀλλὰ λέξεις, ὥστε φυλάττεσθαι τὰ ἰδιώματα τῆς προθέσεως ἤγουν τὴν ἀρχικὴν ἐξουσίαν· ἐν δὲ τῷ καταγράφω ἐὰν γένηται ἐκατέγραφον, συλλαβῆς προσερχομένης καὶ οὐ λέξεως, ἐξαυμαυροῦται τελείως τὸ ἰδίωμα τῆς προθέσεως θελούσης ἀεὶ κατ' ἀρχὴν, οὐκέτι γὰρ φυλάττεται ἡ ἄρχουσα, ἀλλ' ἐξαμαυροῦται. Ἄτρεπτος οὖν τηρεῖται ἡ πρόθεσις, χωρὶς εἰ μὴ ἐν πλεονασμῷ εἴη, ὡς ἐπὶ τοῦ καθέζομαι ἐκαθεζόμην, καθεύδω ἐκάθευδον, καμμύω ἐκάμμυον, ἐνέπω ἤνεπον· ἐνταῦθα γὰρ οὐδὲν πλέον σημαίνουσιν αἱ προθέσεις· τὸ γὰρ ἕζομαι καὶ τὸ καθέζομαι τὸ αὐτὸ σημαίνουσι, καὶ τὸ εὕδω καὶ καθεύδω, καὶ τὸ μύω καὶ καμμύω ἀπὸ τοῦ καταμύω, κατὰ συγκοπὴν τοῦ α, καὶ τροπῇ τοῦ τ εἰς μ, καὶ τὸ ἕπω δὲ ἔξωθεν ἐποιήσατο τὴν κλίσιν, τὸ ἐκαθεζόμην, ἐκάθευδον, ἐκάμμυον, ἤνεπον, ὡς σχεδὸν ἁπλῶν οὐσῶν τῶν λέξεων, ὥσπερ τύπτω, ἔτυπτον.

Ἰστέον δὲ ὅτι εἰσὶ προθέσεις προσερχόμεναι πολλάκις λέξεσιν οὐχ ὡς προθέσεις, οὐδὲ σημασίαν ἔχουσαι λέξεως,

ἀλλὰ συλλαβῆς μοῖραν ἔχουσαι, οἷόν ἐστιν ἀντίβιος καὶ γίνεται ἐναντίβιος, καὶ ἀλίγκιος καὶ γίνεται ἐναλίγκιος, καὶ ἀντίος καὶ γίνεται ἐναντίος, καὶ οὐδὲν πλέον σημαίνουσιν ἐνταῦθα αἱ προθέσεις· τὸ γὰρ ἀντίβιος καὶ ἐναντίβιος τὸ αὐτὸ σημαίνουσι, καὶ τὸ ἀλίγκιος καὶ ἐναλίγκιος, καὶ τὸ ἀντίος καὶ ἐναντίος· ὅθεν καὶ ὡς ἁπλῶν οὐσῶν τῶν λέξεων ἐποίησαν τὸ γένος. Κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ΟΣ σύνθετα, μὴ ὄντα κύρια, κοινά εἰσι τῷ γένει, οἷον ὁ φιλόσοφος καὶ ἡ φιλόσοφος, ὁ φιλάγαθος καὶ ἡ φιλάγαθος, ὁ πάνσοφος καὶ ἡ πάνσοφος, ὁ φιλάνθρωπος καὶ ἡ φιλάνθρωπος, ὁ πρόεδρος καὶ ἡ πρόεδρος, ὁ ἄκακος καὶ ἡ ἄκακος, ὁ παγκάκιστος καὶ ἡ παγκάκιστος· τὸ γὰρ παγκακίστη Ἀττικόν ἐστιν· οἱ γὰρ Ἀθηναῖοι ἐπὶ μὲν τῶν εἰς ΟΣ ἁπλῶν εἰώθασι τὸ θηλυκὸν ὁμόφωνον ποιεῖν τῷ ἀρσενικῷ, ὁ σοφὸς καὶ ἡ σοφὸς, ὁ κλυτὸς καὶ ἡ κλυτὸς,

κλυτὸς Ἀμφιτρίτη· κλύτος Ἱπποδάμεια·

ἐπὶ δὲ τῶν εἰς ΟΣ συνθέτων εἰς Η εἰώθασι ποιεῖν τὸ θηλυκὸν, οἷον ὁ ἀθάνατος ἡ ἀθανάτη, ὁ ἀρίζηλος ἡ ἀριζήλη. Εἰ οὖν τὸ ἐναντίον καὶ ἐναλίγκιος καὶ ἐναντίβιος οὐκ εἰσὶ κοινὰ τῷ γένει· ἡ ἐναντία γὰρ καὶ ἡ ἐναλιγκία καὶ ἡ ἐναντιβία τὸ θηλυκὸν δηλονότι ὡς ἁπλᾶ ὄντα ἐποίησαν τὸ θηλυκὸν εἰς Α, ὥσπερ ὁ Βυζάντιος καὶ ἡ Βυζαντία, ὁ Ῥωμαῖος καὶ ἡ Ῥωμαία, ὁ μέτριος ἡ μετρία· ἆρα οὖν οὐδὲν πλέον σημαίνουσιν ἐπὶ τούτων αἱ προθέσεις. Πρόσκειται "μὴ ὄντα κύρια," διὰ τὸ Ἀρίσταρχος καὶ Μένανδρος· ταῦτα γὰρ σύνθετα ὄντα οὐκ εἰσὶ κοινὰ τῷ γένει. Δεῖ δὲ γινώσκειν ὅτι εἰσί τινα σύνθετα ἀπὸ τῆς οὐ ἀποφάσεως καὶ τῆς μὴ ἀπαγορεύσεως, ἅτινα οὐκ εἰσὶ κοινὰ τῷ γένει, ἀλλ' εἰς Η ἔχουσι τὸ θηλυκὸν, οἷον μηδαμινὸς μηδαμινὴ, οὐτιδανὸς οὐτιδανή. Ταῦτα δὲ δυνάμεθα (παρα)σύνθετα λέγειν, ὅτι παρασύνθετά εἰσι, καὶ τὸ μηδαμινὸς ἀπὸ τοῦ μηδαμὸς ὀνόματος γέγονεν, ἐξ οὗ τὸ μηδαμῶς ἐπίρρημα, συγκείμενον ἀπὸ τῆς μὴ ἀπαγορεύσεως, καὶ τοῦ δαμὸς τοῦ ἰσοδυναμοῦντος τῷ τις· τὸ δὲ οὐτιδανὸς ἀπὸ τοῦ οὔτις τοῦ συγκειμένου ἀπὸ τῆς οὐ ἀποφάσεως καὶ τοῦ τὶς, οὐτιανὸς καὶ οὐτιδανὸς, καὶ λοιπὸν ὡς

παρασύνθετα οὐκ ἠκολούθησαν τῷ κανόνι τούτῳ. Ὁ γὰρ κανὼν οὗτος ἐπὶ τῶν συνθέτων ἐστί· τὰ γὰρ [παρα]σύνθετα οὐκ εἰσὶ κοινὰ τῷ γένει, ἀλλ' ὁμοίως τοῖς ἁπλοῖς γίνονται, οἷον φιλοσοφώτερος φιλοσοφωτέρα, τολμηρότερος τολμηροτέρα, καὶ πάλιν ἑνδέκατος ἑνδεκάτη, ὥσπερ σοφὸς σοφή, καλὸς καλή. Ταῦτα μὲν ἐν τούτοις.

Ὅτι δὲ ἐπὶ τοῦ ἐναντίου οὐδὲν πλέον σημαίνει ἡ πρόθεσις, καὶ ἐξ ἄλλου κανόνος δείκνυται· κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ΟΣ πρὸ μιᾶς ἔχοντα τὸν τόνον ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον καὶ προπαροξύνονται, οἷον ἀγκοῖλος μετάγκοιλος, (ἀγκύλος μεσάγκυλος) φίλος ἄφιλος, οἶκος ἄοικος, δοῦλος σύνδουλος, Ῥωμαῖος φιλορώμαιος, Ἀθηναῖος φιλαθήναιος, πλήσιος παραπλήσιος, ἀρχαῖος ἰσάρχαιος· τὸ γὰρ ἱπποβουκόλος οὐκ ἔστιν ἀπὸ τοῦ βουκόλος, ἀλλ' ἀπὸ τοῦ βουκολῶ, καὶ τὸ κορυθαιόλος οὐκ ἐστὶν ἀπὸ τοῦ αἴολος, ἀλλ' ἀπὸ τοῦ αἰολῶ, τουτέστι κινῶ· εἰ ἄρα οὖν τὸ ἀντίος ἐν τῷ ἐναντίος τὸν αὐτὸν τόνον ἐφύλαξε καὶ οὐκ ἀνεβίβασε τὸν τόνον, δηλονότι οὐδὲν πλέον σημαίνει ἡ πρόθεσις, ὥστε μηδὲ παρέχειν ἔμφασιν, ὅτι σύνθετός ἐστιν ἡ λέξις. Οὕτως οὖν καὶ ἐπὶ τοῦ καθέζομαι, καθεύδω, καμμύω, καὶ ἐννέπω, οὐδὲν πλέον σημαίνει ἡ πρόθεσις. Τούτου χάριν τὴν τῶν ἁπλῶν κλίσιν ἐφύλαξαν καὶ ἔξωθεν ἐκλίθησαν, οἷον ἐκαθεζόμην, ἐκάθευδον, ἐκάμμυον, ἤνεγκον, ἤννεπον· πάντα γὰρ τὰ ῥήματα ἁπλᾶ ἔξωθεν ποιοῦνται τὴν κλίσιν, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον· διὰ τοῦτο καὶ τὸ οἴγω ἐν τῷ ἀνοίγω μηδὲν πλέον σημαῖνον ἀναλογώτερον φαίνεται, ὥς φησιν ὁ Φιλόπονος, παρὰ τοῖς ἰδιώταις, ἤνοιγον καὶ ἤνοιξε γὰρ λέγουσι, καὶ δῆλον ὅτι ἔξωθεν ποιοῦνται τὴν κλίσιν. Παρὰ δὲ τοῖς ἀρχαίοις ἔσωθεν ποιεῖται ἡ κλίσις, ἄνωγε γὰρ λέγουσι, [Il. ξ'. 168.]

τὸν δ' οὐ θεὸς ἄλλος ἄνωγε,

καὶ ἀνέωγε κατὰ πλεονασμὸν τοῦ Ε, καὶ ἀνέωξε καὶ ἀνέῳγμαι, οἷον "ἀνεῳγμένας τὰς θύρας αὐτῶν ὁρῶ."

Ἰστέον δὲ ὅτι εὑρίσκομεν καὶ χρήσεις μάλιστα παρὰ τοῖς νεωτέροις ποιηταῖς μετὰ τὸν Ὅμηρον ἐν στίχῳ τὸ ἤνοιξε,

καὶ τὴν κλίσιν αὐτοῦ ἔξωθεν γενομένην, εἰ καὶ ὑπολαμβάνει ὁ Φιλόπονος μηδαμοῦ εὑρίσκεσθαι εἰ μὴ μόνον ὑπὸ τῶν ἰδιωτῶν λεγόμενον, ἢ Ἀττικῶς κλιθείη, ὡς ἀντιβολῶ ἠντιβόλουν. Δοκοῦσι δὲ λαμβάνεσθαι τοῦ τεχνικοῦ, λέγοντες, ὅτι τί γὰρ σημαίνει τὸ βολῶ, ἵνα σύνθετον λάβωμεν τὸ ἀντιβολῶ; Καὶ ἔστιν εἰπεῖν ὅτι ἀπὸ τοῦ μολῶ, τοῦ σημαίνοντος τὸ παραγίνομαι, γέγονεν τὸ ἀντιμολῶ, καὶ κατὰ μετάθεσιν τοῦ μ εἰς β ἀντιβολῶ.

Ἰστέον δὲ ὅτι παρὰ τοῖς Ἀττικοῖς ἐπὶ τῶν ἀπὸ προθέσεως ἀρχομένων ἔστιν ὅτε ἔξωθεν γίνεται ἡ κλίσις, οἷον ἀντιδικῶ ἠντιδίκουν, διακονῶ ἐδιακόνουν, τὰ δὲ διακόνηκα καὶ ἀντιβολῶ ἠντιβόλουν, τὸ δὲ ἠντιβόλουν καὶ τὸ ι ἐκτείνει, ἀμφιέννυμι ἠμφιεννύμην, ἀμφισβητῶ ἠμφισβήτουν· τοῦτο δὲ δύναται καὶ παρὰ τὸ ἀμφὶς ἐπίρρημα εἶναι, ἀμφισβητεῖν γάρ ἐστι τὸ χωρὶς βαίνειν· ἔστιν ὅτε ἔσωθεν καὶ ἔξωθεν γίνεται ἡ κλίσις, οἷον ἐνοχλῶ ἠνώχλουν, ἀνέχομαι ἠνειχόμην, παροινῶ ἐπαρῴνουν καὶ πεπαρῴνηκα· ταῦτα δὲ, φημὶ τὸ ἠνώχλουν καὶ ἠνειχόμην, ἔσωθεν μὲν κλινόμενα λέγομεν, ὅτι κίνησιν ἀνεδέξαντο τὴν ἁρμόζουσαν τοῖς ἀπὸ προθέσεως συνθέτοις, ὥσπερ τὸ καταγράφω κατέγραφον, ἀναγινώσκω ἀνεγίνωσκον, ἔξωθεν δὲ κινούμενα λέγομεν ὅτι ἔκτασιν Ἀτ-
38 b τικὴν ἀνεδέξαντο, ὥσπερ τὸ ἔμελλον ἤμελλον, ἐβουλόμην ἠβουλόμην, ἐδυνάμην καὶ ἠδυνάμην. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ δυσαρεστῶ καὶ δυσαπιστῶ καὶ εὐορκῶ καὶ εὐαρεστῶ σημειούμεθα ὅτι μὴ ἀρχόμενα ἀπὸ προθέσεως, ἀλλ' ἀπὸ ἐπιρρήματος τοῦ δυς καὶ τοῦ ευ, ἔσωθεν ποιοῦνται τὴν κλίσιν, οἷον δυσηρέστουν καὶ δυσηπίστουν, καὶ εὐηρέστουν καὶ εὐώρκουν. Ἔστι δὲ καὶ τὸ εὐαγγελίζομαι εὐηγγελιζόμην ἔσωθεν κλινόμενον καὶ εὐαρχίζω εὐήρχισα ἐν τῇ συνηθείᾳ· τὸ δὲ ἑορτάζω ὀφεῖλον εἶναι ἐν τῷ παρατατικῷ ἡόρταζον διὰ τοῦ η καὶ ο ὑπερβιβασμὸν ἀνεδέξατο τοῦ χρόνου, καὶ ἡ μὲν πρώτη συλλαβὴ γέγονε βραχεῖα, ἡ δὲ δευτέρα φύσει μακρὰ, καὶ ἐγένετο ἑώρταζον διὰ τοῦ ε καὶ ω· τὸ δὲ ὀψείω, ὅπερ σημαίνει τὸ ἐπιθυμίαν ἔχω τοῦ θεωρῆσαι, ὀφεῖλον εἶναι ἐν τῷ παρατατικῷ ὤψειον, διὰ τῆς ει διφθόγγου, ἐπεὶ καὶ ὁ

ἐνεστὼς διὰ τῆς ει διφθόγγου ἔχει τὴν παραλήγουσαν, ἐγένετο ὤψεον παρὰ Σώφρονι κατὰ ἀποβολὴν τοῦ ι, οἷον

ἐγὼ δέ τοι καὶ πάλιν ὤψεον,

ἀντὶ τοῦ, ἐγὼ δὲ καὶ πάλιν ἐπεθύμουν θεωρῆσαι. Ἐπὶ δὲ τούτων, φημὶ δὴ τοῦ ἑώρταζον καὶ ὤψεον, ἐν τῷ Ῥηματικῷ Ἀπολλωνίου, εἰ θεῷ φίλον, μαθησόμεθα. [D]

"Ἔτυπτες." Κανονίζει τὸ δεύτερον πρόσωπον, λέγων, ὅτι τὰ εἰς ον λήγοντα ῥήματα τροπῇ τῆς ον εἰς ες τὸ δεύτερον πρόσωπον ποιοῦσιν, οἷον ἔτυπτον ἔτυπτες, ἔλεγον ἔλεγες, καὶ τοῦ ἐποίουν τοίνυν τὸ ἐντελὲς ἦν ἐποίεον, καὶ λοιπὸν κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ου δίφθογγον γίνεται ἐποίουν, ὥσπερ χάλκεος χαλκοῦς· τὸ γὰρ ε καὶ ο εἰς τὴν ου δίφθογγον κιρνᾶται παρ' ἡμῖν. Πρόσκειται "παρ' ἡμῖν," ἐπειδὴ παρὰ τοῖς Δωριεῦσι καὶ Ἴωσιν εἰς τὴν ευ δίφθογγον κιρνᾶται, οἷον ἐποίεον ἐποίευν, ὡς καὶ ἐν τῷ Περὶ ὀνομάτων μεμαθήκαμεν, ἡνίκα περὶ τῆς γενικῆς τοῦ Δημοσθένους διελαμβάνομεν. Τὸ δὲ δεύτερον πρόσωπον ἐστὶν ἐποίεες, ἀπὸ τοῦ ἐποίεον τροπῇ τῆς ον εἰς ες, καὶ λοιπὸν κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον γίνεται ἐποίεις, ὥσπερ Πήλεες Πηλεῖς. Διὰ τοῦτο δὲ ἐν τῷ ἐποίεις τὰ β' εε εἰς τὴν ει δίφθογγον ἐκράθησαν καὶ οὐκ εἰς τὸ η, ἐπειδὴ καθόλου ἐπὶ τῶν παρῳχημένων τῶν ὁριστικῶν τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν ἑνικῶν τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν κατὰ τὴν λήγουσαν τῶν ἰδίων πρώτων προσώπων, ἡνίκα ἰσοσυλλαβοῦσιν αὐτά, οἷον ἔτυπτον ἔτυπτες ἔτυπτε, τέτυφα τέτυφας τέτυφε, ἔτυψα ἔτυψας ἔτυψε, ἐτύφθην ἐτύφθης ἐτύφθη, ἐβόων ἐβόας ἐβόα, ἐπεποιήκειν ἐπεποιήκεις ἐπεποιήκει, ἐχρύσουν ἐχρύσους ἐχρύσου, ἵδρουν ἵδρους ἵδρου. Εἰ οὖν τὸ ἐποίουν ἀπὸ δύο φωνηέντων ἐκφέρεται κατὰ τὴν λήγουσαν, δῆλον ὅτι καὶ τὸ ἐποίεις καὶ τὸ ἐποίει ἀναγκάζονται διὰ δύο φωνηέντων ἐκφέρεσθαι κατὰ τὴν λήγουσαν, ἵνα εὑρεθῶσι τὰ ἴσα φωνήεντα ἔχοντα κατὰ τὴν λήγουσαν τῷ ἰδίῳ πρώτῳ προσώπῳ, καὶ τούτου χάριν εἰς τὴν ει δίφθογγον ἐγένετο ἡ κρᾶσις, καὶ οὐκ εἰς η. Πρόσκειται ἐν τῷ κανόνι "ἐπὶ τῶν παρῳχη-

μένων" διὰ τὸ τύπτω τύπτεις τύπτει· ἐνταῦθα γὰρ τὸ δεύτερον καὶ γ' πρόσωπον οὐκ ἔχουσι τὰ ἴσα φωνήεντα κατὰ τὴν λή-
239 a *γουσαν τῷ ἰδίῳ πρώτῳ προσώπῳ. Τὸ μὲν γὰρ δεύτερον καὶ τρίτον πρόσωπον διὰ δύο φωνηέντων ἐκφέρεται κατὰ τὴν λήγουσαν, τὸ δὲ πρῶτον δι' ἑνὸς, ἀλλ' οὐκ ἀντίκειται [a]ἡμῖν τοῦτο, ἐπειδὴ οὐ παρῳχημένου ἀλλ' ἐνεστῶτος. [Τῶν ὁριστικῶν διὰ τὸ ἐὰν τετύφω ἐὰν τετύφῃς ἐὰν τετύφῃ. Τοῦτο γὰρ παρατατ καὶ ὑπερσελ ἐστὶ, καὶ οὐκ ἔχει τὸ δεύτερον καὶ τρίτον πρόσωπον διὰ τῶν ἴσων φωνηέντων ἐκφερόμενον κατὰ τὴν λήγουσαν τῷ ἰδίῳ προσώπῳ· τὸ μὲν γὰρ δεύτερον καὶ τρίτον πρόσωπον διὰ δύο φωνηέντων ἐκφέρεται κατὰ τὴν λήγουσαν· τὸ δὲ πρῶτον δι' ἑνὸς, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν τοῦτο, ἐπεὶ οὐκ ἔστιν ὁριστικὸν, ἀλλ' ὑποτακτικόν.] Πρόσκειται δὲ "ἡνίκα ἰσοσυλλαβοῦσιν αὐτῷ," διὰ τὸ ἐτυπτόμην, ἐτύπτου· ἐνταῦθα γὰρ τὸ δεύτερον πρόσωπον [οὐκ ἔχει τὰ ἴσα φωνήεντα κατὰ τὴν παραλήγουσαν τῷ ἰδίῳ πρώτῳ.] Τὸ μὲν γὰρ δεύτερον πρόσωπον διὰ δύο φωνηέντων ἐκφέρεται κατὰ τὴν λήγουσαν, τὸ δὲ πρῶτον δι' ἑνός· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν τοῦτο, ἐπειδὴ οὐκ ἰσοσυλλαβεῖ τὸ δεύτερον πρόσωπον τῷ πρώτῳ· ἀμέλει ἡνίκα ἰσοσυλλαβήσῃ καὶ γίνεται ἐτύπτεο, τὰ ἴσα φωνήεντα εὑρίσκεται ἔχων κατὰ τὴν λήγουσαν τῷ ἰδίῳ πρώτῳ. Πάλιν ἐστὶν ἐβόαον, καὶ κατὰ κρᾶσιν τοῦ* Α *καὶ* Ο *εἰς τὸ* Ω *γίνεται ἐβόων, ὥσπερ ἐλούσαο ἐλούσω, τούτου τὸ δεύτερον πρόσωπόν ἐστιν ἐβόαες καὶ κατὰ κρᾶσιν τοῦ* Α *καὶ* Ε *εἰς* Α *μακρὸν γίνεται ἐβόας ὡς τὰ ἐμὰ, τἀμά· χωρὶς δὲ τοῦ* Ι *ἐστὶ τὸ ἐβόας, πρῶτον μὲν ὅτι ἀπὸ τοῦ ἐβόαες γέγονε· τοῦ οὖν ἐντελοῦς μὴ ἔχοντος τὸ* Ι, *εἰκότως οὔτε τὸ συνῃρημένον ἔχει αὐτό· δεύτερον δὲ, ὅτι χωρὶς τοῦ* Ι *ἐστὶ τὸ ἐβόας διὰ τὸν προλεχθέντα κανόνα τὸν λέγοντα, ὅτι καθόλου ἐπὶ τῶν παρῳχημένων τῶν ὁριστικῶν τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν ἑνικῶν τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν κατὰ τὴν λήγουσαν τῷ ἰδίῳ πρώτῳ προσώπῳ, ἡνίκα ἰσοσυλλαβοῦσιν αὐτῷ· εἰ οὖν τὸ ἐβόων ἐν*

[a] *ἡμῖν—ἐνεστῶτος* sumpsi ex Bar. ubi [ ] desunt.

φωνῆεν ἔχει κατὰ τὴν λήγουσαν, ἀναγκαίως καὶ τὸ ἐβόας καὶ τὸ ἐβόα ἓν φωνῆεν ἔχει κατὰ τὴν λήγουσαν, καὶ τούτου χάριν τὸ ι οὐκ ἔστι προσγεγραμμένον. Εἰ δέ τις εἴποι, διὰ τί δὲ τὸ ἐβόων οὐκ ἔχει τὸ ι προσγεγραμμένον, λέγομεν, ὅτι πρῶτον μὲν, ἐπειδὴ οὐκ ἔχει ἀπὸ τοῦ ἐντελοῦς, γέγονεν ἀπὸ τοῦ ἐβόαον κατὰ κρᾶσιν τοῦ α καὶ ο εἰς ω, ὥσπερ ἐτύψαο ἐτύψω· τοῦ οὖν ἐντελοῦς μὴ ἔχοντος τὸ ι, εἰκότως οὔτε συνῃρημένον αὐτὸ ἔχει· δεύτερον δὲ, διὰ τοῦτο τὸ ἐβόων οὐκ ἔχει προσγεγραμμένον τὸ ι, ἐπειδὴ οὐδέποτε τὰ εἰς ν λήγοντα ῥήματα ἔχουσι τί ποτε πρὸ τοῦ ν ἀνεκφώνητον, οἷον ἐτύφθην, ἐδάρην, βοᾶν, γελᾶν· οὕτως οὖν καὶ ἐβόων χωρὶς τοῦ ι. Πάλιν ἐστὶν ἔζαον, καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ο εἰς ω γίνεται ἔζων· εἶτα τὸ δεύτερον πρόσωπόν ἐστιν ἔζαες, καὶ κατὰ κρᾶσιν Δωρικὴν τοῦ α καὶ ε εἰς η γίνεται ἔζης· τὸ γὰρ α καὶ ε εἰς η κιρνῶσιν οἱ Δωριεῖς, οἷον τὰ ἐμὰ τἠμά· οὕτω καὶ τὸν ἐνεστῶτα λέγομεν, ὅτι Δωρικὴν κρᾶσιν πεπονθὼς γίνεται ζῇς διὰ τοῦ η καὶ ι, ὥσπερ πεινῇς καὶ διψῇς· τούτου οὖν τοῦ ἔζης τὸ τρίτον
239 b πρόσωπον ἐστὶν ἔζη κατὰ ἀποβολὴν τοῦ σ, καὶ ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν τρίτον πρόσωπον εἰς η καταλῆγον προσθέσει τοῦ σ ποιεῖ τὸ δεύτερον, καὶ τροπῇ τοῦ σ εἰς ν τὸ πρῶτον, οἷον ἐτύφθη ἐτύφθης ἐτύφθην, ἐδάρη ἐδάρης ἐδάρην· τούτου χάριν καὶ ἐνταῦθα τὸ τρίτον πρόσωπον εἰς η καταλῆγον προσθέσει τοῦ σ τὸ δεύτερον ποιεῖ, οἷον ἔζην ἔζης, καὶ τροπῇ τοῦ σ εἰς ν τὸ πρῶτον, οἷον ἔζην ἐγὼ, ὥστε διχῶς λέγεται λοιπὸν, ἔζων ἐγὼ, ἀπὸ τοῦ ἔζαον, κατὰ κρᾶσιν τοῦ α καὶ ο εἰς ω, καὶ ἔζην ἐγὼ πρὸς ἀναλογίαν τοῦ τρίτου καὶ δευτέρου προσώπου διὰ τοῦ η ἐκφερομένου. Πάλιν ἐστὶν ἐχρύσοον, καὶ κατὰ κρᾶσιν τῶν δύο οο εἰς τὴν ου δίφθογγον γίνεται ἐχρύσουν, ὥσπερ νόος νοῦς· εἶτα τὸ δεύτερον πρόσωπον ἐχρύσοες, καὶ κατὰ κρᾶσιν τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον γίνεται ἐχρύσους, ὥσπερ τὸ ἐμὸν τοὐμόν.

"Ἔτυπτεν." Εἴρηται ὅτι πᾶν δεύτερον πρόσωπον εἰς σ λῆγον ἀποβολῇ τοῦ σ τὸ τρίτον ποιεῖ, οἷον ἔτυπτες ἔτυπτε, ἐποίεις ἐποίει, ἐβόας ἐβόα, ἐχρύσους ἐχρύσου, χωρὶς τοῦ παρακειμένου δηλονότι καὶ τοῦ ἀορίστου πρώτου καὶ

τῶν ἀπὸ τῶν εἰς ΜΙ. Πρόσκειται "χωρὶς τοῦ παρακειμένου καὶ τοῦ ἀορίστου πρώτου," ἐπειδὴ τούτων οὐ μόνον τὸ Σ ἀποβάλλει, ἀλλὰ καὶ τροπὴ παρηκολούθησεν τοῦ Α εἰς τὸ Ε, οἷον τέτυφας τέτυφε, τέτυπας τέτυπε, ἔτυψας ἔτυψε· "χωρὶς δὲ τῶν ἀπὸ τῶν εἰς ΜΙ" πρόσκειται, ἐπειδὴ ἐπὶ τούτων κατὰ τὸν ἐνεστῶτα τὸ Σ οὐκ ἀποβάλλεται, ἀλλὰ καὶ τὸ Ι προσέρχεται, οἷον τίθημι τίθης τίθησιν, ἵστημι ἵστης ἵστησι, δίδωμι δίδως δίδωσι, ζεύγνυμι ζεύγνυς ζεύγνυσι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ ἔτυπτε γίνεται καὶ μετὰ τοῦ Ν ἔτυπτεν· τὸ γὰρ Ε ἐφελκυστικόν ἐστι τοῦ Ν ἐν τοῖς τρίτοις προσώποις τοῖς ἑνικοῖς τῶν ῥημάτων, οἷον ἔλεγε ἔλεγεν, ἔμαθε ἔμαθεν· ὥσπερ καὶ τὸ Ι ἔχομεν, ὅτι γίνεται ἐφελκυστικὸν τοῦ Ν, ὅταν ἔχῃ προηγούμενον τὸ Σ, ἢ δυνάμει ἢ ἐνεργείᾳ· ἐνεργείᾳ μὲν, οἷον τύπτουσι τύπτουσιν, Αἴασι Αἴασιν, δυνάμει δὲ οἷον, Φοίνιξι Φοίνιξιν, Πέλοψι Πέλοψιν· δυνάμει γὰρ ἐνταῦθα ἐστὶ τὸ Σ· τὸ γὰρ Ξ ἐκ τοῦ Κ καὶ Σ δοκεῖ συγκεῖσθαι, καὶ τὸ Ψ ἐκ τοῦ Π καὶ Σ· καὶ πάλιν ἔστι ἔστιν· τὸ γὰρ Τ ἐνταῦθα δυνάμει Σ ἐστὶν, ἀπὸ γὰρ τοῦ ἔσσι γέγονε κατὰ τροπὴν τοῦ Σ εἰς τὸ Τ· πολλάκις δὲ καὶ τοῦ Φ προηγουμένου γίνεται τὸ Ι ἐφελκυστικὸν τοῦ Ν, οἷον ναῦφι ναῦφιν, [Il. ν΄. 700.]

ναῦφιν ἀμυνόμενοι μετὰ Βοιωτῶν ἐμάχοντο,

τοῦτ᾽ ἔστιν ἀπὸ τῶν νεῶν ἀποσοβοῦντες. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα τοῦ ἔτυπτε τὸ προστακτικὸν τύπτε, τὸ δὲ ἔτυπτεν ἐφελκυστικὸν γίνεται τοῦ Ν, οἷον ἔτυπτεν, διὰ τί μὴ καὶ τὸ τύπτε ἐφελκυστικὸν γίνεται τοῦ Ν; Καὶ ἔστιν εἰπεῖν δύο ἀπολογίας· καὶ ἡ πρώτη μέν ἐστιν αὕτη· τὸ τύπτε δεύτερον πρόσωπόν ἐστι, καὶ ἐπειδὴ δεύτερον πρόσωπόν ἐστιν, οὐ δύναται
10 a ἐφελκυστικὸν εἶναι τοῦ Ν· τὰ γὰρ εἰς Ε λήγοντα δεύτερα πρόσωπα οὐ γίνεται ἐφελκυστικὰ τοῦ Ν, τύπτετε ἐτύπτεσθε. Εἰκότως οὖν καὶ τὸ τύπτε οὐ δύναται ἐφελκυστικὸν ἔχειν τὸ Ν, ἐπειδὴ δεύτερον πρόσωπόν ἐστι. Δευτέρα δὲ λύσις αὕτη

ἐστι· τὰ προστακτικὰ συγγένειαν ἔχουσι πρὸς τὴν κλητικὴν, καὶ γὰρ κλητικῇ συντάσσονται, οἷον τύπτε σὺ, Σώκρατες γράψον, Ἀριστόφανες διαλέχθητι. Ἐπειδὴ οὖν τὰ προστακτικὰ συνγένειαν ἔχουσι πρὸς τὴν κλητικὴν, τούτου χάριν τὸ τύπτε οὐ γίνεται ἐφελκυστικὸν τοῦ ν. Καὶ γὰρ αἱ εἰς ε λήγουσαι κλητικαὶ οὐδέποτε γίνονται ἐφελκυστικαὶ τοῦ ν, οἷον ἄνθρωπε, Ὅμηρε. Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα τὸ ἐποίει ἐβόα καὶ ἐχρύσου ἐν τῇ τελείᾳ γίνονται ἐφελκυστικὰ τοῦ ν, οἷον ἐποίεεν, ἐβόαεν, ἐχρύσοεν, διὰ τί ἐν τῇ συναιρέσει οὐ γίνεται ἐφελκυστικὰ τοῦ ν; [Ἐπειδὴ οὐκ ἐφυλάχθη τὸ ε, ἄλλως τε διὰ τοῦτο ἐν τῇ συναιρέσει οὐ γίνονται ἐφελκυστικὰ τοῦ ν,] ἐπειδὴ μακροκαταληκτοῦσιν, οὐδέποτε δὲ τὰ μακρὰ φωνήεντα γίνονται ἐφελκυστικὰ τοῦ ν, οἷον ἐτύφθη, ἐδάρη.

"Δυϊκά. Ἐτύπτετον ἐτυπτέτην."

Ἰστέον ὅτι ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, ἐπειδὴ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ μ ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχει, ἐτύπτομεν γάρ ἐστι· τὸ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν γέγονε τροπῇ τοῦ ε εἰς ον, ἐτύπτετε ἐτύπτετον. Καθόλου γὰρ πᾶν δεύτερον πρόσωπον πληθυντικὸν τροπῇ τοῦ ε εἰς ον τὸ δεύτερον τῶν δυϊκῶν ποιεῖ, οἷον τετύφατε τετύφατον, ἐτύψατε ἐτύψατον, τύπτεσθε τύπτεσθον, τύψασθε τύψασθον, τὸ δὲ τρίτον τῶν δυϊκῶν οὐχ ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς ιν, οὔτε εἰς ται λήγει· ἔτυπτον γάρ ἐστι· κανονίζεται δὲ τὸ τρίτον τῶν δυϊκῶν ἐκ τοῦ ἰδίου δευτέρου τροπῇ τοῦ ο εἰς η, οἷον ἐτύπτετον ἐτυπτέτην, ἐν γὰρ τοῖς δυϊκοῖς τρεπόμενον τὸ ο εἰς η τρέπεται, οἷον ἐτύψατον ἐτυψάτην, τύπτοιτον τυπτοίτην, τύφθητον τυφθήτην, χωρὶς τῶν προστακτικῶν· ἐπ' ἐκείνων γὰρ τὸ ο εἰς ω τρέπεται, οἷον τύπτετον τυπτέτων.

"Πληθυντικὰ, ἐτύπτομεν." Κανονίζεται τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ἀπὸ τοῦ πρώτου προσώπου τῶν ἑνικῶν, ὅτι πᾶν πρόσωπον ἑνικὸν εἰς ν λῆγον μὴ ἔχον τὸ μ κλιτικὸν πρὸ τοῦ ν λαμβάνον τὸ μ καὶ τὸ ε τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, οἷον ἔλεγον ἐλέγομεν,

ἔλαβον ἐλάβομεν, ἐβόων ἐβοῶμεν, ἐχρύσουν ἐχρυσοῦμεν, ἐδάρην ἐδάρημεν, ἐπεποιήκειν ἐπεποιήκειμεν. Πρόσκειται "μὴ ἔχον τὸ μ κλιτικὸν" διὰ τὸ ἐλεγόμην, ἐτυπτόμην, καὶ τὰ ὅμοια. Ταῦτα οὐ προσλαμβάνει πρὸ τοῦ ν τὸ μ καὶ τὸ ε καὶ ἀποτελοῦσι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν· τὰ γὰρ πληθυντικὰ τούτων ἐλεγόμεθα καὶ ἐτυπτόμεθα εἰσίν· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ τὸ μ ἐνταῦθα ἀπὸ
40 b κλίσεως ἔχουσιν. Ὁ γὰρ ἐνεστὼς τύπτω καὶ λέγω ἐστὶ καὶ οὐκ ἔχει τὸ μ· κλιτικὸν δέ ἐστι τὸ μὴ ὂν ἀπὸ θέματος, ἀλλ' ἀπὸ κλίσεως γεγενημένον, ὃν τρόπον λέγομεν τὸ μὲν Πάρις Πάριδος ἀπὸ κλίσεως ἔχει τὸ δ, ἐπειδὴ οὐκ ἔχει αὐτὸ ἀπὸ τῆς εὐθείας· τὸ δὲ Ἀτρείδης θεματικὸν ἔχει τὸ δ, ἐπειδὴ ἀπὸ τῆς εὐθείας ἔχει αὐτό· τὸ δὲ ἐδάμην ἔχον τὸ μ καὶ πρὸ τοῦ ν λαμβάνον τὸ μ καὶ ε, καὶ ποιοῦν τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, οἷον ἐδάμην ἐδάμημεν, οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔχει τὸ μ κλιτικὸν, ἀλλὰ θεματικόν. Ὁ γὰρ ἐνεστὼς ἔχει αὐτὸ, δάμνω γάρ ἐστιν ὁ ἐνεστώς. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τοῦ ἐτίθην ἐτίθεμεν, ὅτι οὐκ ἐφύλαξεν τὸ η ἀλλ' ἐγένετο διὰ τοῦ ε, καὶ ἐπὶ τοῦ ἐκίχρην ἐκίχραμεν, ὅτι οὐκ ἐφύλαξε τὸ η ἀλλ' ἐγένετο διὰ τοῦ α, καὶ ἐπὶ τοῦ ἐδίδων ἐδίδομεν, ὅτι οὐκ ἐφύλαξε τὸ ω, ἀλλ' ἐγένετο διὰ τοῦ ο, καὶ ἐπὶ τοῦ ἐζεύγνυν ἐζεύγνυμεν, ὅτι οὐκ ἐφύλαξε τὸ δίχρονον ἐκτεταμένον, ἀλλὰ συνέστειλεν αὐτὸ, ἐν τοῖς εἰς μι ἐπαγγέλλεται εἰπεῖν.

"Ἔτυπτε." Εἴρηται ὅτι τὰ εἰς μεν πληθυντικὰ τροπῇ τῆς μεν εἰς τε τὸ δεύτερον πρόσωπον ποιοῦσι, τὴν δὲ παραλήγουσαν ἔτρεψεν, ἐπειδὴ οὐκ ἔχει τὴν μετοχὴν εἰς σ· τύπτων γάρ ἐστιν ἡ μετοχὴ, τρέπουσι δὲ τὴν παραλήγουσαν ὅσα οὐκ εἰς σ ἔχουσι τὴν μετοχὴν, ὡς ἐπὶ ἐνεστῶτος καὶ παρατατικοῦ, οἷον τύπτομεν τύπτετε, ἐτύπτομεν ἐτύπτετε, τύπτων γάρ ἐστιν ἡ μετοχὴ, καὶ ἐπὶ τῶν μελλόντων, οἷον τύψομεν τύψετε, τύψων γάρ ἐστιν ἡ μετοχή· τυποῦμεν τυπεῖτε, τυπῶν γάρ ἐστιν ἡ μετοχή· κεροῦμεν κερεῖτε, κερῶν γάρ ἐστιν ἡ μετοχή· εὐφρανοῦμεν εὐφρανεῖτε, εὐ-

φρανὼν γάρ ἐστιν ἡ μετοχή· καὶ ἐπὶ τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ, οἷον ἐλάβομεν ἐλάβετε, λαβὼν γάρ ἐστιν ἡ μετοχή· ἐμάθομεν ἐμάθετε, μαθὼν γάρ ἐστιν ἡ μετοχή· ἐδράμομεν ἐδράμετε· δραμὼν γάρ ἐστιν ἡ μετοχή. Ταῦτα δὲ εἴρηται ἐπὶ τῶν εἰς Ω· τὰ γὰρ εἰς ΜΙ λήγοντα ἐπὶ τῶν μελλόντων μόνον τρέπουσι τὴν παραλήγουσαν· τούτου γὰρ καὶ μόνου, φημὶ δὴ τοῦ μέλλοντος, ἡ μετοχὴ οὐκ ἔστιν εἰς ΟΣ, κατὰ μέρος ἔχομεν γνῶναι· ἔστι δὲ ἐπὶ τῶν εἰς Ω ῥημάτων τῶν ἐχόντων δηλονότι εἰς μὲν τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν εἰς Σ ἡ μετοχὴ ὡς ἐπὶ παρακειμένου καὶ ὑπερσυντελικοῦ ἐνεργητικῆς τε καὶ μέσης διαθέσεως, οἷον τετυπὼς τετυφώς, καὶ ἐπὶ ἀορίστου πρώτου ἐνεργητικοῦ, οἷον τύψας, καὶ ἐπὶ τῶν β′ ἀορίστων παθητικῶν, τουτέστι πρώτου καὶ δευτέρου, τουτέστι τυφθεὶς τυπείς.

"Ἔτυπτον." Καθόλου ἐπὶ τοῦ παρατατικοῦ καὶ ἐπὶ τοῦ δευτέρου ἀορίστου τῶν ἐνεργητικῶν ἀπὸ τῶν εἰς Ω ῥημάτων τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ὁμοφωνεῖ τῷ πρώτῳ προσώπῳ τῶν ἑνικῶν, οἷον ἐγὼ ἔλεγον, ἐκεῖνοι ἔλεγον· ἐχρύσουν ἐγώ, ἐχρύσουν ἐκεῖνοι, ἔλαβον ἐγώ, ἔλαβον ἐκεῖνοι·
241 a ἐβόων ἐγώ, ἐβόων ἐκεῖνοι. Κανονίζει τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ὁ τεχνικὸς οὕτως· τῶν δ′ παρῳχημένων, παρατατικοῦ τε φημὶ καὶ παρακειμένου καὶ ὑπερσυντελικοῦ καὶ ἀορίστου, τῶν ἐχόντων δηλονότι εἰς ΜΕΝ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, (τὰ γὰρ ἔχοντα εἰς ΜΕΘΑ ἄλλως κανονίζεται, ὡς ἐν τοῖς παθητικοῖς, εἰ θεῷ φίλον, μαθησόμεθα,) ὅσοι μὲν ἔχουσι τὴν μετοχὴν εἰς Σ λήγουσαν καὶ ὀξυνομένην ἐκεῖνοι ἔχουσι τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἰσοσύλλαβον τῷ ἰδίῳ α′ προσώπῳ πληθυντικῶν, οἷον ὁ τετυφὼς μετοχή ἐστι παρακειμένου καὶ ὑπερσυντελικοῦ καὶ ἔστιν εἰς Σ ὀξύτονος, καὶ λοιπὸν ἐπὶ τούτων τῶν β′ χρόνων τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἰσοσύλλαβον τῷ ἰδίῳ πρώτῳ προσώπῳ οἷον τετύφαμεν τετύφασιν, ἐτετύφειμεν ἐτετύφεισαν, ὅσοι δὲ τῶν παρῳχημένων οὐκ ἔχουσι τὴν μετοχὴν εἰς Σ ὀξύτονον, ἀλλ' εἰς Σ μέν, ὀξύτονον δὲ οὔ· ἢ ὀξύτονον μέν, μὴ εἰς Σ δέ· ἢ μήτε

εἰς ς, μήτε ὀξύτονον· ἐκεῖνοι ἔχουσι τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἐλλεῖπον μιᾷ συλλαβῇ τοῦ ἰδίου πρώτου πληθυντικοῦ, καὶ λῆγον εἰς ἐκείνην τὴν συλλαβὴν, ἥτις ἦν παραλήγουσα τῆς γενικῆς τῆς ἰδίας μετοχῆς, οἷον τοῦ ἔτυπτον, ἔστιν ἡ μετοχὴ ὁ τύπτων, οὔτε εἰς ς, οὔτε ὀξύτονον, καὶ λοιπὸν γίνεται τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἔτυπτον, ἐλλεῖπον μιᾷ συλλαβῇ τοῦ ἰδίου πρώτου πληθυντικοῦ, φημὶ δὴ τοῦ ἐτύπτομεν, καὶ καταλῆγον εἰς τὴν ΠΤΟΝ συλλαβὴν, ἥτις ἦν παραλήγουσα τῆς τύπτοντος γενικῆς μετοχῆς. Καὶ πάλιν τοῦ ἔτυπον ἐστὶν ἡ μετοχὴ ὀξύτονος μὲν τυπὼν, οὐκ εἰς ς δὲ, καὶ λοιπὸν γίνεται τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἔτυπον, ἐλλεῖπον μιᾷ συλλαβῇ τοῦ ἰδίου πρώτου πληθυντικοῦ, φημὶ δὴ τοῦ ἐτύπομεν, καὶ καταλῆγον εἰς τὴν ΠΟΝ συλλαβὴν, ἥτις ἦν παράληξις τῆς τυπόντος γενικῆς μετοχῆς. Πάλιν τοῦ ἔτυψα ἐστὶν ἡ μετοχὴ τύψας, εἰς ς μὲν, ἀλλ' οὐκ ὀξύτονος, καὶ πάλιν γίνεται τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἔτυψαν, ἐλλεῖπον μιᾷ συλλαβῇ τοῦ ἰδίου πρώτου πληθυντικοῦ, φημὶ δὴ τοῦ ἐτύψαμεν, καὶ καταλῆγον εἰς τὴν ΨΑΝ συλλαβὴν, ἥτις ἦν παράληξις τῆς τύψαντος γενικῆς μετοχῆς. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι οἱ ποιηταὶ πολλάκις καὶ ἐπὶ τῶν ἐχόντων τὴν μετοχὴν εἰς ς ὀξυτονούμενον ποιοῦσιν ἐν τῷ τρίτῳ προσώπῳ τῶν πληθυντικῶν ἔνδειαν συλλαβῆς, καὶ φυλάττουσι τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς, οἷόν ἐστιν ἐκοσμήθητε, ἐκοσμήθησαν, παρὰ δὲ τοῖς ποιηταῖς γίνεται τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἐνδείᾳ συλλαβῆς κόσμηθεν [Il. γ'. 1.]

αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι

πρὸς τὴν παραλήγουσαν τῆς κοσμηθέντος γενικῆς μετοχῆς· καὶ πάλιν ἐστὶν ἔβην, καὶ τούτου ἡ μετοχὴ εἰς ς ὀξύτονος, καὶ γίνονται τὰ πληθυντικὰ ἔβημεν ἔβητε ἔβησαν, παρὰ δὲ τοῖς ποιηταῖς γίνεται τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν
41 b ἔβαν, οἷον,

πῆ ἔβαν εὐχωλαί

πρὸς τὴν παραλήγουσαν τῆς βάντος γενικῆς μετοχῆς· καὶ

πάλιν τοῦ ἔστην ἡ μετοχὴ στὰς εἰς σ ὀξύτονος, καὶ γίνεται τὰ πληθυντικὰ ἔστημεν ἔστητε ἔστησαν, παρὰ δὲ τοῖς ποιηταῖς γίνεται τὸ γ' τῶν πληθυντικῶν ἔσταν, [Il. β'. 467.]

ἔσταν δ' ἐν λειμῶνι

πρὸς τὴν παραλήγουσαν τῆς μετοχῆς τῆς στάντος. Διὰ τοῦτο παραφυλαττόμεθα τὸ ἦν, [Hesiod. Theog. 321.]

τῆς δ' ἦν τρεῖς κεφαλαὶ

ἀντὶ τοῦ ἦσαν· ἔστι γὰρ ἦμεν ἦτε ἦσαν, καὶ γίνεται παρὰ τοῖς ποιηταῖς ἦν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, καὶ ἰδοὺ ἐλλείπει μιᾷ συλλαβῇ τοῦ ἰδίου πρώτου πληθυντικοῦ, οὗ καὶ γέγονε πρὸς τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς· ἔστι γὰρ εἷς ἔντος ἡ μετοχὴ, καὶ ὀφείλει τὸ τρίτον τῶν πληθυντικῶν γενέσθαι ἓν διὰ τοῦ ε, ἀλλ' ἐπειδὴ μονοσύλλαβός ἐστιν ἡ λέξις, καὶ τὴν αὐτὴν ἔχει ἄρχουσαν καὶ λήγουσαν καὶ παραλήγουσαν, τῷ λόγῳ τῆς ἀρχούσης ἐφυλάχθη τὸ η, καὶ οὐκ ἐγένετο τῷ λόγῳ τῆς παραληγούσης διὰ τοῦ ε. Ἔστι καὶ ἄλλη τοιαύτη ἀπολογία, ἣν λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ αὐτοῦ Μονοβίβλῳ, ὅτι τὸ ἦν εὑρίσκεται καὶ πρώτου προσώπου ἑνικοῦ, οἷον ἦν ἐγὼ, ὡς παρ' Ἀριστοφάνει ἐν Πλούτῳ [28.]

ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον, καὶ πένης ἦν

ἀντὶ τοῦ ὑπῆρχον· εὑρίσκεται καὶ τρίτον πρόσωπον ἑνικοῦ, "ἦν ἐκεῖνος," εὑρέθη δὲ καὶ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, οἷον "ἦν ἡμεῖς" ἀντὶ τοῦ ἦμεν· εἰκότως οὖν καὶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν οὐκ ἐνήλλαξε πρὸς τὸ ἴδιον πρῶτον πρόσωπον, ἀλλ' ἐγένετο καὶ αὐτὸ ἦν διὰ τοῦ η,

τῆς δὲ ἦν τρεῖς κεφαλαὶ

ἀντὶ τοῦ ἦσαν, ἵνα ὥσπερ ἐν τοῖς ἑνικοῖς τὸ πρῶτον καὶ τρίτον ὁμοφωνοῦσι, τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς πληθυντικοῖς τὸ πρῶτον καὶ τρίτον ὁμοφωνῶσι. Πάλιν δὲ ἐκ τοῦ ἐναντίου εὑρίσκομεν παρῳχημένων τινῶν τρίτα πρόσωπα πληθυντικὰ ἰσοσυλλαβοῦντα τοῖς ἰδίοις πρώτοις πληθυντικοῖς, τῆς μετοχῆς αὐτῶν μὴ οὔσης εἰς σ μετ' ὀξείας τάσεως, οἷόν ἐστιν ὁ πληρῶν τοῦ πληροῦντος ἡ μετοχὴ, καὶ δέον

ἐστὶν εἰπεῖν τὰ πληθυντικὰ ἐπληροῦμεν ἐπληροῦτε, καὶ τὸ τρίτον ἐπλήρουν, ἐνδέον μίᾳ συλλαβῇ τοῦ ἰδίου πρώτου πληθυντικοῦ καὶ λῆγον εἰς τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς, καὶ ὅμως εὕρηται παρὰ τῷ Εὐριπίδῃ ἐν τῇ Ἑκάβῃ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἰσοσύλλαβον τῷ ἰδίῳ πρώτῳ προσώπῳ πληθυντικῷ, οἷον ἐπληροῦσαν, ἔνθα φησὶν [574.]

οἱ δὲ ἐπληροῦσαν πυρὰν
κορμοὺς φέροντες πευκίνους.

Καὶ πάλιν ἐστὶν ὁ σχάζων τοῦ σχάζοντος ἡ μετοχή· καὶ πάλιν δέον εἶναι τὰ πληθυντικὰ ἐσχάζομεν ἐσχάζετε ἔσχαζον, καὶ ὅμως εὑρίσκεται παρὰ Λυκόφρονι τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἰσοσύλλαβον τῷ ἰδίῳ πρώτῳ προσώπῳ πληθυντικῷ ἐσχάζοσαν, ἔνθα φησὶν [21.]

καὶ ἀπὸ γῆς ἐσχάζοσαν

ἀντὶ τοῦ ἀπέλυον· ταῦτα δὲ Καλχηδονέων ἰδιώματός ἐστιν.

"Παρακειμένου ἑνικά· τέτυφα. Δύο χρόνοι κατασκευάζουσι τὸν παρακείμενον, ὁ παρατατικὸς τὴν ἄρχουσαν, ὁ δὲ μέλλων τὴν λήγουσαν καὶ τὴν παραλήγουσαν καὶ τὴν ποσότητα τῶν συλλαβῶν." Μετὰ τὸν παρατατικὸν κανονίζει τὸν παρακείμενον, καὶ λέγει ὅτι δύο χρόνοι κατασκευάζουσι τὸν παρακείμενον, ὁ παρατατικὸς καὶ ὁ μέλλων, ὁ μὲν τὴν ἄρχουσαν, ὁ δὲ τὴν λήγουσαν· ἡμεῖς δέ, εἰ θεῷ φίλον,
42 a προϊόντες ἔχομεν δεῖξαι, ὅτι καὶ ἡ ἄρχουσα δύναται ἐκ τοῦ μέλλοντος κανονισθῆναι. "Πᾶς τοίνυν παρακείμενος εἰς Α λήγει, καὶ πρὸ τοῦ Α ἔχει ἢ τὸ Φ ἢ τὸ Χ, ἢ τὸ Κ," οἷον τέτυφα, νένυχα, πεποίηκα. Ἰστέον ὅτι πᾶς παρακείμενος ὁριστικὸς, ἐνεργητικὸς, πρώτου προσώπου ἑνικοῦ, εἰς Α λήγει. Ταῦτα δὲ πεποίηται πρὸς τὴν τοῦ μέλλοντος ἀκολουθίαν· ὅτε μὲν γὰρ ὁ μέλλων διὰ τοῦ Ψ, ὁ παρακείμενος διὰ τοῦ Φ ἐκφέρεται, οἷον τύψω τέτυφα, γράψω γέγραφα, κόψω κέκοφα· ὅτε δὲ ὁ μέλλων διὰ τοῦ Ξ, ὁ παρακείμενος διὰ τοῦ Χ ἐκφέρεται, οἷον λέγω λέξω λέλεχα, πλέξω πέπλεχα· ὅτε δὲ ὁ μέλλων διὰ τοῦ Σ ἐστιν, ὁ παρακείμενος διὰ τοῦ Κ ἐκφέρεται,

οἷον πείθω πείσω πέπεικα, νήθω νήσω νένηκα, λακτίζω λάκτίσω λελάκτικα, βασιλεύω βασιλεύσω βεβασίλευκα, συρίζω συρίσω σεσύρικα, ἱππεύω ἱππεύσω ἵππευκα· ὅτε δὲ ὁ μέλλων δι' ἀμεταβόλου ἐκφέρεται, τότε ὁ παρακείμενος διά τε αὐτοῦ τοῦ ἀμεταβόλου καὶ τοῦ κ ἐκφέρεται, οἷον κείρω κερῶ κέκαρκα, φθείρω φθερῶ ἔφθαρκα, κτείνω κτενῶ ἔκταγκα, τοῦ ν εἰς τὸ γ τραπέντος διὰ τὴν ἐπιφορὰν τοῦ κ. Ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὅτι ἐπὶ μὲν τῆς πρώτης συζυγίας τῶν βαρυτόνων διὰ τοῦ φ ἐκφέρεται, οἷον τύπτω τύψω τέτυφα, λείβω λείψω λέλειφα, γράφω γράψω γέγραφα, ἐπὶ δὲ τῆς δευτέρας συζυγίας τῶν βαρυτόνων καὶ ἐνίων τῆς τετάρτης, ὧν ὁ μέλλων διὰ τοῦ ξ ἐστὶ, διὰ τοῦ χ ἐκφέρεται ὁ παρακείμενος, οἷον λέγω λέξω λέλεχα, πλήσσω πλήξω πέπληχα, πήσσω πήξω πέπηχα· ἐπὶ δὲ τῶν λοιπῶν πασῶν συζυγιῶν διὰ τοῦ κ ἐκφέρεται ὁ παρακείμενος, τουτέστιν ἐπὶ τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, καὶ ἐπὶ ἐνίων τῆς τετάρτης, ὧν ὁ μέλλων οὐκ ἔστι διὰ τοῦ ξ ἀλλὰ διὰ τοῦ σ, καὶ ἐπὶ τῆς πέμπτης καὶ ἐπὶ τῆς ἕκτης, καὶ ἐπὶ τῶν τρίων συζυγιῶν τῶν περισπωμένων, καὶ ἐπὶ τῶν εἰς μι, οἷον πείθω πείσω πέπεικα, νήθω νήσω νένηκα, συρίζω συρίσω σεσύρικα, λεπίζω λεπίσω λελέπικα, ἁρπάζω ἁρπάσω ἥρπακα, κείρω κερῶ κέκαρκα, τίλλω τιλῶ τέτιλκα, κρούω κρούσω κέκρουκα, τοξεύω τοξεύσω τετόξευκα, ποιῶ ποιήσω πεποίηκα, βοῶ βοήσω βεβόηκα, χρυσῶ χρυσώσω κεχρύσωκα, τίθημι θήσω τέθηκα, καὶ κατὰ τροπὴν Βοιωτικὴν τοῦ η εἰς ει δίφθογγον τέθεικα διὰ τῆς ει διφθόγγου, δίδωμι δώσω δέδωκα, βίωμι βιώσω βεβίωκα. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι τοῦτο, εἰ ἄρα ἡ πρώτη συζυγία τῶν βαρυτόνων ἔχουσα δασὺ, ψιλὸν, μέσον, λέγω δὴ τὸ β, ἢ π, ἢ φ, οἷον λείβω, τέρπω, γράφω, διὰ τοῦ ἰδίου δασέος ἐκφέρεται κατὰ τὸν παρακείμενον, λέγω δὲ διὰ τοῦ φ, οἷον λείβω λείψω λέλειφα, καὶ πάλιν ἡ δευτέρα συζυγία τῶν
242 b βαρυτόνων ἔχουσα δασὺ, ψιλὸν, μέσον, λέγω κ γ καὶ χ, οἷον λέγω πλέκω τρέχω, διὰ τοῦ ἰδίου δασέος ἐκφέρεται κατὰ τὸν παρακείμενον, λέγω δὲ διὰ τοῦ χ, οἷον λέξω λέλεχα, πλέξω πέπλεκα, διὰ τὶ ἡ γ' συζυγία τῶν βαρυτόνων ἔχουσα

δασὺ, ψιλὸν, καὶ μέσον, λέγω δὲ τὸ Δ, Θ, Τ, οἷον ᾄδω πλήθω ἀνύτω, οὐκ ἐκφέρεται κατὰ τὸν παρακείμενον διὰ τοῦ ἰδίου δασέος, λέγω δὴ τοῦ Θ, ἀλλὰ διὰ τοῦ Κ, οἷον πείθω πείσω πέπεικα, νήθω νήσω νένηκα; οὐ γάρ ἐστιν εἰπεῖν, ὅτι διὰ τοῦτο (οὐκ) ἐκφέρεται ὁ παρακείμενος τῆς τρίτης συζυγίας τῶν βαρυτόνων διὰ τοῦ Θ ἐπειδὴ οὐδέποτε τὸ Θ εὑρίσκεται ἐν παρακειμένῳ, εἴγε ἐν τῷ μέσῳ παρακειμένῳ εὑρίσκεται, ὡς ἐν τῷ νένηθα, καὶ πέποιθα, καὶ εἴωθα. Λέγει οὖν ὁ τεχνικὸς Ἀπολλώνιος ταύτην τὴν ἀπολογίαν, ὅτι αἴτιός ἐστιν ὁ μέλλων τοῦ μὴ ἐκφέρεσθαι τὸν παρακείμενον τῆς τρίτης συζυγίας τῶν βαρυτόνων διὰ τοῦ Θ· ἐφ' ὧν γὰρ ὁ μέλλων διὰ διπλοῦ ἐκφέρεται, τούτων ὁ παρακείμενος διὰ δασέος ἐκφέρεται, οἷον ὁ μέλλων διὰ τοῦ Ψ ἐκφέρεται ἐν τῷ τύψω, ἀλλὰ καὶ ὁ παρακείμενος διὰ δασέος τοῦ Φ ἐκφέρεται ἐν τῷ τέτυφα· πάλιν ἐν τῷ λέξω ὁ μέλλων διὰ διπλοῦ ἐκφέρεται, ἀλλὰ καὶ ὁ παρακείμενος διὰ τοῦ Χ ἐκφέρεται, ὡς ἐν τῷ λέλεχα· ἐπειδὴ οὖν ἡ πρώτη καὶ ἡ δευτέρα συζυγία τῶν βαρυτόνων διὰ διπλοῦ ἔχουσι τὸν μέλλοντα ἐκφερόμενον, ἡ μὲν γὰρ πρώτη διὰ τοῦ Ψ, ἡ δὲ δευτέρα διὰ τοῦ Ξ, οἷον τύπτω τύψω, γράφω γράψω, λέγω λέξω, εἰκότως διὰ δασέος ἔχουσι τὸν παρακείμενον ἐκφερόμενον, οἷον τέτυφα πέπλεχα· ἡ δὲ τρίτη συζυγία τῶν βαρυτόνων, ἐπειδὴ οὐκ ἔχει τὸν μέλλοντα διὰ διπλοῦ ἐκφερόμενον, οἷον πείθω πείσω πέπεικα, νήθω νήσω νένηκα, εἰκότως οὐκ ἔχει τὸν παρακείμενον διὰ δασέος ἐκφερόμενον. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ τί γὰρ ὥσπερ ἡ πρώτη συζυγία τῶν βαρυτόνων ἔχει τὸν μέλλοντα διὰ διπλοῦ τοῦ Ψ ἐκφερόμενον, οἷον τύπτω τύψω, γράφω γράψω, λείβω λείψω, καὶ ἡ δευτέρα διὰ τοῦ Ξ, οἷον λέγω λέξω, πλέκω πλέξω, μὴ τὸν αὐτὸν τρόπον καὶ ἡ τρίτη συζυγία τῶν βαρυτόνων ἔχει τὸν μέλλοντα διὰ τοῦ διπλοῦ τοῦ Ζ ἐκφερόμενον, ἀλλὰ διὰ τοῦ Σ, οἷον πείθω πείσω, νήθω νήσω, ᾄδω ᾄσω; Καὶ λέγει ὁ Ἀπολλώνιος δύο ἀπολογίας, μίαν μὲν πιθανὴν, δευτέραν δὲ καταναγκαστικήν· καὶ ἡ μὲν πιθανὴ ἔχει οὕτως· πᾶς μέλλων εἰς Ω λῆγον βαρύτονον πρὸ τοῦ Ω θέλει ἔχειν τὸ Σ ἢ δυνάμει ἢ ἐνεργείᾳ· ἐνεργείᾳ μὲν, ὡς βασιλεύσω, ἱππεύσω, νοήσω, δυνάμει δὲ οἷον πλέξω, τύψω· τὸ

γὰρ Ξ ἐκ τοῦ Κ καὶ Σ σύγκειται, τὸ δὲ Ψ ἐκ τοῦ Π καὶ Σ. Πρόσκειται "βαρύτονον," διὰ τὸ κερῶ, τιλῶ, ῥανῶ· ταῦτα γὰρ οὐκ ἔχουσι πρὸ τοῦ Ω τὸ Σ, οὔτε δυνάμει οὔτε ἐνεργείᾳ, ἀλλ' οὐ βαρύνονται, ἀλλὰ περισπῶνται. Εἰ ἐξεφέρετο οὖν ὁ μέλλων τῆς τρίτης συζυγίας τῶν βαρυτόνων διὰ τοῦ Ζ, οὐκ ἤμελλε ἔχειν πρὸ τοῦ Ω τὸ Σ οὔτε δυνάμει, οὔτε ἐνεργείᾳ, τὸ γὰρ Ζ οὐ σύγκειται ἐκ τοῦ Δ καὶ Σ, ἀλλὰ Σ καὶ Δ. Τούτου χάριν οὐκ ἐκφέρεται ὁ μέλλων τῆς τρίτης συζυγίας τῶν βαρυτόνων διὰ τοῦ Ζ. Ταῦτα μὲν ὁ τεχνικὸς Ἀπολλώνιος· ἀνατρέπεται δὲ οὗτος ὁ κανών· εὐχερῶς γάρ ἐστιν εἰπεῖν, ὅτι οὐ λέγονται διπλᾶ, καθότι ἐκ δύο συμφώνων σύγκεινται, ἀλλὰ
243 a καθὸ δύο συμφώνων ἔχουσι δύναμιν καὶ ἐκφώνησιν· διπλοῦν γὰρ λέγεται τὸ δυνάμενον εἰς ἑαυτὸν διπλωθῆναι, ὡς ἐπὶ ἱματίου διπλωμένου εἰς ἑαυτό. Τὰ γὰρ ἐκ διαφόρων συγκείμενα οὐ λέγονται διπλᾶ, ἀλλὰ σύνθετα· σύνθετα δὲ τὰ στοιχεῖα οὐ δυνάμεθα λέγειν· στοιχεῖον γάρ ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή· ὥστε οὖν οὐδὲ τὸ Ζ ἐκ τοῦ Σ καὶ Δ σύγκειται, οὐδὲ τὸ Ξ ἐκ τοῦ Κ καὶ Σ, οὐδὲ τὸ Ψ ἐκ τοῦ Π καὶ Σ. Ἡ δὲ καταναγκαστικὴ ἀπολογία ἐστὶ τοιαύτη· τὰ χαρακτηριστικὰ τοῦ βαρυτόνου ἐνεστῶτος οὐ δύναται εἶναι καὶ χαρακτηριστικὰ βαρυτόνου μέλλοντος, οἷον τὸ Ρ χαρακτηριστικόν ἐστι βαρυτόνου ἐνεστῶτος, ὡς ἐπὶ τοῦ κείρω, καὶ οὐκ ἔστι χαρακτηριστικὸν βαρυτόνου μέλλοντος, ἀλλὰ περισπωμένου, οἷον κερῶ· εἰ ἄρα οὖν τὸ Ζ χαρακτηριστικόν ἐστι βαρυτόνου ἐνεστῶτος, ὡς ἐπὶ τοῦ ἁρπάζω, στηρίζω, δηλονότι οὐ δύναται εἶναι χαρακτηριστικὸν βαρυτόνου μέλλοντος· ἀλλ' οὔτε δὲ περισπωμένου· ἐπειδὴ ὁ περισπώμενος μέλλων βραχείᾳ θέλει παραλήγεσθαι, χωρὶς τῶν Δωρικῶν, οἷον κερῶ, φθερῶ, τιλῶ, ῥανῶ. Πρόσκειται "χωρὶς τῶν Δωρικῶν," ἐπειδὴ οἱ Δωριεῖς τοῦ ποιήσω μέλλοντος παραληγομένου μακρᾷ περισπῶσι ποιησῶ λέγοντες· πάντας γὰρ τοὺς ὁριστικοὺς μέλλοντας περισπῶσιν οἱ Δωριεῖς, οἷον γραψῶ. Τούτου οὖν χάριν ἡ τρίτη συζυγία τῶν βαρυτόνων οὐκ ἔχει τὸν μέλλοντα διὰ τοῦ Ζ ἐκφερόμενον.

"Ὅτε δὲ δι' ἀμεταβόλου ὁ μέλλων, ὁ παρακείμενος δι' αὐτοῦ καὶ τοῦ Κ, κερῶ κέκαρκα, τιλῶ τέτιλκα, πλὴν

τῶν ἡμαρτημένων, τοῦ νενέμηκα, καὶ τῶν ὁμοίων." Λέγει ἡνίκα ὁ μέλλων δι' ἀμεταβόλου ἐκφέρεται, τότε καὶ ὁ παρακείμενος διὰ τοῦ αὐτοῦ ἀμεταβόλου ἐκφέρεται καὶ τοῦ κ, οἷον κερῶ κέκαρκα, σπερῶ ἔσπαρκα, φθερῶ ἔφθαρκα, τιλῶ τέτιλκα, στελῶ ἔσταλκα, χωρὶς τῶν ἐχόντων τὸ ν δηλονότι τρεπόντων αὐτὸ εἰς τὸ γ διὰ τὴν ἐπιφορὰν τοῦ κ, ῥανῶ ἔραγκα, κτενῶ ἔκταγκα, μιανῶ μεμίαγκα, μολυνῶ μεμόλυγκα, τὸ γὰρ ν ἐπιφερομένου τοῦ κ ἢ χ ἢ ξ ἐν μιᾷ λέξει τρέπεται εἰς τὸ γ, οἷον συγκληρονόμος, ἐγκέφαλος, συγγενὴς, σύγγονος, σύγχυσις, συγξηράναι, συγξύσαι. Πρόσκειται "ἐν μιᾷ λέξει" διὰ τὸ σὺν Γεωργίῳ, ἐν χειρὶ, ἐπὶ τούτων γὰρ οὐκ ἐτράπη τὸ ν εἰς γ ἐπιφερομένου τοῦ γ καὶ τοῦ χ· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ εἰσὶν ἐν μιᾷ λέξει, δύο γὰρ λέξεις εἰσί. Πρόσκειται δὲ "χωρὶς τῶν ἡμαρτημένων τοῦ νενέμηκα καὶ τῶν ὁμοίων," ἐπειδὴ ἐστὶ τέμω τεμῶ, νέμω νεμῶ, δέμω δεμῶ, (ὅπερ σημαίνει τὸ οἰκοδομῶ,) βρέμω βρεμῶ, (ὃ σημαίνει τὸ κτύπω,) καὶ ὀφείλονται ταῦτα κατὰ τὸν παρακείμενον φυλάξαι αὐτό τε τὸ ἀμετάβολον καὶ γενέσθαι τέταμκα νέναμκα δέδημκα βέβραμκα, ὥσπερ κερῶ κέκαρκα, φθερῶ ἔφθαρκα, οὐκ ἐγένετο δὲ οὕτως, ἀλλὰ τέτμηκα νενέμηκα δεδέμηκα βεβρέμηκα, τοῦ η πλεονάσαντος διὰ τὸ μηδέποτε
3 b εὑρίσκεσθαι τὸ μ πρὸ τοῦ κ, μήτε κατὰ σύλληψιν, μήτε κατὰ διάστασιν· κατὰ σύλληψιν μὲν, ἐπειδὴ τὰ ὑποταττόμενά τινι ἐν συλλήψει, ἐὰν ἀντιπροηγῶνται, ἐν διαστάσει ἀντιπροηγοῦνται, οἷον τὸ ρ ὑποτέτακται τῷ π κατὰ σύλληψιν ἐν τῷ πρῶτος, ἀντιπροηγούμενον δὲ αὐτοῦ ἐν τῷ ἕρπω κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγεῖται· πάλιν τὸ ν ὑποτέτακται τῷ θ κατὰ σύλληψιν ἐν τῷ θνήσκω, ἀντιπροηγούμενον δὲ αὐτοῦ ἐν τῷ ἄνθος κατὰ διάστασιν ἀντιπροηγεῖται αὐτοῦ· πάλιν τὸ λ ὑποτέτακται τῷ κ κατὰ σύλληψιν ἐν τῷ κλέος, ἀντιπροηγούμενον δὲ αὐτοῦ ἐν τῷ ἕλκω κατὰ διάστασιν ἀντιπροηγεῖται αὐτοῦ· πάλιν τὸ ρ ὑποτέτακται τῷ γ κατὰ σύλληψιν ἐν τῷ γραῦς, ἀντιπροηγησάμενον δὲ αὐτοῦ ἐν τῷ ἔργῳ κατὰ διάστασιν ἀντιπροηγεῖται αὐτοῦ. Εἰ ἄρα οὖν τὸ μ ὑποτέτακται τοῦ κ κατὰ σύλληψιν, ὡς ἐν τῷ ἀκμὴ καὶ

ἄκμων δηλονότι, ἀντιπροηγούμενον δὲ αὐτοῦ κατὰ διάστασιν θέλει ἀντιπροηγάσασθαι αὐτοῦ, ἀλλ' οὔτε δὲ ἐν διαστάσει δύναται ἀντιπροηγεῖσθαι αὐτοῦ, φημὶ δὲ τὸ μ τοῦ κ, ἐπειδὴ πᾶσα συλλαβὴ καταλήγουσα εἰς τὸ μ θέλει ἔχειν τὴν ἑξῆς ἀρχομένην ἢ ἀπὸ τοῦ β, ἢ ἀπὸ τοῦ φ, ἢ ἀπὸ τοῦ ψ, ἢ ἀπὸ τοῦ π, ἢ ἀπὸ τοῦ μ, οἷον σύμβουλος, σύμπονος, σύμφωνος, σύμψηφος, συμμέτοχος. Τούτοις οὖν ἐξηκολούθησε καὶ τὸ μεμένηκα. Ἔστι γὰρ μένω μενῶ, ὁ παρακείμενος ὤφειλε μέμαγκα, ὥσπερ κτείνω ἔκταγκα· γέγονε δὲ μεμένηκα, κατὰ συνεκδρομὴν τούτων· οὐδὲ γὰρ δυνάμεθα λέγειν, ὅτι (εἰ) ἦν μέμαγκα, ἀσυνταξία ἤμελλεν εἶναι, δύναται γὰρ τὸ γ πρὸ τοῦ κ εἶναι, ὡς ἐπὶ τοῦ ἔκταγκα, μεμίαγκα, μεμόλυγκα· ταῦτα δὲ δύνανται ὡς ἀπὸ τῶν περισπωμένων ποιεῖσθαι τὴν κλίσιν, οἷον ὡς ἀπὸ τοῦ τεμῶ τεμήσω, νεμῶ νεμήσω, δεμῶ δεμήσω, βρεμῶ βρεμήσω, ὥσπερ νοῶ νοήσω νενόηκα, ποιῶ ποιήσω πεποίηκα. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι σεσημείωται τὸ κρινῶ κέκρικα, κλίνω κλινῶ κέκλικα, πλύνω πλυνῶ πέπλυκα, τείνω τενῶ τέτακα· ταῦτα γὰρ ἀπέβαλον τελείως τὸ ἀμετάβολον κατὰ τὸν παρακείμενον· καὶ τὸ κερδανῶ δὲ εὑρίσκεται χωρὶς τοῦ ἀμεταβόλου κατὰ τὸν παρακείμενον, οἷον κεκέρδακα κεκέρδαγκα. Θέλουσι δέ τινες λέγειν, ὅτι ὑπάγονται τῷ κανόνι ταῦτα τῷ λέγοντι, ὅτι τὰ εἰς νω δισύλλαβα ἑνὶ φωνήεντι παραληγόμενα ἀποβάλλουσι τὸ ἀμετάβολον κατὰ τὸν παρακείμενον, οἷον πλυνῶ πέπλυκα, κρινῶ κέκρικα, κλινῶ κέκλικα· τὰ δὲ μὴ οὕτως ἔχοντα φυλάττουσι τὸ ἀμετάβολον τρεπόμενον εἰς τὸ γ, οἷον φανῶ πέφαγκα, χανῶ κέχαγκα, ῥανῶ ἔρραγκα. Καὶ λέγει ὁ τεχνικὸς Ἀπολλώνιος, ὅτι κακῶς λέγουσι, πρῶτον μὲν ὅτι αὐτὰ τὰ σεσημειωμένα ἐκάκωσαν, δεύτερον ὅτι ἀντίκειται αὐτοῖς τὸ τείνω β' φωνήεσσι παραληγόμενον, καὶ μὴ φυλάττον τὸ ἀμετάβολον κατὰ τὸν παρακείμενον, οἷον τέτακα· καὶ λέγουσι ὅτι τὸ τέτακα μήποτε ὡς ἀπὸ τοῦ τάξω
244 a ἐστὶ τάσσω τέτακα, ὡς φράζω φράσω πέφρακα· πρὸς οὓς πάλιν ὑπαντᾷ ὁ τεχνικὸς Ἀπολλώνιος λέγων, ὅτι εἰ ἦν ἀπὸ τοῦ τάξω, ἤμελλεν εἶναι ὁ ἐνεργητικὸς παρακείμενος τέταχα,

διὰ τοῦ χ, καὶ ὁ μέσος παρακείμενος τέταγα, διὰ τοῦ γ· τάξω γάρ ἐστιν ὁ μέλλων, ἐξ οὗ καὶ τὸ τόξον, οἷον τὸ τεινόμενον. Ὥσπερ γὰρ ἀπὸ τοῦ κράζω κράξω γίνεται κέκραχα, ὁ ἐνεργητικὸς παρακείμενος, καὶ ὁ μέσος κέκραγα, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ τάξω καὶ τέταχα ὁ ἐνεργητικὸς παρακείμενος, καὶ τέταγα ὁ μέσος παρακείμενος· ὅτι γὰρ ὁ μέσος παρακείμενος τέταγα ἐστὶ, δηλοῖ ὁ δεύτερος ἀόριστος εὑρισκόμενος ἔταγον, οἷον

ῥίψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο·

καὶ γὰρ ὁ δεύτερος ἀόριστος διὰ τοῦ συμφώνου τοῦ ὄντος πρὸ τοῦ α ἐν τῷ μέσῳ παρακειμένῳ χαρακτηρίζεται, οἷον λείπω λέλοιπα ἔλιπον, κείρω κέκορα ἔκαρον, νύσσω νύξω νένυγα ἔνυγον, τύπτω τέτυπα ἔτυπον. Κάλλιον οὖν ἐστὶ δοῦναι ταῦτα σεσημειωμένα, φημὶ δὲ τὸ κέκρικα, πέπλυκα, κέκλικα, τέτακα, καὶ μὴ κλινόμενα κατὰ τὸν κανόνα· ἐλέγχονται γὰρ ὅτι ὤφειλον ἔχειν τὸ ἀμετάβολον ἐκ τῶν ποιητικῶν χρήσεων· εὑρίσκονται γὰρ ἐν ταῖς χρήσεσι κλιθῆναι καὶ κρινθῆναι, οἷον [Il. γ΄. 102.]

ὁ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
ἐκλίνθη δὲ μάχη.
διακρίνθητε τάχιστα.

Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δὲ ἐστι ζητῆσαι, διὰ τί ἡνίκα ὁ μέλλων δι' ἀμεταβόλου ἐκφέρεται, τότε ὁ παρακείμενος δι' αὐτοῦ, τουτέστι τοῦ ἀμεταβόλου, ἐκφέρεται καὶ τοῦ κ, καὶ μὴ διὰ τοῦ λ μόνον ἢ διὰ τοῦ κ μόνον; Καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦ ἀμεταβόλου μόνου οὐκ ἠδύνατο ἐξενεχθῆναι, ἐπειδὴ ὁ παρακείμενος ἐνεργητικὸς οὐδέποτε διὰ ἡμιφώνου ἐκφέρεται, οἷον τέτυφα νένυχα πεποίηκα· τὸ γὰρ φ καὶ τὸ χ καὶ τὸ κ ἄφωνά εἰσιν. Εἰ ἄρα οὖν τὰ ἀμετάβολα ἄφωνά εἰσιν, (ἡμίφωνα γὰρ ζ, λ, μ, ν, ρ, ξ, ψ, σ,) δῆλον ὅτι οὐ δύναται δι' αὐτῶν μόνων ἐξενεχθῆναι ὁ παρακείμενος ὁ ἐνεργητικός· ἄλλως τε δὲ ὁ παρακείμενος ὁ ἐνεργητικὸς οὐδέποτε διὰ τῶν συμφώνων χαρακτηρίζεται, δι' ὧν χαρακτηρίζεται ὁ πρῶτος ἀόριστος ὁ ἐνεργητικὸς, οἷον ὁ πρῶτος ἀόριστος ὁ ἐνεργητικὸς ἐκφέρεται

διὰ τοῦ Σ καὶ Ξ, καὶ διὰ τοῦ Ψ, οἷον ἐποίησα, ἔνυξα, ἔγραψα· ὁ δὲ παρακείμενος ὁ ἐνεργητικὸς οὐδέποτε ἐκφέρεται διὰ τοῦ Σ, οὔτε διὰ τοῦ Ξ, οὔτε διὰ τοῦ Ψ· τὸ γὰρ ἔθηκα, ἔδωκα, ἧκα, ἀορίστου ὄντα, καὶ διὰ τοῦ Κ ἐξενεχθέντα, τοῦ ἐνεργητικοῦ παρακειμένου πολλάκις πεφυκότος διὰ τοῦ Η ἐκφέρεσθαι, οἷον πεποίηκα νενόηκα, παράλογά εἰσιν, ὡς ἐν τῷ α΄ ἀορίστῳ μαθησόμεθα, ἡνίκα καὶ περὶ τοῦ εἶπα καὶ ἤνεγκα διαλαμβάνομεν. Ἐπειδὴ οὖν ἔθος ἔχει ὁ πρῶτος ἀόριστος ἐνεργητικὸς διὰ τῶν ἀμεταβόλων χαρακτηρίζεσθαι, οἷον ἔκειρα ἔτιλα . . . . . τούτου χάριν ὁ ἐνεργητικὸς παρακείμενος οὐ χαρακτηρίζεται διὰ τοῦ ἀμεταβόλου μόνου, ἵνα μὴ εὑρεθῇ χαρακτηριζόμενος διὰ τῶν χαρακτηριστικῶν τοῦ πρώτου ἀορίστου ἐνεργητικοῦ· τούτου οὖν χάριν οὐκ ἠδύνατο ὁ παρακείμενος ὁ ἐνεργητικὸς δι' ἀμεταβόλου μόνου ἐξενεχθῆναι, ἀλλ' οὔτε δὲ πάλιν τὸ ἀμετάβολον ἀποβάλλειν ἠδύνατο ὁ παρακείμενος ὁ ἐνεργητικὸς, ἵνα διὰ τοῦ Κ μόνου ἐξενεχθῇ, ἐπειδὴ τὰ ἀμετάβολα οὔτε ἐν ταῖς τῶν ὀνομάτων
244 b κλίσεσιν οὔτε ἐν ταῖς τῶν ῥημάτων θέλουσι μεταβάλλεσθαι, ὅθεν καὶ ἀμετάβολα λέγονται, οἷον Πλάτων Πλάτωνος, Ἕκτωρ Ἕκτορος, κείρω κερῶ, νέμω νεμῶ· ἡ γὰρ φρέατος γενικὴ καὶ δελέατος καὶ στέατος οὐκ ἀπὸ τῆς φρέαρ καὶ στέαρ καὶ δέλεαρ εὐθείας εἰσὶν, ἀλλ' ἀπὸ τῆς εἰς Σ καταλήξεως, φημὶ δὴ ὡς ἀπὸ τῆς φρέας καὶ στέας καὶ δέλεας· ἐξ ἀνάγκης οὖν διὰ τὸ μήτε δι' ἀμεταβόλων μόνων δύνασθαι ἐκφέρεσθαι τὸν ἐνεργητικὸν παρακείμενον, μήτε διὰ τοῦ Κ μόνου, ἐκφέρεται διά τε τοῦ ἰδίου ἀμεταβόλου καὶ τοῦ Κ.

Ἀποροῦσι δέ τινες, λέγοντες, τίνος χάριν τριῶν ὄντων συμφώνων χαρακτηριστικῶν τοῦ ἐνεργητικοῦ παρακειμένου, φημὶ τοῦ Κ καὶ Φ καὶ Χ, οἷον πεποίηκα, τέτυφα, νένυχα, τὸ Κ ἔλαβε μετὰ τοῦ ἀμεταβόλου παρακείμενος καὶ οὐ τὸ Φ ἢ τὸ Χ; Πρὸς οὓς ἐστιν εἰπεῖν, ὅτι εἰ καὶ ἔλαβε τὸ Φ ἢ τὸ Χ ὁ ἐνεργητικὸς παρακείμενος μετὰ τῶν ἀμεταβόλων, ἡ αὐτὴ ἔτι ἔμενεν ἀπορία· ἔτι γὰρ ζητεῖν εἴχομεν, διὰ τί τὸ Φ ἢ τὸ Χ ἔλαβε μετὰ τῶν ἀμεταβόλων καὶ μὴ τὸ Κ. Μήποτε δὲ κατὰ τὴν ἀλήθειάν ἐστιν ἀποδοῦναι καὶ αἰτίαν, διὰ τί τριῶν ὄντων

στοιχείων τῶν χαρακτηριστικῶν συμφώνων τοῦ ἐνεργητικοῦ παρακειμένου, τοῦ κ φημὶ καὶ τοῦ φ καὶ τοῦ χ, τὸ κ ἔλαβε, καὶ οὐ τὸ φ ἢ τὸ χ, ὧν πρώτη ἐστὶν αὕτη. Ἰστέον ὅτι τὸ φ ἢ τὸ χ λαβεῖν οὐκ ἠδύνατο ὁ ἐνεργητικὸς παρακείμενος μετὰ ἑνὸς τῶν ἀμεταβόλων, ἐπειδὴ ἡνίκα ὁ παρακείμενος διὰ δασέος ἐκφέρεται, πάντως καὶ ὁ μέλλων διὰ διπλοῦ ἐκφέρεται, οἷον, ἡνίκα μὲν ὁ παρακείμενος διὰ τοῦ φ ἐκφέρεται, τότε ὁ μέλλων διὰ τοῦ ψ ἐκφέρεται, τύψω τέτυφα, γράψω γέγραφα, ἡνίκα δὲ ὁ παρακείμενος διὰ τοῦ χ ἐκφέρεται, ὁ μέλλων διὰ τοῦ ξ ἐκφέρεται, οἷον λέξω λέλεχα, πλήξω πέπληχα. Ἐπειδὴ οὖν ἐπὶ τούτων, φημὶ δὲ ἐπὶ τῶν δι' ἀμεταβόλων, οὐκ ἔστιν ὁ μέλλων διὰ διπλοῦ· τούτου οὖν χάριν οὔτε ὁ παρακείμενος διὰ δασέος δύναται εἶναι, φημὶ δὲ διὰ τοῦ χ ἢ τὸ φ, καὶ τούτου χάριν οὐκ ἔλαβεν ὁ παρακείμενος μετὰ ἑνὸς τῶν ἀμεταβόλων τὸ φ ἢ τὸ χ, καὶ λοιπὸν ἐξ ἀνάγκης τὸ κ ἔλαβε. Ἡ δευτέρα δὲ λύσις αὕτη· ἡνίκα ὁ μέλλων διὰ τοῦ σ ἐκφέρεται, πάντως ὁ παρακείμενος ὁ ἐνεργητικὸς διὰ τοῦ κ ἐκφέρεται, οἷον, πείσω πέπεικα, νήσω νένηκα, ἱππεύσω ἵππευκα. Ἐπειδὴ οὖν ὁ μέλλων δι' ἀμεταβόλου χαρακτηρίζεται κατὰ τὴν διάλεκτον τῶν Αἰολέων, καὶ διὰ τοῦ σ ἐκφερόμενος, τὸ γὰρ φθερῶ οἱ Αἰολεῖς θέλοντες βαρύνειν, ἅτε δὴ βαρυντικοὶ ὄντες, φθέρσω λέγουσι, τὸ σ προστιθέντες· τὸ γὰρ σ χαρακτηριστικόν ἐστι βαρυτόνου μέλλοντος, οἷον ποιήσω, νοήσω, καὶ πάλιν τὸ κερῶ κέρσω λέγουσιν, ἐξ οὗ τὸ [v. Il. κ'. 456.]

ἀπέκερσε τένοντας,

τούτου χάριν ἐπειδὴ εὑρέθη ὁ μέλλων δι' ἀμεταβόλου χαρακτηριζόμενος καὶ διὰ τοῦ σ ἐκφερόμενος, ὁ παρακεί-
45 a μενος μετὰ ἑνὸς τῶν ἀμεταβόλων τὸ κ ἔλαβεν· ἐμάθομεν γάρ, ὅτι ἡνίκα ὁ μέλλων διὰ τοῦ σ ἐκφέρεται, ὁ παρακείμενος ὁ ἐνεργητικὸς διὰ τοῦ κ ἐκφέρεται, οἷον ποιήσω πεποίηκα, νοήσω νενόηκα.

"Παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει τῷ μέλλοντι ὁ παρακείμενος." Ἐνταῦθα περὶ τῆς παραληγούσης τοῦ ἐνεργητικοῦ παρακειμένου διαλαμβάνει. Ἰστέον ὅτι ὁ ἐνεργητικὸς παρακείμενος τὴν αὐτὴν ἔχει παραλήγουσαν

τῷ μέλλοντι, οἷον πείσω πέπεικα, νοήσω νενόηκα, βασιλεύω βεβασίλευκα, κρούσω κέκρουκα, ποιήσω πεποίηκα, στεφανώσω ἐστεφάνωκα, λούσω λέλουκα· ἀμέλει ἐστὶ περάσω, καὶ φωράσω, καὶ ἐπειδὴ ὁ μέλλων ἐκτεταμένον ἔχει τὸ α, τούτου χάριν καὶ ὁ παρακείμενος ὁ πεπέρακα καὶ ὁ πεφώρακα ἐκτεταμένον αὐτὸ ἔχει· καὶ πάλιν ἐστὶ γελάσω καὶ ἐλάσω, καὶ ἐπειδὴ ὁ μέλλων συνεσταλμένον ἔχει τὸ α, τούτου χάριν καὶ ὁ παρακείμενος ὁ γεγέλακα καὶ ὁ ἤλακα συνεσταλμένον ἔχει τὸ α· καὶ πάλιν ἐστὶ πλέω, χέω, πνέω, ῥέω δι' ἑνὸς φωνήεντος, καὶ πλεονάζει ὁ μέλλων τὸ υ καὶ γίνεται πλεύσω πνεύσω ῥεύσω χεύσω, ἀλλὰ καὶ ὁ παρακείμενος ὁμοίως τῷ μέλλοντι γίνεται διὰ τῆς ευ διφθόγγου, οἷον πέπλευκα, κέχευκα, πέπνευκα, ἔρρευκα· τινὲς δὲ θέλουσι λέγειν ταῦτα ὡς ἀπὸ τοῦ πνεύσω καὶ πλεύσω καὶ χεύσω καὶ ῥεύσω εἶναι· πάλιν ἐστὶ παίω, καὶ παλαίω, καὶ πταίω, καὶ ἐπειδὴ ταῦτα φυλάττουσι τὴν αι δίφθογγον κατὰ τὸν μέλλοντα, οἷον παίσω παλαίσω καὶ πταίσω, τούτου χάριν καὶ κατὰ τὸν παρακείμενον φυλάττουσιν αὐτήν, οἷον πεπάλαικα πέπαικα καὶ πέπταικα· καὶ πάλιν ἐστι κλαίω καὶ κλαύσω καὶ καίω καὶ καύσω· καὶ ἐπειδὴ ταῦτα κατὰ τὸν μέλλοντα ἔτρεψαν τὸ ι εἰς τὸ υ, τούτου χάριν καὶ ὁ παρακείμενος διὰ τῆς αυ διφθόγγου ἐγένετο, οἷον κέκλαυκα. Καὶ λέγει ὁ Φιλόπονος καὶ ὁ Ὧρος, ὅτι ἐφ' ὧν οἱ Ἀθηναῖοι τὸ ι ἀποβάλλουσι κατὰ τὸν ἐνεστῶτα, ἐπὶ τούτων ὁ μέλλων πλεονάζει τὸ υ, οἷον ἐπειδὴ τὸ κλαίω καὶ τὸ καίω τὸ ι ἀποβάλλουσιν οἱ Ἀθηναῖοι κατὰ τὸν ἐνεστῶτα καὶ λέγουσι κλάω καὶ κάω τούτου χάριν πλεονάζει ὁ μέλλων τὸ υ καὶ γίνεται κλαύσω καὶ καύσω· ἐφ' ὧν δὲ οὐκ ἀποβάλλουσιν οἱ Ἀθηναῖοι τὸ ι κατὰ τὸν ἐνεστῶτα, (οὐδὲ γὰρ λέγουσι παλάω, καὶ πάω, καὶ πτάω,) τούτου χάριν ὁ μέλλων οὐ πλεονάζει τὸ υ, παλαίσω γὰρ καὶ πταίσω καὶ παίσω. Ταῦτα μὲν ὁ Φιλόπονος καὶ ὁ Ὧρος· ὁ δὲ γραμματικὸς Σέργιος (Σάργιος Bar.) ἐκ τοῦ ἐναντίου ἀπορεῖ λέγων, διὰ τί γὰρ ἐπὶ τούτων οἱ Ἀθηναῖοι ἀποβάλλουσι τὸ ι κατὰ τὸν ἐνεστῶτα, ἐφ' ὧν τὸ ι εἰς υ τρέπεται κατὰ τὸν μέλλοντα, οἷον κλαίω κλαύσω κλάω, καίω καύσω κάω· οὐδὲ γὰρ δυνάμεθα λέγειν, ὅτι ὁ κλάω καὶ ὁ κάω ἐστὶν ὁ ἐνεστὼς

καὶ ἐν τῷ μέλλοντι ἐπλεόνασε τὸ υ· τότε γὰρ πλεονάζει τὸ υ ἐν τῷ μέλλοντι, ἡνίκα βραχεῖα ἐστὶν ἡ συλλαβή, οἷον ῥέω ῥεύσω, πνέω πνεύσω, χέω χεύσω· τὸ δὲ α τοῦ κλάω καὶ κάω ἐκτεταμένον ἐστὶ, καὶ δηλονότι οὐ δύναται πλεονάσαι τὸ υ ὁ μέλλων, ἀλλ' ὡς εἴρηται, τροπῇ ἐγένετο τοῦ ι εἰς τὸ υ· ἐπιλύεται οὖν ὁ λέγων, ὅτι διὰ τοῦτο ἀποβάλλουσιν οἱ Ἀθηναῖοι κατὰ τὸν ἐνεστῶτα τὸ ι τῆς αι διφθόγγου ἐφ' ὧν τρέπεται τὸ ι εἰς τὸ υ κατὰ τὸν μέλλοντα, ἵνα μὴ εὑρεθῇ διάφορος δίφθογγος ἐν τῷ ἐνεστῶτι καὶ ἐν τῷ μέλλοντι· [ἤμελλε γὰρ εἶναι ὁ ἐνεστὼς διὰ τῆς αι διφθόγγου τοῦ μέλλοντος ὄντος διὰ τῆς αυ διφθόγγου ὅπερ ἐστὶν ἄτοπον· οὐδέποτε γὰρ
45 b διάφορος δίφθογγος εὑρίσκεται ἐν τῷ ἐνεστῶτι καὶ ἐν τῷ μέλλοντι,] οἷον παλαίω παλαίσω, κρούω κρούσω, παίω παίσω, τοξεύω τοξεύσω. Πάλιν ἐστὶν πνίγω πνίξω, ἐρύκω ἐρύξω, ψύχω ψύξω, καὶ ταῦτα μὲν κατὰ τὸν ἐνεστῶτα φύσει μακρὸν ἔχουσι τὸ δίχρονον, κατὰ δὲ τὸν μέλλοντα συστέλλουσι τὰ δίχρονα, ἤγουν θέσει μακρὰ ἔχουσιν αὐτό· ἀλλὰ καὶ ὁ παρακείμενος ὁ πέπνιχα καὶ ἤρυχα καὶ ἔψυχα συνεσταλμένα ἔχουσι τὰ δίχρονα.

Ἰστέον δὲ ὅτι ἐν τῷ μέλλοντι συστέλλονται τὰ δίχρονα διὰ τὴν ἐπιφορὰν τοῦ ξ· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὸ ι καὶ υ πρὸ τοῦ ξ φύσει φύσει μακρὰ οὐκ εἰσὶ, χωρὶς εἰ μὴ λόγῳ ἀρχούσης παρῳχημένων, οἷον Φοῖνιξ, κῆρυξ, τέττιξ, πέρδιξ, ὄνυξ, Βέβρυξ. Πρόσκειται "εἰ μὴ λόγῳ ἀρχούσης παρῳχημένων," διὰ τὸ ἰξεύω ἴξευον· τὸ μὲν γὰρ ἰξεύω θέσει μακρὸν ἔχει τὸ ι, τὸ δὲ ἴξευον φύσει μακρὸν τῷ λόγῳ τῆς ἀρχούσης τῶν παρῳχημένων. Οἱ γὰρ παρῳχημένοι ἢ χρονικῶς θέλουσι μεγεθύνεσθαι ἢ συλλαβικῶς· συλλαβικῶς μὲν οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον, χρονικῶς δὲ, οἷον ἄγω ἦγον, ἔχω εἶχον, ὀμνύω ὤμνυον· ἐν οἷς οὖν τὸ ἰξεύω ἴξευον οὐκ ἠδύνατο συλλαβικῶς μεγεθυνθῆναι, οὐδὲ γὰρ ἄρχεται ὁ ἐνεστὼς ἀπὸ συμφώνου, δηλονότι ἀνάγκην ἔχει χρονικῶς μεγεθυνθῆναι, καὶ τούτου χάριν ἐξέτεινε τὸ ι. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ προσθεῖναι ἐν τῷ λόγῳ τῷ λέγοντι, ὅτι "παραλή-

γουσαν δὲ τὴν αὐτὴν ἔχει τῷ μέλλοντι ὁ παρακείμενος," χωρὶς τῶν δισυλλάβων τῆς πεμπτῆς συζυγίας τῶν βαρυτόνων τῶν παραληγομένων τὸ ε· ἐπὶ τούτων γὰρ τρέπεται τὸ ε εἰς α κατὰ τὸν ἐνεργητικὸν παρακείμενον, οἷον κερῶ κέκαρκα, δερῶ δέδαρκα, σπερῶ ἔσπαρκα, κτενῶ ἔκταγκα, στελῶ ἔσταλκα. Πρόσκειται "δισύλλαβα," διὰ τὸ ἐγερῶ ἤγερκα· τοῦτο γὰρ οὐκ ἔτρεψε τὸ ε εἰς τὸ α κατὰ τὸν ἐνεργητικὸν παρακείμενον, ἀλλ' οὐκ ἔστι δισύλλαβον. Ἔτι δεῖ προσθεῖναι, καὶ χωρὶς τῶν δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας βαρυτόνων τῶν παραληγομένων τῷ ε· ταῦτα γὰρ τρέπουσι τὸ ε εἰς ο κατὰ τὸν ἐνεργητικὸν παρακείμενον παρὰ τοῖς Ἀθηναίοις, οἷον λέγω λέξω λέλεχα κοινῶς, καὶ λέλοχα Ἀττικῶς, πλέξω πέπλεχα κοινῶς, καὶ πέπλοχα Ἀττικῶς· στέφω στέψω ἔστεφα κοινῶς, καὶ ἔστοφα Ἀττικῶς· κλέπτω κλέψω κέκλεφα κοινῶς, καὶ κέκλοφα Ἀττικῶς· πέμπω πέμψω πέπεμφα κοινῶς, καὶ πέπομφα Ἀττικῶς· στρέφω στρέψω ἔστρεφα κοινῶς, καὶ ἔστροφα Ἀττικῶς· βρέχω βρέξω βέβρεχα κοινῶς, καὶ βέβροχα Ἀττικῶς. Πρόσκειται "δισύλλαβα," διὰ τὸ ἐλέγχω ἐλέγξω· τούτου γὰρ ὁ παρακείμενος ἤλεγχα διὰ τοῦ η, καὶ οὐ τρέπει Ἀττικῶς ὁ παρακείμενος τὸ ε εἰς ο. Πρόσκειται "τῆς πρώτης καὶ τῆς δευτέρας συζυγίας τῶν βαρυτόνων" διὰ τὸ ῥέζω ῥέξω ἔρρεχα· τοῦτο γάρ, ἐπειδὴ οὐκ ἔστι α' καὶ β' συζυγίας τῶν βαρυτόνων ἀλλὰ τῆς δ', οὐ τρέπει παρ' Ἀττικοῖς τὸ ε εἰς ο κατὰ τὸν ἐνεργητικὸν παρακείμενον. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ σημειώσασθαι καὶ τὸ τέθυκα καὶ τὸ λέλυκα, ὅτι ταῦτα ἐν τῷ θύσω καὶ λύσω μέλλοντι φύσει μακρὸν ἔχουσι
246 a τὸ δίχρονον, ἐν δὲ τῷ παρακειμένῳ συνεσταλμένον ἔχουσιν αὐτό. Ἰστέον δέ, ὅτι ταῦτα ἐν τῷ ἐνεστῶτι τὸ θύω καὶ λύω καὶ ἐκτείνουσι καὶ συστέλλουσι τὸ δίχρονον, ἐν δὲ τῷ μέλλοντι τὸ θύσω καὶ λύσω μόνως ἐκτείνουσι τὸ δίχρονον, ἐν δὲ τῷ παρακειμένῳ τὸ λέλυκα καὶ τέθυκα μόνως συστέλλουσι τὸ δίχρονον. Τὸ ἧφα καὶ ἧχα καὶ ἧρκα μὴ φυλάξαντα τὴν παραλήγουσαν τοῦ ἅψω καὶ ἅξω καὶ ἀρῶ μέλλοντος οὐκ ἀντίκειται ἡμῖν, ἐπεὶ ταῦτα δισύλλαβά ἐστιν, καὶ τὴν αὐτὴν

ἄρχουσαν καὶ παραλήγουσαν, καὶ λοιπὸν οὐ τῷ λόγῳ τῆς παραληγούσης ἐγένοντο, ἀλλὰ τῷ λόγῳ τῆς ἀρχούσης ἔτρεψαν τὸ Α εἰς τὸ Η. Ὡς γὰρ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, τὸ Α εἰς τὸ Η τρέπεται κατὰ τὴν ἄρχουσαν τῶν παρῳχημένων, οἷον ἄγω ἦγον.

"Ἡ δὲ ἄρχουσα ὡς ἔφαμεν ἐκ τοῦ παρατατικοῦ γίνεται." Ἐνταῦθα περὶ τῆς ἀρχούσης τοῦ παρακειμένου διαλαμβάνει, καὶ κανονίζει αὐτὴν ἀπὸ τοῦ παρατατικοῦ, λέγων, ἡνίκα ὁ παρατατικὸς ἀπὸ μακρᾶς φύσει ἢ θέσει ἄρχεται, συνάρχεται ὁ παρακείμενος, οἷον ἠγόραζον ἠγόρακα, ἠλέουν ἠλέηκα, ἠρεύνων ἠρεύνηκα, ἡτοίμαζον ἡτοίμακα, ἠρώτων ἠρώτηκα, ἔφθειρον ἔφθαρκα, ἔκτεινον ἔκταγκα, ἔκτιζον ἔκτικα, ἐψηλάφων ἐψηλάφηκα, ἐξήραινον ἐξήραγκα, ὅθεν καὶ τὰ ἀπὸ τοῦ Ρ ἀρχόμενα ἔχουσι καὶ τὸν παρακείμενον συναρχόμενον τῷ παρατατικῷ, ἐπειδὴ καὶ ὁ παρατατικὸς ἐπὶ τούτων ἀπὸ μακρᾶς θέσει ἄρχεται· διὰ γὰρ τῶν δύο ΡΡ γράφεται, οἷον ἔρραπτον ἔρραφα, ἐρρύπουν ἐρρύπωκα, ἐρράπιζον ἐρράπικα, ἔρριπτον ἔρριφα· περὶ γὰρ τοῦ [Od. ζ΄. 59.]

τά μοι ῥερυπωμένα κεῖται,

καὶ τῶν λοιπῶν ἐφεξῆς, εἰ θεῷ φίλον, μαθησόμεθα. "Ἐὰν δὲ ἀπὸ βραχείας ἄρχηται ὁ παρατατικὸς, ἀναδιπλασιάζεται ὁ παρακείμενος." Ἀναδιπλασιασμὸς δὲ λέγεται, ὅτε τὸ ἑξῆς τῆς λέξεως σύμφωνον δὶς παραλαμβάνεται, οἷον ἔτυπτον τέτυφα, ἐλάλουν λελάληκα, ἔσειον σέσεικα, ἔθυον τέθυκα, ἐφίλουν πεφίληκα, ἐχειροτόνουν κεχειροτόνηκα, τῶν δασέων εἰς τὰ ἀντίστοιχα ψιλὰ τραπέντων διὰ τὴν κακοφωνίαν· καὶ ἐὰν δὲ εὑρεθῇ ἐν τῷ παρατατικῷ ἄφωνον πρὸ ἀμεταβόλου τῷ λόγῳ τῆς κοινῆς, ἤγουν τῆς βραχείας, ἀναδιπλασιάζεται ὁ παρακείμενος, οἷον ἔγραφον γέγραφα, ἔγλυφον γέγλυφα, ἔκλαιον κέκλαυκα, ἐκράτουν κεκράτηκα, ἔπλυνον πέπλυκα, ἔκρινον κέκρικα, ἔκλινον κέκλικα. Δεῖ προσθεῖναι χωρὶς τῶν ἐχόντων τὸ Γ καὶ τὸ Ν· ταῦτα γὰρ οὐκ ἀναδιπλασιάζονται κατὰ τὸν παρακείμενον, ἔγνωκα καὶ οὐ γέγνωκα, ἐγνώρικα, οὐ γεγνώρικα, ἐγνωσιμάχηκα, καὶ οὐ γεγνωσιμάχηκα, (γνωσιμαχεῖν δὲ ἐστὶ τὸ γινώσκειν ὅτι πρὸς κρείττονας μάχεται·) τὸ ἐγλυμένοι

καὶ ἐβλαστηκότες παρ' Εὐπόλιδι παράλογά εἰσι· γεγλυμένοι γὰρ δεῖ λέγειν καὶ βεβλαστηκότες· οὐ γὰρ ἄρχονται ταῦτα ἀπὸ τοῦ γν, ἵνα μὴ ἀναδιπλασιασθῶσι. Ταῦτα μὲν ἐν τούτοις.

Λέγει δὲ ὁ Φιλόπονος, ὅτι ἐν μὲν τῷ παρακειμένῳ τὰ ἔχοντα ἄφωνον πρὸ ἀμεταβόλου τῷ λόγῳ τῆς κοινῆς, ἤγουν τῆς βραχείας, παραλαμβάνονται, καὶ διπλασιάζουσι τὸν παρακείμενον, ὡς δέδεικται ἐν τοῖς εἰς ος συγκριτικοῖς καὶ ὑπερθετικοῖς (ὅτι) τὰ ἔχοντα ἄφωνον πρὸ ἀμεταβόλου οὐ
246 b παραλαμβάνονται τῷ λόγῳ τῆς βραχείας ἀλλὰ τῷ τῆς μακρᾶς, οἷόν τι ἐστι τὸ λεγόμενον· κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ος ποιοῦντα συγκριτικὰ ἢ ὑπερθετικά, ἐὰν μὲν βραχείᾳ παραλήγωνται, τρέπουσι τὸ ο εἰς ω ἐν τοῖς συγκριτικοῖς καὶ ὑπερθετικοῖς, οἷον σοφὸς σοφώτερος σοφώτατος, κακὸς κακώτερος κακώτατος, λόγιος λογιώτερος λογιώτατος, τίμιος τιμιώτερος τιμιώτατος, ὅσιος ὁσιώτερος ὁσιώτατος, χωρὶς τοῦ κενὸς κενότερος, καὶ στενὸς στενότερος· ταῦτα γὰρ βραχείᾳ παραληγόμενα (οὐ) τρέπουσι τὸ ο εἰς ω· (καὶ ἀπολογοῦνται τινὲς περὶ αὐτῶν, λέγοντες, ὅτι μακροπαράληκτα ἦσαν τὰ πρωτότυπα αὐτῶν, στεινὸς γὰρ καὶ κεινὸς διὰ τῆς ει διφθόγγου, ἐξ οὗ τὸ [Il. ν'. 376.]

κεινὴ δὲ τρυφάλεια ἅμ' ἕσπετο χειρὶ παχείῃ,

καὶ ἀποβολῇ τοῦ ι γέγονε κενὸς καὶ στενὸς διὰ τοῦ ε βραχυπαράληκτα, καὶ ἔμειναν τὰ συγκριτικά, ὡς ἀπὸ μακροπαραλήκτων πρωτοτύπων διὰ τοῦ ο γραφόμενα·) εἰ δὲ μακροπαραλήγονται, φυλάττουσι τὸ ο καὶ ἐν τοῖς συγκριτικοῖς καὶ ἐν τοῖς ὑπερθετικοῖς, οἷον ἀναγκαῖος ἀναγκαιότερος ἀναγκαιότατος, φαιδρὸς φαιδρότερος φαιδρότατος, ἀνδρεῖος ἀνδρειότερος ἀνδρειότατος, ἔντιμος ἐντιμότερος ἐντιμότατος, ἔνδοξος ἐνδοξότερος ἐνδοξότατος, λεπτὸς λεπτότερος λεπτότατος, χονδρὸς χονδρότερος χονδρότατος. Εἰ δὲ ἔχουσιν ἄφωνον ὁμοίως πρὸ ἀμεταβόλου, ὁμοίως τοῖς μακρᾷ παραληγομένοις φυλάττουσι τὸ ο καὶ ἐν τοῖς συγκριτικοῖς καὶ ἐν τοῖς ὑπερθετικοῖς, οἷον λάγνος λαγνότερος λαγνότατος,

ἄκρος ἀκρότερος ἀκρότατος, ἐρυθρὸς ἐρυθρότερος ἐρυθρότατος, ἐλαφρὸς ἐλαφρότερος ἐλαφρότατος. Ἰστέον δὲ ὅτι αὐτὰ, φημὶ δὴ τὸ ἐρυθρότερος καὶ ἐλαφρότερος καὶ εὔτεκνος εὐτεκνότερος καὶ δύσποτμος δυσποτμότερος, παρὰ τοῖς Ἀθηναίοις καὶ διὰ τοῦ ω, ὡς παρὰ τῷ Εὐριπίδῃ ἐν Ἑκάβῃ [581.]

παιδὸς θανούσης εὐτεκνωτάτην δέ σε
πασῶν γυναικῶν δυστυχεστάτην ὁρῶ.

Δεῖ δὲ γινώσκειν ὅτι ἐπὶ τῶν μακρᾷ παραληγομένων οἱ ποιηταὶ πολλάκις τρέπουσι τὸ ο εἰς τὸ ω ἐν τοῖς συγκριτικοῖς καὶ ὑπερθετικοῖς, οἷον ὀϊζυρὸς ὀϊζυρώτερος, φιλόξεινος φιλοξεινώτερος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐπὶ τῶν εἰς ω κανονίζεται ἡ ἄρχουσα τοῦ παρακειμένου ἐκ τοῦ παρατατικοῦ· ἐπὶ γὰρ τῶν εἰς ΜΙ οὐ δύναται κανονισθῆναι ἐκ τοῦ παρατατικοῦ. Ἐὰν γὰρ ἀπὸ τοῦ ἐτίθην καὶ ἐδίδων θελήσωμεν κανονίσαι τὴν ἄρχουσαν τοῦ παρακειμένου, εὑρεθήσεται τετίθηκα καὶ δεδίδωκα, ὅπερ οὐκ ἔστι· τέθεικα γὰρ καὶ δέδωκα ἐστὶν ὁ παρακείμενος ἀπὸ τοῦ δώσω καὶ θήσω μέλλοντος, τοῦ Η τραπέντος εἰς τὴν ΕΙ δίφθογγον Βοιωτικῶς. Πῶς δὲ κανονίζεται ἡ ἄρχουσα τοῦ
247 a παρακειμένου ἐκ τοῦ μέλλοντος, μετ' ὀλίγον μαθησόμεθα.

Δεῖ δὲ γινώσκειν, ὅτι οἱ ἀναδιπλασιασμοὶ ἢ διὰ τῶν αὐτῶν συμφώνων γίνονται, οἷον τέτυφα, πεποίηκα, πεπάτηκα, λελάληκα, ἢ διὰ τῶν ἀντιστοίχων τῶν ψιλῶν, οἷον τέθηκα, πεφίληκα, κεχειροτόνηκα· διὰ γὰρ δασέος οὐ γίνεται διπλασιασμὸς διὰ τὴν κακοφωνίαν.

Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι ἐκ δύο μέμερισται ἡ ἄρχουσα τοῦ παρακειμένου· καὶ ὅτε μὲν ἄρχεται ὁ παρακείμενος ἀπὸ συμφώνου βραχεῖαν ἔχει τὴν ἄρχουσαν, οἷον τέτυφα, νένυχα, πεποίηκα, πεπάτηκα, κέκρικα, γέγραφα, πέπλευκα, κέκλαυκα, κέκλικα, κέκρουκα· ταῦτα γὰρ ἄφωνον ἔχουσι πρὸ ἀμεταβόλου, καὶ τῷ λόγῳ τῆς κοινῆς συλλαβῆς ἀντὶ βραχείας παραλαμβάνονται· ὅτε δὲ ἀπὸ φωνήεντος ἄρχεται ὁ παρακείμενος, μακρὰν ἔχει τὴν ἄρχουσαν, ἠρεύνηκα, ἡτοίμακα, ἥρπακα, ἔφθαρκα, ἔσταλκα, ἔκταγκα, ἔσπαρκα, ἐστεφάνωκα, ἐφθόνηκα, ἐζωγράφηκα, δηλονότι χωρὶς τῶν

Ἀττικῶν παρακειμένων· ὀμώμοκα γὰρ καὶ ἀλήλιφα καὶ ἀγήοχα καὶ ἐλήλυθα διὰ βραχείας κατὰ τὴν ἄρχουσαν· ὅθεν ἀπὸ τοῦ λήβω, (τοῦ σημαίνοντος τὸ λαμβάνω,) γίνεται λήπω λέληφα, καὶ ἀπὸ τοῦ λήχω, (τοῦ σημαίνοντος τὸ λαγχάνω καὶ κληροῦμαι,) λήξω λέληχα, καὶ ἀπὸ τοῦ μείρω, (τοῦ σημαίνοντος τὸ μερίζω,) μερῶ μέμαρκα μέμαρμαι μέμαρται. Καὶ ἐπειδὴ τούτων τῶν παρακειμένων οἱ Ἀθηναῖοι ἀποβάλλουσι τὸ ἐν τῇ ἀρχούσῃ σύμφωνον, καὶ προστιθέασι τὸ ι μετὰ τοῦ ε, καὶ λέγουσιν εἴληφα καὶ εἴληχα καὶ εἵμαρται, (ἐξ οὗ τὸ εἱμαρμένη, οἱονεὶ ἡ πᾶσι μεμερισμένη,) ἵνα μὴ εὑρεθῇ ἀπὸ φωνήεντος ἀρχόμενος ὁ παρακείμενος καὶ ἀπὸ βραχείας. Καὶ πάλιν ἐστὶ κτείνω, καὶ γίνεται ὁ μέσος παρακείμενος ἔκτονα, ἐπειδὴ ἀποβάλλουσι τὸ τ τὸ ἐν τῇ παραληγούσῃ, καὶ μέλλει ἀπὸ φωνήεντος ἄρχεσθαι καὶ ἀπὸ βραχείας, οἷον ἔκονα, προστιθέασι τὸ κ καὶ γίνεται κέκονα· εἰρήκαμεν γὰρ ὅτι ἡνίκα ὁ παρακείμενος ἀπὸ συμφώνου ἄρχεται τοὐναντίον βραχεῖαν ἔχει τὴν ἄρχουσαν ὁ παρακείμενος. Σεσημείωται ἐν τοῖς ἀπὸ συμφώνου ἀρχομένοις τὸ πέπτωκα καὶ κέκτημαι καὶ μέμνημαι, ἐπειδὴ ταῦτα ἀπὸ συμφώνου ἀρχόμενα μακρὰν ἔχουσι τὴν ἄρχουσαν· οὐδὲ γὰρ ἄφωνον πρὸ ἀμεταβόλου ταῦτα ἔχουσιν, ἵνα εἴπωμεν, ὅτι τῷ λόγῳ τῆς κοινῆς ἀνεδιπλασιάσθησαν. Τὸ μὲν γὰρ πέπτωκα καὶ κέκτημαι δύο ἄφωνα ἔχουσι· τὸ δὲ μέμνημαι δύο ἀμετάβολα. Ἔστι δὲ ἀπολογήσασθαι περὶ αὐτῶν οὕτως· καὶ περὶ μὲν τοῦ μέμνημαι ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· οὐδέποτε ἀμετάβολον ἀμεταβόλου προηγεῖται κατὰ σύλληψιν, οἷον ἀρνὸς, ἅρμα, ἔρνος, ἅλμη, εἰ μὴ μόνον τὸ μ τοῦ ν, ὡς μνήμη, μνημεῖον, μνῆμα, μνᾶ· τὸ γὰρ προηγεῖσθαι τῶν ἀμεταβόλων κατὰ σύλληψιν ἴδιον τῶν ἀφώνων ἐστὶν, οἷον κλέος, ἀγρὸς, ἀκμὴ, πνεῦσαι, θνήσκω, πρῶτος. Ἐπειδὴ οὖν τὸ μ σύνταξιν ἀφώνου ἀνεδέξατο καὶ προηγήσατο τοῦ ν τοῦ ἀμεταβόλου, ἀνεδιπλασιάσθη τὸ μέμνημαι· ἄλλως τε δὲ
247 b καὶ πολλάκις εὑρίσκεται καὶ ἐν μέτρῳ τὸ μν ἀποτελοῦν κοινὴν συλλαβὴν, οἷον ὡς παρὰ Καλλιμάχῳ,

τὼς μὲν ὁ Μνησάρχειος ἔφη ξένος,

καὶ παρὰ [a]Κρατίνῳ,

ἀλλοτριογνώμοις ἐπιλήσμοσι μνημονικοῖσιν.

Εἰκότως οὖν καὶ τὸ μέμνημαι τῷ λόγῳ τῆς κοινῆς ἀνεδιπλασιάσθη. Περὶ δὲ τοῦ πέπτωκα καὶ κέκτημαι ἐστὶν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τῶν στοιχείων τὰ μὲν εἰσὶ σύμφωνα, τὰ δὲ φωνήεντα· τὰ σύμφωνα ἀσθενέστερά εἰσι τῶν φωνήεντων· καὶ γὰρ τὰ μὲν σύμφωνα χωρὶς τῶν φωνηέντων στῆναι οὐ δύνανται, οὐδὲ γὰρ ἀποτελοῦσι καθ' ἑαυτὰ φωνήν· τὰ δὲ φωνήεντα δύνανται καθ' ἑαυτὰ παραλαμβάνεσθαι, φωνὴν γὰρ ἀφ' ἑαυτῶν ἀποτελοῦσι. Τῶν συμφώνων τὰ μέν εἰσιν ἄφωνα, τὰ δὲ ἡμίφωνα· τὰ ἄφωνα ἀσθενέστερά εἰσι τῶν ἡμιφώνων, διὸ καὶ ἄφωνα λέγονται, οἱονεὶ μικρόφωνα, οὕτω γὰρ καὶ ἄποδα (ἄποδον Bar.) ἵππον λέγομεν τὸν μικρόποδα καὶ κατὰ μικρὸν τρέχοντα. Τῶν ἀφώνων τὰ μὲν εἰσὶ ψιλὰ, τὰ δὲ δασέα, τὰ δὲ μέσα. Τὰ δασέα ἰσχυρότερά εἰσι τῶν ψιλῶν, καὶ γὰρ δασυνομένου μὲν φωνήεντος ἐπιφερομένου τρέπεται τὸ προηγούμενον ψιλὸν εἰς τὸ ἀντίστοιχον τὸ δασὺ, ὡς ἀσθενὲς, οἷον κατὰ ἡμῶν, καθ' ἡμῶν, ἐπὶ ἡμᾶς, ἐφ' ἡμῶν, "ἀντίσχ' ὁ μὲν χλαῖναν·" ψιλουμένου δὲ φωνήεντος ἐπιφερομένου οὐ τρέπεται τὸ προηγούμενον δασὺ σύμφωνον εἰς ψιλὸν, ἀλλὰ φυλάττεται, ἅτε δὴ ἰσχυρότερον, οἷον ἀμφὶ αὐτὸς ἀμφ' αὐτὸς, ἀμφὶ ἀγαθὸς ἀμφ' ἀγαθὸς, [Il. π'. 165.]

ἀμφ' ἀγαθὸν θεράποντα·

τὰ δὲ μέσα ὡς καὶ τῶν δασέων μετέχοντα, ἰσχυρότερά εἰσι τῶν ψιλῶν. Ἐπειδὴ οὖν τὰ ψιλὰ πάντων τῶν συμφώνων ἀσθενέστερά εἰσιν, ἐν τῷ πέπτωκα καὶ κέκτημαι ΠΤ ἐστὶ καὶ ΚΤ, ταῦτα δὲ ψιλά ἐστιν, εἰκότως τῷ λόγῳ τῆς κοινῆς ἀνεδιπλασιάσθησαν. Ἄλλως τε δὲ πολλάκις εὑρίσκονται καὶ ἐν τοῖς μέτροις ἀποτελοῦντα τὴν κοινὴν συλλαβὴν τὸ ΚΤ καὶ ΠΤ, ὡς παρ' Ὁμήρῳ, οἷον

Αἰγυπτίῃ, τῇ πλεῖστα δόμοις [b]ἔνι κτήματα κεῖται

τὸ δὲ ΚΤ ὡς παρὰ τῷ Ῥίνθωνι,

Ἱππώνακτος τὸ μέτρον· οὐδέν μοι μέλει (μέλλει Bar.)

[a] MS. Bar. (f. 92.) Κρατίνῃ· ἀλλοτρΐεον ὤμοισ ἐ. [b] ἐνΐκτήματΐ ms.

εἰκότως οὖν καὶ τὸ πέπτωκα καὶ κέκτημαι τῷ λόγῳ τῆς κοινῆς ἀνεδιπλασιάσθησαν. Περὶ τῆς κοινῆς συλλαβῆς κατ' ἀκρίβειαν ἐν τοῖς μέτροις Ἡφαιστίωνος μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Γέγονε δὲ τὸ πέπτωκα τοῦτον τὸν τρόπον· ἔστι πετῶ πετήσω πεπέτηκα, καὶ κατὰ συγκοπὴν τοῦ ε πέπτηκα, καὶ τροπῇ τοῦ η εἰς ω πέπτωκα, ὥσπερ καὶ ἀπὸ τοῦ οἰχῶ οἰχήσω, ᾤχηκα, καὶ ᾤχωκα κατὰ τροπὴν τοῦ η εἰς ω, ὡς παρ' Εὐριπίδῃ, [Soph. Aj. 896.]

> ᾤχωκα, ὄλωλα, διαπεπόρθημαι φίλε.

ἢ λέγομεν ὅτι ἀπὸ τοῦ πεδῶ πεδώσω πεπέδωκα, καὶ κατὰ συγκοπὴν τοῦ ε πέπδωκα, καὶ ἐπειδὴ δασέα δασέων ἡγοῦνται, καὶ ψιλὰ ψιλῶν, καὶ μέσα μέσων κατὰ σύλληψιν, οἷον πτῶσις, κτῆμα, φθόνος, χθὼν, ἑβδομὰς, ἐριγδοῦπος, τούτου χάριν ἐτράπη τὸ δ εἰς τὸ τ, καὶ γέγονε πέπτωκα. Ταῦτα μὲν ἐν τούτοις.

Ἐπειδὴ δὲ ἀνωτέρω ἐλέγομεν ὅτι δυνατόν ἐστιν ἐκ τοῦ μέλλοντος κανονίσαι τὴν ἄρχουσαν τοῦ παρακειμένου, ἔλθωμεν καὶ κανονίσωμεν αὐτὸν ἐκ τοῦ μέλλοντος. Ἰστέον δὲ ὅτι ὅταν ὁ μέλλων ἄρχηται ἀπὸ ἑνὸς ἁπλοῦ συμφώνου, μὴ τοῦ ρ, ἀναδιπλασιάζεται ὁ παρακείμενος, οἷον τύψω τέτυφα, λέξω λέλεχα, ποιήσω πεποίηκα, νοήσω νενόηκα, καλέσω
248 a κεκάλεκα, φιλήσω πεφίληκα, τῶν δασέων τραπέντων εἰς τὰ ἀντίστοιχα τὰ ψιλὰ διὰ τὴν κακοφωνίαν. Πρόσκειται "μὴ τοῦ ρ," ἐπειδὴ ἐὰν ἄρχηται ὁ μέλλων ἀπὸ τοῦ ρ οὐκ ἀναδιπλασιάζεται ὁ παρακείμενος, ἀλλὰ προσόδῳ τοῦ ε αὔξεται ἡ ἄρχουσα τοῦ παρακειμένου, καὶ ἕτερον ρ προσλαμβάνει, οἷον ῥυπώσω ἐρρύπωκα, ῥεύσω ἔρρευκα, ῥαπίζω ἐρράπικα, ῥάψω ἔρραφα.

Ἄξιόν ἐστι ζητῆσαι, διὰ τί ὅταν ὁ μέλλων ἀπὸ τοῦ ρ ἄρχηται, οὐκ ἀναδιπλασιάζεται ὁ παρακείμενος; Καὶ ἔστιν εἰπεῖν ταύτας τὰς ἀπολογίας· οὐδέποτε ὁ παρακείμενος ἀναδιπλασιάζεται διὰ δασέος· ἀμέλει ὅταν ὁ μέλλων ἀπὸ δασέος ἄρχηται, ὁ παρακείμενος τρέπει τὸ δασὺ εἰς τὸ ἀντίστοιχον αὐτοῦ ψιλὸν, οἷον θύσω τέθυκα, φιλήσω πεφίληκα, χειροτο-

νήσω κεχειροτόνηκα· ἐπειδὴ οὖν ὁ παρακείμενος οὐ θέλει διὰ δασέος ἀναδιπλασιάζεσθαι, τὸ δὲ ρ ἄρχον λέξεως δασύνεσθαι θέλει, οἷον ῥώμη, ῥητῶς, ῥάπτω, ῥαπίζω, εἰκότως ὅταν ὁ μέλλων ἀπὸ τοῦ ρ ἄρχηται, οὐκ ἀναδιπλασιάζεται ὁ παρακείμενος, ἵνα μὴ εὑρεθῇ διὰ δασέος ἀναδιπλασιαζόμενος. Καὶ ἔστιν εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην· κανών ἐστιν ὁ λέγων, ὅτι ἡνίκα ὁ παρατατικὸς ἀπὸ μακρᾶς ἄρχηται φύσει ἢ θέσει συνάρχεται αὐτῷ ὁ παρακείμενος, οἷον ἠλέουν ἠλέηκα, ἠγόραζον ἠγόρακα, ἠρώτων ἠρώτηκα, ὤρθουν ὤρθωκα, ἔφθειρον ἔφθαρκα, ἐστεφάνουν ἐστεφάνωκα, ἐφθόνουν ἐφθόνηκα, ἐζωγράφουν ἐζωγράφηκα· τὸ γὰρ ἔγραφον γέγραφα, καὶ ἔκλαιον κέκλαυκα, καὶ τὰ τοιαῦτα τῷ λόγῳ τῆς κοινῆς, ἤγουν τῆς βραχείας, ἀνεδιπλασιάσθησαν, ἄφωνον γὰρ ἔχουσι πρὸ ἀμεταβόλου· ἐπειδὴ οὖν ὅταν ὁ μέλλων ἀπὸ τοῦ ρ ἄρχηται, ὁ παρακείμενος μακρὰν ἔχει τὴν ἄρχουσαν θέσει, (διὰ γὰρ τῶν δύο ρ γράφεται οἷον, ἔρραπτον ἐρράπιζον ἐρρύπουν,) ἀναγκάζεται ὁ παρακείμενος συνάρχεσθαι τῷ παρατατικῷ, καὶ γενέσθαι ἐρρύπωκα καὶ ἔρραφα καὶ ἐρράπικα, καὶ τούτου χάριν οὐκ ἀναδιπλασιάζεται· εἰ γὰρ ἀνεδιπλασιάζετο, οὐκέτι συνήρχετο τῷ παρατατικῷ, ὅπερ ἐστὶν ἄτοπον. Σημειούμεθα παρὰ τῷ ποιητῇ τὸ [Od. ζ'. 59.]

τά μοι ῥερυπωμένα κεῖται,

καὶ τὸ "ῥέριφθαι ἔπος" παρὰ τῷ σοφῷ Πινδάρῳ, καὶ τὸ "[c] ῥεραπισμένῳ νώτῳ" παρὰ τῷ Ἀνακρέοντι, ὅτι ταῦτα διὰ τοῦ ρ ἀνεδιπλασιάσθησαν· περὶ ὧν ἐστιν εἰπεῖν, ὅτι κατὰ τὴν ποιητικὴν ἐξουσίαν οὕτω γεγόνασι, πρὸς οἷς εἰ ἐγένετο παρὰ τῷ ποιητῇ

τά μοι ἐρρυπωμένα κεῖται

χωλὸς ηὑρίσκετο ὁ στίχος· ἤμελλε γὰρ εἶναι παλιμβάκχειος ἀκάθαρτος· τὰ γὰρ β' μακρὰ οὔτε εἰς μέρος λόγου ἀπαρτίζει, οὔτε εἰς φωνῆεν λήγει, οὔτε τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην, ὡς τὸ

πλάγχθη ἐπεὶ Τροίης.

[c] ῥεραπισμένω νώτω diserte ms. Bar. ῥεραπισμένος (vel ῥεραπισμένα Bekker. An. p. 1287.) νῶ ms. Par. Supra ῥέριφθα ἔπος Bar.

Ὅταν δὲ ὁ μέλλων ἄρχηται ἀπὸ διπλοῦ ἢ ἀπὸ δύω συμφώνων, μὴ ὄντος ἀφώνου πρὸ ἀμεταβόλου, οὐκ ἀναδιπλασιάζεται ὁ παρακείμενος, ἀλλὰ προσόδῳ τοῦ ε αὔξεται ἡ ἄρχουσα αὐτοῦ, οἷον ζητήσω ἐζήτηκα, ζωγραφήσω ἐζωγράφηκα, ξέσω ἔξεκα, ξηραίνω ἐξήραγκα, ψηλαφήσω ἐψηλάφηκα, στεφανώσω ἐστεφάνωκα, στελῶ ἔσταλκα, φθονήσω ἐφθόνηκα, φθερῶ ἔφθαρκα, κτυπήσω ἐκτύπηκα, κτήσω ἔκτηκα, σπερῶ ἔσπαρκα. Πρόσκειται "μὴ ὄντος ἀφώνου πρὸ ἀμεταβόλου," ἐπειδὴ τὰ ἔχοντα ἄφωνον πρὸ ἀμεταβόλου ἀναδιπλασιάζουσι τὴν ἄρχουσαν τοῦ παρακειμένου τῷ λόγῳ τῆς βραχείας, ἤγουν τῆς κοινῆς, οἷον γράψω γέγραφα, γλύψω γέγλυφα, πλυνῶ πέπλυκα, κρινῶ κέκρικα, κρούσω κέκρουκα, κλαύσω κέκλαυκα, κλείσω κέκλεικα, χωρὶς τῶν ἐχόντων τὸ γν· τὰ γὰρ ἀπὸ τοῦ γν ἀρχόμενα οὐκ ἀναδιπλασιάζουσι τὸν παρακείμενον ἀλλὰ προσόδῳ τοῦ ε αὔξεται ἡ ἄρχουσα αὐτοῦ, οἷον γνώσω ἔγνωκα, γνωρίσω ἐγνώρικα, γνωσιμαχήσω ἐγνωσιμάχηκα· ὅταν δὲ ἀπὸ φωνήεντος ὁ μέλλων ἄρχηται, χρονικῶς μεγεθύνεται ὁ παρακείμενος, ἐλεήσω ἠλέηκα, ἑρμηνεύσω ἡρμήνευκα, ἐρωτήσω ἠρώτηκα, ἀριστήσω ἠρίστηκα, ὀμόσω ὤμοκα, ὀρθώσω ὤρθωκα, ὁπλίζω ὥπλικα, ἀρτύσω ἤρτυκα, ἀκούσω ἤκουκα, ἀγοράζω
248 b ἠγόρακα, αἰτήσω ᾔτηκα, αἰσχύνω ᾔσχυγκα. Πῶς δὲ τρέπονται τὰ φωνήεντα ἐν τοῖς παρῳχημένοις κατὰ τὴν ἄρχουσαν, καὶ ποῖα τρέπονται, καὶ ποῖα οὐ τρέπονται, ἐν τῇ διδασκαλίᾳ τοῦ παρατατικοῦ μεμαθήκαμεν. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, εἰ ἄρα οἱ Ἴωνες ἔθος ἔχουσιν ἀποβάλλειν τὰς ἐν ἀρχῇ κλιτικὰς ἐκτάσεις τῶν παρῳχημένων, οἷον, ἔτυπτε τύπτε,

τύπτε δ' ἐπιστροφάδην,

ἦγεν ἄγεν,

ἄγεν δέ ἑ μοῖρα βαρεῖα,

ἥψατο ἅψατο

ἅψατο δ' ἡμιόνων ταλαεργῶν,

διὰ τί ἐπὶ μὲν τοῦ παρακειμένου οὐκ ἀποβάλλουσι τὴν τῆς ἀρχῆς κλιτικὴν ἔκτασιν; Καὶ ἔστιν εἰπεῖν αἰτίαν τοιαύτην·

Οἱ Ἴωνες συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους ταῖς ἰδίαις μετοχαῖς· οἷον, ἔτυπτε τύπτε, πρὸς τὴν τύπτων μετοχήν· ἦγεν ἄγεν, πρὸς τὴν ἄγων μετοχήν· ἥψατο ἅψατο, πρὸς τὴν ἁψάμενος μετοχήν· ἐπειδὴ οὖν ὁ παρακείμενος οὐκ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν ἐν ταῖς μετοχαῖς, οἷον τετυφὼς, πεποιηκὼς, ἑστακὼς, ἐφθαρκὼς, τούτου χάριν οὔτε παρὰ τοῖς Ἴωσιν ἀποβάλλει τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, ἐπειδὴ, ὡς εἴρηται, οἱ Ἴωνες συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους ταῖς ἰδίαις μετοχαῖς· εἰ γὰρ ἀπέβαλλεν παρ' αὐτοῖς ὁ παρακείμενος τὴν τῆς ἀρχούσης κλιτικὴν ἔκτασιν, οὐκέτι συνήρχετο τῇ μετοχῇ, ὅπερ ἄτοπον. Τοσαῦτα ἔχομεν καὶ περὶ τῆς ἀρχούσης τοῦ παρακειμένου.

"Ἰστέον δὲ ὡς πᾶς μέλλων ἀπὸ φωνήεντος ἀρχόμενος." Ἐνταῦθα περὶ τῆς ποιότητος τῶν συλλαβῶν τοῦ παρακειμένου διαλαμβάνει, καὶ λέγει, ὅτι ἐὰν ὁ μέλλων ἀπὸ φωνήεντος ἄρχηται, ἰσοσυλλαβεῖ αὐτῷ ὁ παρακείμενος, ἀγοράσω ἠγόρακα, ἑτοιμάζω ἡτοίμακα, ἀριστήσω ἠρίστηκα, ὀρθώσω ὤρθωκα, ἀλείψω ἤλειφα, ἀρτύω ἤρτυκα· ἐὰν δὲ ὁ μέλλων ἀπὸ συμφώνου ἄρχηται, μιᾷ συλλαβῇ πλεονάζει ὁ παρακείμενος, οἷον τύψω τέτυφα, λέξω λέλεχα, ποιήσω πεποίηκα, λαλήσω λελάληκα, πατήσω πεπάτηκα· ὅθεν τὸ νενέμηκα καὶ δεδέμηκα καὶ τετέμηκα καὶ βεβρέμηκα, ὡς ἀπὸ τοῦ νεμῶ νεμήσω, καὶ δεμῶ δεμήσω, καὶ βρεμῶ βρεμήσω, λέγομεν εἶναι, ὥσπερ καὶ ἀπὸ τοῦ γραφῶ γραφήσω τὸ γεγράφηκα· ἐὰν γὰρ εἴπωμεν αὐτὰ ὡς ἀπὸ τοῦ νέμω νεμῶ εἶναι, καὶ μένω μενῶ, καὶ δέμω δεμῶ, καὶ τέμω τεμῶ, καὶ βρέμω βρεμῶ, μέλλει ὁ παρακείμενος δύο συλλαβαῖς πλεονάζειν τοῦ μέλλοντος, ὅπερ ἐστὶν ἄτοπον.

"Τετύφας." Ἐνταῦθα τὸ δεύτερον πρόσωπον κανονίζει, καὶ λέγει, ὅτι τὰ εἰς Α λήγοντα πρῶτα πρόσωπα προσθέσει τοῦ Σ τὸ δεύτερον πρόσωπον ποιοῦσιν, οἷον τέτυφα τέτυφας, πεποίηκα πεποίηκας, νενόηκα νενόηκας, ἔγραψα ἔγραψας, ἔλεξα ἔλεξας. Εἰ δέ τις εἴποι, διὰ τί γὰρ μὴ τροπῇ τοῦ Α εἰς Ε καὶ προσθέσει τοῦ Σ τὸ δεύτερον πρόσωπον ἐγένετο, οἷον τέτυφα τέτυφες, ἵνα τῇ ἀποβολῇ τοῦ Σ τὸ τρίτον

γένηται, (τέτυφε γὰρ καὶ ἔτυψε διὰ τοῦ ε *ἐστὶ τὸ τρίτον,) λέγομεν ὅτι καθόλου ἐπὶ τῶν παρῳχημένων, τῶν ἐχόντων δηλονότι εἴς* τε *τὸ β′ πρόσωπον τῶν πληθυντικῶν, ἡ παραλήγουσα τοῦ δευτέρου προσώπου τῶν πληθυντικῶν λήγουσα γίνεται τοῦ δευτέρου προσώπου τῶν ἑνικῶν· ὁ δὲ λόγος ἐπὶ τῶν φωνηέντων, οἷον ἐτύπτετε ἔτυπτες, ἐλάβετε ἔλαβες, ἐτετύφειτε ἐτετύφεις, ἐποιεῖτε ἐποίεις, ἐβοᾶτε ἐβόας, ἐχρυσοῦτε ἐχρύσους· δηλονότι χωρὶς τῶν εἰς* μι, *ἐτίθετε γὰρ διὰ τοῦ* ε, *καὶ ἐτίθης διὰ τοῦ* η, *καὶ ἵστατε διὰ τοῦ* α, *καὶ ἵστης διὰ τοῦ* η, *καὶ ἐδίδοτε διὰ τοῦ* ο, *καὶ ἐδίδως διὰ τοῦ* ω, *καὶ ἐζεύγνυτε διὰ συνεσταλμένου τοῦ* υ, *καὶ ἐζεύγνυς διὰ ἐκτεταμένου τοῦ* υ. *Πρόσκειται "ἐπὶ τῶν παρῳχημένων" διὰ τὸ τύπτετε τύπτεις· ἐνταῦθα γὰρ οὐκ ἔστι τὸ φωνῆεν τὸ ὂν ἐν τῇ παραληγούσῃ τοῦ δευτέρου προσώπου τῶν πλη-*
249 a *θυντικῶν ἐν τῇ ληγούσῃ τοῦ δευτέρου τῶν ἑνικῶν· ἐν μὲν γὰρ τῇ παραληγούσῃ τοῦ δευτέρου προσώπου τῶν πληθυντικῶν τὸ* ε *ἐστιν, ἐν δὲ τῇ ληγούσῃ τοῦ δευτέρου προσώπου τῶν ἑνικῶν ἡ* ει *δίφθογγος. Ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι παρῳχημένου χρόνου, ἀλλ' ἐνεστῶτος. Πρόσκειται "ἐπὶ τῶν ἐχόντων δηλονότι εἰς* τε *τὸ β′ πρόσωπον τῶν πληθυντικῶν," διὰ τὸ ἐτύπτεσθε ἐτύπτετο· ἐνταῦθα γὰρ οὐκ ἔστι τὸ φωνῆεν τὸ ὂν ἐν τῇ παραληγούσῃ τοῦ β′ προσώπου τῶν πληθυντικῶν ἐν τῇ ληγούσῃ τοῦ β′ προσώπου τῶν ἑνικῶν· ἐν μὲν γὰρ τῇ παραληγούσῃ τοῦ β′ προσώπου τῶν πληθυντικῶν τὸ* ε *ἐστὶν, ἐν δὲ τῇ ληγούσῃ τοῦ β′ τῶν ἑνικῶν τὸ* ο· *ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι εἰς* τε *τὸ δεύτερον τῶν πληθυντικῶν. Εἰ ἄρα οὖν τετύφατε καὶ ἐτύψατε διὰ τοῦ* α *φαμὲν, δηλονότι καὶ τέτυφας καὶ ἔτυψας διὰ τοῦ* α *δεῖ λέγειν. Εἰ δέ τις εἴποι, διὰ τί γὰρ τετύφατε καὶ ἐτύψατε διὰ τοῦ* α *φαμὲν, καὶ μὴ τετύφετε καὶ ἐτύψετε διὰ τοῦ* ε; *Λέγομεν ὅτι οὐ δύναται εἶναι τετύφετε καὶ ἐτύψετε διὰ τοῦ* ε, *ἐπειδὴ τετύφαμεν καὶ ἐτύψαμεν διὰ τοῦ* α *ἐστι, τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν· καθόλου δὲ τὰ εἰς* μεν *πληθυντικὰ τροπῇ τοῦ* μεν *εἰς* τε *τὸ δεύτερον ποιοῦσι, καὶ φυλάττουσι τὴν παραλήγουσαν· ὅσα δὲ ἔχουσι τὴν*

μετοχὴν εἰς Σ, οἷον ἐτίθεμεν ἐτίθετε, τιθεὶς γάρ· ἐδίδομεν ἐδίδοτε, διδοὺς γάρ· ἐτύφθημεν ἐτύφθητε, τυφθεὶς γάρ· ἐτετύφειμεν ἐτετύφειτε, τετυφὼς γάρ· ἐτύψαμεν ἐτύψατε, τύψας γάρ. Ταῦτα μὲν ἐν τούτοις.

Λέγει δὲ ὁ Ἡρωδιανὸς, ὅτι εὑρίσκεται χρῆσις τῆς διὰ τοῦ Ε γραφῆς, ὡς παρὰ Ἀριστοφάνει ἐν Ὄρνισι [Ἀχαρνεῦσι 133.]

ὑμεῖς δὲ πρεσβεύετε καὶ κεχήνετε

ἀντὶ τοῦ κεχήνατε.

"Τέτυφε." Ἐνταῦθα τὸ τρίτον πρόσωπον τοῦ παρακειμένου κανονίζει, καὶ λέγει, ὅτι "δεῖ τῷ κοινῷ λόγῳ τὸ δεύτερον πρόσωπον κατὰ ἀποβολὴν τοῦ Σ τὸ τρίτον ποιεῖν" ἐμάθομεν γὰρ ὅτι πᾶν δεύτερον πρόσωπον εἰς Σ λῆγον ἀποβολῇ τοῦ Σ τὸ τρίτον ποιεῖ, οἷον τύπτεις τύπτει, ἔτυπτες ἔτυπτε, ἐβόας ἐβόα, ἐποίεις ἐποίει, ἐχρύσους ἐχρύσου, ἔλεγες ἔλεγε· οὕτως οὖν καὶ ἀπὸ τοῦ τέτυφας καὶ ἔτυψας ἔδει τὸ τρίτον πρόσωπον κατὰ ἀποβολὴν τοῦ Σ γενέσθαι, τέτυφα ἐκεῖνος καὶ ἔτυψα ἐκεῖνος διὰ τοῦ Α, ἀλλ' ἐπειδὴ οὐδέποτε τρίτον πρόσωπον τῷ πρώτῳ ὁμοφωνεῖ κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ κατὰ τὴν αὐτὴν διάλεκτον, οἷον ἔτυπτον ἔτυπτεν, ἐποίουν ἐποίει, ἐβόων ἐβόα, ἐχρύσουν ἐχρύσου, τούτου χάριν καὶ τροπὴ παρηκολούθησε τοῦ Α εἰς τὸ Ε, καὶ γέγονε τέτυφε καὶ ἔτυψε τὸ τρίτον διὰ τοῦ Ε· εἰ γὰρ ἐγένετο τέτυφα ἐκεῖνος καὶ ἔτυψα ἐκεῖνος διὰ τοῦ Α, ἤμελλε τῷ τρίτῳ προσώπῳ ὁμοφωνεῖν, φημὶ δὲ τῷ τέτυφα ἐγὼ καὶ ἔτυψα ἐγὼ, κατὰ τὸν αὐτὸν ἀριθμὸν, ἀμφότερα γὰρ ἑνικά εἰσι καὶ κατὰ τὴν αὐτὴν διάλεκτον, ἀμφότερα γάρ εἰσι μιᾶς διαλέκτου, ὅπερ ἐστὶν ἀδύνατον. Τούτου οὖν χάριν, ὡς εἴρηται, καὶ τροπὴ παρηκολούθησε τοῦ Α εἰς τὸ Ε κατὰ τὸ τρίτον πρόσωπον. Πρόσκειται "κατὰ τὸν αὐτὸν ἀριθμὸν" διὰ τὸ ἔλαβον ἐγὼ καὶ ἔλαβον ἐκεῖνοι· ἐνταῦθα γὰρ τὸ τρίτον πρόσωπον τῷ πρώτῳ ὁμοφωνεῖ, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν ἀριθμόν· τὸ μὲν γὰρ ἔλαβον ἐγὼ πρῶτον ἑνικῶν ἐστι, τὸ δὲ ἔλαβον ἐκεῖνοι τρίτον τῶν πληθυντικῶν ἐστί. "Κατὰ τὴν αὐτὴν δὲ διάλεκτον" πρόσκειται διὰ τὸ ἐτετύφειν ἐγὼ καὶ

ἐτετύφειν ἐκεῖνος· ἐνταῦθα γὰρ τὸ τρίτον τῷ πρώτῳ ὁμοφωνεῖ κατὰ τὸν αὐτὸν ἀριθμόν· (ἀμφότερα γὰρ ἑνικά εἰσιν·) ἀλλ' οὐ κατὰ τὴν αὐτὴν διάλεκτον· τὸ μὲν γὰρ ἐτετύφειν ἐγὼ κοινὸν, τὸ δὲ ἐτετύφειν ἐκεῖνος Ἰωνικόν. Γέγονε δὲ τὸ ἐτετύφειν ἐκεῖνος τοῦτον τὸν τρόπον· ἔστιν ἐτετύφει τρίτον πρόσωπον· τοῦτο κατὰ τὴν διάλυσιν τῆς ει διφθόγγου εἰς β' εε λέγουσιν οἱ Ἴωνες ἐτετύφεε, ἐπειδὴ τὸ ε ἐφελκυστικόν ἐστι τοῦ ν, οἷον ἔτυπτε ἔτυπτεν, ἔλεγε ἔλεγεν,
249 b ἐτετύφεε ἐτετύφεεν, καὶ κατὰ κρᾶσιν τῶν δύο ε εἰς τὴν ει δίφθογγον ἐτετύφειν ἐκεῖνος· τοιοῦτόν ἐστι καὶ τὸ [Il. γ'. 387.]

> [d] ᾗ οἱ Λακεδαίμονι ναιεταώσῃ
> ἤσκειν εἴρια καλά·

ἀντὶ γὰρ τοῦ ἤσκει· καὶ τὸ [Il. ψ'. 690.]

> οὐδ' ἄρα δὴν
> εἱστήκειν, αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα·

ἀντὶ γὰρ τοῦ εἱστήκει. Ταῦτα μὲν ἐν τούτοις.

Προστιθέασι δέ τινες, "καὶ κατὰ τὸν αὐτὸν χρόνον καὶ ἀπὸ τοῦ αὐτοῦ θέματος" διὰ τὸ ἦν ἐγὼ, καὶ ἦν ἐκεῖνος· ἰδοὺ γὰρ ἐνταῦθά φασι τὸ τρίτον τῷ πρώτῳ ὁμοφωνεῖν. "Κατὰ τὴν αὐτὴν διάλεκτον καὶ τὸν αὐτὸν ἀριθμόν·" ἀμφότερα γὰρ ἑνικά εἰσιν, ἀλλ' οὐκ ἀπὸ τοῦ αὐτοῦ θέματος, οὐδὲ κατὰ τὸν αὐτὸν χρόνον· τὸ μὲν γὰρ ἦν ἐγὼ παρατατικός ἐστιν ἀπὸ τῶν εἰς μι· ἀπὸ γὰρ τοῦ εἰμὶ τροπῇ τοῦ μι εἰς ν γέγονεν ὁ παρατατικὸς εἶν, ὥσπερ τίθημι ἐτίθην, καὶ κατ' ἐπέκτασιν Ἀττικὴν τοῦ ε εἰς η, ὥσπερ ἔμελλε ἤμελλε, ἐβουλόμην ἠβουλόμην, ἐδυνάμην ἠδυνάμην, καὶ κατὰ ἀποβολὴν τοῦ ι γέγονεν ἦν· τὸ δὲ ι ἀπεβλήθη, ἐπειδὴ τὰ εἰς ην λήγοντα ῥήματα οὐ θέλουσιν ἔχειν τί ποτε πρὸ τοῦ ν ἀνεκφώνητον, οἷον ἐτύφθην, ἐνύγην, ἐδάρην, ἐστάλην, καὶ καθόλου δὲ τὰ εἰς ν λήγοντα ῥήματα οὐ θέλουσιν ἔχειν τί ποτε πρὸ τοῦ ν ἀνεκφώνητον, οἷον ἐβόων, ἐγέλων, ἐπέρων, βοᾶν, γελᾶν, περᾶν· τὸ δὲ ἦν ἐκεῖνος δευτέρου ἀορίστου ἐστὶν ἀπὸ τῶν εἰς ω· ἀπὸ

[d] ἠ οἰλεῖν καὶ δαίμονι ναιεταῶσιν ms. Par. τοιοῦτοι εἰσὶν οἱ λακεδαίμον ναιεταῶσιν Bar.

γὰρ τοῦ ἔω, τοῦ σημαίνοντος τὸ ὑπάρχω, γέγονε ὁ δεύτερος ἀόριστος ἦν ἦες ἦε, καὶ κατὰ προσθήκην τοῦ Ν ἦεν, (τὸ γὰρ Ε ἐφελκυστικόν ἐστι τοῦ Ν, οἷον ἔτυπτε ἔτυπτεν, ἔλεγε ἔλεγεν,) καὶ κατὰ κρᾶσιν τοῦ Η καὶ Ε εἰς Η γέγονεν ἦν· ὅτι γὰρ δεύτερος ἀόριστός ἐστι, δηλοῖ ἡ μετοχὴ, ἐὼν, οὖσα, ὀξύτονον γάρ· αἱ γὰρ εἰς ΩΝ ὀξύτονοι μετοχαὶ δευτέρου ἀορίστου εἰσὶν, οἷον τυπὼν φαγὼν δραμὼν λαθὼν δακὼν πιών.

Ἰστέον δὲ ὅτι καλῶς προστιθέασιν οἱ " κατὰ τὸν αὐτὸν χρόνον, καὶ τὰ ἀπὸ τοῦ αὐτοῦ θέματος." Τὸ γὰρ ἦν ἐγὼ καὶ ἦν ἐκεῖνος οὐκ εἰσὶ κατὰ τὴν αὐτὴν διάλεκτον· τὸ μὲν γὰρ ἦν ἐγὼ Ἀττικόν ἐστι, τὸ δὲ ἦν ἐκεῖνος κοινόν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτε εἴ τις ταῦτα ἀκριβῶς σκοπήσει, εὑρήσει τὸ τρίτον τῷ πρώτῳ ὁμοφωνοῦν κατὰ τὸν αὐτὸν ἀριθμὸν, καὶ κατὰ τὴν αὐτὴν διάλεκτον, καὶ κατὰ τὸν αὐτὸν χρόνον, καὶ ἀπὸ τοῦ αὐτοῦ θέματος· οἷον τὸ ᾔδειν ὑπερσυντελικὸς διαλεκτοῦ Ἰωνικῆς εἰς Ε καὶ Α, καὶ γίνεται ᾔδεα τοῦ Ν ἀποβληθέντος, διότι τὸ Α ἀποβλητικόν ἐστι τοῦ Ν, οἷον ἦν, ἔα, [Il. ε΄. 887.]

[e]ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι.

Ξέρξην Ξέρξεα, Πολυδέκτην Πολυδέκτεα· τὸ γὰρ μοῦσα μούσης ἀπὸ κλίσεως ἔχει τὸ Ν, καὶ οὐκ ἔστι κατὰ πάθος, ὥσπερ τὰ ἄλλα· ἐκ τοῦ ἐναντίου δὲ τὸ Ε ἐφελκυστικὸν γίνεται τοῦ Ν, οἷον ἔτυπτε ἔτυπτεν· καὶ τὸ δεύτερον δὲ πρόσωπον τὸ ᾔδεις, καὶ τὸ τρίτον τὸ ᾔδει διαλύεται εἰς δύο ΕΕ, καὶ γίνεται ᾔδεε· ὤφειλε δὲ καὶ ἐν τῷ πρώτῳ προσώπῳ εἰς δύο ΕΕ διαλυθῆναι ἡ ΕΙ δίφθογγος, ἐπειδὴ οἱ Ἴωνες τὴν ΕΙ δίφθογγον εἰς δύο ΕΕ διαλύουσι, ὡς ἐν τῷ εἴργω ἐέργω, ἀλλὰ διὰ τοῦτο οἱ Ἴωνες ἐν τῷ πρώτω προσώπῳ τὴν ΕΙ δίφθογγον εἰς ΕΑ διαλύουσιν, οἷον ᾔδειν ᾔδεα, ἐπειδὴ τὸ Ε οὐκ ἔστι χαρακτηριστικὸν τοῦ πρώτου προσώπου τῶν ἑνικῶν, τὸ δὲ [f]Α ναὶ, οἷον τέτυφα ἔτυψα· τούτου χάριν ἐν τῷ πρώτῳ προσώπῳ

[e] ἤ κε ζωσαμ. ἔα χάλκοιο τύποισι. ms Par. ἦκε ζῶσ ἀμενηνὸς ἔσ χαλκοτυπῆσι Bar.
[f] ᾱ ναῒ Bar. vid. p. 563, 25.

250 a τὴν ει δίφθογγον εἰς τὸ ε καὶ α διαλύουσιν· ἐν δὲ τῷ δευτέρῳ καὶ τρίτῳ εἰς δύο εε, ἐπειδὴ τὸ ε χαρακτηριστικὸν εὑρίσκεται καὶ δευτέρου καὶ τρίτου προσώπου τῶν ἑνικῶν, οἷον ἔτυπτες ἔτυπτε, ἔλεγες ἔλεγε· εἶτα οἱ Ἀθηναῖοι ἐν τῷ πρώτῳ προσώπῳ τῷ ἤδεα τὸ ε καὶ α εἰς η συναιροῦσι, καὶ γίνεται ἤδη ἐγὼ, ὥσπερ Εὐριπίδης ἐν Ἱππολύτῳ [405.]

τὸ δὲ ἔργον ἤδη τὴν νόσον τε δυσκλεᾶ·

ἀντὶ τοῦ, τὸ δὲ ἔργον ἐπιστάμην· καὶ πάλιν ἐν τῷ τρίτῳ τῷ ἤδεε τὰ δύο εε εἰς τὸ η συναιροῦσι, καὶ γίνεται ἤδη ἐκεῖνος, οἷον ὡς παρὰ τῷ ποιητῇ [Il. α΄. 70.]

ὃς ἤδη τά τ' ἐόντα, τά τ' ἐσόμενα, πρό τ' ἐόντα,

καὶ ἰδοὺ εὑρίσκεται τὸ τρίτον τῷ πρώτῳ ὁμοφωνοῦν κατὰ τὸν αὐτὸν ἀριθμόν· ἀμφότερα γὰρ ἑνικά εἰσι, καὶ κατὰ τὴν αὐτὴν διάλεκτον, ἀμφότερα γὰρ Ἀττικά εἰσι, καὶ κατὰ τὸν αὐτὸν χρόνον· ἀμφότερα γὰρ ἀπὸ τοῦ εἴδω γεγόνασι τοῦτον τὸν τρόπον· ἔστιν εἴδω· τούτου ὁ μέσος παρακείμενος εἶδα ὤφειλεν εἶναι, τῆς ει διφθόγγου φυλαττομένου, ὥσπερ εἰκονίζω εἰκόνικα, ἀλλ' ἐτράπη τὸ ε εἰς τὸ ο Αἰολικῶς, καὶ γέγονεν οἶδα, ὥσπερ ὄνειρος ὄνοιρος· τούτου χάριν ὁ ὑπερσυντελικός ἐστιν εἴδειν διὰ τῆς ει διφθόγγου καὶ οὐ διὰ τῆς οι· ἐν δὲ τῷ παρακειμένῳ οἱ Αἰολεῖς ἐποιήσαντο τὴν τροπήν· τούτου τοῦ εἴδειν τὸ ε τὸ ἐν τῇ ἀρχούσῃ Ἀττικῶς ἐξετάθη εἰς τὸ η, ὡς ἐν τῷ ἔμελλον ἤμελλον, καὶ ἐβουλόμην ἠβουλόμην, ἐδυνάμην ἠδυνάμην, εἰκάζω ᾔκαζον, καὶ ἔμεινε τὸ ι προσγεγραμμένον τῷ η, καὶ ἐγένετο ᾔδειν, διὰ τοῦ η καὶ ι· τούτου τὸ δεύτερον ᾔδεις, τὸ τρίτον ᾔδει· ταῦτα Ἰωνικῶς διαλύεται, ὡς ἐμάθομεν ἀνωτέρω, καὶ Ἀττικῶς [g]κιρνῶνται, καὶ ἀποτελεῖται τὸ ἤδη ἐγὼ, καὶ ἤδη ἐκεῖνος. Τί οὖν ἔχομεν εἰπεῖν περὶ τούτων; Ἔστιν εἰπεῖν ὅτι τῇ ἀληθείᾳ τὸ ἤδη ἐγὼ καὶ ἤδη ἐκεῖνος οὐκ εἰσὶ κατὰ τὴν αὐτὴν διάλεκτον· ἡ γὰρ τοιαύτη κρᾶσις, ἡ διὰ τοῦ η ἡ κατὰ τὸ πρῶτον πρόσωπον γινομένη, τῆς παλαιᾶς μόνης Ἀτθίδος ἐστὶν ἰδίωμα, [h]οἷον ᾐστήκειν ἐγὼ, ᾐστήκειν ἐκεῖνος, ἐπεποίθη ἐγὼ, ἐπεποίθη

[g] κλίνονται Bar.

[h] οἷον—ἰδίωμα om. Bar.

ἐκεῖνος, ἐγεγράφη ἐγὼ, ἡ δὲ κατὰ τὸ τρίτον πρόσωπον τῆς νέας Ἀτθίδος ἐστὶν ἰδίωμα, οἷον εἱστήκει ἐκεῖνος, ἐπεποιήκη ἐκεῖνος· ἐν τῷ μὲν πρώτῳ προσώπω μόνῳ οἱ τῆς παλαιᾶς Ἀτθίδος κέχρηνται, ἐν δὲ τῷ τρίτῳ μόνοι οἱ τῆς νέας Ἀτθίδος· τὸ οὖν ᾔδη ἐγὼ τῆς παλαιᾶς Ἀτθίδος ἐστὶ, τὸ δὲ ᾔδη ἐκεῖνος τῆς νέας Ἀτθίδος ἐστὶν, ὥστε οὖν οὐκ ἔστι κατὰ τὴν αὐτὴν διάλεκτον τὸ ᾔδη ἐγὼ καὶ ᾔδη ἐκεῖνος. Ἐπειδὴ δὲ εὑρίσκομεν παρὰ τῷ ποιητῇ χρήσεις τοῦ τρίτου προσώπου, λέγω δὴ ᾔδη ἐκεῖνος, οἷον [Il. α΄. 70.]

ὃς ᾔδη τά τ' ἐόντα, τά τ' ἐσόμενα, πρό τ' ἐόντα,

καὶ πάλιν [Il. β΄. 38.]

νήπιος οὐδὲ τὰ ᾔδη ἅ ῥα Ζεὺς μήδετο ἔργα·

[i]ὄντος δὲ τοῦ ποιητοῦ τῆς παλαιᾶς Ἀτθίδος, λέγομεν ὅτι Ἀριστάρχειον ἐστὶ τὸ ἁμάρτημα· ὁ γὰρ Ἀρίσταρχος εἰδὼς τοῦτο τὸ ἰδίωμα τῆς νέας Ἀτθίδος ὑπάρχον, λέγω δὴ τοῦ τρίτου προσώπου, οὐκ ὤφειλεν ἐᾶσαι αὐτὸ παρὰ τῷ ποιητῇ ὄντι τῆς παλαιᾶς Ἀτθίδος· ὡς εἴρηται γὰρ, ὅτι ἡ μὲν παλαιὰ Ἀτθὶς κέχρηται τῷ α μόνῳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες, διὰ τί ἐν τῷ τέτυφε καὶ ἔτυψε τρίτῳ προσώπῳ τὸ α εἰς τὸ ε ἐτράπη, καὶ μὴ ἐγένετο τὸ τρίτον πρόσωπον διὰ τοῦ α μακροῦ, ἵνα τὸ μὲν α΄ διὰ τοῦ α βραχέος ἐκφέρηται, τὸ δὲ γ΄ διὰ τοῦ α μακροῦ; Ἔστιν οὖν εἰπεῖν ὅτι οὐκ ἠδύνατο ὅλως τὸ τρίτον διὰ τοῦ α εἶναι, ἐπειδὴ οὐκ ἔστι τὸ α χαρακτηριστικὸν τῶν τριῶν προσώπων
250 b (τοῦ γ΄ προσώπου) τῶν ἑνικῶν· τὸ δὲ ε, [k]ναὶ, οἷον ἔτυπτε ἔλεγε· τὸ γὰρ ἐβόα ἀπὸ τοῦ ἐβόαε γέγονε κατὰ κρᾶσιν τοῦ α καὶ ε εἰς α δηλονότι μακρὸν, ὥσπερ τὰ ἐμὰ τἀμά· τὸ δὲ [Il. ε΄. 376.]

οὖτά με Τυδέος υἱὸς ὑπέρθυμος Διομήδης,

ἀπὸ τοῦ οὔτασε γέγονε κατὰ ἀποκοπήν· ἐπεὶ οὖν τὸ α οὐκ ἔστι χαρακτηριστικὸν τῶν τρίτων προσώπων (τοῦ γ΄ προσώπου) τῶν ἑνικῶν, τὸ δὲ ε [l]ναὶ, καὶ εἰκότως ἡ τροπὴ γέγονε τοῦ α εἰς τὸ ε κατὰ τὸ τρίτον πρόσωπον. Εἰ δέ τις εἴποι, διὰ τί γὰρ μὴ εἰς τὸ η γέγονεν ἡ τροπὴ τοῦ α κατὰ τὸ τρίτον πρόσωπον,

[i] ὄντος δὲ] δὲ ὄντως Bar. [k] ναὶ Bar. [l] ναὶ Bar.

εἴ γε εὑρίσκομεν τὸ η χαρακτηριστικὸν τοῦ τρίτου προσώπου ἑνικῶν, οἷον ἐτύφθη ἐνύγη ἐδάρη; Λέγομεν, ὅτι οὐκ ἠδύνατο εἰς τὸ η γενέσθαι ἡ τροπὴ τοῦ α κατὰ τρίτον πρόσωπον, ἐπειδὴ πᾶν τρίτον πρόσωπον εἰς η λῆγον προσθέσει τοῦ σ τὸ δεύτερον ποιεῖ, καὶ τροπῇ τοῦ σ εἰς ν ποιεῖ τὸ πρῶτον, οἷον ἐτύφθη ἐτύφθης ἐτύφθην, ἐδάρη ἐδάρης ἐδάρην, ἐνύγη ἐνύγης ἐνύγην· εἰ οὖν ἦν τετύφη διὰ τοῦ η τὸ τρίτον, ἠναγκάζετο καὶ τὸ δεύτερον τετύφη εἶναι διὰ τοῦ η, ἀλλὰ μὴν οὔτε τὸ πρῶτον, οὔτε τὸ δεύτερόν ἐστι διὰ τοῦ η, (τέτυφα γὰρ καὶ τέτυφας ἐστὶ δηλονότι,) οὐ δύναται τὸ τρίτον εἰς η καταλήγειν.

"Δυϊκά. Τετύφατον, τετύφατον."

Ἰστέον δὲ ὅτι τὸ μὲν πρῶτον τῶν δυϊκῶν ἐπιλιμπάνει ἐνταῦθα, ἐπειδὴ τὸ πρῶτον τῶν πληθυντικῶν τὸ μ ἔχει ἐπὶ τῆς τελευταίας συλλαβῆς, τετύφαμεν γάρ ἐστι· τὸ δὲ δεύτερον τῶν δυϊκῶν γέγονεν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν τροπῇ τοῦ ε εἰς ον, τετύφατε τετύφατον· τὸ δὲ τρίτον τῶν δυϊκῶν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν εἰς σι λήγει, τετύφασι γάρ.

"Τὰ πληθυντικά. Τετύφαμεν." Ἰστέον ὅτι τὰ εἰς α λήγοντα ἑνικὰ, δηλονότι πρῶτα πρόσωπα, προσθέσει τῆς μεν πληθυντικὰ γίνεται, οἷον τέτυφα τετύφαμεν, ἐποίησα ἐποιήσαμεν, πεποίηκα πεποιήκαμεν, ἔτυψα ἐτύψαμεν, ἔγραψα ἐγράψαμεν. Δεῖ προσθεῖναι, χωρὶς τῶν Ἰωνικῶν διαλυομένων· τοῦτο δὲ πρόσκειται, ἐπειδὴ τὸ εἱστήκειν οἱ Ἴωνες εἱστήκεα λέγουσι, καὶ ἐτετύφειν ἐτετύφεα, καὶ οὐ ποιοῦσι τὸ πρῶτον τῶν πληθυντικῶν προσθέσει τῆς μεν· οὐδὲ γὰρ λέγουσιν εἱστηκέαμεν καὶ ἐτετυφέαμεν, ἀλλ' εἱστήκειμεν καὶ ἐτετύφειμεν, μόνον τὸ ἦν ἐγὼ διαλυθὲν Ἰωνικῶς καὶ γενόμενον ἔα,

ἤ [m]κε ζὼς ἀμενηνὸς ἔα,

εὕρηται προσθέσει τῆς μεν ποιῆσαν τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, οἷον ἔαμεν. Δεῖ προσθεῖναι, καὶ χωρὶς τῶν Αἰολικῶν εὐκτικῶν· τοῦτο δὲ πρόσκειται, ἐπειδὴ οἱ Αἰολεῖς

[m] εἰ κ̄ ζωσαμ. ὃς ἔα ms. Par. ἦκεν ζωὴ α. ε. Bar.

προσθέσει τῆς ΜΕΝ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιοῦσιν· οὐδὲ γὰρ λέγουσι τυψείαμεν, ἀλλὰ τύψειμεν.

"Τετύφατε." Εἴρηται ὅτι τὰ εἰς ΜΕΝ πληθυντικὰ τροπῇ τῆς ΜΕΝ εἴς ΤΕ τὸ δεύτερον ποιοῦσι πρόσωπον, τὴν δὲ παραλήγουσαν οὐκ ἔτρεψαν, ἐπειδὴ ἔχει τὴν μετοχὴν εἰς Σ, τετυφὼς γάρ ἐστιν ἡ μετοχή.

"Τετύφασι." Εἴρηται μὲν διὰ τί ἰσοσυλλαβεῖ τῷ ἰδίῳ πρώτῳ, φημὶ δὲ τῷ τετύφαμεν πρώτῳ προσώπῳ πληθυντικῷ, ἐπειδὴ ἔχει τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως· τετυφὼς γάρ ἐστιν ἡ μετοχή· εἰς ΣΙ δὲ λήγει μιμούμενος τὸν ἐνεστῶτα ὁ παρακείμενος· καὶ αὐτὸς γὰρ παρὰ πολλοῖς ἐνεστὼς συντελικὸς ὀνομάζεται, ἤγουν ἐνεστὼς πεπληρωμένος· ὁ μὲν γὰρ ἐνεστὼς γινόμενον ἄρτι τὸ πρᾶγμα δηλοῖ, οἷον τύπτω,
251 a γράφω· ὁ δὲ παρακείμενος τετελεσμένον ἄρτι τὸ πρᾶγμα δηλοῖ, οἱονεὶ ἄρτι πληρωθὲν, τέτυφα γέγραφα· καὶ λοιπὸν ὥσπερ ὁ ἐνεστὼς εἰς ΣΙ ἔχει τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν καταλῆγον, τύπτουσι γράφουσι, καὶ διὰ τὶ, ἐν τῇ περὶ τούτων διδασκαλίᾳ μεμαθήκαμεν, ὅτι πρὸς τὴν γενικὴν τῶν πληθυντικῶν τῆς ἰδίας μετοχῆς, τὸν αὐτὸν τρόπον καὶ ὁ παρακείμενος, ἅτε δὴ παρὰ πολλοῖς ἐνεστὼς συντελικός ἐστιν ἤγουν πεπληρωμένος ὀνομαζόμενος, εἰς ΣΙ ἔχει τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν καταλῆγον, οἷον τετύφασι, γεγράφασι. Κανονίζεται δὲ ἐνταῦθα τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἀπὸ τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τροπῇ τῆς ΜΕΝ εἰς ΣΙ, οἷον τετύφαμεν τετύφασι, πεποιήκαμεν πεποιήκασι, γεγράφαμεν γεγράφασι, τῆς παραληγούσης ἐν τῷ τρίτῳ προσώπῳ τῶν πληθυντικῶν ἐκταθείσης. Ἰστέον γὰρ ὅτι ὁ παρακείμενος πανταχοῦ συνεσταλμένον ἔχει τὸ Α, οἷον τέτυφα τέτυφας τετύφατον τετυφάμεν τετύφατε, ἐν δὲ τῷ τρίτῳ προσώπῳ τῶν πληθυντικῶν ἐκτεταμένον αὐτὸ ἔχει, οἷον τετύφασιν, ἐπειδὴ καθόλου τὰ εἰς ΣΙ λήγοντα ῥήματα μακρᾷ θέλουσι παραλήγεσθαι, οἷον διδῶσι, ζευγνῦσι, ἔσσι [Il. α'. 176.]

ἔχθιστος δέ μοι ἔσσι·

οὕτως οὖν καὶ τετύφασι, καὶ πεποιήκασι, καὶ γεγράφασι δι'

ἐκτεταμένου τοῦ α. Ἰστέον δὲ ὅτι πολλάκις ἐπὶ τούτων οἱ ποιηταὶ συστολὰς ἐποιήσαντο, αἷς οὐ δεῖ χρήσασθαι, (ὡς) Ὅμηρος, [Od. λ'. 303.]

τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσιν.

Ξενοφάνης

ἐξ ἀρχῆς καθ' Ὅμηρον, ἐπεὶ μεμαθήκασι πάντες,

καὶ πάλιν ὁ αὐτὸς

ὁππόσα δὴ θνητοῖσι [n] πεφήνασιν εἰσοράασθαι,

Ἀντίμαχος,

οἱ δὲ πάροιθε πόνοιο νενεύκασιν ἄλλος ἐπ' ἄλλῳ.

Ταῦτα δὲ πάντα παραλόγως συνέστειλεν ἡ τῶν μέτρων ἀνάγκη. Ἐν οἷς ἡ πρᾶξις.

Περὶ Ἀττικοῦ παρακειμένου.

"Ὅτε τὸ ῥῆμα ἄρχεται ἀπὸ τοῦ α ἢ ε ἢ ο, τότε ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον." Ἰστέον ὅτι οὐ μόνον ἐνεργητικὸν ἴδιον παρακείμενον ποιοῦσι, ἀλλὰ καὶ μέσον, ὡς ἐπὶ τοῦ ὀμώμοκα καὶ ἐγήγερκα ὄλωλα ὄπωπα ὄρωρα ὄδωδα· τούτων δὲ οἱ κοινοὶ μέσοι φημὶ δὴ τοῦ ὄλωλα καὶ τῶν λοιπῶν οὐχ εὑρίσκονται ἐν χρήσει, οἷον, ὁ ὦπα, ὁ ὦλα, ὁ ὦδα· καὶ παθητικὸν δὲ ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον, ὡς ἐπὶ τοῦ ἀλήλιμμαι καὶ ἐγήγερμαι. Ποιοῦσι δὲ αὐτὸν οἱ Ἀττικοὶ οὕτως· τὰ β' γράμματα τὰ ἀρκτικὰ τοῦ ἐνεστῶτος προστιθέασι τῷ κοινῷ παρακειμένῳ, καὶ τὴν τρίτην συλλαβὴν ἀπὸ τῆς ἀρχούσης συστέλλουσι, καὶ ποιοῦσιν ἴδιον παρακείμενον, οἷόν ἐστιν ἀλείφω, ἤλειφα ὁ κοινὸς, καὶ ἀλήλιφα ὁ Ἀττικὸς, τῶν β' γραμμάτων τῶν ἀρκτικῶν τοῦ ἐνεστῶτος προστιθεμένων τῷ κοινῷ παρακειμένῳ, φημὶ δὲ τὸ α καὶ τὸ λ, καὶ τῆς τρίτης ἀπ' ἀρχῆς συλλαβῆς συστελλομένης· καὶ πάλιν, ἐλεύθω ἤλευθα ὁ κοινὸς καὶ ἐλήλυθα ὁ Ἀττικὸς, ἀκούω ἤκουα ὁ κοινὸς, καὶ ἀκήκοα ὁ Ἀττικὸς, ἐρωτῶ ἠρώτηκα ὁ κοινὸς καὶ ἐρηρότηκα ὁ Ἀττικὸς διὰ τοῦ ο μικροῦ, τῆς τρίτης ἀπ' ἀρχῆς συσταλείσης· ὀμῶ ὤμοκα ὁ κοινὸς, καὶ ὀμώμοκα ὁ

[n] πεφήνασθ' Bar. πεφύκασιν Par. Vid. Draco de Metr. p. 33. Cramer. An. III. p. 296.

Ἀττικός· τὴν δὲ γ′ συλλαβὴν ἐνταῦθα οὐ συστέλλουσι, ἐπειδὴ βραχεῖά ἐστιν· βραχεῖα δὲ οὖσα οὐκ ἐδύνατο βραχυτέρα γενέσθαι. Καὶ πάλιν, ἀγοράζω ἠγόρακα ὁ κοινὸς, καὶ ἀγηγόρακα ὁ Ἀττικός· ἐνέγκω ἤνεχα ὁ κοινὸς, καὶ ἐνήνεχα ὁ Ἀττικὸς, καὶ κατὰ τροπὴν τοῦ ε εἰς ο ἐνήνοχα· ὀλῶ ὀλέσω ὤλεκα καὶ ὀλώλεκα, ὀλῶ ὦλα καὶ ὄλωλα, ὀμῶ ὦμα καὶ ὄμωμα, ὀρῶ ὦρα καὶ ὄρωρα· (τὸ γὰρ

ὑπώρορε μοῦσα λιγεῖα

διὰ τὸ μέτρον ὑπερβιβασμὸν ἀνεδέξατο·) ὀπτῶ ὦπα καὶ ὄπωπα, ὄδω, ἀντὶ τοῦ ὄζω, ὦδα καὶ ὄδωδα, ἢ ἀπὸ τοῦ ὄζω γέγονεν ὦδα, ὥσπερ ἀπὸ τοῦ φράζω φράσω πέφραδα ὄζω ὄσω ὦδα, χέζω χέσω κέχοδα, καὶ τῶν β′ γραμμάτων τῶν ἀρκτικῶν τοῦ ἐνεστῶτος προστιθεμένων, φημὶ δὴ τοῦ ο καὶ τοῦ ζ, οἷον ὄζωδα, καὶ ἐπειδὴ θέλει ὁ Ἀττικὸς παρακείμενος ἔχειν ὡς ἐφεξῆς μαθησόμεθα ἐν τῇ β′ καὶ γ′ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, οἷον, ἀλήλιφα, ἐλήλυθα, ἀκήκοα, τούτου χάριν τροπὴ παρηκολούθησε τοῦ ζ εἰς δ, καὶ γέγονεν ὄδωδα. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἡνίκα λέγομεν ὅτι τὰ β′ γράμματα τὰ ἀρκτικὰ τοῦ ἐνεστῶτος προστιθέασι τῷ κοινῷ παρακειμένῳ καὶ τὴν γ′ συλλαβὴν συστέλλουσι, δεῖ τὸ μὲν πρῶτον νοῆσαι φωνῆεν, τουτέστι, ἢ τὸ α ἢ τὸ ε ἢ τὸ ο· τὸ δὲ β′ σύμφωνον ἀρκτικὸν τῆς β′ συλλαβῆς, οἷον ἀλείφω ἤλειφα ὁ κοινὸς, καὶ ἀλήλιφα ὁ Ἀττικὸς, ἐλεύθω ἤλυθα καὶ ἐλήλυθα, ὀμῶ ὤμοκα καὶ ὀμώμοκα· ἐὰν γὰρ μὴ ἔχῃ σύμφωνον ἐπιφερόμενον, οὐ ποιοῦσιν Ἀττικὸν παρακείμενον, ὡς ἐπὶ τοῦ ἀείρω, καὶ τοῦ ἑορτάζω, καὶ τοῦ ἀερτάζω, ὃ σημαίνει τὸ βαστάζω· ταῦτα γὰρ ἐπειδὴ οὐκ ἔχουσι σύμφωνον ἐπιφερόμενον οὐ ποιοῦσιν Ἀττικὸν παρακείμενον· κἂν ἔχῃ δὲ σύμφωνον ἐπιφερόμενον, μὴ εὑρεθῇ δὲ αὐτὸ τὸ σύμφωνον ἀρκτικὸν τῆς β′ συλλαβῆς, οὐ ποιεῖ Ἀττικὸν παρακείμενον· ἰδοὺ γὰρ τὸ ἁρμενίζω, ἐπειδὴ τὸ σύμφωνον οὐκ ἔχει ἀρκτικὸν τῆς β′ συλλαβῆς, οὐ ποιεῖ Ἀττικὸν παρακείμενον· τὸ γὰρ ρ ληκτικόν ἐστι τῆς προηγουμένης συλλαβῆς.

Ἀποροῦσι δέ τινες, λέγοντες, διὰ ποίαν αἰτίαν, ὅτε μὲν ἄρχεται τὸ ῥῆμα ἀπὸ τοῦ α ἢ ε ἢ ο ποιοῦσιν οἱ Ἀττικοὶ

ἴδιον παρακείμενον, ὅτε δὲ ἀπὸ τοῦ η ἢ ι ἢ ω ἢ υ ἄρχεται οὐ ποιοῦσι; Καὶ ἔστιν εἰπεῖν τὰς αἰτίας ταύτας· ὅτι οὐ θέλει ἀπὸ μακρᾶς ἄρχεσθαι ὁ 'Αττικὸς παρακείμενος, οἷον ἐλήλυθα ἀλήλιφα, ὀμώμοκα, ἐγήγερκα, ὀλώλεκα, ὅθεν ἀπὸ τοῦ ἀριστῶ οὐ γίνεται 'Αττικὸς παρακείμενος, ἐπειδὴ ἀπὸ τῆς μακρᾶς ἄρχεται, μακρὸν γάρ ἔχει τὸ α. Διὰ τοῦτο οὖν οὔτε τὰ ἀπὸ τοῦ η οὔτε ἀπὸ τοῦ ω ἀρχόμενα ποιοῦσιν 'Αττικὸν παρακείμενον, ἵνα μὴ εὑρεθῇ ἀπὸ μακρᾶς ἀρχόμενος ὁ παρακείμενος. Καὶ αὕτη μὲν ἡ λύσις μόνοις ἁρμόζει τοῖς ἀπὸ τοῦ η καὶ ω ἀρχομένοις· ἔστι δὲ εἰπεῖν ἑτέραν λύσιν ἁρμόζουσαν οὐ μόνον τοῖς ἀπὸ τοῦ η καὶ ω ἀρχομένοις, ἀλλὰ καὶ τοῖς ἀπὸ τοῦ ι καὶ υ ἀρχομένοις. Ἔχει δὲ οὕτως· ὁ 'Αττικὸς παρακείμενος οὐ θέλει ἔχειν ἐν τῇ α΄ καὶ β΄ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον, ἤγουν τὸ αὐτὸ φωνῆεν· οἷον, ἀλήλιφα, ἐλήλυθα, ὀμώμοκα, ὀλώλεκα. Διὰ τοῦτο οὖν τὰ ἀπὸ τοῦ ι υ ω ἀρχόμενα ῥήματα οὐ ποιοῦσιν 'Αττικὸν παρακείμενον, ἵνα μὴ εὑρεθῇ ἐν τῇ α΄ καὶ β΄ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον, οἷον, ἱκετεύω ἱκέτευκα, ὑλακτῶ ὑλάκτηκα, ἡβῶ ἥβηκα, ὠθῶ ὤθηκα. 'Εὰν οὖν γένηται ἐπὶ τούτων ὁ 'Αττικὸς παρακείμενος, μέλλων εἶναι ἱκικέτευκα, ὑλυλάκτηκα, ἡβήβηκα, ὠθώθωκα, καὶ λοιπὸν εὑρίσκεται ἐν τῇ α΄ καὶ β΄ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον, ὅπερ ἔστιν ἀδύνατον. Τὰ γὰρ ἀπὸ τοῦ α ἢ ε ἢ ο ἀρχόμενα ῥήματα εὐλόγως ποιοῦσιν 'Αττικὸν παρακείμενον, ἐπειδὴ ταῦτα τρέπονται ἐν τοῖς παρῳχημένοις ὡς ἔχοντα ἀντίστοιχα εἰς ἃ ὤφειλε τραπῆναι· καὶ οὐχ εὑρίσκεται λοιπὸν ἐν τῇ α΄ καὶ β΄ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον, οἷον, ἀλείφω ἤλειφα καὶ ἀλήλιφα, ἐλεύθω ἤλευθα καὶ ἐλήλυθα, ὀμῶ ὤμοκα καὶ ὀμώμοκα. Τὸ γὰρ η καὶ ω καὶ ι καὶ υ ἄτρεπτα φυλάττονται ἐν τοῖς παρῳχημένοις, ὡς ἐν τῷ παρατατικῷ μεμαθήκαμεν, ὡς μὴ ἔχοντα τὰ ἀντίστοιχα εἰς ἃ ὤφειλον τραπῆναι. Σεσημείωται τὸ ὑφύφασται, ὅτι ἀπὸ τοῦ υ ἀρχομένου τοῦ ἐνεστῶτος ἐγένετο 'Αττικὸς παρακείμενος· γέγονε δὲ τοῦτον τὸν τρόπον· ἔστιν ὑφάζω ὑφάσω ὕφακα ὕφασμαι ὕφασται καὶ ὑφύφασται 'Αττικῶς· ἢ ὑφαίνω ὕφαγκα ὕφασμαι καὶ ὑφύφασμαι 'Αττικῶς· ὥσπερ μεμο-

λυμαι καὶ μεμόλυσμαι καὶ μεμίαμμαι καὶ μεμίασμαι, καὶ ἐκεῖθεν ὕφασται καὶ ὑφύφασται ὁ Ἀττικὸς παρακείμενος. Καὶ ἐπειδή, ὥσπερ εἴρηται, οὐ θέλει ὁ Ἀττικὸς παρακείμενος ἔχειν ἐν τῇ α΄ καὶ β΄ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον, οἷον ἀλήλιφα καὶ ἐλήλυθα καὶ ὀμώμοκα, τούτου χάριν καὶ τροπὴ παρηκολούθησε τοῦ υ εἰς τὸ η, καὶ γέγονεν ὑφήφασται. Εὐλόγως δὲ τρέπεται τὸ υ εἰς τὸ η ἐνταῦθα, ἐπειδὴ πολλάκις τὸ η εἰς τὸ υ τρέπεται, οἷον ἅλμη ἁλμύρος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι σεσημείωται τὸ ἀλαλύκτημαι, (σημαίνει δὲ τὸ ἐν ἄλῃ, ἤγουν ἐν πλάνῃ, ὑπάρχω,) καὶ τὸ ἀλάλημαι, (σημαίνει δὲ τὸ πεπλάνημαι,) καὶ τὸ ἀράροται, (σημαίνει δὲ τὸ ἠροτρίαται,) καὶ τὸ ἄραρα, (σημαίνει δὲ τὸ ἥρμοσται,) καὶ κέκριται ὅτι ταῦτα ἔχουσι ἐν τῇ α΄ καὶ β΄ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον. Περὶ ὧν ἔστιν εἰπεῖν ὅτι πεπονθότα εἰσίν· ἔστιν ἀλυκτῶ ἀλυκτήσω ἠλύκτηκα καὶ ἠλύκτημαι καὶ ἀληλύκτημαι ὁ Ἀττικὸς, καὶ κατὰ συστολὴν τοῦ η εἰς τὸ α ἀλαλύκτηκα ἀλαλύκτημαι· καὶ πάλιν ἀλῶ ἀλήσω ἤληκα ἀλήληκα καὶ ἀλήλημαι ὁ Ἀττικὸς καὶ κατὰ συστολὴν τοῦ η εἰς α ἀλάλημαι. Παραλόγως δὲ ἔστιν ἡ τρίτη ἀπ᾽ ἀρχῆς συλλαβὴ μακρὰ οὖσα. Ταῦτα δέ τινες Αἰολικὰ ἀπὸ τῶν εἰς μι θέλουσι λέγειν· λέγουσι γὰρ ὅτι ὥσπερ ἀπὸ τοῦ φιλῶ φίλημι Αἰολικῶς καὶ φίλημαι παθητικὸν, οὕτως καὶ ἀπὸ τοῦ ἀλυκτῶ καὶ ἀλῶ γίνεται ἀλύκτημι καὶ ἄλημι Αἰολικῶς καὶ ἀλύκτημαι καὶ ἄλημαι τὰ παθητικὰ καὶ κατὰ ἀναδιπλασιασμὸν ἀλαλύκτημαι καὶ ἀλάλημαι. Τὸ δὲ ἀράροται γέγονε τοῦτον τὸν τρόπον· ἔστιν ἀρῶ ἀρόσω ἤροκα ἤρομαι ἤροται, καὶ Ἀττικῶς ἀρήροται, καὶ κατὰ τροπὴν Δωρικὴν τοῦ η εἰς α μακρὸν ἀράροται· καὶ πάλιν ἐστὶν ἀρῶ, τὸ σημαῖνον τὸ ἁρμόζω, ἦρα, ὁ μέσος παρακείμενος καὶ τὸ Ἀττικὸν ἄρηρα, καὶ κατὰ τροπὴν Δωρικὴν τοῦ η εἰς α μακρὸν ἄραρα καὶ ἄραμαι. Ταῦτα μὲν ἐν τούτοις.

Ἐπειδὴ δὲ ἐν τοῖς προλαβοῦσιν ἐλέγομεν, ὅτι οὐ θέλει ἀπὸ μακρᾶς ἄρχεσθαι ὁ Ἀττικὸς παρακείμενος, οἷον ἐλήλυθα, ἀλήλιφα, ἀκήκοα, ἄξιόν ἐστι ζητῆσαι, διὰ τί ἀπὸ μακρᾶς οὐκ ἄρχεται ὁ Ἀττικὸς παρακείμενος. Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· ἡ ἄρχουσα τοῦ Ἀττικοῦ παρακει-

μένου οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ ἀνεστραμμένος ἀναδιπλασιασμός. Ὁ μὲν γὰρ φυσικὸς ἀναδιπλασιασμὸς τὸ σύμφωνον α' ἔχει τὸ δὲ φωνῆεν β', οἷον τέτυφα πεποίηκα· ἐν δὲ τῷ 'Αττικῷ παρακειμένῳ τὸ ἐναντίον ἐστι. Τὸ μὲν γὰρ φωνῆεν α' ἐστι, τὸ δὲ σύμφωνον β', οἷον ἀλήλιφα, ἐλήλυθα, ὀμώμοκα. 'Επειδὴ οὖν ἡ ἄρχουσα τοῦ 'Αττικοῦ παρακειμένου οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ ἀνεστραμμένος ἀναδιπλασιασμὸς, οὐδέποτε δὲ γίνεται διὰ μακρᾶς ἀναδιπλασιασμὸς, οἷον τέτυφα γέγραφα, (ταῦτα γὰρ ἄφωνον πρὸ ἀμεταβόλου ἔχουσι καὶ τῷ λόγῳ τῆς κοινῆς ἀντὶ βραχείας παραλαμβάνονται,) τούτου χάριν οὔτε ἡ ἄρχουσα τοῦ 'Αττικοῦ παρακειμένου μακρά ἐστιν.

'Εθέλει ὁ 'Αττικὸς παρακείμενος ἔχειν ἐν τῇ β' καὶ γ' συλλαβῇ τὸ αὐτὸ σύμφωνον, οἷον ἀλήλιφα ὀμώμοκα ὄπωπα ὄλωλα ὄρωρα ὄδωδα· ὅθεν καὶ τῷ ἀγή(γ)οχα καὶ τῷ ἐδήδοκα συλλαβὴ ἐπλεόνασεν, ἵνα εὑρεθῶσιν ἐν τῇ β' καὶ γ' συλλαβῇ τὸ αὐτὸ σύμφωνον ἔχειν. Ἔστι γὰρ ἄγω ἄξω ἦχα καὶ ἄγηχα ὁ 'Αττικὸς, τῶν β' γραμμάτων προστιθεμένων τοῦ ἐνεστῶτος τῷ ἀρκτικῷ αὐτῷ, ἐπειδὴ οὐκ ἔμελλεν ἔχειν ἐν τῇ β' καὶ γ' συλλαβῇ τὸ αὐτὸ σύμφωνον, τούτου χάριν ἐπλεόνασε τῇ γο συλλαβῇ, καὶ γίνεται ἀγήγοχα· διὰ τοῦτο δὲ τὸ γ μόνον οὐκ ἐπλεόνασεν καὶ γέγονεν ἄγηγχα, ἐπειδὴ εἰ ἐπλεόνασε τὸ γ' μόνον οὐκ ἔτι εὑρίσκεται ἐν τῇ β' καὶ γ' συλλαβῇ τὸ αὐτὸ σύμφωνον· ἐν γὰρ τῇ β' συλλαβῇ ἔμελλεν εἶναι τὰ β' γγ. Πάλιν ἔδω, τὸ σημαῖνον τὸ ἐσθίω, οὗ ὁ μέσος παρακείμενος ἦδα, καὶ 'Αττικὸς ἔδηδα, ἐξ οὗ τὸ

λέων κατὰ ταῦρον ἐδηδὼς,

τούτου δὲ τοῦ ἔδω ὁ μέλλων ἐστὶν ἔσω, καὶ ὁ ἐνεργητικὸς παρακείμενος ἧκα, ὁ μέσος ἦδα, καὶ 'Αττικὸς ἔδηδα, τῶν δύο γραμμάτων τῶν ἀρκτικῶν τοῦ ἐνεστῶτος προστιθεμένων αὐτῷ· καὶ ἐπειδὴ οὐκ ἔμελλεν ἔχειν ἐν τῇ β' καὶ γ' συλλαβῇ τὸ αὐτὸ σύμφωνον, τούτου χάριν ἐπλεόνασε τῇ δο συλλαβῇ, καὶ γέγονεν ἐδήδοκα.

'Ιστέον δὲ ὅτι τὸ ἐδήδοκα δύναται καὶ ἄλλως κανονισθῆναι· ἔστι γὰρ ἔδω ἐδήσω ἔδηκα καὶ 'Αττικὸς ἐδήδεκα, τῆς γ' ἀπ'

ἀρχῆς συλλαβῆς συσταλείσης, καὶ κατὰ τροπὴν τοῦ ε εἰς τὸ ο ἐδήδοκα, ὥσπερ ἐνέγκω ἐνέγξω ἤνεγχα καὶ ἐνήνεχα καὶ ἐνήνοχα κατὰ τροπὴν τοῦ ε εἰς τὸ ο. Οὐ θέλει ὁ Ἀττικὸς παρακείμενος ἔχειν τὴν γ' συλλαβὴν ἀπ' ἀρχῆς φύσει μακρὰν παρ' αὐτοῖς τοῖς Ἀθηναίοις, ἀλλ' ἢ βραχεῖαν, ὡς τὸ ἀλήλιφα καὶ ἐλήλυθα καὶ ἀκήκοα καὶ ὀμώμοκα καὶ ὀλώλεκα καὶ ἀγήοχα, ἢ θέσει μακρὰν, ὡς τὸ ἐγήγερκα, ἀλήλιμμαι, ἐρήρεισται, (σημαίνει δὲ τὸ ἐρίζειν·) ἐὰν δὲ εὑρεθῇ φύσει μακρὰ ἡ τρίτη ἀπ' ἀρχῆς συλλαβὴ ἡ τοῦ Ἀττικοῦ παρακειμένου, ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου ἐστὶν, ἢ παρὰ ταῖς ἄλλαις διαλέκτοις.

Εἴπωμεν τί ἐστι "ἑτέρου σημαινομένου πρὸς ἀντιδιαστολήν." Ἐστὶν ἐρίζω τὸ σημαῖνον τὸ φιλονεικῶ, ὅπερ διὰ τῆς ι γράφεται, ἔστιν ἐρείδω τὸ σημαῖνον τὸ παρείδομαι,(?) ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ τοῦ ἐρίζω ἐρίσω γίνεται ὁ παρακείμενος ἤρικα, καὶ ὁ Ἀττικὸς ἐρήρικα, καὶ ὁ παθητικὸς ἤρισμαι ἤρισται, καὶ ὁ Ἀττικὸς ἐρήρισται, διὰ τοῦ ι δηλονότι· τὸ γὰρ ἐρίζω διὰ τοῦ ι γράφεται· ἀπὸ δὲ τοῦ ἐρείδω ἐρείσω γίνεται ἤρηκα ὁ παρακείμενος, καὶ ὁ παθητικὸς ἤρεισμαι ἤρεισται, καὶ ὁ Ἀττικὸς ἐρήρεισται, καὶ φυλάττει τὴν ει δίφθογγον πρὸς ἀντιδιαστολὴν τοῦ ἐρήρισται τοῦ ἐπὶ τοῦ φιλονεικεῖν, εἰ καὶ λέγει ὁ Ἀπολλώνιος, ὅτι καὶ αὐτὸ διὰ τοῦ ι γράφεται τὸ ἐπερείδομαι· ἀλλ' οὖν ἡ παράδοσις διὰ τῆς ει διφθόγγου οἶδεν αὐτὸ γεγραμμένον. Πρόσκειται "ἢ παρὰ ταῖς ἄλλαις διαλέκτοις," ἐπειδὴ ὅτε οἱ Δωριεῖς φυλάττουσι τὴν τρίτην ἀπὸ ἀρχῆς συλλαβὴν φύσει μακρὰν, οἷον τοῦ ὁρῶ παρ' αὐτοῖς ὁ μέλλων ὁρήσω, ὁ παρακείμενος ὥρηκα, καὶ ὁ Ἀττικὸς ὀρώρηκα, καὶ φυλάττεται παρὰ τοῖς Δωριεῦσιν ἡ φύσει μακρά· καὶ πάλιν ἀκούω, ἀκούσω, ἤκουκα, καὶ ὁ Ἀττικὸς ἀκήκουκα παρ' αὐτοῖς. Ἰστέον δὲ ὅτι ἐπὶ τοῦ ἀριστεύω ἠρίστευκα οὐ φαίνονται ποιήσαντες οἱ Ἀθηναῖοι Ἀττικὸν παρακείμενον, οἷον ἀρηρίστευκα. Καὶ ἀποροῦσί τινες, λέγοντες, ὅτι εἰ ἐγένετο ἀρηρίστευκα, ἤμελλεν ἡ τρίτη ἀπὸ ἀρχῆς συλλαβὴ μακρὰ εἶναι, ὅπερ ἐστὶν ἄτοπον· εἰ γὰρ ἠθελήσαμεν ποιῆσαι ἀποβολὴν

251 b συμφώνου, ἵνα ἦν ἀρηρίστευκα, παρεφθείρετο ἡ σημασία. Ταῦτα μὲν ἐν τούτοις. Κακῶς δὲ λέγουσιν· ὡς γὰρ ἐμάθομεν, οὐ κωλύεται ἡ τρίτη ἀπὸ ἀρχῆς συλλαβὴ τοῦ Ἀττικοῦ παρακειμένου θέσει μακρὰ εἶναι, οἷον ἐγήγερκα, ἀλήλιμμαι, ἐρήρισμαι· ὥστε οὖν οὐ κατὰ κανόνα κωλύεται ποιῆσαι τὸ ἀριστεύω Ἀττικὸν παρακείμενον, ἀλλ' εἰ ἄρα ἐπιλέλοιπε, κατὰ τύχην ἐπιλέλοιπε. Ταῦτα μὲν περὶ τῆς τρίτης ἀπ' ἀρχῆς συλλαβῆς τοῦ Ἀττικοῦ παρακειμένου, ὅτι καὶ συστέλλεται· ἔλθωμεν δὲ καὶ μάθωμεν πῶς συστέλλεται.

Ἰστέον ὅτι τὸ η εἰς τὸ ε συστέλλεται κατὰ τὴν τρίτην συλλαβὴν τὴν ἀπ' ἀρχῆς τοῦ Ἀττικοῦ παρακειμένου, οἷον ἀλήθω ἀλήσω ἤληκα καὶ ἀλήλεκα ὁ Ἀττικός, καὶ πάλιν ἀπ' ἀρχῆς, ἔδω ἐδήσω ἤδηκα καὶ ἐδήδεκα ὁ Ἀττικός, καὶ κατὰ τροπὴν τοῦ ε εἰς τὸ ο ἐδήδοκα· τινὲς δὲ τοῦτο τρίτης συζυγίας τῶν περισπωμένων βούλονται λέγειν, οἷον ἐδῶ ἐδώσω ἤδωκα καὶ ἐδήδοκα κατὰ συστολὴν τοῦ ω εἰς τὸ ο· τὸ δὲ ω εἰς τὸ ο συστέλλεται, οἷον ἐρωτῶ ἐρωτήσω ἠρώτηκα καὶ ἐρηρότηκα ὁ Ἀττικός, διὰ τοῦ ο· ἡ δὲ ει δίφθογγος καὶ ἡ ευ ἀποβάλλουσι τὸ προτακτικὸν φωνῆεν, τουτέστι τὸ ε· καὶ φυλάττει ἡ μὲν ει δίφθογγος τὸ ι, ἡ δὲ ευ τὸ υ, οἷον ἀλείφω, ἤλειφα καὶ ἀλήλιφα, ἐλεύθω ἤλευθα καὶ ἐλήλυθα, ἡ δὲ ου δίφθογγος τὸ ὑποτακτικὸν ἀποβάλλει, τουτέστι τὸ υ, καὶ φυλάττει τὸ ο, οἷον ἀκούω ἤκουα καὶ ἀκήκοα. Περὶ δὲ τῆς ει διφθόγγου οὐδὲν εἶπεν ὁ Ἀπολλώνιος· λέγομεν δὲ ἡμεῖς τὸ ι ἀποβάλλει καὶ φυλάττει τὸ ο, οἷον ἑτοιμάζω ἡτοίμακα καὶ ἑτοιτόμακα· τοῦτο δὲ πιστούμεθα ἀπὸ διαιρέσεως τοιαύτης· ὥσπερ αἱ δίφθογγοι αἱ μὲν ἔχουσαι τὸ ε τὸ προτακτικὸν φωνῆεν ἀποβάλλουσιν, οἷον ἀλείφω ἀλήλιφα, ἐλεύθω ἤλευθα καὶ ἐλήλυθα, ἡ δὲ ου δίφθογγος τὸ ὑποτακτικὸν ἀποβάλλει, τουτέστι τὸ υ, οἷον ἀκούω ἤκουα ἀκήκοα, τὸν αὐτὸν τρόπον καὶ ἡ οι δίφθογγος, ὡς ἔχουσα τὸ ι, τὸ ὑποτακτικὸν ἀποβάλλει καὶ φυλάττει τὸ ο, οἷον ἑτοιμάζω ἡτοίμακα καὶ ἑτοιτόμακα.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν αἱ δίφθογγοι αἱ μὲν ἔχουσαι τὸ ε αὐτὸ τὸ ε ἀποβάλλουσιν ἐν τῷ Ἀττικῷ

παρακειμειμένῳ καὶ φυλάττουσι τὸ δίχρονον, οἷον ἀλείφω ἀλήλιφα, αἱ δὲ ἔχουσαι τὸ ο τοὐναντίον τὸ ο φυλάττουσι, καὶ τὸ δίχρονον ἀποβάλλουσιν, οἷον ἀκούω ἀκήκοα. Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· οἱ Ἀττικοὶ καὶ μᾶλλον τὸ ο χαίρουσιν ἤπερ τὸ ε, καὶ δῆλον εἴγε ἐν τῷ κέκλεφα καὶ λέλεχα καὶ πέπεμφα τὸ ε εἰς τὸ ο τρέπουσι, κέκλοφα καὶ λέλοχα καὶ πέπομφα λέγοντες, καὶ πάλιν ἐπὶ τοῦ ἀγήγοχα καὶ ἐδήδοκα ἡ γο συλλαβὴ καὶ ἡ δο ἐπλεόνασε, καὶ οὐχὶ δὲ ἡ γε· καὶ πάλιν ἔστιν ἐνέγκω, ἐνέγξω, ἤνεχα, καὶ ἐνήνεχα, καὶ λέγουσιν ἐνήνοχα, τρέποντες τὸ ε εἰς τὸ ο· ἐπειδὴ οὖν οἱ Ἀττικοὶ μᾶλλον τὸ ο χαίρουσιν ἤπερ τὸ ε, τούτου χάριν ἐπὶ μὲν τῶν διφθόγγων τῶν ἐχουσῶν τὸ ε αὐτὸ ἀποβάλλουσιν, οἷον ἐλεύθω ἐλήλυθα, καὶ ἀλείφω ἀλήλιφα, ἐπὶ δὲ τῶν ἐχουσῶν τὸ ο φυλάττουσιν αὐτὸ, οἷον ἀκούω, ἀκήκοα. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τῆς ποσότητος τῶν συλλαβῶν τοῦ Ἀττικοῦ παρακειμένου λέγομεν, ὅτι ὁ Ἀττικὸς παρακείμενος ὁ ἐνεργητικὸς καὶ ὁ παθητικὸς τὸ ἐλάχιστον τετρασυλλαβοῦσιν, οἷον ὀμώμοκα, ἀγήγοχα, ἀλήλιφα, ἐδήδεκα, ὀλώλεκα, ἐγή-
252 a γερκα, ἀλήλιμμαι· θέλουσι γὰρ ἔχειν τὴν ἄρχουσαν τοῦ ἐνεστῶτος καὶ τὴν δευτέραν καὶ τρίτην συλλαβὴν διὰ τοῦ αὐτοῦ συμφώνου, καὶ τὴν δ′ συλλαβὴν χαρακτηριστικὴν τοῦ παρακειμένου. Θέλει γὰρ ὁ μὲν παρακείμενος ὁ ἐνεργητικὸς ἔχειν πρὸ τοῦ α ἢ τὸ φ ἢ τὸ χ ἢ τὸ κ, οἷον τέτυφα, νένυχα, πεποίηκα· ὁ δὲ παθητικὸς παρακείμενος θέλει τὸ μ χαρακτηριστικὸν ἔχειν, οἷον πεποίημαι, τέτυμμαι, ὁ δὲ μέσος παρακείμενος τὸ ἐλάχιστον [p] τρισυλλαβεῖ, ὄλωλα, ὄπωπα, ὄρωρα, ὄδωδα, ὄμωμα· θέλει γὰρ ἔχειν τὴν ἄρχουσαν τοῦ ἐνεστῶτος θέλει ἔχειν ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ συλλαβῇ τὸ αὐτὸ σύμφωνον. Δύναται δὲ ἡ τρίτη συλλαβὴ δύο χρείας ποιεῖν· δύναται γὰρ ἔχειν καὶ τὸ σύμφωνον τὸ χαρακτηριστικὸν τοῦ μέσου παρακειμένου· τὰ γὰρ σύμφωνα τοῦ μέσου παρακειμένου οὐκ εἰσὶν ὡρισμένα· δι᾽ ὧν γὰρ ἐκφέρεται συμφώνων

[p] τρισυλλαβεῖ] τρίτην συλλαβὴν Bar. ubi desunt seqq. usque ad δύο χρείας ποιεῖν v. 30.

ὁ ἐνεστὼς, διὰ τούτων καὶ ὁ μέσος παρακείμενος ἐκφέρεται, χωρὶς εἰ μὴ ἔχει ζ ἢ δύο σσ ὁ ἐνεστώς· τότε γὰρ [q] ἄλλως γίνεται ὁ μέσος παρακείμενος, ὡς ἐν τῇ διδασκαλίᾳ τοῦ μέσου, εἰ θεῷ φίλον, μαθησόμεθα.

Τούτων οὕτως ἐχόντων, ἄξιόν ἐστι ζητῆσαι διὰ τί ἡνίκα ἄρχεται ἀπὸ συμφώνου ὁ ἐνεστὼς, οὐ ποιοῦσιν οἱ 'Αττικοὶ ἴδιον παρακείμενον· καὶ ἔστιν [r] εἰπεῖν, ὅτι ἐν τῇ ἑξῆς ἀπορίᾳ, τὴν αἰτίαν μανθάνοντες δι' ἣν ἐπενοήθη ὁ 'Αττικὸς παρακείμενος, μαθησόμεθα, διὰ τί ἡνίκα ἄρχεται ἐκ συμφώνου ὁ ἐνεργητικὸς οὐ ποιοῦσιν οἱ 'Αττικοὶ ἴδιον παρακείμενον.

'Ιστέον ὅτι πολλάκις ἡνίκα καὶ ἀπὸ ἀμεταβόλου ἄρχεται ὁ ἐνεστὼς, ποιοῦσιν οἱ 'Αττικοὶ ἴδιον παρακείμενον, ἀφαιρουμένου τοῦ ἀμεταβόλου ἐκ τοῦ κοινοῦ παρακειμένου, προστιθέντες τὸ ι, οἷον λήβω λέληφα καὶ εἴληφα, λήχω, (τὸ λαγχάνω καὶ κληροῦμαι,) λέληχα καὶ εἴληχα, (τὸ ἐκληρωσάμην·) μείρω, τὸ μερίζω, μέμαρκα καὶ μέμαρμαι καὶ εἵμαρμαι, ὅθεν καὶ εἱμαρμένη, οἷον ἡ πᾶσι μεριζομένη· καὶ πάλιν, λέγω λέλεχα λέλεγμαι καὶ εἴλεγμαι· διὰ τοῦτο δὲ ἀφαιρούμενοι τὸ σύμφωνον προστιθέασι τὸ ι, ἵνα μὴ εὑρεθῇ ὁ παρακείμενος ἀπὸ φωνήεντος ἀρχόμενος καὶ ἀπὸ βραχείας· ὡς γὰρ ἐμάθομεν ἐν τῇ περὶ τοῦ ἐνεργητικοῦ παρακειμένου διδασκαλίᾳ, ὅτε ἀπὸ φωνήεντος ἄρχεται ὁ παρακείμενος, μακρὰν ἔχει τὴν ἄρχουσαν, οἷον ἠλέηκα, ἠρεύνηκα, ἡτοίμακα, ἔφθαρκα, ἔσταλκα, ἔσπαρκα, δηλονότι χωρὶς τῶν 'Αττικῶν παρακειμένων, ἡνίκα ὁ ἐνεστὼς ἄρχεται ἀπὸ τοῦ α ἢ ε ἢ ο· ἐπὶ τούτων γὰρ οἱ παρακείμενοι καὶ ἀπὸ φωνήεντος καὶ ἀπὸ βραχείας ἄρχονται, οἷον ἀκήκοα, ἐλήλυθα, ὀμώμοκα· ταῦτα γὰρ, φημὶ δὲ τὸ εἴληφα καὶ εἴληχα καὶ τὰ ὅμοια, οὐ γίνονται ὁμοίως ἐκείνοις, ἵνα ἀναγκασθῶσιν ὁμοίως αὐτοῖς βραχεῖαν ἔχειν τὴν ἄρχουσαν· ἐκεῖνα μὲν γὰρ γίνονται τῶν δύο γραμμάτων τῶν ἀρκτικῶν τοῦ ἐνεστῶτος προστιθεμένων τῷ κοινῷ παρακειμένῳ, ταῦτα δὲ τοὐναντίον ἀποβαλλομένου τοῦ κατὰ τὴν ἄρχουσαν συμφώνου καὶ προστιθεμένου τοῦ ι. Ταῦτα μὲν ἐν τούτοις.

[q] ἄλλως] ἀλλοίως Bar. [r] εἰπεῖν ἔτι τε ἑξῆς ἀπορία Bar.

Ἄξιον δέ ἐστι ζητῆσαι διὰ τί ὅλως ἐπενοήθησαν οἱ Ἀθηναῖοι τὸν Ἀττικὸν παρακείμενον. Καὶ ἔστιν εἰπεῖν, ὅτι εἰς πολλὰ μιμεῖται ὁ Ἀττικὸς παρακείμενος τὸν ἐνεστῶτα· καὶ γὰρ ὥσπερ ὁ ἂν δυνητικὸς σύνδεσμος οὐ συντάσσεται πρὸς ἐνεστῶτα, οὐδὲ γὰρ λέγομεν τύπτω ἂν, οὕτως οὐδὲ πρὸς παρακείμενον συντάσσεται· οὐδὲ γὰρ λέγομεν τέτυφα ἂν, ἀλλ' ἔτυπτεν ἄν· καὶ πάλιν, ὥσπερ ὁ ἐνεστὼς εἰς ΣΙ λήγει κατὰ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ὁ ἐνεργητικὸς,
252 b οἷον τύπτουσι, τὸν αὐτὸν τρόπον καὶ ὁ παρακείμενος ὁ ἐνεργητικὸς καὶ ὁ μέσος κατὰ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν εἰς ΣΙ λήγουσιν, οἷον τετύφασιν, τετύπασιν· ἐπειδὴ οὖν εἰς πολλὰ μιμεῖται ὁ παρακείμενος τὸν ἐνεστῶτα, τούτου χάριν, ἵνα κατὰ τὴν ἄρχουσαν μιμῆται αὐτὸν καὶ συνάρξηται αὐτῷ, ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον, καὶ ἡνίκα ὁ ἐνεστὼς ἄρχεται ἀπὸ τοῦ Α ἢ Ε ἢ Ο, ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον, ἀλείφω ἀλήλιφα, ἐλεύθω ἐλήλυθα, ὀμῶ ὀμώμοκα· ἡνίκα γὰρ ἀπὸ τοῦ Ω ἢ ἀπὸ τοῦ Η ἢ ἀπὸ τοῦ Ι ἢ ἀπὸ τοῦ Υ ἄρχεται ὁ ἐνεστὼς, οὐ ποιοῦσιν Ἀττικοὶ ἴδιον παρακείμενον, πρῶτον μὲν, διὰ τὴν προλεχθεῖσαν αἰτίαν, τουτέστιν, ἵνα μὴ εὑρεθῇ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον· δεύτερον δὲ, ἐπειδὴ ἐπὶ τούτων εἰ καὶ μὴ ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον τὸ ζητούμενον ἔχουσι· καὶ γὰρ ἡνίκα ὁ ἐνεστὼς ἢ ἀπὸ τοῦ Η ἢ ἀπὸ τοῦ Ω ἢ ἀπὸ τοῦ Ι ἢ ἀπὸ τοῦ Υ ἄρχεται, πάντως καὶ ὁ παρακείμενος ἐκ τούτων τῶν φωνηέντων ἄρχεται, ὠθῶ ὤθηκα, ἡβῶ ἥβηκα, ἰξεύω ἴξευκα, ὑδρεύω ὕδρευκα, καὶ λοιπὸν ἐφ' ὅσον εὗρον ὅτι τὰ ἀρκτικὰ τοῦ ἐνεστῶτος ἔχει καὶ ὁ παρακείμενος, ἐπὶ τούτων περιττὸν ἡγήσαντο οἱ Ἀττικοὶ ποιῆσαι παρακείμενον· διὰ τοῦτο γὰρ οὔτε ἥνικα ἀπὸ συμφώνου ἄρχεται ὁ ἐνεστὼς ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον, ἐπειδὴ καὶ ἐπὶ τούτων συνάρχεται καὶ ὁ παρακείμενος τῷ ἐνεστῶτι, ἡνίκα ἀπὸ συμφώνου ἄρχεται δηλονότι καὶ ὁ παρακείμενος· ἡνίκα γὰρ ἀπὸ συμφώνου ἄρχεται ὁ ἐνεστὼς, ἢ ἀπὸ τοῦ αὐτοῦ ἄρχεται ὁ παρακείμενος συμφώνου, ἡνίκα καὶ αὐτὸς ἀπὸ συμφώνου ἄρχεται, οἷον τύπτω τέτυφα, ποιῶ πεποίηκα, νοῶ

νενόηκα, ἢ ἀπὸ τοῦ ἀντιστοίχου τοῦ ψιλοῦ, οἷον θύω τέθυκα, φιλῶ πεφίληκα, χειροτονῶ κεχειροτόνηκα. Πρόσκειται "ἡνίκα ἀπὸ συμφώνου ἄρχεται ὁ παρακείμενος," διὰ τὸ φθείρω ἔφθαρκα, στέλλω ἔσταλκα, σπείρω ἔσπαρκα· ἐπὶ τούτων γὰρ οὐκ ἄρχεται ὁ παρακείμενος ἀπὸ τοῦ συμφώνου τοῦ ἐνεστῶτος, ἐπειδὴ ὅλως ἀπὸ συμφώνου οὐκ ἄρχεται, ἀλλ' ἀπὸ φωνήεντος. 'Εφ' ὅσον οὖν εὗρον ὅτι τὰ ἀρκτικὰ τοῦ ἐνεστῶτος ἔχει ὁ παρακείμενος, ἐπὶ τούτων περιττὸν ἡγήσαντο ποιῆσαι ἀπὸ τῶν ἀπὸ συμφώνου ἀρχομένων 'Αττικὸν παρακείμενον. Ταῦτα μὲν ἐν τούτοις.

Ἔστι δὲ καὶ ἄλλην ἀπολογίαν εἰπεῖν, δι' ἣν ἐπενοήθη ὁ 'Αττικὸς παρακείμενος· ἔχει δὲ οὕτως. 'Επειδὴ ὁ παρακείμενος πέφυκε διὰ συμφώνου διπλασιάζεσθαι, οἷον τέτυφα, πεποίηκα, νενόηκα, τούτου χάριν ἐπενοήθησαν οἱ 'Αττικοὶ ἴδιον παρακείμενον, ἡνίκα τὸ ῥῆμα ἀπὸ τοῦ α ἢ ε ἢ ο, ἵνα εὑρεθῇ καὶ διὰ φωνήεντος τρόπον τινα διπλασιαζόμενος ὁ παρακείμενος, ὅθεν καὶ ἀπὸ βραχείας ἄρχεται ὁ 'Αττικὸς παρακείμενος, οἷον ἀλήλιφα, ὀμώμοκα, ὥσπερ ὁ κοινὸς παρακείμενος διπλασιαζόμενος, οἷον τέτυφα, πεποίηκα, νενόηκα.

Πάλιν ἔστιν ἄξιον ζητῆσαι διὰ τί μὴ ἐποίησαν οἱ 'Αττικοὶ ἴδιον παρακείμενον ἡνίκα ὁ ἐνεστὼς ἀπὸ β' συμφώνων, τότε γὰρ οὐ συνάρχεται τῷ ἐνεστῶτι ὁ κοινὸς παρακείμενος, οἷον φθείρω ἔφθαρκα, στέλλω ἔσταλκα; Ἔστιν οὖν εἰπεῖν, ὅτι πρῶτον μὲν εἰ προσέθηκεν ἐπὶ τούτων τὰ ἀρκτικὰ φωνήεντα τοῦ ἐνεστῶτος τῷ κοινῷ παρακειμένῳ, καὶ ἐποίησαν οἱ 'Αττικοὶ ἴδιον παρακείμενον, οἷον, στέλλω ἔσταλκα ὁ κοινὸς παρακείμενος, καὶ στέσταλκα ὁ 'Αττικός· καὶ πάλιν, φθείρω ἔφθαρκα ὁ κοινὸς, καὶ φέφθαρκα ὁ 'Αττικὸς, εὑρίσκεται μακρὰν ἔχουσα τὴν ἄρχουσαν, ὅ ἐστιν ἀδύνατον· ἐμάθομεν γὰρ, ὅτι οὐ θέλει ἀπὸ μακρᾶς ἄρχεσθαι ὁ 'Αττικὸς παρακείμενος, οἷον ἀλήλιφα ἐλήλυθα ὀμώμοκα· πρὸς οἷς καὶ ἀπὸ συμφώνου ἤμελλεν ἄρχεσθαι καὶ εἶναι μακρὰ, ὅπερ ἀδύνατον. Εἰρήκαμεν γὰρ ἐν τῇ διδασκαλίᾳ τοῦ ἐνεργητικοῦ παρακειμένου, ὅτι ἡνίκα ὁ παρακείμενος ἀπὸ συμφώνου ἄρχεται, καὶ

βραχεῖαν θέλει ἔχειν τὴν παραλήγουσαν, οἷον, τέτυφα πεποίηκα νενόηκα· δεύτερον δὲ, θέλει ἔχειν ὁ Ἀττικὸς παρακείμενος ἐν τῇ β′ καὶ γ′ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, [a] οἷον ἀλήλιφα, ἐλήλυθα, ὀμώμοκα, ὅπερ ἐπὶ τούτων, εἰ ἐποίησαν οἱ Ἀττικοὶ παρακείμενον, οὐχ εὑρίσκετο· εἰ γὰρ ἦν στεστεφάνωκα καὶ στέσταλκα καὶ φέφθαρκα, οὐχ εὑρίσκετο ἐν τῇ β′ καὶ γ′ συλλαβῇ σύμφωνον τὸ αὐτὸ, ὅπερ ἀδύνατον.

“ Μέσος παρακειμένος. Ἑνικὰ, τέτυπα. Τρεῖς εἰσὶν αἱ διαθέσεις τῶν ῥημάτων, ἐνέργεια, πάθος, καὶ μεσότης. Ἑκάστη δὲ αὐτῶν ἀνὰ ἓξ χρόνους ἔχει.” Μετὰ τὸ κανονίσαι τὸν ἐνεργητικὸν παρακείμενον καὶ Ἀττικὸν, τρέπεται ἐπὶ τὸν μέσον, καὶ λέγει ὅτι γ′ εἰσι διαθέσεις τῶν ῥημάτων, ἐνέργεια, πάθος, μεσότης. Ἑκάστη δὲ αὐτῶν τῶν διαθέσεων πρὸς ἓξ χρόνους· ἔχει γὰρ ἐνεστῶτα, παρατατικὸν, παρακείμενον, ὑπερσυντελικὸν, ἀόριστον, καὶ μέλλοντα· εἰ γὰρ καὶ β′ ἀόριστοί εἰσιν, ἀλλ᾽ οὖν μίαν σημασίαν ἔχουσι· τὸ γὰρ ἔτυψα καὶ ἔτυπον τὸ αὐτὸ σημαίνουσι. Ὥσπερ οὖν ὅταν τις τριγενὲς ὄνομα κλίνῃ, καθ᾽ ἕκαστον γένος λέγει τὰς ε′ πτώσεις, οἷον ὁ καλὸς τοῦ καλοῦ μεχρὶ τῆς κλητικῆς τῶν πληθυντικῶν, καὶ πάλιν ὁμοίως ἡ καλὴ τῆς καλῆς, καὶ οὐ συγκαταμιγνύουσι τὰς τοῦ ἀρσενικοῦ πτώσεις τῷ θηλυκῷ, οὐδὲ τῷ θηλυκῷ (τὰς τοῦ θηλυκοῦ) τῷ οὐδετέρῳ, οὕτω καὶ περὶ τῶν διαθέσεων ἐχρῆν, καθάπερ ἑκάστῳ τῶν γενῶν τὰς οἰκείας πτώσεις ἐν τῷ κλίνειν ἀποδίδομεν, καὶ ταῖς τρισὶ διαθέσεσι τοὺς ἰδίους ἓξ χρόνους ἐν τῷ κλίνειν αὐτὰς ἀποδίδοντες· καὶ πρῶτον μὲν κλίνειν τὴν ἐνεργητικὴν, β′ δὲ τὴν παθητικὴν, καὶ γ′ τὴν μέσην. Τοῖς μὲν γὰρ ἀρχαιοτέροις τῶν γραμματικῶν οὐκ ἔδοξεν οὕτως, ἀλλὰ τοὺς ἓξ χρόνους τῆς μέσης διαθέσεως συγκατηρίθμησαν τοῖς παρακειμένοις καὶ ὑπερσυντελικοῖς τῆς ἐνεργητικῆς διαθέσεως. Διὰ τί δὲ τοῦτο πεποιήκασιν, ἐπειδὴ σχέδον ὁμόφωνοί εἰσι τοῖς παρακειμένοις καὶ ὑπερσυντελικοῖς τῆς ἐνεργητικῆς διαθέσεως, (ἀμφότεροι γὰρ ὁμοιοκατάληκτοί εἰσι, καὶ γὰρ ὁ ἐνεργητικὸς εἰς Α λήγει, καὶ ὁ μέσος παρακείμενος εἰς Α λήγει, οἷον τέτυφα τέτυπα, καὶ

[a] Hinc usque ad p. 579, 9. supplevit Bar.

πάλιν ὁ ἐνεργητικὸς ὑπερσυντελικὸς εἰς ν λήγει καὶ ὁ μέσος ὁμοίως εἰς ν, οἷον ἐτετύφειν ἐτετύπειν.) ἐπειδὴ οὖν τρόπον τινα ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς τῆς μέσης διαθέσεως ὁμοφωνοῦσι τοῖς παρακειμένοις καὶ ὑπερσυντελικοῖς τῆς ἐνεργητικῆς διαθέσεως, τούτου χάριν μετ' αὐτῶν συγκατηρίθμησαν αὐτούς. Ἀόριστον δὲ καὶ μέλλοντα τῆς μέσης διαθέσεως συγκατηρίθμησαν τοῖς ἀορίστοις καὶ μέλλουσι τῆς παθητικῆς διαθέσεως, ἐπειδὴ ὁμοιοκατάληκτοί εἰσι· καθόλου γὰρ οἱ ἀόριστοι τῶν παθητικῶν καὶ τῶν μέσων εἰς νη λήγουσιν, * * * οἷον τυφθήσομαι, τυπήσομαι· τοὺς δὲ λοιποὺς β' χρόνους τῆς μέσης διαθέσεως, ἐνεστῶτα λέγω καὶ παρατατικὸν, ὡς μὲν οὖν ὁ τεχνικὸς φησὶ Θεοδόσιος, ἀμνημονεύτους εἴασαν οἱ παλαιοί· οὐκ ἔστι δὲ ἀληθές· ἀλλὰ πάνυ ζήτησις πλείστη περὶ αὐτῶν καταβέβληται τοῖς τεχνικοῖς εἰ ἄρα μέσοι ὑπάρχουσιν οἱ παθητικοί. Ἀμελεὶ καὶ ἐκινδυνεύθησαν παθητικοὶ ὀνομασθῆναι οἱ μέσοι ἐνεστῶτες καὶ παρατατικοὶ, ἐπειδὴ ἡ αὐτὴ φωνή ἐστιν ἀπαραλλάττως τῶν ἐνεστώτων καὶ παρατατικῶν τῶν παθητικῶν καὶ τῶν μέσων. Ὁ γὰρ κολάζομαι καὶ ὁ τύπτομαι καθ' ἑαυτὰ καὶ παθητικὰ καὶ μέσα εἰσί· ἐν δὲ τοῖς ἄλλοις χρόνοις ἔστι τις διαφορὰ κατὰ τὴν φωνὴν τῶν παθητικῶν καὶ τῶν μέσων. Τὸ γὰρ τέτυφα καὶ τέτυπα καὶ ἐτετύφειν καὶ ἐτετύπειν, εἰ καὶ κινοῦσι (sic) καθομοιοκαταληκτοῦσιν (sic), ἀλλ' οὖν καὶ διαφέρουσι, οὐδὲ γὰρ εἰσὶ πάντη τὰ αὐτὰ κατὰ τὴν φωνήν· διακρίνονται δὲ οἱ μέσοι ἐνεστῶτες καὶ παρατατικοὶ ἐκ τῶν παθητικῶν ἐνεστώτων καὶ παρατατικῶν ἀπὸ τῆς συντάξεως· τὸ γὰρ κολάζομαι καὶ τύπτομαι καὶ ἐκολαζόμην καὶ ἐτυπτόμην καὶ τὰ ὅμοια, εἰ μὲν συντάξει τις πρὸς γενικὴν μετὰ τῆς ὑπὸ προθέσεως, παθητικά εἰσιν, οἷον, κολάζομαι σε καὶ ἐκολαζόμην σε, τύπτομαί σε καὶ ἐτυπτόμην σε, ὡς ἔστιν εὑρεῖν καὶ ἐπὶ ἄλλων λέξεων συνέμπτωσιν φωνῶν ἐκ τῆς συντάξεως διακρινομένην. Τὸ γὰρ φῦσαι καθ' ἑαυτὸ καὶ ὄνομα εἶναι δοκεῖ, καὶ ῥῆμα δύναται εἶναι, ἀλλ' ἐκ τῆς συντάξεως διακρίνεται· ἐὰν μὲν γὰρ εἴπω ὅτι φῦσαι εἰσὶ, σημαίνεται ὅτι αἱ φυσῶσαι, καὶ δῆλον ὅτι ὄνομά ἐστιν· εἰ δὲ εἴπω ὅτι ἤλπιζε φῦσαι ἡ γυνὴ, δῆλον

ὅτι ῥῆμά ἐστιν, ἀντὶ γὰρ τοῦ γεννῆσαι ἤλπιζεν ἡ γυνή. Οὕτως οὖν καὶ τὸ κολάζομαι καὶ ἐκολαζόμην καὶ τὰ ὅμοια καθ' ἑαυτὰ καὶ παθητικὰ καὶ μέσα εἰσιν· ἀλλ' ἐκ τῆς συντάξεως, ὡς εἴρηται, διακρίνονται. Ταῦτα μὲν ἐν τούτοις.

Ἔλθωμεν δὲ καὶ εἴπωμεν διὰ τὶ λέγεται μέση διάθεσις. Ἰστέον μέσον ἐστι τὸ ἑκατέρου μετέχον, ὥσπερ τὸ φαιὸν, ἤγουν τὸ μυΐνον· τοῦτο γὰρ καὶ λευκοῦ καὶ μέλανος μετέχει· οὐδετέρου δὲ μετέχον, ὡς τὸ ἀριστᾶν καὶ δειπνεῖν καὶ λούεσθαι καὶ περιπατεῖν· ταῦτα γὰρ μέσα ἐστιν ἀρετῆς καὶ κακίας· καὶ μέσος δὲ τόπος λέγεται ὁ μήτε τοῦ ἄνω μήτε τοῦ κάτω μετέχων ἀλλὰ μεταξὺ ὤν. Μαθόντες τί ἐστι μέσον,
102 b ἔλθωμεν καὶ μάθωμεν διὰ τί λέγεται μέση διάθεσις. Ἰστέον ὅτι μέση διάθεσις λέγεται, ἐπειδὴ ὁ τύπος ἐπ' ἀμφοτέρας φθάνει τὰς διαθέσεις, εἰ καὶ εἷς ὢν [o] καὶ ὁ αὐτὸς κατὰ ἀμφοτέρων τίθεται. Ἐξηγησώμεθα τὸ λεχθὲν, τί ἐστιν, "ἐπειδὴ ὁ τύπος ὁ αὐτὸς ἐπ' ἀμφοτέραις φθάνει ταῖς διαθέσεσι (sic)."

Ἰστέον ὅτι τοῦτο εἶπεν, ὅτι ὁ μὲν παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς τῆς μέσης διαθέσεως τύπον ἔχουσι φωνῆς ἐνεργητικῆς, οἷον, τέτυπα ἐτετύπειν, ὥσπερ τέτυφα ἐτετύφειν· οἱ δὲ ἀόριστοι καὶ μέλλοντες τύπον ἔχουσι φωνῆς παθητικῆς, οἷον ἐτυψάμην ἐτυπόμην, ὥσπερ ἐτύφθην καὶ ἐτύπην· καὶ πάλιν τύψομαι καὶ τυποῦμαι, ὥσπερ τυφθήσομαι καὶ τυπήσομαι· τούτου οὖν χάριν εἶπεν, "ἐπειδὴ ὁ τύπος ἐπ' ἀμφοτέρας φθάνει τὰς διαθέσεις." Τὸ δὲ "εἷς ὢν καὶ αὐτὸς, κατ' ἀμφοτέρων τίθεται" πρόσκειται, ἐπειδὴ οἱ αὐτοὶ σχηματισμοὶ, ἤγουν χρόνοι, πολλάκις καὶ ἐπὶ ἐνεργείας λαμβάνονται καὶ ἐπὶ πάθους· ἰδοὺ γάρ ἐστι τέτηκα καὶ τέτυπα, καὶ ἰδοὺ ὁ αὐτὸς σχηματισμός ἐστιν, ἤγουν ὁ αὐτὸς χρόνος, ἀμφότεροι γὰρ μέσου παρακειμένου εἰσὶ, καὶ ὅμως τὸ μὲν σημαίνει ἐνέργειαν, τὸ δὲ πάθος· τὸ μὲν γὰρ τέτυπα ἐνέργειαν σημαίνει, ἀντὶ γὰρ τοῦ ἔτυψα ἐστί· τὸ δὲ τέτηκα, πάθος, ἀντὶ γὰρ τοῦ ἐτάκην ἐστί· καὶ πάλιν ἐστὶν ἐτυψάμην καὶ ἐλουσάμην, καὶ ἰδοὺ ὁ αὐτὸς σχηματισμός ἐστιν ἢ ὁ αὐτὸς χρόνος· ἀμφότερα γὰρ α' μέσου ἀορίστου εἰσὶ, καὶ ὅμως τὸ

[o] ὁ αὐτὸς καὶ ἐν ἀμφοτέραις Bar.

μὲν σημαίνει ἐνέργειαν, τὸ δὲ πάθος· τὸ μὲν γὰρ ἐτυψάμην ἐνέργειαν σημαίνει, ἀντὶ γὰρ τοῦ ἔτυψα ἐστί· τὸ δὲ ἐλουσάμην πάθος, ἀντὶ γὰρ τοῦ ἐλούσθην ἐστί. Ταῦτα μὲν ἐν τούτοις.

Ζητοῦσι δὲ περὶ τῆς μέσης διαθέσεως, λέγοντες, ὅτι εἰ ἄρα ἰδίᾳ παραλαμβάνεται ἡ μέση διάθεσις, τουτέστιν, ἑτέρα διάθεσίς ἐστι παρὰ τὴν ἐνέργειαν καὶ τὸ πάθος, ἢ μετὰ τῶν ἐνεργητικῶν καὶ παθητικῶν ἐστιν, ὥσπερ καὶ τὰ κοινὰ καὶ τὰ ἐπίκοινα οὐ λέγομεν ἕτερον γένος εἶναι παρὰ τὸ ἀρσενικὸν καὶ θηλυκὸν, ἀλλὰ μετὰ τῶν ἀρσενικῶν καὶ θηλυκῶν παραλαμβάνονται, ἢ ἐὰν δῶμεν ἰδίαν διάθεσιν τὴν μέσην διάθεσιν, παράσχωμεν ἕτερον γένος καὶ τὰ κοινὰ καὶ τὰ ἐπίκοινα.

Ἔστιν οὖν εἰπεῖν, ὅτι τὰ κοινὰ καὶ τὰ ἐπίκοινα οὐ δύνανται εἶναι ἕτερον γένος παρὰ τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν, ἐπειδὴ οὔτε ἰδίαν φωνὴν ἔχουσιν, οὔτε ἴδιον σημαινόμενον, οὔτε ἴδια ἄρθρα. Αἱ γὰρ φωναὶ αὐτῶν ἢ ἀρσενικαί εἰσιν ἢ θηλυκαὶ, καὶ τὰ ἄρθρα αὐτῶν ὁμοίως ἢ ἀρσενικά εἰσιν ἢ θηλυκὰ, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ ἵππος καὶ ἡ ἵππος, ὁ ἀετὸς καὶ ἡ ἀετός· ἡ δὲ μέση διάθεσις ἔχει ἰδίας φωνὰς, οἷον τέτυπα ἐτετύπειν, ἐτυψάμην ἐτυπόμην, τύψομαι τυποῦμαι, καὶ εὐλόγως ἑτέρα διάθεσις ἐστι παρὰ τὰ ἐνεργητικὰ καὶ τὰ παθητικά. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ ζῶ, πλουτῶ, ὑπάρχω, οὐδέτερα λέ-
255 a *γονται, ἐπειδὴ οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῦσι. Καὶ ἀποροῦσί τινες, λέγοντες, εἰ ἄρα μέσον ἐστὶ τὸ ἑκατέρου μετέχον, ἢ τὸ οὐδετέρου μετέχον· ἑκατέρου μὲν, ὥσπερ τὸ φαιὸν, ἤγουν τὸ μΰινον, τοῦτο γὰρ καὶ λευκοῦ καὶ μέλανος μετέχει, οὐδετέρου δὲ, ὡς ἐπὶ τοῦ δειπνεῖν καὶ λούεσθαι καὶ περιπατεῖν, ταῦτα γὰρ μέσα ἐστὶν ἀρετῆς καὶ κακίας, ἐπειδὴ ταῦτα καθ' ἑαυτὰ παραλαμβανόμενα οὐ μετέχουσιν οὐδὲ ἀρετῆς οὐδὲ κακίας· καὶ διὰ ποίαν αἰτίαν ταῦτα, φημὶ δὲ τὸ ζῶ πλουτῶ ὑπάρχω, μήτε ἐνεργείας μετέχοντα μήτε πάθους οὐ καλοῦσι μέσα. Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δύνανται ταῦτα εἶναι τῆς μέσης διαθέσεως, ἐπειδὴ ἡ μέση διάθεσις τὸν ἐνεστῶτα καὶ τὸν παρατατικὸν ἐν τύπῳ φωνῆς παθητικῆς ἔχει,*

σημαινομένῳ δὲ ἐνεργητικῆς, οἷον βιάζομαί σε, ἐβιαζόμην σε, κολάζομαί σε, ἐκολαζόμην σε· ταῦτα δὲ, τὸ ζῶ, πλουτῶ, ὑπάρχω, φωνὴν ἐνεργητικὴν ἔχουσιν, εἰς ω γὰρ λήγουσι, καὶ δῆλον ὅτι οὐ δύνανται εἶναι μέσης διαθέσεως.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, τί οὖν ἔχομεν δοῦναι αὐτὰ τετάρτης διαθέσεως, ἵνα εἴπωμεν τετάρτην διάθεσιν εἶναι τὴν οὐδετέραν; Λέγομεν ὅτι πρῶτον μὲν, σπάνιά εἰσι ταῦτα, καὶ οὐ δύνανται ἰδίαν ποιῆσαι καὶ ἀποτελέσαι διάθεσιν· δεύτερον δὲ, οὔτε ἔχουσιν ἰδίας φωνάς· αἱ γὰρ φωναὶ αὐτῶν ἐνεργητικαί εἰσιν, ὅθεν καὶ ὑπὸ τὰ ἐνεργητικά εἰσι· τρίτον δὲ, εἰ παράσχομεν τὴν οὐδετέραν διάθεσιν εἶναι, τάξιν ἐπέχειν οὐ δύναται· οὔτε γὰρ τρίτη δύναται εἶναι, τουτέστι μετὰ τὰ ἐνεργητικὰ καὶ τὰ παθητικὰ, ἐπειδὴ οὐκ ἐᾷ ἡ μέση διάθεσις· ἐὰν γὰρ εὑρεθῇ τετάρτη ἡ μέση διάθεσις, μέλλει μετέχειν καὶ τῆς οὐδετέρας, ὅπερ οὐκ ἔστιν· ἄλλως τε δὲ ὥσπερ ἡ μετοχὴ, ἡ μετέχουσα τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα τέτακται, τὸν αὐτὸν τρόπον καὶ ἡ μέση διάθεσις, μετέχουσα ἐνεργείας καὶ πάθους, μετὰ τὴν ἐνέργειαν καὶ τὸ πάθος τέτακται, ἀλλ' οὔτε δὲ τετάρτην ἐπέχειν τάξιν δύναται ἡ οὐδετέρα, ἐπειδὴ οὐδετερόν ἐστι τὸ δύο τινῶν προϋποκειμένων ποιούμενον ἀναίρεσιν, ὡς ἐπὶ τῶν ὀνομάτων· καὶ γὰρ τὸ οὐδέτερον γένος δύο γενῶν προϋποκειμένων ποιεῖται ἀναίρεσιν, τουτέστιν, ἀρσενικοῦ καὶ θηλυκοῦ. Ἐὰν οὖν τετάρτη εὑρεθῇ ἡ οὐδετέρα διάθεσις, εὑρίσκεται τριῶν τινῶν προϋποκειμένων ποιουμένη ἀναίρεσιν· λέγω δὴ, ἐνεργείας, πάθους, καὶ μεσότητος, ὅπερ ἄτοπον. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, ὅτι ὥσπερ τὸ τέτηκα τύπον μὲν ἔχον φωνῆς ἐνεργητικῆς, σημαινόμενον δὲ παθητικῆς, ἀντὶ γὰρ τοῦ ἐτάκην ἐστὶ, λέγεται μέσον, διὰ τί μὴ τὸν αὐτὸν τρόπον καὶ τὸ τρέμω, καὶ τὸ πυρέσσω, καὶ ῥιγῶ, καὶ ὀφθαλμιῶ, φωνὴν μὲν ἐνεργητικὴν ἔχοντα, σημαινόμενον δὲ παθητικὸν, καλοῦνται μέσα; Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δύνανται εἶναι ταῦτα μέσης διαθέσεως, ἐπεὶ ἡ μέση διάθεσις τὸν

ἐνεστῶτα καὶ τὸν παρατατικὸν ἐν τύπῳ φωνῆς παθητικῆς ἔχει, σημαινομένῳ δὲ ἐνεργητικῷ, οἷον βιάζομαί σε, ἐβιαζόμην σε, κολάζομαί σε, ἐκολαζόμην σε, γράφομαί σε, ἐγραφόμην σε· ταῦτα δέ, φημὶ τὸ τρέμω πυρέσσω καὶ 255 b ῥιγῶ καὶ ὀφθαλμιῶ, φωνὴν ἐνεργητικὴν ἔχουσιν, εἰς Ω γὰρ λήγουσι, καὶ δῆλον ὅτι οὐ δύνανται εἶναι μέσης διαθέσεως.

"Ὁ μέσος τοίνυν παρακείμενος τὴν μὲν ἄρχουσαν τὴν αὐτὴν ἔχει τῷ ἐνεργητικῷ παρακειμένῳ καὶ εἰς Α λήγει." Ἐνταῦθα περὶ τοῦ μέσου παρακειμένου διαλαμβάνει, καὶ λέγει, ὅτι ὁ μέσος παρακείμενος τὴν ἄρχουσαν τὴν αὐτὴν ἔχει τῷ ἐνεργητικῷ παρακειμένῳ, δηλονότι κοινῷ, οἷον τέτυφα τέτυπα, νένυχα νένυγα, πέπληχα πέπληγα, ἔφθαρκα ἔφθορα, ἔσταλκα ἔστολα, ἔσπαρκα ἔσπορα, ἐκτείνω (ἔκτακα) ἔκτονα. Πρόσκειται "δηλονότι τῷ κοινῷ" διὰ τὸν Ἀττικὸν παρακείμενον. Ἔστι γὰρ ὁ μέσος παρακείμενος ἤγερκα, καὶ ὁ ἐνεργητικὸς Ἀττικὸς ἀγήγερκα, καὶ ἰδοὺ οὐκ ἔχει τὴν ἄρχουσαν τοῦ ἐνεργητικοῦ παρακειμένου ὁ μέσος παρακείμενος· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι κοινὸς ὁ ἐνεργητικὸς παρακείμενος, ἀλλ' Ἀττικός· ὁ γὰρ κοινὸς ἤγερκα ἐστί. Εἰς Α δὲ λήγει ὁ μέσος παρακείμενος, καὶ εἰ μὲν ὁ ἐνεστὼς δι' ἑνὸς ἁπλοῦ συμφώνου ἐκφέρεται, διὰ τούτου καὶ ὁ μέσος παρακείμενος ἐκφέρεται, οἷον λέγω λέλογα, κείρω κέκορα, πείθω πέποιθα, νήθω νένηθα, λείπω λέλοιπα, λείβω λέλοιβα, πλέκω πέπλοκα, φθείρω ἔφθορα, σπείρω ἔσπορα, κτείνω ἔκτονα, τείνω τέτονα, νέμω νένομα, γείνω γέγονα, τέκω τέτοκα, γράφω γέγραφα· δύναται δὲ τοῦτο καὶ ἐνεργητικοῦ παρακειμένου εἶναι, ἐπειδὴ ὁ μέλλων γράψω ἐστὶ διὰ τοῦ Ψ· εἰ δὲ δύο σύμφωνα ἔχει ὁ ἐνεργητικὸς ἐνεστώς, δι' οὗ τὸ ῥηματικὸν ὄνομα ἐκφέρεται, διὰ τούτου καὶ ὁ μέσος παρακείμενος ἐκφέρεται, οἷον σκάπτω σκαφὴ καὶ ἀποσκαφή· τὸ σκάψω ἔσκαφα, τύπτω τύπος τέτυπα, ῥάπτω ῥαφὴ ἔρραφα, κλέπτω κλοπή, διὰ τοῦτο καὶ ὁ μέσος παρακείμενος κέκλοπα, κόπτω κοπὴ κέκοπα, (κοπὶς (κοπὴ Bar.) δέ ἐστιν ἡ μάχαιρα,) βλάπτω βλάβη βέβλαβα.

Ἰστέον δὲ ὅτι τὸ βλάπτω καὶ σκάπτω ἀπὸ τοῦ σκάφω καὶ βλάβω, (ἐξ οὗ καὶ τὸ

βλάβεται δέ τε γούνατα,)

λέγουσι γενέσθαι κατὰ πλεονασμὸν τοῦ τ, καὶ τροπῇ τοῦ β καὶ φ εἰς π.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, ὅτι διὰ τί τὸ τ ἐπλεόνασε, καὶ ἐτράπη τὸ β καὶ φ εἰς τὸ π; Καὶ ἔστιν εἰπεῖν, ὅτι τὸ μὲν τ ἐπλεόνασεν, ἐπειδὴ, ὡς ἐν τῇ τοῦ μέλλοντος διδασκαλίᾳ, εἰ θεῷ φίλον, μαθησόμεθα, ἀναλογεῖ ὁ ἐνεστὼς τῇ γενικῇ. Ἐπειδὴ οὖν ἐν τῇ γενικῇ πέφυκε πολλάκις τὸ τ πλεονάζειν, οἷον ἄνακος ἄνακτος, γάλακος γάλακτος, τούτου χάριν καὶ ἐν τῷ ἐνεστῶτι κατὰ μίμησιν τῆς γενικῆς τὸ τ ἐπλεόνασε, καὶ διὰ τοῦτο ἐτράπη τὸ β καὶ φ εἰς τὸ π ἐν τῷ βλάβω βλάπτω, καὶ σκάφω σκάπτω, ἐπειδὴ ψιλὰ ψιλῶν ἡγοῦνται καὶ δασέα δασέων καὶ μέσα μέσων κατὰ σύλληψιν, οἷον κτύπος, πτῶσις, χθὼν, φθόνος, ἕβδομος, ὄγδοος· τούτου χάριν καὶ ἐπὶ τῆς νὺξ νυχὸς γενικῆς τοῦ τ πλεονάσαντος τροπὴ παρηκολούθησε τοῦ χ τοῦ δασέος εἰς τὸ ἀντίστοιχον τὸ ψιλὸν κ, καὶ γέγονε νυκτός. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὅταν τοῦ ἐνεστῶτος διὰ δύο συμφώνων ἐκφερομένου καὶ τὸ ὄνομα τὸ ῥηματικὸν διὰ τῶν αὐτῶν συμφώνων ἐκφέρεται, τότε καὶ ὁ μέσος παρακείμενος διὰ τῶν αὐτῶν δύο συμφώνων ἐκφέρεται, οἷόν ἐστι ῥέγχω ὁ ἐνεστὼς διὰ τοῦ γ καὶ χ, ἀφ' οὗ γίνεται ὄνομα ῥηματικὸν τὸ ῥέγχος
256 a διὰ τοῦ γ καὶ χ, διὰ τῶν αὐτῶν συμφώνων καὶ ὁ μέσος παρακείμενος ἐκφέρεται δι' ὧν τὸ ῥηματικὸν ὄνομα, φημὶ δὲ διὰ τοῦ γ καὶ χ, οἷον ἔρρογχα· εἰ δὲ διὰ τοῦ ζ ἢ δύο σσ ἐκφέρεται ὁ ἐνεστὼς, τότε πρὸς τὸν μέλλοντα κανονίζεται ὁ μέσος παρακείμενος. Εἰ μὲν γὰρ ὁ μέλλων διὰ τοῦ σ ἐκφέρεται, ὁ μέσος παρακείμενος διὰ τοῦ δ ἐκφέρεται, οἷον φράζω φράσω πέφραδα,

πεφράδετε Τρώεσσι·

συρίζω συρίσω ἐσύριδα, χέζω χέσω κέχοδα· εἰ δὲ ὁ μέλλων διὰ τοῦ ξ, ὁ μέσος παρακείμενος διὰ τοῦ γ, οἷον ῥέζω ῥέξω ἔρρογα, σφάζω σφάξω ἔσφαγα, πλήσσω πλήξω πέπληγα,

ὀρύσσω ὀρύξω ὤρυγα· εἰ δὲ ὁ ἐνεστὼς διὰ δύο ἀμεταβόλων, διὰ τοῦ πρώτου ἀμεταβόλου ἐκφέρεται ὁ παρακείμενος ὁ μέσος, οἷον τέμνω τέτομα, κάμνω κέκαμα. Ἐκ τούτου [s] πιθανεύονταί τινες καὶ λέγουσιν, ὅτι ἐν τῷ τίλλω τέτιλα, καὶ πάλλω πέπαλα, καὶ στέλλω ἔστολα, καὶ ἐν τοῖς ὁμοίοις τὸ δεύτερον λ ἀπεβλήθη, καὶ τὸ πρῶτον ἐφυλάχθη· ὁ δὲ Ἡρωδιανὸς οὐ βούλεται τοῦτο, ἀλλὰ λέγει, ὅτι τὸ πρῶτον λ ἀπεβλήθη, καὶ τὸ δεύτερον ἐφυλάχθη· φησὶ γὰρ, ὅτι πρῶτον μὲν ἐν τῷ τέμνω τέτομα καὶ κάμνω κέκαμα τὸ ν ἀπὸ πλεονασμοῦ ἐστι· κάμω γὰρ καὶ τέμω ἦν· καὶ κατὰ πλεονασμὸν τοῦ ν γεγόνασι κάμνω καὶ τέμνω, καὶ λοιπὸν τὸ ν τὸ πλεονάσαν κατὰ τὸν ἐνεστῶτα ἀπεβλήθη κατὰ τὸν μέσον παρακείμενον· δεύτερον δὲ δυνάμεθα αὐτὰ λέγειν, λέγω δὲ τὸ κέκαμα καὶ τέτομα, ὡς ἀπὸ περισπωμένων θεμάτων ἐστὶν, οἷον ὡς ἀπὸ τοῦ καμῶ καὶ τεμῶ· τρίτον δὲ, ὥσπερ τὸ τέρπω καὶ πέρθω, οὐ λέγομεν πέμπτης εἶναι συζυγίας διὰ τὸ ρ τὸ ἐν τῇ παραληγούσῃ, ἀλλὰ τὸ μὲν τέρπω πρώτης διὰ τὸ π ἐν τῇ παραληγούσῃ, τὸ δὲ πέρθω τρίτης διὰ τὸ θ τὸ ἐν τῇ ληγούσῃ, οὕτως καὶ τὸ τίλλω καὶ τὸ πάλλω καὶ τὸ στέλλω καὶ τὰ ὅμοια λέγομεν εἶναι πέμπτης συζυγίας, οὐ διὰ τὸ λ τὸ ἐν τῇ παραληγούσῃ, ἀλλὰ τὸ λ τὸ ἐν τῇ ληγούσῃ· τὰ δὲ χαρακτηριστικὰ τοῦ ἐνεστῶτος θέλουσιν εἶναι καὶ ἐν τῷ μέσῳ παρακειμένῳ χαρακτηριστικὰ, οἷον πείθω πέποιθα, λέγω λέλογα, δηλονότι διὰ τοῦ δευτέρου λ ἐξηνέχθη ὁ μέσος παρακείμενος ἐν τῷ τέτιλα, καὶ πέπαλα, καὶ ἔστολα, καὶ τοῖς ὁμοίοις, ἐπειδὴ αὐτὸ ἐστὶν, ὡς εἴρηται, τὸ χαρακτηριστικὸν τοῦ ἐνεστῶτος· εἰ δὲ ὁ ἐνεστὼς διὰ καθαροῦ τοῦ ω ἐκφέρεται, ὁ μέσος παρακείμενος διὰ καθαροῦ τοῦ α ἐκφέρεται, οἷον ἀκούω, ἤκουα, καὶ ἀκήκοα ὁ Ἀττικὸς, δέω, δέδια καὶ δείδια κατὰ πλεονασμὸν τοῦ ι, δαίω, τὸ σημαῖνον τὸ καίω, δέδηα, καὶ καίω, κέκηα· εἴω, (σημαίνει δὲ τὸ πορεύομαι,) ὡς παρὰ Σώφρονι "[t] ἐγκίρνα, ὡς εἴω," τουτέστι κέρασον ἵνα πορευθῶ, καὶ ὁ μέσος παρακείμενος εἷα, διὰ

[s] πιθανεύοντες Par. πυνθανεύονται Bar. [t] ἐγείρα Par. ἐγκίηρα Bar. ἐγκίρνα Etym. M. p. 121, 30.

καθαροῦ α, καὶ κατὰ ἔκτασιν Ἀττικὴν τοῦ ε εἰς η, ᾖα διὰ τοῦ η καὶ ι, ὥσπερ εἰκάζω εἴκαζον καὶ ᾔκαζον καὶ πάλιν εἴδειν ᾔδειν, καὶ κατὰ διάλυσιν τοῦ ι ἠΐα, ὡς παρὰ τῷ ποιητῇ

ἠΐα, πολλὰ θεοὺς γουνούμενος,

ἀντὶ τοῦ ἐπορευόμην, οὗ τὸ τρίτον πρόσωπον ἤϊε,

ὁ δ' ἤϊε νυκτὶ ἐοικώς.

Τοῦτο τὸ ἠΐα διὰ τοῦ η καὶ ι τρέπει τὸ α εἰς ειν, τουτέστιν εἰς τὴν ει δίφθογγον καὶ τὸ ν, καὶ ποιεῖ τὸ ὑπερσυντελικὸν ᾔειν κατὰ τὴν ἄρχουσαν διὰ τοῦ η καὶ ι, καὶ διὰ τῆς ει διφθόγγου κατὰ τὴν λήγουσαν, ἐξ οὗ τὸ παρῄειν καὶ ἐξῄειν καὶ ἀπῄειν, ὡς παρὰ Μενάνδρῳ,

ἀπῄειν τῶν τόκων ἔχων τόκους.

Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι παραλήγουσαν τὴν αὐτὴν ἔχει ὁ μέσος παρακείμενος τῷ ἐνεργητικῷ παρακειμένῳ, οἷον τέτυφα τέτυπα,
256 b νένηκα νένηθα, πέπληχα πέπληγα, νένυχα νένυγα, πέπηχα πέπηγα, ὤρυχα ὤρυγα, ἤμειφα ἤμειβα, ἤγερκα ἤγερα. Δεῖ προσθεῖναι, χωρὶς εἰ μὴ εὑρεθῇ ἐν δισυλλάβῳ μέλλοντι τὸ ε ἢ μόνον ἢ μετὰ τοῦ ι· τότε γὰρ τρέπεται τὸ ε εἰς ο ἐν τῷ παρακειμένῳ, οἷον λέγω λέξω λέλογα, τέκω τέξω τέτοκα, νέμω νεμῶ νένομα, μένω μενῶ μέμονα, γείνω γενῶ γέγονα, κείρω κερῶ κέκορα, σπείρω σπερῶ ἔσπορα, φθείρω φθερῶ ἔφθορα, κτείνω κτενῶ ἔκτονα. Πρόσκειται "ἐν δισυλλάβῳ μέλλοντι" διὰ τὸ ἐγερῶ ἤγερα, καὶ ἀμείβω ἤμειβα· ἐπὶ τούτων γὰρ οὐκ ἐτράπη τὸ ε εἰς τὸ ο ἐν τῷ μέσῳ παρακειμένῳ, ἀλλ' οὐκ εἰσὶ δισύλλαβοι οἱ μέλλοντες.

Ἀποροῦσι δέ τινες, λέγοντες, διὰ ποίαν αἰτίαν ἐπὶ τοῦ κερῶ κέκορα καὶ φθερῶ ἔφθορα οὐκ ἐφυλάχθη τὸ ι, ἵνα ᾖ κέκοιρα καὶ ἔφθοιρα· καὶ ἔστιν εἰπεῖν, ἐπειδὴ οὐκ ἐφυλάχθη τὸ ι κατὰ τὸν μέλλοντα· κερῶ γὰρ καὶ φθερῶ ἐστιν ὁ μέλλων, τούτου χάριν οὐδ' ἐν τῷ μέσῳ παρακειμένῳ ἐφυλάχθη· ἐπὶ δὲ τοῦ πείθω λείβω, ἐπειδὴ ἐφυλάχθη τὸ ι κατὰ τὸν μέλλοντα· πείσω γὰρ καὶ λείψω ἐστὶ ὁ μέλλων· τούτου χάριν καὶ κατὰ τὸν μέσον παρακείμενον ἐφυλάχθη.

Τούτων οὕτως ἐχόντων, δεῖ γινώσκειν ὅτι ἡνίκα εὑρεθῇ ἐν

τῷ περισπωμένῳ ἐνεστῶτι τὸ ε, ἢ ἐν τῷ βαρυτόνῳ ἐνεστῶτι μέν, δι' ἑνὸς δὲ τοῦ λ ἐκφερομένῳ, οὐ τρέπεται εἰς ο ἐν τῷ μέσῳ παρακειμένῳ ἀλλὰ φυλάττεται, οἷον τελῶ [t]τετέλεκα, θέλω τέθελα (sic), μέλω μέμελα, καὶ τροπῇ τοῦ ε εἰς τὸ η, μέμηλα, ἐξ οὗ καὶ ἡ μετοχὴ μεμηλώς,

μέγα πλούτοιο μεμηλώς.

Καὶ εὐλόγως ἐπὶ τούτων οὐ τρέπεται τὸ ε εἰς τὸ ο ἐν τῷ μέσῳ παρακειμένῳ, ἐπειδὴ οὐκ ἔστιν ἐπ' αὐτῶν δισύλλαβος ὁ μέλλων, ἀλλ' ὑπὲρ δύο συλλαβάς, οἷον τελέσω τελέσσω·

μελήσουσι δέ μοι ἵπποι·

εἴρηται δὲ ὅτι ἡνίκα εὑρεθῇ ἐν δισυλλάβῳ μέλλοντι τὸ ε, ἢ μόνον ἢ μετὰ τοῦ ι, τρέπεται εἰς τὸ ο ἐν τῷ μέσῳ παρακειμένῳ· ἐπὶ τούτων δὲ οὐκ ἔστι δισύλλαβος ὁ μέλλων. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐὰν ὁ ἐνεστὼς τῇ αι διφθόγγῳ παραλήγηται, τρέπει αὐτὴν ἐν τῷ μέσῳ παρακειμένῳ εἰς η, οἷον φαίνω πέφηνα, χαινῶ κέχηνα, μαίνω, ἐξ οὗ τὸ μαίνομαι, μέμηνα, δαίω, τὸ καίω, δέδηα, καίω κέκηα. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι ἐπὶ τοῦ δεδούπικα δέδουπα, καὶ μεμύκηκα μέμυκα, οὐκ ἔχει παραλήγουσαν τὴν αὐτὴν ὁ μέσος παρακείμενος τῷ ἐνεργητικῷ παρακειμένῳ, ἀλλ' ἡ προπαραλήγουσα τοῦ ἐνεργητικοῦ παραλήγουσά ἐστι τοῦ μέσου παρακειμένου, ἐπεὶ οὔτε ἰσοσυλλαβοῦσιν ἀλλήλοις ὁ ἐνεργητικὸς παρακείμενος καὶ ὁ μέσος ἐπὶ τούτων, ἀλλὰ μιᾷ συλλαβῇ περιττεύει ὁ ἐνεργητικὸς παρακείμενος τοῦ μέσου, καὶ τούτου χάριν οὐκ ἔχουσι τὴν αὐτὴν παραλήγουσαν. Ταῦτα μὲν περὶ τῆς παραληγούσης τοῦ μέσου παρακειμένου.

Περὶ δὲ τῆς ποσότητος τῶν συλλαβῶν λέγομεν, ὅτι μὲν ἐπὶ βαρυτόνων θεμάτων ἰσοσυλλαβεῖ τῷ ἐνεργητικῷ παρακειμένῳ ὁ μέσος παρακείμενος, οἷον τύπτω τέτυφα τέτυπα, νύσσω νένυχα νένυγα, νήθω νένηκα νένηθα, πείθω πέπεικα πέποιθα, πλήσσω πέπληχα πέπληγα, κείρω κέκαρκα κέκορα, φθείρω ἔφθαρκα ἔφθορα, ἀπὸ (ἐπὶ) δὲ τῶν περισπωμένων θεμάτων μιᾷ συλλαβῇ ἐνδεῖ τοῦ ἐνεργητικοῦ ὁ μέσος παρακείμενος, οἷον δουπῶ δουπήσω δεδούπηκα δέδουπα, μυκῶ μυκήσω μεμή-

[t] f. leg. τέτελα et del. seqq. θέλω τέθελα.

μυκα μέμυκα, κτυπῶ κτυπήσω ἐκτύπηκα ἔκτυπα· καὶ τοῦτο ἐκ τοῦ μέλλοντος γίνεται· ἐπειδὴ γὰρ ὁ μὲν ἐνεργητικὸς παρακείμενος ἐκ τοῦ μέλλοντος κανονίζεται, ὁ δὲ μέσος παρακείμενος ἐκ τοῦ ἐνεστῶτος [κανονιζόμενος,] εἰκότως ὅτε μὲν ὁ μέλλων ἰσοσυλλαβεῖ τῷ ἐνεστῶτι, τότε καὶ ὁ ἐνεργητικὸς παρακείμενος ἐκ τοῦ μέλλοντος κανονιζόμενος ἰσοσυλλαβεῖ τῷ μέσῳ παρακειμένῳ τῷ ἐκ τοῦ ἐνεστῶτος κανονιζομένῳ, οἷον τύπτω τύψω τέτυφα τέτυπα, νύσσω νύξω νένυχα νένυγα· ὅτε δὲ ὁ μέλλων περιττοσυλλαβεῖ τοῦ ἐνεστῶτος, τότε καὶ ὁ ἐνεργητικὸς παρακείμενος ὁ ἐκ τοῦ μέλλοντος
257 a κανονιζόμενος περιττοσυλλαβεῖ τοῦ μέσου παρακειμένου τοῦ ἐκ τοῦ ἐνεστῶτος κανονιζομένου, οἷον κτύπω κτυπήσω (ἐκτύπηκα ἔκτυπα,) δουπῶ δουπήσω δεδούπηκα δέδουπα. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν ὅτι τότε ἐπιλιμπάνουσιν οἱ μέσοι παρακείμενοι, ἡνίκα ἀπὸ τῶν περισπωμένων θεμάτων εὑρεθῇ ὁ ἐνεργητικὸς παρακείμενος, καὶ τρισύλλαβος ἀπὸ δύο συμφώνων ἀρχόμενος, ἢ ἀπὸ μόνου τοῦ ε, οἷον θλῶ θλάσω τέθλακα, κλῶ κλάσω κέκλακα, σμῶ σμήσω ἔσμηκα, δρῶ δράσω δέδρακα, ζῶ ζήσω ἔζηκα· καὶ τοῦτο εὐλόγως, ἐπειδὴ ὁ ἐνεργητικὸς παρακείμενος ἀπὸ περισπωμένων ὑπάρχων μιᾷ συλλαβῇ περιττεύει τοῦ μέσου παρακειμένου, οἷον μυκῶ μεμύκηκα μέμυκα, δουπῶ δεδούπηκα δέδουπα· εἰ ἐποιήσαμεν οὖν μέσον παρακείμενον ἐπὶ τῶν προλεχθέντων, φημὶ τοῦ τέθλακα καὶ κέκλακα καὶ δέδρακα, ἔσμηκα, ἔζηκα, ἤμελλεν ὁ μέσος παρακείμενος μιᾷ συλλαβῇ ἐνδεῖν τοῦ ἐνεργητικοῦ παρακειμένου, καὶ εἶχεν εἰς δισυλλαβίαν περιπεσεῖν, ὅπερ ἐστὶν ἄτοπον· σπανίως γὰρ εὑρίσκεται δισύλλαβος παρακείμενος ἐν χρήσει· σπάνιον δὲ εἶπον, διὰ τὸ

οἶδα ἐπὶ δεξιὰ οἶδα ἐπ' ἀριστερὰ νωμῆσαι βῶν
ἀζαλέην·

καὶ διὰ τὸ εἶκα, ὃ σημαίνει τὸ ὁμοιῶ, οἷον "εἶκας," παρ' Ἀλκμᾶνι, ἀντὶ τοῦ ὅμοιος εἶ, καὶ διὰ τὸ εἶα, ὃ γίνεται ἐν διαλύσει παρὰ τῷ ποιητῇ,

ἤϊα πολλὰ θεοὺς γουνούμενος.

Τούτων οὕτως ἐχόντων, ἰστέον, ὅτι τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων σπανίως εὑρίσκονται καὶ μέσος παρακείμενος καὶ δεύτερος ἀόριστος, οἷον κτυπῶ κτυπήσω ἔκτυπα καὶ ἔκτυπον, δουπῶ δουπήσω δέδουπα καὶ ἔδουπον, μυκῶ μυκήσω μέμυκα καὶ ἔμυκον· ἐπὶ δὲ τῆς τρίτης συζυγίας τῶν περισπωμένων οὔτε μέσος παρακείμενος εὑρίσκεται, οὔτε δεύτερος ἀόριστος. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι πολλάκις συνεμπίπτουσιν ἀλλήλοις ὁ μέσος παρακείμενος καὶ ὁ ἐνεργητικὸς παρακείμενος· ἰδοὺ γὰρ τὸ γράφω καὶ ἀλείφω, καὶ ὁ μέσος παρακείμενος γέγραφα[u] *καὶ ἤλειφα ἐστὶν διὰ τοῦ* Φ, *ἐπειδὴ ὁ ἐνεστὼς* Φ *ἔχει, καὶ ὁ ἐνεργητικὸς παρακείμενος ὁμοίως γέγραφα καὶ ἤλειφα ἐστὶν, ἐπειδὴ ὁ μέλλων διὰ τοῦ* Ψ *ἐκφέρεται, οἷον γράψω, ἀλείψω.* Ἐ*μάθομεν δὲ ὅτι ἡνίκα ὁ μέλλων διὰ τοῦ* Ψ *ἐκφέρεται, καὶ ὁ ἐνεργητικὸς παρακείμενος διὰ τοῦ* Φ *ἐκφέρεται, λείψω λέλειφα.* Τ*αῦτα μὲν ἐν τούτοις.*

Ἐ*πειδὴ δὲ εἰώθασί τινα ζητεῖσθαι ἐν τῷ μέσῳ παρακειμένῳ, ἔλθωμεν καὶ λάβωμεν περὶ αὐτῶν· ζητοῦσι γάρ τινες περὶ τοῦ πέφρικα, ὅτι ἄρα τοῦ ἐνεργητικοῦ παρακειμένου ἢ μέσου;* Κ*αὶ ἐστὶν εἰπεῖν, ὅτι εἰ ἦν μέσου παρακειμένου πέφρικα, ὤφελεν εἶναι διὰ τοῦ* Γ, *οἷον φρίσσω φρίξω πέφριγα, ὡς πλήσσω πλήξω πέπληγα, νύσσω νύξω νένυγα, πήσσω πήξω πέπηγα· εἰ δὲ ἦν ἐνεργητικοῦ παρακειμένου, πέφριχα ὤφειλεν εἶναι διὰ τοῦ* Χ, *οἷον φρίσσω φρίξω πέφριχα, ὥσπερ τὸ πλήσσω πλήξω πέπληχα, νύσσω νύξω νένυχα· τί οὖν ἔχομεν εἰπεῖν;* Κ*αὶ λέγομεν, ὅτι ἐνεργητικοῦ παρακειμένου ἐστὶν, ἀπὸ γὰρ τοῦ φρίσσω φρίξω γέγονε πέφριχα διὰ τοῦ* Χ *ὁ ἐνεργητικὸς παρακείμενος, καὶ διὰ τὴν ἀλλεπαλληλίαν τῶν δασέων ἐτράπη τὸ* Χ *εἰς τὸ* Κ, *καὶ ἐγένετο πέφρικα.* Ζ*ητοῦσι δὲ καὶ περὶ τοῦ δέδοικα· δεῖ γὰρ γινώσκειν τοῦτο, ὅτι εἰ μὲν ἦν ἐνεργητικὸς παρακείμενος, δέδεικα ὤφειλεν εἶναι* [[x] *διὰ τῆς* ΕΙ *διφθόγγου, οἷον δείκω δείσω δέδεικα, ὥσπερ πέθω πείσω πέπεικα· εἰ δὲ ἦν μέσου παρακειμένου, δέδοικα ὤφειλεν εἶναι,*]

[u] *καὶ ἤλειφα ἔγραφα καὶ ἤλοιφα διὰ τοῦ* Φ *δ' ἐστὶν ἐπειδὴ ὁ ἐνεστὼς* Φ *ἔχει καὶ ὁ ἐνεργητικὸς παρακείμενος* Bar. [x] [ ] om. Bar.

δείδω γὰρ ἦν ὁ ἐνεστὼς, ὥσπερ λείβω λέλοιβα, λείπω λέλοιπα, πείθω πέποιθα, καὶ ὡς (ὅσον) μὲν ἐκ τοῦ κ, ἐνεργητικὸς
257 b παρακείμενός ἐστιν· (ὁ γὰρ μέλλων διὰ τοῦ σ ἐκφέρεται, δείσω γάρ ἐστιν· ὅτε δὲ ὁ μέλλων διὰ τοῦ σ ἐκφέρεται, ὁ ἐνεργητικὸς παρακείμενος διὰ τοῦ κ ἐκφέρεται, οἷον νήσω νένηκα, πείσω πέπεικα·) ὅσον δὲ ἐκ τῆς παραληγούσης, μέσου παρακειμένου ἐστί· τῇ γὰρ οι διφθόγγῳ παραλήγεται· ἡνίκα γὰρ εὑρεθῇ ἐν δισυλλάβῳ μέλλοντι τὸ ε, ἢ μόνον ἢ μετὰ τοῦ ι, τρέπεται εἰς τὸ ο ἐν τῷ μέσῳ παρακειμένῳ, οἷον λέγω λέξω λέλογα, κείρω κερῶ κέκορα, πείθω πείσω πέποιθα. Τί οὖν ἔχομεν εἰπεῖν; Λέγομεν, ὅπερ λέγει ὁ Ἀπολλώνιος, ὅτι μέσου παρακειμένου ἐστι· δέδοιδα γὰρ ἦν ἀπὸ τοῦ δείδω ἐνεστῶτος, καὶ διὰ τὴν ἐπαλληλίαν τοῦ δ ἐτράπη τὸ τελευταῖον δ εἰς τὸ κ, καὶ ἐγένετο δέδοικα.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ τί τὸ τελευταῖον δ ἐτράπη, καὶ μὴ ἢ τὸ πρῶτον ἢ τὸ δεύτερον; Καί ἐστιν εἰπεῖν, ὅτι εἰ ἔτρεψε τὸ πρῶτον δ, πάντως καὶ τὸ δεύτερον ἔτρεπε, καὶ εἰ ἔτρεψε τὸ δεύτερον, πάντως καὶ τὸ πρῶτον εἶχε τρέψαι· καὶ γὰρ οἱ ἀναδιπλασιασμοὶ ἢ διὰ τοῦ αὐτοῦ συμφώνου γίνονται, οἷον τέτυφα πεποίηκα νενόηκα· ἢ διὰ τοῦ ἀντιστοίχου τοῦ ψιλοῦ, οἷον τέθυκα, κεχειροτόνηκα, πεφίληκα. Τούτου οὖν χάριν ἵνα μὴ τραπῶσι τὰ δύο δδ, καὶ ἐκ τούτου παραφθαρῇ ἡ λέξις, οὔτε τὸ πρῶτον δ ἐτράπη, οὔτε τὸ δεύτερον, ἀλλὰ τὸ τελευταῖον. Ὁ δὲ Ἀλέξανδρος ὁ Κοτυαεὺς θαυμασίως αὐτὸ σχηματίζει· λέγει γὰρ, ὅτι πολλὰ ῥήματα ἀπὸ μέλλοντος παράγονται εἰς τὸν ἐνεστῶτα, καὶ τρέπουσι τὸ σ εἰς τὸ χ, ἢ εἰς τὸ κ, οἷον σμῶ σμήσω σμήχω, ἐξ οὗ τὸ σμήξω, ὀλῶ ὀλέσω ὀλέκω· οὕτως οὖν ἐκ τοῦ δείσω μέλλοντος ἐγίνετο ὁ ἐνεστὼς δείκω, κατὰ τροπὴν τοῦ σ εἰς τὸ κ, καὶ ἐκ τοῦ δείκω λοιπὸν ἀκολούθως ὁ μέσος παρακείμενος δέδοικα, ὥσπερ λείπω λέλοιπα, λείβω λέλοιβα, πείθω πέποιθα.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ τί δείκω ἐγένετο ὁ ἐνεστὼς διὰ τοῦ κ, καὶ μὴ δείχω διὰ τοῦ χ, ὥσπερ σμῶ σμήσω σμήχω; Καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο ἐγένετο· οὐκ

ἐγένετο δείχω διὰ τοῦ χ ἐπειδὴ τῇ ει διφθόγγῳ παραλήγεται· τὰ δὲ εἰς χω ῥήματα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι, πλὴν τοῦ στείχω λείχω, οἷον ἴσχω, κιχῶ, ἔχω, ἠχῶ, οἰχῶ, ἐξ οὗ καὶ τὸ οἴχομαι, καὶ ὀμιχῶ, σημαίνει δὲ τὸ οὐρῶ, οἷον ὡς παρ' Ἱππώνακτι,

ὤμιξεν αἷμα καὶ χολὴν ἐτίλησε·

τὸ δὲ ὤμιξεν ὡς ἀπὸ βαρυτόνου τοῦ ὀμίχω ἐστὶν, ὥσπερ ἔχω ἕξω, τρέχω θρέξω.

Ζητοῦσι δέ τινες καὶ περὶ τοῦ οἶδα, πόθεν γέγονε; Καὶ ἔστιν εἰπεῖν, εἴδω ὁ ἐνεστώς· τούτου ὁ μέσος παρακείμενος ὤφειλεν εἶναι διὰ τῆς ει διφθόγγου φυλαττομένης κατὰ τὴν ἄρχουσαν, ὥσπερ ἐπὶ τοῦ εἰκονίζω εἰκόνικα, εἰκάζω εἴκακα· ἀλλ' ἐτράπη τὸ ε εἰς τὸ ο Αἰολικῶς, καὶ γέγονεν οἶδα διὰ τῆς οι διφθόγγου, ὥσπερ ὄνειρος ὄνοιρος. Καὶ λέγουσί τινες, διὰ τί γὰρ μὴ λέγομεν ὅτι λόγῳ παραληγούσης ἐτράπη τὸ ε εἰς τὸ ο ἐν τῷ οἶδα μέσῳ παρακειμένῳ, οἷον λέγω λέξω λέλογα, κείρω κερῶ κέκορα, πείθω πείσω πέποιθα, λείβω λείψω λελοιβα, οὕτως οὖν καὶ εἴδω εἴσω οἶδα, λόγῳ παραληγούσης; Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δυνάμεθα λέγειν ὅτι λόγῳ παραληγούσης ἐτράπη τὸ ε εἰς τὸ ο ἐν τῷ οἶδα, ἐπειδὴ τὰ λόγῳ παραληγούσης τρέποντα τὸ ε εἰς ο ἐν τῷ μέσῳ παρακειμένῳ φυλάττουσιν αὐτὸ καὶ ἐν τῷ ὑπερσυντελικῷ καὶ ἐν τῇ μετοχῇ, οἷον πείθω πέποιθα ἐπεποίθειν πεποιθώς, λείβω λέλοιβα ἐλελοίβειν λελοιβώς, λείπω λέ-
258 a λοιπα ἐλελοίπειν λελοιπώς, λέγω λέλογα ἐλελόγειν λελογώς, κείρω κερῶ κέκορα ἐκεκόρειν κεκορώς. Εἰ ἄρα καὶ ἐν τῷ οἶδα μέσῳ παρακειμένῳ λόγῳ παραληγούσης ἐτράπη τὸ ε εἰς τὸ ο, δηλονότι ὤφειλε φυλαχθῆναι καὶ ἐν τῷ ὑπερσυντελικῷ καὶ ἐν τῇ μετοχῇ· ἀλλὰ μὴν οὔτε ἐν τῷ ὑπερσυντελικῷ ἐφυλάχθη, οὔτε ἐν τῇ μετοχῇ· εἰδὼς γάρ ἐστιν ἡ μετοχὴ διὰ τῆς ει διφθόγγου, καὶ εἴδειν ὁ ὑπερσυντελικὸς, καὶ κατ' ἔκτασιν Ἀττικὴν τοῦ ε εἰς η ᾔδειν διὰ τοῦ η καὶ ι, ὥσπερ εἰκάζω ᾔκαζον· δηλονότι οὐκ ἐτράπη λόγῳ παραληγούσης τὸ ε εἰς τὸ ο ἐν τῷ οἶδα μέσῳ παρακειμένῳ· ἀλλ' ὡς εἴρηται κρεῖττόν ἐστι λέγειν ὅτι ψευδαιολικῶς ἐτράπη τὸ ε

εἰς τὸ ο ὥσπερ ἐπὶ τοῦ ὄνειρος ὄνοιρος· ὅτι γὰρ Αἰολικόν ἐστι τὸ οἶδα δῆλον, εἴ γε ἐν τῷ σύνοιδα ἀνεβίβασε τὸν τόνον· οἱ γὰρ Αἰολεῖς ἀναβιβαστικοὶ τῶν τόνων εἰσὶν, οἷον Ἀτρεὺς Ἄτρευς, σοφὸς σόφος· εἰ μὴ γὰρ Αἰολικῶς, οὐκ ἀνεβίβαζε τὸν τόνον ἐν συνθέσει. Κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι πᾶς παρῳχημένος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος καὶ ἀπὸ φύσει μακρᾶς τὸν αὐτὸν τόνον φυλάττει ἐν τῇ συνθέσει, χωρὶς τοῦ ὑπόειξεν, οἷον ὡς παρὰ τῷ ποιητῇ ἐν Ὀδυσσείᾳ,

τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς,

καὶ τοῦ εἶκον ὑπόεικον,

νηῶν δ' ὑπόεικον ἀνάγκῃ.

Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· εἶχον κατεῖχον, εἶπον προσεῖπον, ἦλθον συνῆλθον, εὗρον ἐφεῦρον, ἧψα συνῆψα, εἶδον συνεῖδον, ἷγμαι ἀφῖγμαι, εἶκον ὑπεῖκον, εἶξεν ὑπεῖξεν. Οὕτως οὖν καὶ οἶδα συνοῖδα ὤφειλεν εἶναι, ἀλλ' ὡς εἴρηται Αἰολικῶς ἀνεβίβασε τὸν τόνον, καὶ γέγονε σύνοιδα, προπαροξυτόνως, ὥσπερ καὶ τὸ δεύτερον τοῦτο πρόσωπον τοῦ οἶδα κάτοισθα. Πρόσκειται ἐν τῷ κανόνι "ὁριστικὸς" διὰ τὸ εἶπε ἔξειπε, εὗρε ἔφευρε· ταῦτα γὰρ ἀνεβίβασαν τὸν τόνον, ἀλλ' οὐκ εἰσὶν ὁριστικὰ, ἀλλὰ προστακτικά. Πρόσκειται δὲ "ἀπὸ φωνήεντος ἀρχόμενος," διὰ τὸ κεῖτο κατέκειτο, χεῦεν ἐπέχευεν· ταῦτα γὰρ ἀνεβίβασαν τὸν τόνον, ἀλλ' οὐκ ἄρχονται ἀπὸ φωνήεντος, ἀλλ' ἀπὸ συμφώνου. "Ἀπὸ φύσει δὲ μακρᾶς" πρόσκειται διὰ τὸ ἷζε ἔφιζε

Νέστωρ αὖτις ἔφιζε,

τοῦτο δὲ τὸ ἔφιζε κοινῶς μὲν φύσει μακρὸν ἔχει τὸ ι, ἐξ οὗ τὸ [y] ἐφῖζε προπερισπωμένως, Ἰωνικῶς δὲ ἢ ποιητικῶς συστέλλει αὐτὸ, [καὶ] τουτέστι θέσει μακρὸν αὐτὸ ἔχει, ἐξ οὗ τὸ ἔφιζε προπαροξυτόνως. "Παρῳχημένος" δὲ πρόσκειται διὰ τὸ ἧται, τὸ σημαῖνον τὸ κάθηται· τοῦτο γὰρ καὶ ἀπὸ φωνήεντος ἄρχεται, καὶ ἀπὸ φύσει μακρᾶς, καὶ ὅμως

[y] ἔφιζε προπαροξυτόνως παρῳχημένος ἢ ποιητικῶς συστέλλει Bar.

ἀνεβίβασε τὸν τόνον, ἀλλ' οὐκ ἔστι παρῳχημένου χρόνου, ἀλλ' ἐνεστῶτος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι φαίνεται ὁ Ἡρωδιανὸς λέγων ἐν τοῖς Ἐπιμερισμοῖς ὅτι τὸ σύνοιδα οὐκ ἔστιν Αἰολικὸν, ἀλλὰ ψευδαιολικόν. Αἱ γὰρ δίφθογγοι Αἰολικαὶ οὐδέποτε τοῖς Αἰολεῦσι διαλύονται, οἷον τὸ τάλας καὶ μέλας καὶ ὄνειρος οἱ Αἰολεῖς τάλαις καὶ μέλαις καὶ ὄνοιρος λέγουσι· καὶ οὐ διαλύουσι τὴν ει (sic) δίφθογγον ἐπὶ τούτων, ἐπειδὴ Αἰολικαί
258 b εἰσιν αἱ δίφθογγοι· κατὰ γὰρ τὴν τῶν Αἰολέων διάλεκτον γεγόνασι· τὸ δὲ προίτου καὶ κοίλου διαλύουσι καὶ λέγουσι προΐτου καὶ κοΐλου, ἐπειδὴ αἱ δίφθογγοι αὗται οὐκ εἰσὶν Αἰολικαὶ, ἀλλὰ κοιναί. Εἰ οὖν τὸ σύνοιδα διαλύουσι, συνόϊδα λέγοντες, δηλονότι οὐκ ἔστιν ἡ οι δίφθογγος Αἰολικὴ, ἀλλὰ ψευδαιολικόν ἐστι τὸ σύνοιδα. Τούτων οὕτως ἐχόντων, δεῖ γινώσκειν ὅτι τὸ δεύτερον πρόσωπον τοῦ οἶδα κατὰ ἀναλογίαν, φημὶ δὴ τὸ οἶδας, κεκώλυται, ἀντ' αὐτοῦ δὲ τὸ οἶσθα κέχρηται [Il. β'. 192.]

οὐ γάρ πω σάφα οἶσθ' οἷος νόος Ἀτρείδαο

[Il. η'. 358.]

οἶσθα καὶ ἄλλον [z] μῦθον ἀμείνονα τοῦδε νοῆσαι·

εὕρηται δὲ καὶ μετὰ τοῦ ς [a] οἶσθας, ὡς παρὰ Κρατίνῳ ἐν Μαλθακοῖς.

Γέγονε δὲ τὸ οἶσθα τοῦτον τὸν τρόπον· τὸ οἶδα οἴδημι λέγουσιν οἱ Αἰολεῖς, τούτου τὸ δεύτερον οἴδης, καὶ κατ' ἐπέκτασιν τῆς θα συλλαβῆς οἴδησθα, ὥσπερ ἦσθα, καὶ κατὰ συγκοπὴν οἶσθα. Ταῦτα μὲν ἐν τούτοις.

Ζητοῦσι δὲ καὶ περὶ τοῦ ἔοργα πόθεν γέγονε; Καὶ ἔστιν εἰπεῖν, ὅτι ἔστι ῥέζω ῥέξω ἔρροργα ὁ μέσος παρακείμενος, καὶ καθ' ὑπερβιβασμὸν ἔοργα, τοῦ ἑνὸς ρ ἀποβληθέντος. Καὶ περὶ τοῦ ἔολπα δὲ ζητοῦσιν ὅτι πόθεν γέγονε; Καὶ ἔστιν εἰπεῖν, ὅτι ἔστιν ἔλπω, τούτου ὁ μέσος παρακείμενος ἦλπα, καὶ λοιπὸν προσθέσει τοῦ ο ἤολπα, καὶ κατὰ συστολὴν τοῦ η εἰς τὸ ε γινέται ἔολπα· ἢ ἀπὸ τοῦ ἔλπω γέγονεν ἤλπω καὶ κατὰ διάλυσιν τοῦ η εἰς β' εε ἔελπα καὶ κατὰ τροπὴν

[z] τρόπον ἀμείνω Bar. [a] οἶδας Bar. qui p. 593, 4. ὅτι οὐ δύναται.

τοῦ β' ε εἰς τὸ ο ἔολπα· ἢ ἀπὸ τοῦ ἔλπω τῷ λόγῳ τῆς παραληγούσης ὁ μέσος παρακείμενος γέγονεν ὄλπα, ὥσπερ λέγω λέλογα, καὶ πλεονασμῷ τοῦ ε ἔολπα. Λέγει δὲ ὁ Φιλόπονος, ὅτι δύναται ἀπὸ τοῦ ἔλπω εἶναι ὁ μέσος παρακείμενος ἔλπα τῷ λόγῳ τῶν ποιητικῶν Ἰωνικῶν, ὥσπερ ἄγω ἦγε, καὶ ποιητικῶς (καὶ) Ἰωνικῶς,

ἄγε δέ ἑ μοῖρα βαρεῖα,

καὶ πάλιν, ἅπτομαι ἡψάμην ἥψατο, καὶ ποιητικῶς καὶ Ἰωνικῶς

ἅψατο δ' ἡμιόνων·

οὕτως οὖν καὶ ἀπὸ τοῦ ἔλπω γέγονεν ὁ μέσος παρακείμενος ποιητικῶς καὶ Ἰωνικῶς ἔλπα, καὶ ἐπενθέσει τοῦ ο ἔολπα· οὐχ ὑγιῶς δὲ λέγει, τὰ γὰρ ποιητικὰ ἢ Ἰωνικὰ ἐν τῷ παρατατικῷ καὶ ἐν τῷ ἀορίστῳ μὲν συνάρχονται τῷ ἐνεστῶτι, οὐ μὴν ἐν τῷ παρακειμένῳ, οἷον ἄγω ἦγον, ἅπτομαι ἡψάμην. Λέγει δὲ ὁ Ἡρωδιανὸς ὅτι δύναται εἶναι ὡς ἀπὸ τρισυλλάβου τοῦ ἐέλπω, τούτου γὰρ ὁ μέσος παρακείμενος ἥελπα, καὶ κατὰ τροπὴν τοῦ ε εἰς τὸ ο, καὶ συστολῇ τοῦ η εἰς τὸ ε, ἔολπα.

Ζητοῦσι δὲ καὶ περὶ τοῦ ἔοικα, πόθεν γίνεται; Καὶ ἔστιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ εἴκω τοῦ σημαίνοντος τὸ ὁμοιῶ ὁ μέσος παρακείμενος γέγονεν εἶκα, καὶ ἐν διαιρέσει ἔϊκα, καὶ ἐπενθέσει τοῦ ο ἔοικα· ἢ ἀπὸ τοῦ εἴκω τῷ λόγῳ τῆς παραληγούσης γέγονεν οἶκα, ὥσπερ λείπω λέλοιπα, πείθω πέποιθα, καὶ ἐν πλεονασμῷ τοῦ ε ἔοικα.

Ζητοῦσι δὲ καὶ περὶ τοῦ ἔμμορε πόθεν γέγονε; Καὶ λέγουσιν, ὥσπερ ἀπὸ τοῦ κείρω κερῶ γέγονε κέκορα, οὕτως καὶ ἀπὸ τοῦ μείρω, τοῦ σημαίνοντος τὸ μερίζω, γέγονεν ὁ μέλλων μερῶ, καὶ μέμορα ὁ μέσος παρακείμενος, καὶ κατὰ ὑπερβιβασμὸν ἔμμορα. Ἔστι δὲ εἰπεῖν, ὅτι εἰ ἦν μέσος παρακείμενος, οὐκ ἂν εὑρίσκετο τὸ δεύτερον πρόσωπον ἔμμορες, ἀλλ' ἔμμορας, διὰ τοῦ α, ὥσπερ τέτυπας. Κρεῖττον οὖν ἔστιν εἰπεῖν, ὅτι δευτέρου ἀορίστου ἐστίν· ἀπὸ γὰρ
259 a τοῦ μορῶ, ὃ σημαίνει τὸ τυγχάνω, γέγονε μορήσω μεμόρηκα, καὶ ὁ δεύτερος ἀόριστος ἔμορον, καὶ ἐν πλεονασμῷ τοῦ μ

ἔμμορον. Ὅτι δὲ δευτέρου ἀορίστου ἐστὶ, δηλοῖ καὶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν εὑρισκόμενον ἔμμορον ἐκεῖνοι. Εἰ γὰρ ἦν μέσος παρακείμενος εἰς ΙΝ εἶχεν εἶναι, ὥσπερ τετύπασιν λέγουσι.

Ζητοῦσι δὲ καὶ περὶ τοῦ πέπονθα, ὅτι πόθεν γέγονε; Καὶ ἔστιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ πονῶ πονήσω πέπονα, καὶ πλεονασμῷ τοῦ Θ πέπονθα ὁ μέσος παρακείμενος· ἢ ἀπὸ τοῦ πήθω, ὃ σημαίνει τὸ πάθω, ἐξ οὗ ὁ δεύτερος ἀόριστος ἔπαθον, ὡς λήθω ἔλαθον, μήθω ἔμαθον, λήβω ἔλαβον, γέγονεν ὁ μέσος παρακείμενος πέπηθα, καὶ κατὰ τροπὴν τοῦ Η εἰς Ο καὶ πλεονασμῷ τοῦ Ν πέπονθα. Ἰστέον δὲ ὅτι βραχεῖα ἐστὶν ἡ τροπὴ τοῦ Η εἰς τὸ Ο, καὶ σπανίως εὑρίσκεται· τὸ γὰρ πέποσθε πληθυντικὸν, οἷον

ἐπεὶ κακὰ πολλὰ πέποσθε

ἀντὶ τοῦ πεπόνθατε, οὕτως γέγονεν· ἔστι πήθω, τὸ σημαῖνον τὸ σήπω καὶ πάσχω, πήσω πέπηκα πέπησμαι πεπήσμεθα πέπησθε, καὶ κατὰ τροπὴν τοῦ Η εἰς τὸ Ο πέποσθε· ἐὰν γὰρ ἀπὸ τοῦ πεπόνθατε αὐτὸ σχηματίσωμεν, πολλὰ πάθη παρέχομεν· ἀναγκαζόμεθα γὰρ δοῦναι συγκοπὴν τοῦ Α καὶ τοῦ Θ, καὶ ἀποβολὴν τοῦ Ν, καὶ πλεονασμὸν τοῦ Σ.

Ζητοῦσι δέ τινες καὶ περὶ τοῦ λέλογχα, πόθεν γέγονε; (σημαίνει δὲ τὸ ἐκληρωσάμην·) Καὶ ἔστιν εἰπεῖν ὅτι ἀπὸ τοῦ λέγω λέξω γέγονε λέλοχα, καὶ ἐν πλεονασμῷ τοῦ Ν γέγονε λέλονχα· ἢ ἀπὸ τοῦ λήχω, ἐξ οὗ ὁ β′ ἀόριστος ἔλαχον, γέγονε λέληχα, καὶ κατὰ τροπὴν τοῦ Η εἰς τὸ Ο καὶ πλεονασμῷ τοῦ Ν γέγονε λέλονχα, τὸ δὲ Ν εἰς τὸ Γ τρέπεται διὰ τὴν ἐπιφορὰν τοῦ Χ· καὶ γὰρ τὸ Ν ἐπιφερομένου τοῦ Γ ἢ Κ ἢ Χ ἢ Ξ ἐν μιᾷ λέξει τρέπεται εἰς τὸ Γ, οἷον συγγενὴς, συγκληρονόμος, συγχέω, συγξηραίνω. Πρόσκειται "ἐν μιᾷ λέξει" διὰ τὸ σὺν Γεωργίῳ· ἐνταῦθα γὰρ ἐπιφέρεται τὸ Γ, καὶ ὅμως οὐκ ἐτράπη τὸ Ν εἰς τὸ Γ· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπεὶ οὐκ ἔστιν ἐν μιᾷ λέξει, ἀλλὰ β′.

Ζητοῦσι δέ τινες καὶ περὶ τοῦ ἐγρηγόρθασιν, τὸ πόθεν γέγονε; Καὶ ἔστιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἀγείρω ἀγερῶ, ἐξ οὗ ἤγερκα ὁ ἐνεργητικὸς, γέγονεν ἤγειρα ὁ μέσος παρακεί-

μενος, καὶ ὁ Ἀττικὸς ἐγήγερκα, καὶ ἐν πλεονασμῷ τοῦ ρ ἐγρήγερα, καὶ κατὰ τροπὴν τοῦ ε εἰς ο καὶ πλεονασμῷ τοῦ θ ἐγρήγορθα, καὶ ἐκεῖθεν λοιπὸν τὸ ἐγρηγόρθασι τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν. Λέγει δὲ ὁ Φιλόπονος ὅτι καὶ ἀπὸ τοῦ ἐγρηγορῶ ἐνεστῶτος δύναται γενέσθαι ἐγρήγορα ὁ μέσος παρακείμενος, καὶ κατὰ πλεονασμὸν τοῦ θ ἐγρήγορθα, καὶ ἐκεῖθεν ἐγρηγόρθασιν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν. Ἰστέον δὲ ὅτι ἐὰν ἀπὸ τοῦ ἐγρηγορῶ κανονίσωμεν αὐτὸ, παραλόγως εὑρίσκεται ἡ ἄρχουσα τοῦ ἐγρήγορα μὴ τρέψασα τὸ ε εἰς η, ὥσπερ ἐπὶ τοῦ ἐγείρω ἤγερκα, ἐλεῶ ἠλέηκα, ἐρωτῶ ἠρώτηκα, ἐρευνῶ ἠρεύνηκα. Λέγουσι δέ τινες, ὅτι διὰ τί μὴ ἀπὸ τοῦ γρηγορῶ κανονίζομεν αὐτό; Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι πρῶτον μὲν τὸ γρηγορῶ οὐκ εἴρηται· ἐγρηγορῶ γάρ· λέγουσι δὲ ὅτι εἰ ἦν ἀπὸ τοῦ γρηγορῶ, γεγρηγόρηκα ὤφειλεν εἶναι, ὥσπερ γράφω γέγραφα.

259 b "Τέτυπας τέτυπε. Δυϊκὰ, τετύπατον τετύπατον. Πληθυντικὰ, τετύπαμεν τετύπατε τετύπασιν.

Ὑπερσυντελικός. Ἐτετύφειν. Πᾶς παρακείμενος τρέπων τὸ α εἰς ειν ὑπερσυντελικὸν ποιεῖ." Κανονίσας ὁ τεχνικὸς τὸν ἐνεργητικὸν παρακειμένον καὶ τὸν Ἀττικὸν καὶ τὸν μέσον τρέπεται ἐπὶ τὸν ὑπερσυντελικὸν, κανονίζει δὲ αὐτὸν ἐκ τοῦ παρακειμένου τροπῇ τοῦ α εἰς ειν. Ἰστέον ὅτι πᾶς παρακείμενος ἐνεργητικός τε καὶ μέσος, κοινός τε καὶ Ἀττικὸς, τρέπων τὸ α εἰς ειν τὸν ὑπερσυντελικὸν ποιεῖ, οἷον τέτυφα ἐτετύφειν, πεποίηκα ἐπεποιήκειν, ἔσταλκα ἐστάλκειν, δέδουπα ἐδεδούπειν, ἔστολα ἐστόλειν, ἀκήκοα ἀκηκόειν, ἀγήγοχα ἀγηγόχειν, ἀλήλιφα ἀληλίφειν· καὶ εἰ μὲν ἀπὸ συμφώνου ἄρχεται ὁ ἐνεργητικὸς παρακείμενος προσόδῳ τοῦ ε αὔξεται ἡ ἄρχουσα τοῦ παρατατικοῦ καὶ ὑπερσυντελικοῦ, οἷον τέτυφα ἐτετύφειν, πεποίηκα ἐπεποιήκειν, νενόηκα ἐνενοήκειν, λελάληκα ἐλελαλήκειν, λέλεκα ἐλελέκειν, δέδουπα ἐδεδούπειν, πέποιθα ἐπεποίθειν, κέχηνα ἐκεχήνειν, μέμηνα ἐμεμήνειν, χωρὶς τῶν Ἰωνικῶν δηλονότι· ἐκεῖνοι γὰρ τετύφειν λέγουσι χωρὶς τοῦ ε. Εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται ὁ παρακείμενος συνάρχεται ὁ ὑπερσυντελικός· ἔσταλκα ἐστάλ-

κειν, ἔφθαρκα ἐφθάρκειν, ἔκταγκα ἐκτάγκειν, ἐζωγράφηκα ἐζωγραφήκειν, ἐξύρικα ἐξυρίκειν, ἐψήφωκα ἐψηφώκειν, ἐλέηκα ἐλεήκειν, ἠρεύνηκα ἠρευνήκειν, ἔστολα ἐστόλειν, ἔσπορα ἐσπόρειν, ἔκτονα ἐκτόνειν. Δεῖ προσθεῖναι "χωρὶς τῶν Ἀττικῶν" ταῦτα γὰρ ἀπὸ βραχείας ἀρχόμενα κατὰ τὸν παρακείμενον ἐν τῷ ὑπερσυντελικῷ χρονικῶς μεγεθύνονται, οἷον ἀλήλιφα ἠληλίφειν, ὀμώμοκα ὠμομόκειν, ἀγήοχα ἀγηόχειν, ἐνήνοχα ἐνηνόχειν, ὄπωπα ὠπώπειν, ὄλωλα ὠλώλειν, ὄρωρα ὠρώρειν, ὄδωδα ὠδώδειν, πλὴν τοῦ ἐλήλυθα, ἐληλύθειν γὰρ ὁ ὑπερσυντελικὸς διὰ τοῦ ε, ὅθεν ἀναλογώτερόν φασι τὸ παρὰ Καλλιμάχῳ,

ὅθεν [a] εἰληλούθειν,

ὡς τρέψαν κατὰ τὸν ὑπερσυντελικὸν τοῦ παρῳχημένου.

Ἰστέον δὲ ὅτι σημειούμεθα καὶ ἕτερά τινα μὴ συναρχόμενα τῷ παρακειμένῳ κατὰ τὸν ὑπερσυντελικόν, οἷον τὸ οἶδα εἴδειν, καὶ τὸ ἕστακα εἱστήκειν· ἔστι γὰρ οἶδα ὁ μέσος παρακείμενος διὰ τῆς οι διφθόγγου, καὶ ὁ μέσος ὑπερσυντελικὸς εἴδειν ἐστὶ, καὶ οὐ διὰ τῆς οι διφθόγγου· ἐν μόνῳ γὰρ τῷ μέσῳ παρακειμένῳ ἐποιήσαντο οἱ Αἰολεῖς τὴν τροπήν. Οἷον τί ἐστι τὸ λεγόμενον· ἐστιν εἴδω, τούτου ὁ μέσος παρακείμενος εἶδα ἦν, καὶ κατὰ τροπὴν Αἰολικὴν τοῦ ε εἰς ο γέγονεν οἶδα, ὥσπερ ὄνειρος ὄνοιρος· τούτου χάριν ὁ μέσος ὑπερσυντελικὸς γέγονεν εἴδειν διὰ τῆς ει διφθόγγου, ὡς ἀπὸ τοῦ εἶδα μέσου παρακειμένου τοῦ διὰ τῆς ει διφθόγγου· καὶ λοιπὸν κατὰ ἔκτασιν Ἀττικὴν τοῦ ε εἰς τὸ η γέγονεν ᾔδειν διὰ τοῦ η καὶ ι, ὥσπερ εἰκάζω ᾔκαζον· πάλιν ἕστηκα ὁ μέσος παρακείμενος, καὶ ὤφειλεν εἶναι ὁ μέσος ὑπερσυντελικὸς ἑστήκειν, ἵνα συνάρξηται τῷ μέσῳ παρακειμένῳ, ἀλλ' ἐγένετο εἱστήκειν διὰ τῆς ει διφθόγγου διὰ τὴν τοιαύτην αἰτίαν· ἔστιν ὁ ἐνεστὼς τοῦ ἕστηκα ἑστήκω, ἐξ οὗ τὸ ἑστήξω ἑστήξειν,

ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι[ν] θεμέθλοις

παρὰ Καλλιμάχῳ ἐν Ὕμνοις· τούτου, φημὶ δὴ τοῦ ἑστήκω ἐνεστῶτος, τὸ δεύτερον καὶ τρίτον πρόσωπον ἑστήκεις ἑστήκει

[a] ἠληλούθειν Bar.

διὰ τοῦ ε [ἔμελλε τὸ δεύτερον αὐτοῦ καὶ τρίτον πρόσωπον εἶναι ἐσκήκεις ἐστήκει διὰ τοῦ ε,] καὶ εἶχε συνεμπεσεῖν τῷ
260 a δευτέρῳ καὶ τρίτῳ προσώπῳ τοῦ ἑστήκω ἐνεστῶτος· ἵνα οὖν μὴ συνεμπέσῃ ὁ ὑπερσυντελικὸς κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τῷ δευτέρῳ καὶ τρίτῳ προσώπῳ τοῦ ἐνεστῶτος, τούτου χάριν προσλαμβάνει τὸ ι καὶ γίνεται εἱστήκειν εἱστήκεις εἱστήκει διὰ τῆς ει διφθόγγου. Καὶ ἀποροῦσί τινες, λέγοντες, εἰ ἄρα ὁ ὑπερσυντελικὸς κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον μόνον εἶχε συνεμπεσεῖν τῷ δευτέρῳ καὶ τρίτῳ προσώπῳ τοῦ ἐνεστῶτος, οὐ μὴν καὶ κατὰ τὸ πρῶτον πρόσωπον· τὸ μὲν γὰρ πρῶτον πρόσωπον τοῦ ἐνεστῶτος ἑστήκω ἐστὶ, τὸ δὲ πρῶτον πρόσωπον τοῦ ὑπερσυντελικοῦ ἑστήκειν· διὰ τί μὴ μόνον κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον προσῆλθε τὸ ι, ἀλλὰ καὶ κατὰ τὸ πρῶτον; Ἔστιν οὖν εἰπεῖν ὅτι οὐκ ἠδύνατο κατὰ μόνον τὸ δεύτερον πρόσωπον προσελθεῖν τὸ ι καὶ τρίτον πρόσωπον, καὶ μὴ κατὰ τὸ πρῶτον· τὰ γὰρ τρία πρόσωπα συνάρχεσθαι θέλουσιν ἀλλήλοις, οἷον τύπτω τύπτεις τύπτει, ἔτυπτον ἔτυπτες ἔτυπτε, τέτυφα τέτυφας τέτυφε, ἐτετύφειν ἐτετύφεις ἐτετύφει, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως· οὕτως οὖν καὶ εἱστήκειν εἱστήκεις εἱστήκει· εἰ γὰρ ἐγένετο ἑστήκειν εἱστήκεις εἱστήκει, οὐκέτι συνήρχοντο ἀλλήλοις τὰ τρία πρόσωπα, ὅπερ ἐστὶν ἄτοπον. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα ὁ παρατατικὸς τοῦ ἐνεστῶτος ἐστὶ παρῳχημένος, ἐξ αὐτοῦ γὰρ κανονίζεται, καὶ ὁ ὑπερσυντελικὸς τοῦ παρακειμένου, καὶ ὁ ἀόριστος τοῦ μέλλοντος, διὰ τί ὁ μὲν ἐνεστὼς καὶ ὁ μέλλων τοὺς ἰδίους [b]παρῳχημένους μεγεθύνουσιν, ἢ χρονικῶς ἢ συλλαβικῶς, οἷον τύπτω ἔτυπτον, ἄγω ἦγον, καὶ πάλιν τύψω ἔτυψα, ἐλεήσω ἠλέησα, ὁ δὲ παρακείμενος οὐ μεγεθύνει τὸν ἴδιον παρῳχημένον, λέγω δὲ τὸν ὑπερσυντελικὸν, ἢ χρονικῶς ἢ συλλαβικῶς· συλλαβικῶς μὲν μεγεθύνει αὐτὸν, οἷον τέτυφα ἐτετύφειν, δέδουπα ἐδεδούπειν, οὐ μέντοι χρονικῶς· ἔσταλκα γὰρ

[b] χρόνους Bar.

καὶ ἐστάλκειν, ἔστολα ἐστόλειν, ἔφθορα ἐφθόρειν· εἰρήκαμεν γὰρ ἀνώτερον, ὅτι ἐὰν μὴ ἀπὸ φωνήεντος ἄρχηται ὁ παρακείμενος, συνάρχεται αὐτῷ ὁ ὑπερσυντελικὸς χωρὶς τῶν Ἀττικῶν καὶ τοῦ οἶδα εἴδειν, καὶ ἕστηκα εἱστήκειν; Ἔστιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ὅτι διὰ τοῦτο ὁ παρακείμενος οὐ μεγεθύνει χρονικῶς τὸν ὑπερσυντελικὸν, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι καθόλου οἱοσδήποτε τῶν παρῳχημένων, ἐὰν ἀπὸ μακρᾶς ἄρξηται φύσει ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἔχει ἀρχομένους καὶ τοὺς λοιποὺς παρῳχημένους· θέσει μὲν, οἷον ἔστελλον ἔσταλκα ἔστειλα, ἔφθειρον ἔφθαρκα ἔφθειρα, ἐζωγράφουν ἐζωγράφηκα ἐζωγράφησα, φύσει δὲ, οἷον ἠλέουν ἠλέηκα ἠλέησα, ἠρεύνουν ἠρεύνηκα καὶ ἠρεύνησα, ἡτοίμαζον ἡτοίμακα καὶ ἡτοίμασα· ἐπειδὴ οὖν ἡνίκα ὁ παρακείμενος ἀπὸ φωνήεντος ἄρχεται, πάντως καὶ ἀπὸ μακρᾶς ἄρχεται, χωρὶς τῶν Ἀττικῶν, οἷον ἔσταλκα, ἔφθαρκα, ἔσπαρκα, ἠρεύνηκα, ἡτοίμακα, ὥρακα, ἠρώτηκα, τούτου χάριν οὐ μεγεθύνεται χρονικῶς ὁ ὑπερσυντελικὸς, ἀλλ' ἔχει αὐτὸν συναρχόμενον ἑαυτῷ. Πρόσκειται "χωρὶς τῶν Ἀττικῶν" ἐπειδὴ ταῦτα ἀπὸ φωνήεντος ἀρχόμενα καὶ ἀπὸ βραχείας ἄρχονται κατὰ
260 b τὸν παρακείμενον, ἅτινα καὶ χρονικῶς μεγεθύνονται κατὰ τὸν ὑπερσυντελικὸν, οἷον ἀλήλιφα ἠληλίφειν, ἀκήκοα ἠκηκόειν, ἀγήγοχα ἠγηγόχειν, ὀμώμοκα ὠμωμόκειν, χωρὶς τοῦ ἐλήλυθα· τοῦτο γὰρ ἀπὸ βραχείας ἀρχόμενον κατὰ τὸν παρακείμενον οὐ μεγεθύνεται κατὰ τὸν ὑπερσυντελικὸν, ἐληλύθειν γάρ ἐστιν ὁ ὑπερσυντελικὸς διὰ τοῦ ε, καὶ τὴν αἰτίαν μετ' ὀλίγον εἰσόμεθα.

Ἀποροῦσι δέ τινες, λέγοντες, εἰ ἄρα, ὡς εἴρηται, καθόλου οἱοσδήποτε ἐκ τῶν παρῳχημένων, ἐὰν ἀπὸ μακρᾶς ἄρξηται φύσει ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἔχει ἀρχομένους καὶ τοὺς λοιποὺς παρῳχημένους, οἷον ἔστελλον ἔσταλκα ἔστειλα, ἠλέουν ἠλέηκα ἠλέησα· διὰ ποίαν αἰτίαν ἐκ τοῦ ἐναντίου τοῦ Ἀττικοῦ ὑπερσυντελικοῦ ἀπὸ μακρᾶς ἀρχομένου, ἠκηκόειν γὰρ καὶ ἠληλίφειν καὶ ὠμωμόκειν, ὁ παρακείμενος ὁ Ἀττικὸς οὐκ ἄρχεται ἀπὸ μακρᾶς ἀλλ' ἀπὸ βραχείας, ἀκήκοα γὰρ καὶ ἀλήλιφα καὶ ὀμώμοκα; Καὶ ἔστιν εἰπεῖν, ὅτι ταῦτα

διαλέκτου εἰσὶν ἰδιώματα, καὶ οὐκ ἀναγκαῖά εἰσιν εἰς ἀνατροπὴν τῶν κοινῶν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐώλπειν καὶ ἐῴκειν καὶ ἐώργειν ὑπερβιβασμὸν ἀνεδέξαντο τοῦ χρόνου. Ἔστι γὰρ ὁ μέσος παρακείμενος ἔολπα καὶ ἔοργα καὶ ἔοικα, καὶ λοιπὸν ὁ ὑπερσυντελικὸς ὤφειλεν εἶναι ἠόλπειν καὶ ἠόργειν καὶ ἠοίκειν, ἀλλὰ κατὰ ὑπερβιβασμὸν τοῦ χρόνου γεγόνασι ταῦτα, ἐώλπειν ἐώργειν ἐώκειν, τῆς μὲν πρώτης συλλαβῆς συσταλείσης εἰς τὸ ε, τῆς δὲ δευτέρας ἐκταθείσης εἰς τὸ ω, ὥσπερ ἐπὶ τοῦ ἑορτάζω ἑώρταζον γέγονε· τούτου ὁ παρατατικὸς ὤφειλεν εἶναι ἠόρταζον, καὶ γέγονε κατὰ ὑπερβιβασμὸν τοῦ χρόνου ἑώρταζον, τῆς μὲν πρώτης συλλαβῆς συστελλούσης (ταλείσης) εἰς τὸ ε, τῆς δὲ δευτέρας ἐκταθείσης εἰς ω. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ τί ὅλως πεπόνθασιν ὑπερβιβασμὸν, φημὶ δὲ τὸ ἐώλπειν καὶ ἐώκειν καὶ ἐώργειν; Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ἐπειδὴ ταῦτα πεπονθότα ὄντα, ὡς ἐν τῷ μέσῳ παρακειμένῳ μεμαθήκαμεν, ἔχουσι τὸν παρακείμενον ἀπὸ φωνήεντος ἀρχόμενον καὶ ἀπὸ βραχείας, οἷον ἔοικα, ἔολπα, ἔοργα, ἠναγκάζοντο κατὰ τὸν ὑπερσυντελικὸν μεγεθυνθῆναι χρονικῶς, καὶ γενέσθαι ἠόλπειν καὶ ἠόργειν καὶ ἠοίκειν· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ἐὰν ἀπὸ φωνήεντος ἄρξηται ὁ παρακείμενος καὶ ἀπὸ βραχείας χρονικῶς αὔξεται κατὰ τὴν ἄρχουσαν ὁ ὑπερσυντελικὸς, ἀλήλιφα ἠληλίφειν, ὀμώμοκα ὠμωμόκειν, ἀγήγοχα ἠγηγόχειν, ἀκήκοα ἠκηκόειν, χωρὶς τοῦ ἐλήλυθα, ἐληλύθειν γὰρ ὁ ὑπερσυντελικὸς διὰ τοῦ ε. Ἐπειδὴ οὖν, ὡς εἴρηται, τὸ ἐώλπειν καὶ ἐώργειν καὶ ἐώκειν πεπονθότα ὄντα ἐν τῷ παρακειμένῳ ἀπὸ φωνήεντος ἄρχονται καὶ ἀπὸ βραχείας, τούτου χάριν ἠναγκάζοντο μεγεθυνθῆναι χρονικῶς κατὰ τὸν ὑπερσυντελικὸν, καὶ γενέσθαι ἠόλπειν καὶ ἠόργειν καὶ ἠοίκειν· ἀλλ' ἐπειδὴ ἕτερος κανών ἐστιν ὁ λέγων, ὅτι πᾶς παρακείμενος ἀπὸ φωνήεντος ἀρχόμενος πάντως ἔχει τὸν ὑπερσυντελικὸν συναρχόμενον αὐτῷ, οἷον ἔφθαρκα ἐφθάρκειν, ἠλέηκα ἠλεήκειν, εὕρηκα εὑρήκειν, χωρὶς τῶν Ἀττικῶν, ὀμώμοκα γὰρ ὠμωμόκειν, καὶ ἀκήκοα ἠκηκόειν, ἀγήγοχα ἠγηγόχειν, ἀλήλιφα ἠληλίφειν, τούτου χάριν ὑπερβιβασμὸν ἀνεδέξαντο τοῦ

χρόνου, ἵνα συνάρξωνται τῷ παρακειμένῳ, καὶ λοιπὸν ἐγένοντο ἐώλπειν καὶ ἐώργειν καὶ τὸν κεχρεωστημένον χρόνον τῇ πρώτῃ συλλαβῇ κατὰ τὴν δευτέραν ἀναδεχόμενα. "Χωρὶς δὲ τῶν Ἀττικῶν" πρόσκειται, ἐπειδὴ ὅλα τὰ Ἀττικὰ ἐν τῷ ὑπερσυντελικῷ χρονικῶς μεγεθύνονται, οἷον ἀλήλιφα ἠληλίφειν, ἀγήγοχα ἠγηγόχειν, ἀκήκοα ἠκηκόειν, ὀμώμοκα ὠμωμόκειν, ἐνήνοχα ἠνηνόχειν, χωρὶς τοῦ ἐλήλυθα· τοῦτο γὰρ οὐ μεγεθύνεται κατὰ τὸν ὑπερσυντελικὸν, ἐληλύθειν γὰρ ἐστὶν ὁ ὑπερσυντελικὸς διὰ τοῦ ε. Καὶ ἡ αἰτία ἐστὶν αὕτη· τὸ ἐλήλυθα κατὰ τὸν ὑπερσυντελικὸν διὰ τοῦ η οὐκ ἠδύνατο εἶναι, ἐπειδὴ πέφυκε ὁ παρακείμενος προσλαμβάνειν τὸ ι κατὰ τὴν ἄρχουσαν καὶ γίνεσθαι εἰλήλουθα, ὡς παρὰ τῷ ποιητῇ,

τίπτ' αὖ αἰγιόχοιο Διὸς τέκος εἰλήλουθας·

τοῦ οὖν παρακειμένου διὰ τῆς ει διφθόγγου ὄντος οὐκ ἠδύνατο ὁ ὑπερσυντελικὸς διὰ τοῦ η εἶναι. Κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι πᾶς παρακείμενος ἀπὸ μακρᾶς ἀρχόμενος ἀπὸ τῆς αὐτῆς ἔχει καὶ τὸν ὑπερσυντελικὸν ἀρχόμενον, οἷον ἔφθαρκα ἐφθάρκειν, ἔσταλκα ἐστάλκειν, ἠλέηκα ἠλεήκειν. Εἰκότως οὖν οὐκ ἠδύνατο διὰ τοῦ η εἶναι ὁ ὑπερσυντελικός· ἀλλ' οὔτε διὰ τῆς ει διφθόγγου ἠδύνατο εἶναι, ἐπειδὴ πάντα τὰ ῥήματα, εἴτε ὑπὲρ δύο συλλαβὰς, εἴτε βαρύτονα, εἴτε περισπώμενα ὦσι, τρέπουσι τὸ ε εἰς τὸ η κατὰ τοὺς παρῳχημένους, οἷον ἐθέλω ἤθελον, ἐλέγχω ἤλεγχον, ἑρμηνεύω ἡρμήνευον, ἑτοιμάζω ἡτοίμαζον, ἐρωτῶ ἠρώτων, ἐλεῶ ἠλέουν, ἐρευνῶ ἠρεύνων, χωρὶς τοῦ ἐθίζω εἴθιζον, καὶ ἐρύω εἴρυον, καὶ ἑλκύω εἵλκυον, καὶ ἑρπύζω εἵρπυζον, καὶ ἑστιῶ εἱστίων· τὸ γὰρ ἐργάζομαι εἰργαζόμην τινὲς μὲν διὰ τοῦ η γράφουσι, τινὲς δὲ διὰ τῆς ει διφθόγγου, οἵτινες καὶ ἀκριβέστεροί εἰσι· μὴ δυνάμενον οὖν τὸ ἐλήλυθα κατὰ τὸν ὑπερσυντελικὸν μήτε διὰ τοῦ η γενέσθαι, μήτε διὰ τῆς ει διφθόγγου, ἐξ ἀνάγκης συνήρξατο τῷ παρακειμένῳ τῷ ἐλήλυθα, καὶ γέγονεν ἐληλύθειν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι οἱ Ἴωνες τὴν ει δίφθογγον τὴν οὖσαν ἐν τῷ ὑπερσυντελικῷ διαλύουσιν ἐν μὲν τῷ πρώτῳ προσώπῳ εἰς

Α, οἷον ἐτετύφειν ἐτετύφεα, ἐπεποιήκειν ἐπεποιήκεα, τοῦ Ν ἀποβληθέντος, ἐπειδὴ τὸ Α ἀποβλητικόν ἐστι τοῦ Ν, Ξέρξην Ξέρξεα, Πολυδεύκην Πολυδεύκεα, ἦν ἔα,

ἦ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι·

τὸ γὰρ μοῦσα μούσης (μοῦσαν) καὶ ἔτυψα ἔτυψαν ἀπὸ κλίσεως ἔχουσι τὸ Ν καὶ οὐκ εἰσὶ κατὰ πάθος ὥσπερ ταῦτα, ἐν δὲ τῷ τρίτῳ προσώπῳ εἰς δύο ΕΕ διαλύουσι τὴν ΕΙ δίφθογγον,
261 b οἷον ἐτετύφει ἐτετύφεε. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν ἐν μὲν τῷ α΄ προσώπῳ τὴν ΕΙ δίφθογγον εἰς Ε καὶ Α διαλύουσιν οἱ Ἴωνες, οἷον ἐτετύφειν ἐτετύφεα, ἐν δὲ τῷ γ΄ εἰς τὸ ΕΕ, οἷον ἐτετύφειν ἐτετύφεε; Καὶ λέγομεν ὅτι τὸ Α χαρακτηριστικόν ἐστι τοῦ πρώτου προσώπου, οὐ μέντοι τὸ Ε, οἷον ἔγραψα, τὸ δὲ Ε τρίτου προσώπου, οὐ μέντοι τὸ Α, οἷον ἔτυψε, ἔλεγε· τὸ γὰρ ἐβόα ἀπὸ τοῦ ἐβόαε γέγονε κατὰ κρᾶσιν τοῦ Ε καὶ Α εἰς Α, μακρὸν δηλονότι, ὥσπερ τὰ ἐμὰ τἀμά· τὸ δὲ οὖτα,

οὖτα με Τυδέος υἱὸς ὑπέρθυμος Διομήδης,

ἀπὸ τοῦ οὔταε ἐγένετο κατὰ ἀποκοπήν. Εἰκότως οὖν ἐν μὲν τῷ πρώτῳ προσώπῳ εἰς Ε καὶ Α ἐγένετο ἡ διάλυσις τῆς ΕΙ διφθόγγου· γνήσιον γάρ ἐστι τοῦ πρώτου προσώπου τὸ Α, ὡς εἴρηται· ἐν δὲ τῷ τρίτῳ εἰς δύο ΕΕ· γνήσιον γάρ ἐστι τοῦ τρίτου προσώπου τὸ Ε.

Ἀποροῦσι δέ τινες, λέγοντες, εἰ ἄρα εὑρίσκεται τὸ δεύτερον πρόσωπον εἰς ΑΣ λῆγον, ὡς ἐπὶ τοῦ ἔτυψας, ἐποίησας, διὰ τί οἱ Ἴωνες τὴν ΕΙ δίφθογγον τὴν οὖσαν ἐν τῷ δευτέρῳ προσώπῳ τοῦ ὑπερσυντελικοῦ οὐ διαλύουσι εἰς ΕΑ ἀλλ' εἰς δύο ΕΕ, οἷον ἐτετύφεις ἐτετύφεες; Καὶ ἔστιν εἰπεῖν, ὅτι γνησία ἐστιν καὶ ἡ διάλυσις τῆς ΕΙ διφθόγγου εἰς β΄ ΕΕ, οὐ μέντοι εἰς Ε καὶ Α. Εἰ γὰρ τὰ δύο ΕΕ συναιρούμενα τὴν ΕΙ δίφθογγον ἀποτελοῦσιν, οἷον Πηλέες Πηλεῖς, δηλονότι καὶ διαλυομένη ἡ ΕΙ δίφθογγος εἰς τὰ β΄ ΕΕ θέλει διαλύεσθαι, ἐξ ὧν καὶ συνίσταται, καὶ οὐκ εἰς τὸ Ε καὶ Α· τούτου χάριν εἰς β΄ ΕΕ γέγονεν ἡ διάλυσις τῆς ΕΙ διφθόγγου ἐν τῷ δευτέρῳ προσώπῳ, καὶ οὐκ εἰς τὸ Ε καὶ Α. Ἐν τῷ

πρώτῳ προσώπῳ ἐξ ἀνάγκης γενομένη εἰς ε καὶ α ἡ διάλυσις τῆς ει διφθόγγου διὰ τὸ α εἶναι χαρακτηριστικὸν τοῦ πρώτου προσώπου, οὐ μὲν τὸ ε, οἷον ἔγραψα, ἐποίησα. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι οἱ Ἀθηναῖοι τὸ διαλυθὲν ἐκ τῶν Ἰώνων συναιροῦσι καὶ ποιοῦσιν εἰς η, ἐπεποιήκη λέγοντες, ὅθεν καὶ τὸ "ἐκεχήνη ἐγώ" παρ' Ἀριστοφάνει ἐν Ἀχαρνεῦσιν, [10.]

ὅτε δὴ ἐκεχήνη προσδοκῶν τὸν Αἰσχύλον·

ἦν γὰρ ἐκεχήνη(νειν) ὁ ὑπερσυντελικὸς διὰ τῆς ει διφθόγγου, καὶ λοιπὸν ἐποίησαν αὐτὸ οἱ Ἴωνες κατὰ διάλυσιν ἐκεχήνεα, καὶ ἐκεῖθεν οἱ Ἀθηναῖοι ἐκεχήνη κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η, ὥσπερ τείχεα τείχη· καὶ πάλιν τὸ ᾔδειν οἱ Ἴωνες λέγουσιν ᾔδεα κατὰ διάλυσιν, ὡς παρὰ Καλλιμάχῳ,

ᾔδεα μᾶλλον ἔγωγε,

ἀντὶ τοῦ ᾔδειν· καὶ λοιπὸν οἱ Ἀθηναῖοι κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η ᾔδη· περὶ δὲ τούτου ἀκριβέστερον μεμαθήκαμεν ἐν τῷ τρίτῳ προσώπῳ τῶν ἑνικῶν τοῦ ἐνεργητικοῦ παρακειμένου, ἡνίκα ἐλέγομεν, ὅτι οὐδέποτε τρίτον πρόσωπον συμφωνεῖ κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ κατὰ τὴν αὐτὴν διάλεκτον· ὁμοίως δὲ καὶ τὸ "ἦν ἐγώ," ἀντὶ τοῦ ὑπῆρχον, διαλύουσιν οἱ Ἴωνες εἰς ε καὶ α, καὶ λέγουσιν ἔα, ὡς παρ' Ὁμήρῳ,

ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῆσι,

καὶ λοιπὸν οἱ Ἀθηναῖοι συναιροῦσι τὸ ε καὶ α εἰς η, καὶ λέγουσι χωρὶς τοῦ ν ἦ, ἀντὶ τοῦ ὑπῆρχον, ὡς παρ' Ἀριστοφάνει ἐν Ὄρνισιν [97.]

ἦ γὰρ ἐγὼ ξένοι (ὦ ξένοι)
ἄνθρωπος

ἀντὶ τοῦ ὑπῆρχον, καὶ παρὰ Πλάτωνι ἡ χρῆσις εὕρηται.
262 a Ταῦτα μὲν ἐν τούτοις.

Καὶ ἄξιον ἐστὶ ζητῆσαι τοῦτο, εἰ εὐλόγως ἐν τῷ πρώτῳ προσώπῳ οἱ Ἀττικοὶ εἰς η ποιοῦσι τὴν συναίρεσιν, ἐπειδὴ ἡ ἐντέλεια τὸ ε καὶ α ἔχει, οἷον ἐκεχήνεα ἐκεχήνη, τὸ δὲ ε καὶ α εἰς η κιρνᾶται, οἷον τείχεα τείχη, ἐν τῷ τρίτῳ προσώπῳ

τῆς ἐντελείας διὰ τῶν δύο ΕΕ οὔσης, διὰ τί εἰς Η ἐποίησαν τὴν συναίρεσιν, οἷον ἐκεχήνεε ἐκεχήνη ἐκεῖνος, καὶ μὴ εἰς τὴν ΕΙ δίφθογγον, ὡς ἐπὶ τοῦ Πηλέες Πηλεῖς; Ἔστιν οὖν εἰπεῖν, ὅτι, ὡς ἐμάθομεν ἐν τοῖς προλαβοῦσι, καθόλου ἐπὶ τῶν παρῳχημένων τῶν ὁριστικῶν τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν ἑνικῶν τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν τῷ ἰδίῳ πρώτῳ κατὰ τὴν λήγουσαν, ἡνίκα ἰσοσυλλαβοῦσιν αὐτῷ, οἷον ἔτυπτον ἔτυπτες ἔτυπτε, τέτυφα τέτυφας τέτυφε, ἐποίουν ἐποίεις ἐποίει, ἐβόων ἐβόας ἐβόα, ἐχρύσουν ἐχρύσους ἐχρύσου· εἰ οὖν τὸ πρῶτον τὸ "ἐκεχήνη ἐγὼ" δι' ἑνὸς φωνήεντος ἐκφέρεται κατὰ τὴν λήγουσαν, πῶς δύναται τὸ τρίτον τὸ ἐκεχήνη ἐκεῖνος διὰ δύο φωνηέντων ἐκφέρεσθαι κατὰ τὴν λήγουσαν; Ἀναγκαίως οὖν καὶ ἐπὶ αὐτοῦ ἐποίησαν εἰς Η τὴν συναίρεσιν.

"Ἐτετύφεις."

Ἐνταῦθα τὸ δεύτερον πρόσωπον τοῦ ὑπερσυντελικοῦ κανονίζει, καὶ λέγει, ὅτι πᾶν πρῶτον πρόσωπον εἰς Ν λῆγον μετὰ φυσικῆς μακρᾶς μὴ ἔχον τὸ Ν κλιτικὸν τροπῇ τοῦ Ν εἰς Σ τὸ δεύτερον ποιεῖ, ἐτετύφειν ἐτετύφεις, ἐδάρην ἐδάρης, ἐνύγην ἐνύγης, ἔγνων ἔγνως, ἐβίων ἐβίως, ἐτίθην ἐτίθης, ἵστην ἵστης, ἐδίδων ἐδίδως, ἐζεύγνυν ἐζεύγνυς, οὕτως οὖν καὶ ἐτετύφειν ἐτετύφεις, καὶ ἐπεποιήκειν ἐπεποιήκεις, καὶ ἐτετύπειν ἐτετύπεις, καὶ ἐδεδούπειν ἐδεδούπεις. Πρόσκειται "εἰς Ν λῆγον" διὰ τὸ τύπτω· τοῦτο γὰρ οὐ τροπῇ τοῦ Ν εἰς Σ τὸ δεύτερον πρόσωπον ποιεῖ, ἐπειδὴ οὐ λήγει εἰς Ν. Πρόσκειται "μετὰ μακρᾶς" διὰ τὸ ἔτυπτον· τοῦτο γὰρ εἰς Ν λήγει, καὶ οὐ ποιεῖ τροπῇ τοῦ Ν εἰς Σ τὸ δεύτερον πρόσωπον· οὐδὲ γὰρ λέγομεν, ἔτυπτος, ἀλλὰ ἔτυπτες· ἀλλ' οὐκ ἔστι μετὰ μακρᾶς, ἀλλὰ μετὰ βραχείας. "Μετὰ φυσικῆς" δὲ πρόσκειται "μακρᾶς" διὰ τὸ ἐποίουν καὶ ἐβόων, καὶ διὰ τοὺς ἀπὸ περισπωμένων παρατατικούς, οὗτοι γὰρ εἰς Ν λήγουσι μετὰ μακρᾶς, καὶ οὐ τρέπουσι τὸ Ν εἰς τὸ Σ, καὶ ποιοῦσι τὸ δεύτερον πρόσωπον, οὐδὲ γὰρ λέγομεν ἐποίους, ἐβόως, ἀλλ' ἐποίεις, καὶ ἐβόας, ἐπειδὴ τούτων οὐκ ἔστι φυσικὴ μακρά, ἀλλ' ἐκ συναιρέσεως, ἀπὸ γὰρ τοῦ ἐποίεον γέγονε τὸ ἐποίουν, καὶ ἀπὸ τοῦ ἐβόαον ἐγίνετο τὸ ἐβόων. Εἰ δέ τις

εἴποι καὶ ὡς οἱ παρατατικοὶ τῆς τρίτης συζυγίας τῶν περισπωμένων μὴ ἔχοντες φυσικὴν μακρὰν, (καὶ αὐτοὶ γὰρ ἀπὸ συναιρέσεως ἔχουσιν αὐτὴν, οἷον ἐχρύσοον ἐχρύσουν, ἐστεφάνοον ἐστεφάνουν,) τροπῇ τοῦ Ν εἰς τὸ Σ ποιοῦσι τὸ δεύτερον πρόσωπον, οἷον ἐχρύσουν ἐχρύσους, ἐστεφάνουν ἐστε-
262 b φάνους, λέγομεν ὅτι οὐδὲ ἐπὶ τούτων ἐγένετο τροπῇ τοῦ Ν εἰς Σ τὸ δεύτερον πρόσωπον, ἀλλ' ἡ συναίρεσις ἐστὶν ἡ αἰτία τοῦ ἐν τῷ πρώτῳ προσώπῳ καὶ ἐν τῷ δευτέρῳ τὴν ΕΙ δίφθογγον εὑρεθῆναι· ἀπὸ γὰρ τοῦ ἐχρύσοον καὶ ἐστεφάνοον γέγονε τὸ ἐχρύσουν καὶ ἐστεφάνουν κατὰ κρᾶσιν τῶν δύο ΟΟ εἰς τὴν ΟΥ δίφθογγον· τὰ γὰρ δύο ΟΟ εἰς τὴν ΟΥ δίφθογγον κιρνᾶται, οἷον νόος νοῦς, πλόος πλοῦς, ῥόος ῥοῦς· καὶ πάλιν ἀπὸ τοῦ ἐχρύσοες καὶ ἐστεφάνοες ἐγένετο ἐχρύσους καὶ ἐστεφάνους, κατὰ κρᾶσιν τοῦ Ο καὶ Ε εἰς τὴν ΟΥ δίφθογγον, οἷον τὸ ἐμὸν τοὐμὸν, προέστη προὔστη, καὶ λοιπὸν ἐν τῷ πρώτῳ προσώπῳ καὶ ἐν τῷ δευτέρῳ εἰς τὴν ΟΥ δίφθογγον γενομένης τῆς κράσεως ἐγίνετο ὑπόνοια τροπῇ τοῦ Ν εἰς τὸ Σ γενέσθαι τὸ δεύτερον πρόσωπον. Πρόσκειται "μὴ ἔχον τὸ Μ κλιτικὸν" διὰ τὸ ἐτυπτόμην καὶ ἐλεγόμην καὶ τὰ ὅμοια. Ταῦτα γὰρ εἰς Ν λήγουσι μετὰ φυσικῆς μακρᾶς, καὶ ὅμως οὐ ποιοῦσι τροπῇ τοῦ Ν εἰς Σ τὸ δεύτερον πρόσωπον, οὐδὲ γὰρ λέγομεν ἐτυπτόμης καὶ ἐλεγόμης, ἀλλ' ἐτύπτου καὶ ἐλέγου· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν ταῦτα, ἐπειδὴ κλιτικὸν ἔχουσι τὸ Μ, ἤγουν ἀπὸ κλίσεως· ὁ γὰρ ἐνεστὼς, τουτέστι τὸ θέμα, οὐκ ἔχει τὸ Μ, λέγω γὰρ καὶ τύπτω ἐστί· τὸ δὲ ἐδάμην ἔχον τὸ Μ, καὶ τρέπον τὸ Ν εἰς τὸ Σ, καὶ ποιοῦν τὸ δεύτερον πρόσωπον, οἷον ἐδάμης, οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔχει τὸ Μ κλιτικὸν, ἀλλὰ θεματικὸν, ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· δάμνω γάρ ἐστιν ὁ ἐνεστώς.

"Ἐτετύφει. Εἴρηται. Δυϊκὰ, ἐτετύφειτον, ἐτετυφείτην." Ἰστέον ὅτι τὸ μὲν πρῶτον πρόσωπον τῶν δυϊκῶν ἐπιλιμπάνει ἐνταῦθα, ἐπειδὴ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχει τὸ Μ, ἐτετύφειμεν γάρ ἐστι. Τὸ β' δὲ τῶν δυϊκῶν ἀπὸ τοῦ β' τῶν πληθυντικῶν γέγονε τροπῇ τοῦ Ε εἰς ΟΝ, ἐτετύφειτε ἐτετύφειτον· τὸ δὲ

τρίτον τῶν δυϊκῶν οὐχ ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπεὶ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς ΣΙ λήγει, οὔτε εἰς ΤΑΙ· ἐτετύφει(σαν) γάρ ἐστι τὸ τρίτον τῶν πληθυντικῶν· γέγονε δὲ τὸ τρίτον τῶν δυϊκῶν ἀπὸ τοῦ ἰδίου δευτέρου τροπῇ τοῦ Ο εἰς Η, οἷον ἐτετύφειτον ἐτετυφείτην.

"Πληθυντικὰ—ἐτετύφειμεν."

Εἴρηται ὁ κανὼν ἐν τῷ παρατατικῷ, ὅτι πᾶν πρῶτον πρόσωπον εἰς Ν λῆγον, μὴ ἔχον τὸ Μ κλιτικὸν, πρὸ τοῦ Ν λαμβάνον τὸ Μ καὶ Ε τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, οἷον ἐτύφθην ἐτύφθημεν, ἐδάρην ἐδάρημεν, ἐποίουν ἐποιοῦμεν, ἐβόων ἐβοῶμεν, ἐχρύσουν ἐχρυσοῦμεν, ἔτυπτον ἐτύπτομεν, ἔγραφον ἐγράφομεν, οὕτως οὖν καὶ ἐτετύφειν ἐτετύφειμεν· περὶ γὰρ τοῦ ἐτίθην ἐτίθεμεν, καὶ τοῦ ἵστην ἵσταμεν, καὶ ἐδίδων ἐδίδομεν, καὶ ἐζεύγνυν ἐζεύγνυμεν, ὅτι συνέστειλαν τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς, ἐν τοῖς εἰς ΜΙ, εἰ θεῷ φίλον, μαθησόμεθα.

"Ἐτετύφειτε." Εἴρηται ὅτι τὰ εἰς ΜΕΝ πληθυντικὰ τροπῇ τῆς ΜΕΝ εἰς ΤΕ τὸ δεύτερον ποιοῦσι, τὴν δὲ παραλήγουσαν οὐκ ἔτρεψαν, ἐπειδὴ ἔχει τὴν μετοχὴν εἰς Σ, τετυφὼς γάρ ἐστιν ἡ μετοχή.

"Ἐτετύφεισαν." Κανονίζει τὸ πρῶτον (τρίτον) πρόσωπον τῶν πληθυντικῶν. ("Τὰ εἰς ΜΕΝ πληθυντικὰ) ἀπὸ τῶν εἰς Ν φύσει μακροκαταλήκτων κεκλιμένα εἰς ΣΑΝ ποιοῦσι τὸ τρίτον"
263 a τῶν πληθυντικῶν, οἷον ἐτύφθην ἐτύφθημεν ἐτύφθησαν, ἐδάρην ἐδάρημεν ἐδάρησαν, ἔγνων ἔγνωμεν ἔγνωσαν, ἔβην ἔβημεν ἔβησαν, τυφθείην τυφθείημεν τυφθείησαν, ἐτίθην ἐτίθεμεν ἐτίθεσαν, ἵστην ἵσταμεν ἵστασαν, ἐδίδων ἐδίδομεν ἐδίδοσαν, ἐζεύγνυν ἐζεύγνυμεν ἐζεύγνυσαν, ἐβίων ἐβίωμεν ἐβίωσαν, ἦμεν ἦσαν· οὕτως οὖν ἐτετύφειν ἐτετύφειμεν ἐτετύφεισαν, ἐπεποιήκειν ἐπεποιήκειμεν ἐπεποιήκεισαν, ἐδεδούπειν ἐδεδούπειμεν ἐδεδούπεισαν· περὶ δὲ τοῦ ἐκοσμήθημεν ἐκοσμήθησαν καὶ τοῦ ἔβην ἔβημεν ἔβησαν καὶ τοῦ ἔφην ἔφημεν ἔφησαν, ὅτι γίνονται ποιητικῶς κόσμηθεν, καὶ ἔβαν, καὶ ἔφαν, οἷον,

αὐτὰρ ἐπεὶ κόσμηθεν

καὶ

πῇ δὲ ἔβαν εὐχωλαὶ,

εἰρήκαμεν ἐν τῷ τρίτῳ προσώπῳ τοῦ παρατατικοῦ τῶν πληθυντικῶν. Πρόσκειται ἐν τῷ κανόνι "ἀπὸ τῶν εἰς Ν φύσει μακροκαταλήκτων" διὰ τὸ ἐποίουν καὶ ἐβόων καὶ ἐχρύσουν, ταῦτα γὰρ εἰς Ν λήγουσι μετὰ μακρᾶς, καὶ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν εἰς ΜΕΝ ἔχουσιν, οἷον ἐποιοῦμεν, ἐβοῶμεν, ἐχρυσοῦμεν, καὶ ὅμως οὐ ποιοῦσιν εἰς ΣΑΝ τὸ τρίτον τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν ἐποιοῦσαν καὶ ἐβοῶσαν καὶ ἐχρυσοῦσαν, ἀλλ' ἐποίουν καὶ ἐβόων καὶ ἐχρύσουν, ἐπειδὴ οὐκ ἔστιν ἐπ' αὐτῶν ἡ μακρὰ ἡ ἐν τῷ πρώτῳ προσώπῳ τῶν ἑνικῶν φύσει· ἀπὸ γὰρ συναιρέσεως ταῦτα τὰ μακρὰ ἔχουσιν· ἀπὸ γὰρ τοῦ ἐποίεον γέγονεν ἐποίουν, καὶ ἀπὸ τοῦ ἐβόαον γέγονεν ἐβόων, καὶ ἀπὸ τοῦ ἐχρύσοον γέγονεν ἐχρύσουν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐτετύφεσαν λέγουσιν οἱ Ἴωνες χωρὶς τοῦ Ι κατὰ τὴν παραλήγουσαν καὶ ἐγεγράφεσαν, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως, οἷς τισι καὶ οἱ Ἀττικοὶ πολλάκις ἀκολουθοῦσιν, ἐπεποιήκεσαν λέγοντες. Ὁ δὲ κανὼν ταῦτα πάντα μετὰ τοῦ Ι ἀπαιτεῖ, οἷον ἐπεποιήκεισαν, ἐγεγράφεισαν, διὰ τῆς ΕΙ διφθόγγου, ἐπειδὴ ἐτετύφειμεν καὶ ἐπεποιήκειμεν καὶ ἐγεγράφειμεν διὰ τῆς ΕΙ διφθόγγου, τροπῇ δὲ τῆς ΜΕΝ εἰς ΣΑΝ γίνονται.

"Μέσος ὑπερσυντελικὸς ἐτετύπειν." Ὅσα δεῖ ῥηθῆναι καὶ ὑπὲρ τοῦ μέσου ὑπερσυντελικοῦ ἐλέχθη ἐν τῇ διδασκαλίᾳ τοῦ ἐνεργητικοῦ ὑπερσυντελικοῦ.

"Ἐτετύπεις, ἐτετύπει, ἐτετύπειτον, ἐτετυπείτην. Πληθυντικά, ἐτετύπειμεν, ἐτετύπειτε, ἐτετύπεισαν. Ἀόριστος πρῶτος ἔτυψα."

Ἐνταῦθα περὶ τοῦ πρώτου ἀορίστου διαλαμβάνει, καὶ λέγει ὅτι πᾶς μέλλων, δηλονότι πᾶς τρέπων τὸ τελευταῖον Ω εἰς Α, καὶ τὴν ἄρχουσαν ἐκτείνων χρονικῶς ἢ συλλαβικῶς, πρῶτος ἀόριστος γίνεται, οἷον ποιήσω ἐποίησα, τύψω ἔτυψα, γράψω ἔγραψα, ἐλεήσω ἠλέησα, ὀρθώσω ὤρθωσα, λέξω ἔλεξα, χρυσώσω ἐχρύσωσα· καὶ εἰ μὲν ἀπὸ συμφώνου ἄρχεται ὁ μέλλων, προσόδῳ τοῦ Ε αὔξεται ἡ ἄρχουσα τοῦ πρώτου ἀορίστου, οἷον τύψω ἔτυψα, γράψω ἔγραψα, νοήσω ἐνόησα,

τῶν ἀπὸ τοῦ ρ ἀρχομένων καὶ πάντως ἕτερον ρ προσλαμβανόντων κατὰ τὸν ἀόριστον, οἷον ῥάψω ἔρραψα, ῥίψω ἔρριψα, ῥυπώσω ἐρρύπωσα, ῥαπίσω ἐρράπισα, ῥεύσω ἔρρευσα· εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται ὁ μέλλων χρονικῶς μεγεθύνεται ὁ πρῶτος ἀόριστος, οἷον ἐρωτήσω ἠρώτησα, ἐλεήσω ἠλέησα, ἄψω ἧψα, ἀγοράσω ἠγόρασα, ἀριστήσω ἠρίστησα, ἑρμηνεύσω ἡρμήνευσα, ὀρθώσω ὤρθωσα, ὀμόσω ὤμοσα, ὁπλίσω ὥπλισα, αἰτήσω ᾔτησα, οἰκήσω ᾤκησα, οἰκονομήσω ᾠκονόμησα, οἰκοδομήσω ᾠκοδόμησα, αὐλίσω ηὔλισα, αὐχήσω ηὔχησα, αὐτομολήσω ηὐτομόλησα, καὶ ἔστιν ἐν συντόμῳ εἰπεῖν, ὥσπερ ὁ παρατατικὸς ἐκανονίσθη ἐκ τοῦ ἐνεστῶτος κατὰ τὴν ἄρχουσαν, οὕτω καὶ ὁ πρῶτος ἀόριστος κανονίζεται ἐκ τοῦ μέλλοντος κατὰ τὴν ἄρχουσαν. Περὶ δὲ τῆς παραληγούσης τοῦ πρώτου ἀορίστου ἔστιν εἰπεῖν, παραλήγουσαν τὴν αὐτὴν ἔχει τῷ μέλλοντι ὁ πρῶτος ἀόριστος, οἷον κόψω ἔκοψα, γράψω ἔγραψα, ποιήσω ἐποίησα, νοήσω ἐνόησα, λαλήσω ἐλάλησα, τελέσω ἐτέλεσα, πλεύσω ἔπλευσα· τὸ γὰρ ἄψω ἧψα, καὶ αὔξω ηὖξα, καὶ ἄρξω ἦρξα, λόγῳ ἀρχούσης ἐγένετο οὐ λόγω παραληγούσης· ἐπειδὴ γὰρ ταῦτα δισύλλαβα εἰσὶ, καὶ τὴν αὐτὴν ἔχουσιν ἄρχουσαν καὶ παραλήγουσαν· τῷ λόγῳ οὖν τῆς ἀρχούσης ἔτρεψαν τὰ φωνήεντα ἐν τῷ πρώτῳ ἀορίστῳ, καὶ οὐ λόγῳ τῆς παραληγούσης ἐφύλαξαν αὐτά.

Δεῖ προσθεῖναι, "χωρὶς εἰ μὴ περισπᾶται ὁ μέλλων" ὡς ἐπὶ τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων, τουτέστι τῆς δι' ἀμεταβόλων ἐκφερομένης, τότε γὰρ τὴν παραλήγουσαν αὐτοῦ ἐκτείνει ὁ πρῶτος ἀόριστος, καὶ τουτέστι φύσει μακρὰν αὐτὴν ποιεῖ, οἷον κερῶ ἔκειρα, φθερῶ ἔφθειρα, στελῶ ἔστειλα, σπερῶ ἔσπειρα, δερῶ ἔδειρα, κτενῶ ἔκτεινα, νεμῶ ἔνειμα, δεμῶ ἔδειμα, (τὸ οἰκοδομῶ,) ἀγγελῶ ἤγγειλα, τιλῶ ἔτιλα, ποικιλῶ ἐποίκιλα, ῥανῶ ἔρανα, μιανῶ ἐμίανα, σημανῶ ἐσήμανα, χλιανῶ ἐχλίανα, λιανῶ ἐλίανα, θερμανῶ ἐθέρμανα, μολυνῶ ἐμόλυνα, ἀμβλυνῶ ἤμβλυνα· ἰδοὺ γὰρ ταῦτα ἐν μὲν τῷ μέλλοντι βραχὺ ἔχουσι τὸ δίχρονον, ἐν δὲ τῷ ἀορίστῳ πρώτῳ φυλάσσει μακρόν.

Ἰστέον δὲ ὅτι πολλάκις οἱ Ἴωνες τρέπουσι τὸ α εἰς τὸ η

ἐν τῷ πρώτῳ ἀορίστῳ, οἷον ἐμίανα ἐμίηνα, ἐχλίανα ἐχλίηνα, ἐθέρμανα ἐθέρμηνα, ἐλίανα ἐλίηνα, ἐκάθαρα ἐκάθηρα, ἐσήμανα ἐσήμηνα, ἐξ οὗ ὁ πρῶτος ἀόριστος ἐσημηνάμην καὶ ὑπεσημηνάμην, ἔφανα ἔφηνα, ἐξ οὗ ὁ α' μέσος ἀόριστος ἐφηνάμην. Τούτοις δὲ τοῖς ὑπὸ τῶν Ἰώνων γινομένοις, λέγω δὲ τὸ ἐμίηνα καὶ ἐλίηνα καὶ ἐχλίηνα καὶ ἐκάθηρα καὶ ἐσήμηνα καὶ τοῖς ὁμοίοις, χρῶνται οἱ Ἀθηναῖοι. Ἰστέον δὲ ὅτι τὸ ἔγημα (γήμας Bar.) τοῦτον τὸν τρόπον γέγονε· ἔστι γαμῶ, γαμήσω, ἐγάμησα, καὶ κατὰ συγκοπὴν τοῦ η καὶ σ ἔγαμα, καὶ κατὰ τροπὴν Ἰωνικὴν τοῦ α εἰς τὸ η ἔγημα, ὥσπερ ἐμίανα ἐμίηνα, καὶ λοιπὸν ἐκεῖθεν ἡ μετοχὴ γήμας. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι ὁ πρῶτος ἀόριστος ἢ φύσει μακρᾷ θέλει
264 a παραλήγεσθαι, οἷον ἐποίησα, ἐστεφάνωσα, ἐδάνεισα, ἢ θέσει μακρᾷ, οἷον ἔνυξα, ἔπλιξα, ἔγραψα, ἔκοψα, ἢ καὶ φύσει καὶ θέσει, οἷον ἤλειψα, ἤμειψα, ταῦτα γὰρ καὶ φύσει μακρᾷ παραλήγοντα, καθὸ τῇ ει διφθόγγῳ παραλήγονται, καὶ θέσει, καθὸ ἔχουσι διπλοῦν σύμφωνον ἐπιφερόμενον· ὅθεν ἀναλογώτεροί εἰσιν οἱ ποιηταὶ ἐπὶ τῶν ἐχόντων ἐν σ καὶ βραχὺ παραληγομένων ἀναδιπλασιάζοντες τὸ σ, οἷον ἐτέλεσα ἐτέλεσσα, ἐσύρισα ἐσύρισσα, ἐγέλασα ἐγέλασσα, ἵνα εὑρεθῇ μακρὰ ἡ παραλήγουσα. Ταῦτα μὲν ἐν τούτοις.

Ἔστι δὲ καὶ οὕτως κανονίσαι τὸν πρῶτον ἀόριστον. Ἰστέον ὅτι ὁ πρῶτος ἀόριστος τὴν ἄρχουσαν τὴν αὐτὴν ἔχει τῷ παρατατικῷ, οἷον ἔτυπτον ἔτυψα, ἔγραφον ἔγραψα, ἔλεγον ἔλεξα, ἐποίουν ἐποίησα, ἔρραπτον ἔρραψα, ἔρριπτον ἔρριψα, ἐρρύπουν ἐρρύπωσα, ἔρρανον ἔρρανα, ἔφθειρον ἔφθειρα, ἔστελλον ἔστειλα, ἠλέουν ἠλέησα, ἠγόραζον ἠγόρασα, ὤρθουν ὤρθωσα, ᾤκουν ᾤκησα, ᾔτουν ᾔτησα· εἰς α δὲ ἀεὶ λήγει, καὶ πρὸ τοῦ α δι' ἑνὸς τῶν ἑπτὰ ἡμιφώνων ἐκφέρεται, ἤγουν ἢ διὰ τοῦ ξ ἐκφέρεται, ἢ διὰ τοῦ ψ, ἢ σ, ἢ λ, ἢ μ, ἢ ν, ἢ ρ, οἷον ἦυξα, ἔτυψα, ἐποίησα, ἔστειλα, ἔνειμα, ἔμεινα, ἔκειρα, διὰ δὲ τοῦ ζ οὐδέποτε ἐκφέρεται. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ὅτι τὰ χαρακτηριστικὰ σύμφωνα βαρυτόνου μέλλοντος τοῦ πρώτου μέλλοντος θέλουσι χαρακτηριστικὰ εἶναι καὶ πρώτου ἀορίστου, οἷον τύψω

ἔτυψα, λέξω ἔλεξα, ποιήσω ἐποίησα, κερῶ ἔκειρα, τελῶ ἔτειλα, νέμω ἔνειμα, μενῶ ἔμεινα. Ἐπειδὴ οὖν ἐν τῷ μέλλοντι τὸ ζ οὐδέποτε εὑρίσκεται πρὸ τοῦ ω, τούτου χάριν ἐν τῷ πρώτῳ ἀορίστῳ οὐκ εὑρίσκεται διὰ τοῦ α. Διὰ τί δὲ τὸ ζ χαρακτηριστικὸν τοῦ μέλλοντος οὐκ ἐστὶν, ἐμάθομεν ἐν τῇ διδασκαλίᾳ τοῦ ἐνεργητικοῦ παρακειμένου. Ταῦτα μὲν περὶ τῆς ἀρχούσης τοῦ α′ ἀορίστου καὶ τῆς ληγούσης ἔχομεν εἰπεῖν· περὶ δὲ τῆς παραληγούσης εἰρήκαμεν ἀνώτερον.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ε′ τινα σεσημείωνται ἐν τῷ πρώτῳ ἀορίστῳ, δύο ἀπὸ τῶν εἰς ω, καὶ τρία ἀπὸ τῶν εἰς μι· ἀπὸ τῶν εἰς ω τὸ εἶπα καὶ τὸ ἤνεγκα, ἀπὸ τῶν εἰς μι τὸ ἔδωκα καὶ ἔθηκα καὶ ἧκα· (ἧκα δέ ἐστι τὸ ἔπεμψα, ἐξ οὗ καὶ τὸ ἀφῆκα·) ταῦτα δὲ σημειούμεθα, ὅτι οὐκ ἐφύλαξαν τὸ σύμφωνον τοῦ μέλλοντος, ὁ γὰρ μέλλων τούτων δώσω, θήσω, ἥσω ἐστὶν, (ἐξ οὗ καὶ τὸ ἀφήσω,) καὶ ἐνέξω καὶ ἔψω, καὶ ὅτι δι' ἀφώνων ἐξενέχθησαν, τὸ γὰρ κ καὶ π ἄφωνα εἰσὶ, οὐδέποτε δὲ ἀόριστος δι' ἀφώνου ἐκφέρεται, ἀλλ' ὡς εἴρηται δι' ἑνὸς τῶν ἑπτὰ ἡμιφώνων, οἷον ἔγραψα, ἔλεξα, ἐποίησα, ἔκειρα, ἔνειμα, ἔμεινα, ἔτιλα· εἰ δέ τις εἴποι ὅτι τὸ ἔδωκα μάτην σημειούμεθα, εὑρέθη γὰρ παρὰ τῷ ποιητῇ τρίτον πρόσωπον τῶν πληθυντικῶν διὰ τοῦ σ ἐκφερόμενον, οἷον,

δόσαν δέ μοι υἷες Ἀχαιῶν,

ἀπὸ τοῦ ἔδωσαν κατὰ συστολὴν ποιητικὴν τοῦ ω εἰς ο, καὶ
264 b λέγομεν, ὅτι οὐκ ἔστι τοῦτο πρῶτος ἀόριστος, ὁ γὰρ πρῶτος ἀόριστος διὰ τοῦ ω γράφεται, οἷον πρὸς τὸν δώσω μέλλοντα· τοῦτο δὲ διὰ τοῦ ο ἐστιν· ἀλλ' ἔστι δευτέρου ἀορίστου, τοῦ γὰρ ἔδων δευτέρου ἀορίστου τὰ πληθυντικὰ εἰσὶν ἔδομεν ἔδοτε ἔδοσαν, ὥσπερ ἔθην ἔθεμεν ἔθεσαν, καὶ ἧν ἕμεν ἕτε ἕσαν διὰ τοῦ ε, (τὸ δὲ ἕσαν σημαίνει τὸ ἀπέπεμψαν, ἐξ οὗ πρόεσαν ἀντὶ τοῦ ἔπεμψαν,) καὶ λοιπὸν ποιητικῶς ἢ Ἰωνικῶς ἀπὸ τοῦ ἔδοσαν γίγνεται δόσαν, ὥσπερ καὶ ἀπὸ τοῦ ἔτυπτε γέγονε ποιητικῶς ἢ Ἰωνικῶς [Il. φ′. 20.]

τύπτε δ' ἐπιστροφάδην.

Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ μὲν εἶπα καὶ ἤνεγκα κλίνονται καὶ εἰς

τὰς μετοχὰς καὶ τὰς λοιπὰς ἐγκλίσεις. Εἶπαι γὰρ καὶ ἤνεγκαι τὸ ἀπαρέμφατον, ὥσπερ τύψαι καὶ γράψαι, καὶ εἶπον καὶ ἤνεγκον τὸ προστακτικὸν, ὡς τύψον καὶ γράψον, ὡς παρὰ Μενάνδρῳ,

> εἶπον δὲ τί ποιεῖν μέλλεται,

ἀντὶ τοῦ εἰπὲ, καὶ εἴπαιμι καὶ ἐνέγκαιμι τὸ εὐκτικὸν, ὥσπερ τύψαιμι καὶ γράψαιμι, καὶ ἐὰν εἴπω καὶ ἐνέγκω τὸ ὑποτακτικὸν, ὥσπερ καὶ ἐὰν τύψω καὶ ἐὰν γράψω, καὶ εἴπας καὶ ἐνέγκας ἡ μετοχὴ, ὥσπερ τύψας καὶ γράψας, οἷον,

> εἴπας ἥλιε χαῖρε Κλεόμβροτε

παρὰ Καλλιμάχῳ, ἀντὶ τοῦ εἰπών· τὸ δὲ ἔδωκα ἔθηκα ἧκα οὐ κλίνονται οὔτε εἰς τὰς μετοχὰς οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις, ὁριστικὰ γὰρ μόνα ἔχουσι.

Καὶ ἄξιον ἐστὶ ζητῆσαι, διὰ τί τῶν σεσημειωμένων ἐν τῷ πρώτῳ ἀορίστῳ, φημὶ δὲ τὸ ἤνεγκα καὶ εἶπα καὶ ἔδωκα καὶ ἔθηκα καὶ ἧκα, (ὃ σημαίνει τὸ ἔπεμψα, ἐξ οὗ τὸ ἀφῆκα.) τὰ μὲν δύο τὰ ἀπὸ τῶν εἰς ω, λέγω δὴ τὸ εἶπα καὶ ἤνεγκα, κλίνονται καὶ εἰς τὰς μετοχὰς καὶ εἰς τὰς λοιπὰς ἐγκλίσεις, τὰ δὲ τρία τὰ ἀπὸ τῶν εἰς μι, λέγω δὲ τὸ ἔθηκα καὶ ἔδωκα καὶ ἧκα, οὐ κλίνονται οὔτε εἰς τὰς μετοχὰς οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις; Καὶ λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν ἀπολογίαν, ὅτι εἰσί τινα παράλογα, καὶ λανθάνουσιν ὅτι εἰσὶ παράλογα, οἷον λέγομεν, ἐμαυτὸν ἔτυψα, ἑαυτὸν ἔτυψας· τὸ οὖν τρίτον πρόσωπον ὑπάρχον ἐὰν τολμήσῃ ἐνταῦθα ὑπεισελθεῖν εἰς χρείαν πρώτου ἢ δευτέρου προσώπου, οἷον ἑαυτὸν ἔτυψα, ἑαυτὸν ἔτυψας, ἐλέγχεται ἐκ τῶν ἀλόγων προσφερομένων τοῦ ἐμαυτὸν καὶ σαυτὸν, καὶ οὐ λανθάνει ἡ παραλογία· ἐὰν δὲ ἐν τοῖς πληθυντικοῖς ὑπεισέλθῃ εἰς χρείαν τοῦ πρώτου καὶ δευτέρου προσώπου τὸ τρίτον πρόσωπον, καὶ εἴπωμεν, ἑαυτοὺς ἐτύψαμεν, ἑαυτοὺς ἐτύψατε, λανθάνει ἡ παραλογία ἐνταῦθα, ἐπειδὴ ἡ ἀντωνυμία σύνθετος ἐν τοῖς πληθυντικοῖς οὐκ ἔστι, καὶ λοιπὸν οὐκ ἔχει τι τὸ ὀφεῖλον ἐλέγξαι τὴν [c] παραλογίαν· οὕτως οὖν καὶ ἐνταῦθα, ἐπειδὴ τὸ

[c] παραλογίαν] Sic pergit Bar.: παραλογίαν αὐτῶν· ὁ γὰρ ἔψω καὶ ἐνέξω μέλλοντες οὐκ εἰσιν ἐν χρήσει· τούτου χάριν.

εἶπα καὶ ἤνεγκα οὐκ ἔχουσι μέλλοντας ἐν χρήσει, τούτου χάριν οὐ κωλύονται κλίνεσθαι καὶ εἰς τὰς μετοχὰς καὶ εἰς τὰς λοιπὰς ἐγκλίσεις· τὸ δὲ ἔδωκα ἔθηκα καὶ ἧκα, (ὃ σημαίνει τὸ ἔπεμψα, ἐξ οὗ τὸ ἀφῆκα,) ἐπειδὴ ἔχουσι μέλλοντας ἐν
265 a χρήσει τοὺς ὀφείλοντας ἐλέγξαι τὴν παραλογίαν αὐτῶν, λέγω δὲ τὸ θήσω, δώσω, ἥσω, (ἥσω γὰρ καὶ ἐδῶ? ἀντὶ τοῦ πέμψω, ἀφήσω,) τούτου χάριν κωλύονται κλίνεσθαι εἰς τὰς μετοχὰς καὶ εἰς τὰς λοιπὰς ἐγκλίσεις. Ταῦτα ὁ Ἀπολλώνιος.

Ὁ δὲ Ἡρωδιανὸς ἄλλην ἀπολογίαν παραδίδωσιν ἔχουσαν οὕτως· τὸ εἶπα διὰ τοῦ ψ ὤφειλεν ἐκφέρεσθαι, ἐπειδὴ καὶ ὁ μέλλων τὸ ψ ἔχει, ἔψω γάρ ἐστι· τοῦ δὲ μέλλοντος τὸ ψ ἔχοντος καὶ ὁ πρῶτος ἀόριστος διὰ τοῦ ψ ἐκφέρεται, οἷον γράψω ἔγραψα, τύψω ἔτυψα· καὶ πάλιν τὸ ἤνεγκα διὰ τοῦ ξ ὤφειλεν ἐκφέρεσθαι, ἐπειδὴ καὶ ὁ μέλλων διὰ τοῦ ξ ἐκφέρεται, οἷον ἐνέγξω γάρ ἐστι ὁ μέλλων· τοῦ δὲ μέλλοντος τὸ ξ ἔχοντος καὶ ὁ πρῶτος ἀόριστος διὰ τοῦ ξ ἐκφέρεται, οἷον λέξω ἔλεξα, νύξω ἔνυξα· ἐπειδὴ οὖν τὸ εἶπα διὰ τοῦ ψ ὤφειλε, καὶ τὸ ἤνεγκα διὰ τοῦ ξ, οὐκ ἐγένετο δὲ οὕτως, ἀλλὰ τὸ μὲν διὰ τοῦ π, τὸ δὲ διὰ τοῦ κ, τὸ δὲ κ συγγένειαν πρὸς τὸ ξ, καὶ τὸ π πρὸς τὸ ψ, τὸ δὲ ξ ἐκ τοῦ κ καὶ σ δοκεῖ συγκεῖσθαι, τὸ δὲ ψ ἐκ τοῦ π καὶ σ, εἰκότως ὡς μέρος τι τῆς ἀναλογίας φυλάξαντα ἀκωλύτως κλίνονται καὶ εἰς τὰς μετοχὰς καὶ εἰς τὰς λοιπὰς ἐγκλίσεις· τὸ δὲ ἔδωκα καὶ ἔθηκα καὶ ἧκα, (ὃ σημαίνει τὸ ἔπεμψα, ἐξ οὗ τὸ ἀφῆκα,) διὰ τοῦ σ ὤφειλεν εἶναι, ἐπειδὴ καὶ ὁ μέλλων διὰ τοῦ σ ἐκφέρεται, δώσω γὰρ καὶ θήσω καὶ ἥσω ἐστὶν ὁ μέλλων, ἐξ οὗ καὶ τὸ ἀφήσω· τοῦ δὲ μέλλοντος διὰ τοῦ σ ὄντος, καὶ ὁ πρῶτος ἀόριστος διὰ τοῦ σ ἐκφέρεται, οἷον ποιήσω ἐποίησα, νοήσω ἐνόησα· ἐπειδὴ οὖν τὸ ἔθηκα, ἔδωκα, ἧκα διὰ τοῦ σ ὤφειλεν εἶναι, οὐκ ἐγένετο δὲ οὕτως, ἀλλὰ διὰ τοῦ κ, τὸ δὲ κ πρὸς τὸ σ οὐδεμίαν συγγένειαν ἔχει, εἰκότως ὡς μὴ φυλάξαντα μέρος τι τῆς ἀναλογίας κωλύονται κλίνεσθαι καὶ εἰς τὰς μετοχὰς καὶ εἰς τὰς λοιπὰς ἐγκλίσεις. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν ὅτι οἱ Βοιωτοὶ τὸ ἤνεγκα ἤνειγξα

λέγουσι, διὰ τῆς ει διφθόγγου τὴν παραλήγουσαν ποιοῦντες· περὶ δὲ τοῦ τὴν λήγουσαν διὰ τοῦ ξ εἶναι, λέγομεν, ὅτι ἢ πρὸς ἀναλογίαν τοῦ μέλλοντος τοῦτο πεποιήκασιν, ἐνέγξω γάρ ἐστιν ὁ μέλλων διὰ τοῦ ξ, ἢ ἀπὸ τοῦ ἤνεγκα γίνεται κατὰ τροπὴν Βοιωτικὴν τοῦ κ εἰς ξ· ἔθος γὰρ ἔχουσιν οἱ Βοιωτοὶ τρέπειν τὸ κ εἰς ξ, ὡς καὶ Ἀριστοφάνης δηλοῖ ἐν Νεφέλαις [343.] λέγων,

εἴξασι γοῦν ἐρίοισι πεπταμένοισιν,

ἀντὶ τοῦ ἐοίκασιν ἐρίοις ἡπλωμένοις, τοῦτο γὰρ τὸ εἴξασι κατὰ Βοιωτοὺς γέγονε τροπῇ τοῦ κ εἰς ξ, εἴκασι γάρ ἐστιν ἀντὶ τοῦ ἐοίκασιν, ἢ ἀπὸ τοῦ εἴκω θέματος τοῦ σημαίνοντος τὸ ὁμοιῶ. Τούτων οὕτως ἐχόντων, δεῖ ζητῆσαι ἐπὶ τοῦ εἶπα, ὅτι ἄρα λόγῳ ἀρχούσης προσέλαβε τὸ ι, ἢ λόγῳ παραληγούσης, καὶ ἔχομεν εἰπεῖν τρεῖς κανόνας, ἕνα μὲν δεικνύοντα ὅτι λόγῳ ἀρχούσης προσέλαβε τὸ ι οὕτως· ἔστιν ἔπω ὁ ἐνεστώς· τὸ δὲ ε μεγεθυνόμενον ἢ διὰ τῆς προσθήκης τοῦ ι
265 b μεγεθύνεται, ἢ τρεπόμενον εἰς τὸ η, οἷον ἔχω εἶχον, ἕλκω εἷλκον, ἐλέγχω ἤλεγχον, ἑτοιμάζω ἡτοίμαζον· οὕτως καὶ ἔπω εἶπα, λόγῳ ἀρχούσης προσελθόντος τοῦ ι, εἶπα· οἱ δὲ κανόνες οἱ λέγοντες ὅτι λόγῳ παραληγούσης προσέλαβε τὸ ι ἔχουσιν οὕτως· ὁ εἰς α λήγων ἀόριστος, μὴ ἔχων τὸ σ ἢ τὸ ψ ἢ τὸ ξ, πάντως φύσει μακρᾷ παραλήγεται, ἔκειρα, ἔτειλα, ἔρανα, ἔνειμα· ἐν οἷς οὖν τὸ εἶπα οὐκ ἔχει οὔτε τὸ σ οὔτε τὸ ξ οὔτε τὸ ψ, δηλονότι προσῆλθε τὸ ι λόγῳ παραληγούσης, ἵνα εὑρεθῇ φύσει μακρὰ ἡ παραλήγουσα. Πρόσκειται "[d] μὴ ἔχον τὸ σ ἢ τὸ ξ ἢ τὸ ψ" διὰ τὸ ἔγραψα ἔλεξα εὕρησα (sic), ταῦτα γὰρ οὐ παραλήγονται φύσει μακρᾷ, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος· οὐδὲ γὰρ πάντως ὁ ἔχων τὸ σ ἢ τὸ ξ ἢ τὸ ψ οὐ παραλήγεται φύσει μακρᾷ, ἀλλ' ὅτι καὶ αὐτὸς παραλήγεται φύσει μακρᾷ· ἰδοὺ γὰρ ὁ ἤλειψα καὶ ὁ ἔληξα καὶ ὁ ἐποίησα λόγῳ παραληγούσης ὁ ἀόριστος ἔχων τὸ ψ καὶ τὸ ξ καὶ τὸ σ φύσει μακρᾷ παραλήγεται· δεύτερος δὲ κανὼν δεικνὺς ὅτι λόγῳ παραληγούσης προσέλαβε τὸ ι, ὁ

[d] μὴ ἔχον—οὐ παραλήγονται om. Bar.

εἶπα ἀόριστός ἐστιν οὕτως, ἀπὸ τοῦ ἔψω μέλλοντος ὤφειλεν εἶναι ὁ ἀόριστος πρῶτος ἔψα· φυλάττειν γὰρ θέλει, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, τὴν παραλήγουσαν τοῦ μέλλοντος ὁ πρῶτος ἀόριστος· μετελθούσης δὲ τῆς θέσει μακρᾶς εἰς φύσει μακρὰν ἐγένετο εἶπα, ὥσπερ καὶ ἐν τῷ γιγνώσκω γινώσκω, καὶ ἐν τῷ γίγνεται γίνεται· τὸ γὰρ γιγνώσκω καὶ γίγνεται θέσει μακρὸν ἔχουσι τὸ ι, τὸ δὲ γινώσκω καὶ γίνεται φύσει μακρὸν, τῆς θέσει μακρᾶς μετελθούσης εἰς φύσει μακράν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι οἱ δύο κανόνες ἔχουσιν ἀντίθεσιν· ὁ εἷς τῆς ἀρχούσης καὶ ὁ εἷς τῆς παραληγούσης. Καὶ ἔστιν εἰπεῖν πρὸς τὸν λόγον τῆς ἀρχούσης, ὅτι τῷ λόγῳ ἀρχούσης προσερχόμενα ἐν τῷ παρατατικῷ καὶ τῷ ἀορίστῳ χρονικῶς ἢ συλλαβικῶς ἀποβάλλονται καὶ ἐν ταῖς μετοχαῖς καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, οἷον ἔτυπτον τύπτων τύπτειν τύπτε τύπτοιμι ἐὰν τύπτω, αἰτῶ ἤτουν αἰτῶν αἴτει αἴτοι ἐὰν αἰτῶ, ἔτυψα τύψας τύψειν τύψαι τύψον τύψαιμι ἐὰν τύψω, ἠλέησα ἐλεήσας ἐλέησον ἐλεήσαιμι ἐὰν ἐλεήσω, ἔλαβον λαβὼν λαβεῖν λάβε λάβοιμι ἐὰν λάβω, ἦλθον ἐλθὼν ἐλθεῖν ἐλθὲ ἔλθοιμι ἐὰν ἔλθω. Πρόσκειται "τῷ παρατατικῷ καὶ τοῖς ἀορίστοις" διὰ τὸν παρακείμενον· οὗτος γὰρ οὐδαμῶς ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν· οὔτε γὰρ ἐν ταῖς μετοχαῖς αὐτοῦ ἀποβάλλει αὐτὴν, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, οἷον τέτυφα τετυφὼς τετυφέναι τετύφοιμι ἐὰν τετύφω, ἠλέηκα ἠλεηκὼς ἠλεηκέναι ἠλέηκε ἠλεήκοιμι ἐὰν ἠλεήκω· τὸ δὲ εἶπα οὔτε ἐν ταῖς μετοχαῖς οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν ἀποβάλλει τὸ ι, οἷον εἶπας παρὰ Καλλιμάχῳ,

εἶπας ἥλιε χαῖρε,

266 a ἀντὶ τοῦ εἰπών· καὶ εἰπεῖν εἰπὲ εἶπον,

εἶπον δέ τι ποιεῖν μέλλετε

παρὰ Μενάνδρῳ, ἀντὶ τοῦ εἰπέ· εἴπαιμι, ἐὰν εἴπω· ἆρα οὖν οὐ προσῆλθε τὸ ι λόγῳ ἀρχούσης. Πάλιν πρὸς τὸν λόγον τῆς παραληγούσης τὸν λέγοντα, ὅτι ὁ εἰς Α λήγων ἀόριστος μὴ ἔχων τὸ Σ ἢ τὸ Ξ ἢ τὸ Ψ πάντως φύσει μακρᾷ παρα-

λήγεται, οἷον ἔκειρα, ἔτειλα, ἔρανα, ἔνειμα, ἔμεινα, ἔστιν ἀντιθεῖναι καὶ εἰπεῖν, ὅτι ὁ εἰς Α λήγων ἀόριστος τοῦ μέλλοντος μὴ παραληγομένου φύσει μακρᾷ οὐδὲ αὐτὸς δύναται παραλήγεσθαι φύσει μακρᾷ, οἷον ἀγοράσω ἠγόρασα, δεσπόσω ἐδέσποσα, νύξω ἔνυξα, λέξω ἔλεξα, τύψω ἔτυψα· εἰ δὲ ἄρα καὶ παραλήγεται φύσει μακρᾷ, τοῦ μέλλοντος μὴ παραληγομένου φύσει μακρᾷ, πάντως δι' ἀμεταβόλου ἐκφέρεται, οἷον κερῶ ἔκειρα, τελῶ ἔτειλα, νεμῶ ἔνειμα, μενῶ ἔμεινα, ῥανῶ ἔρρανα, ἐν οἷς καὶ τὸ εἶπα οὐκ ἔχει ἀμετάβολον, οὐκ ὤφειλε φύσει μακρὰν ἔχειν τὴν παραλήγουσαν τοῦ μέλλοντος μὴ παραληγομένου φύσει μακρᾷ, ἕψω γάρ ἐστιν ὁ μέλλων. Πρόσκειται "τοῦ μέλλοντος μὴ παραληγομένου φύσει μακρᾷ," ἐπειδὴ ἐὰν ὁ μέλλων φύσει μακρᾷ παραλήγηται, καὶ ὁ εἰς Α λήγων ἀόριστος φύσει μακρᾷ παραλήγεται, οἷον ποιῶ ποιήσω ἐποίησα, νοῶ νοήσω ἐνόησα, ἀλείφω ἀλείψω ἤλειψα. Κρείττων οὖν ἐστιν ὁ δεύτερος τρόπος τῆς παραληγούσης ὁ λέγων, ὅτι ἡ θέσει μακρὰ μετῆλθεν εἰς φύσει μακράν.

"Ἔτυψα ἔτυψας ἔτυψε. Δυϊκὰ, ἐτύψατον ἐτυψάτην. Πληθυντικὰ, ἐτύψαμεν ἐτύψατε ἔτυψαν." Εἴρηται ἡ διδασκαλία τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν ἐν τῇ διδασκαλίᾳ τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν τοῦ παρατατικοῦ.

"Δεύτερος ἀόριστος ἔτυπον."

Ἐνταῦθα περὶ τοῦ δευτέρου ἀορίστου διαλαμβάνει, καὶ λέγει, ὅτι "ὁ δεύτερος ἀόριστος φωνῇ μόνῃ διενήνοχε τοῦ πρώτου ἀορίστου, σημαινομένῳ δὲ ὁ αὐτός ἐστιν·" (ἐὰν γάρ τις εἴπῃ ἔτυψα καὶ ἔτυπον τὸ αὐτὸ σημαίνει,) "ὅπερ καὶ ἐπὶ τῶν ὀνομάτων· ὁ γὰρ πρῶτος καὶ δεύτερος τύπος τῶν ὑπερθετικῶν" τῷ μὲν σημαινομένῳ οὐδὲν ἀλλήλων διαφέρουσι, τῇ δὲ φωνῇ καὶ μόνῃ διαφέρουσιν· ἔστι γὰρ ὁ μὲν πρῶτος τύπος τῶν ὑπερθετικῶν ὁ εἰς ΤΑΤΟΣ, οἷον ταχύτατος, καὶ (ὁ β') τάχιστος, (καὶ) οὐδὲν διαφέρουσιν ἀλλήλων τῷ σημαινομένῳ, ἀλλὰ τῇ φωνῇ μόνῃ, ὁμοίως καὶ ἐν τοῖς συγκριτικοῖς, καὶ ὁ πρῶτος καὶ ὁ δεύτερος τύπος τῶν συγκριτικῶν τῷ μὲν σημαινομένῳ

οὐδὲν ἀλλήλων διαφέρουσι, τῇ δὲ φωνῇ καὶ μόνῃ διαφέρουσιν· ἔστι γὰρ ὁ μὲν πρῶτος καὶ δεύτερος τύπος τῶν συγκριτικῶν ὁ εἰς ΤΕΡΟΣ, *οἷον γλυκύτερος, ὁ δὲ δεύτερος εἰς* ΩΝ *καθαρὸν, οἷον γλυκίων, καὶ ἰδοὺ τὸ γλυκύτερος καὶ γλυκίων οὐδὲν διαφέρουσιν ἀλλήλων τῷ σημαινομένῳ, ἀλλὰ μόνῃ τῇ φωνῇ.* Οὐ *μόνον δὲ ἐν τοῖς συγκριτικοῖς καὶ ὑπερθετικοῖς εὑρεῖν τὴν αὐτὴν ἐστὶν ἔχοντα σημασίαν τὰ διαφόρῳ φωνῇ λεγόμενα,*
266 b *ἀλλὰ καὶ ἐπὶ ἄλλων τινῶν, ὡς ἐπὶ τοῦ ἄορ ξίφος μάχαιρα φάσγανον σπάθη· ἰδοὺ γὰρ ἐπὶ τούτων διάφορος φωνὴ ὑπάρχει, ἐν δὲ τῷ σημαινομένῳ ἕν.* Ἐν *τούτῳ γὰρ καὶ ἐπαινετή ἐστιν ἡ τῶν* Ἑλλήνων *γλῶσσα, ὡς πλατεῖα οὖσα, καὶ ἐπὶ ἑνὸς σημαινομένου πολλῶν φωνῶν εὐποροῦσα· ἡ γὰρ* Ῥωμαϊκὴ *κατὰ τοῦτο ψεκτὴ, ὡς μὴ πλατεῖα, ἀλλὰ στενὴ οὖσα.* Ὁ *οὖν δεύτερος ἀόριστος, ὡς εἴρηται, κατὰ τὴν σημασίαν ὁ αὐτός ἐστι τῷ πρώτῳ ἀορίστῳ, κατὰ δὲ μόνην τὴν φωνὴν διαφέρει· τὸ γὰρ ἔτυψα καὶ ἔτυπον τὸ αὐτὸ σημαίνουσι, διάφορον δὲ φωνὴν ἔχουσιν· ὡσαύτως δὲ καὶ ὁ δεύτερος μέλλων κατὰ μὲν τὴν σημασίαν ὁ αὐτός ἐστι τῷ πρώτῳ μέλλοντι, κατὰ δὲ τὴν φωνὴν διαφέρει· τὸ γὰρ τύψω καὶ τυπῶ κατὰ τὴν φωνὴν καὶ μόνην εἰσὶ διάφορα· διὸ καὶ ἓξ μόνοι χρόνοι ἀριθμοῦνται, ἐνεστὼς, παρατατικὸς, παρακείμενος, καὶ ὑπερσυντελικὸς, ἀόριστος, καὶ μέλλων, ὡς τοῦ πρώτου καὶ δευτέρου ἀορίστου ὑπὸ ἕνα χρόνον ἐναγομένων, καὶ τοῦ πρώτου καὶ δευτέρου μέλλοντος ὑπὸ ἕνα χρόνον ἐναγομένων, διὰ τὸ, ὡς εἴρηται, τὸ αὐτὸ ἔχειν σημαινόμενον.* Καὶ *ἀποροῦσι δέ τινες, λέγοντες, εἰ ἄρα διὰ τοὺς δύο ἀορίστους ἔχειν ἓν σημαινόμενον, καὶ διὰ τὸ τοὺς δύο μέλλοντας ὁμοίως ἔχειν ἓν σημαινόμενον, ἓξ μόνοι ἀριθμοῦνται χρόνοι καὶ οὐ πλείονες, ὤφειλον μὴ ἓξ λέγεσθαι χρόνοι, ἀλλὰ ε'· καὶ γὰρ ὁ ἀόριστος αὐτός ἐστι κατὰ σημασίαν τῷ παρακειμένῳ καὶ ὑπερσυντελικῷ, τὸ γὰρ ἔτυψα ἐν ἴσῳ ἐστὶ τῷ τέτυφα καὶ ἐτετύφειν· πρὸς οὓς ἐστιν εἰπεῖν, ὅτι πρῶτον ὁ ἀόριστος αὐτὸς καθ' ἑαυτὸν οὔτε τῷ παρακειμένῳ ἰσοδυναμεῖ, οὔτε τῷ ὑπερσυντελικῷ· εἰ μὴ προσλάβῃ γὰρ ἢ τὸ ἄρτι ἢ τὸ πάλαι, οὔτε τῷ παρακειμένῳ ἰσοδυναμεῖ, τὸ*

γὰρ ἔτυψα ἄρτι ἐν ἴσῳ ἐστὶ τῷ τέτυφα, προσλαμβάνων δὲ τὸ πάλαι ἰσοδυναμεῖ τῷ ὑπερσυντελικῷ, τουτέστι τῷ ἐτετύφειν· δεύτερον δὲ, ὅτε καὶ δόμεν ἀόριστον τὸν αὐτὸν εἶναι κατὰ σημασίαν (τῷ παρακειμένῳ καὶ) τῷ ὑπερσυντελικῷ, καὶ κατὰ τοῦτο ὡς τῶν δύο μετέχων καὶ οὐχ ἑνὸς μόνου ἀναγκάζεται κατ' ἰδίαν χρόνος κληθῆναι, ὥσπερ ἡ μετοχὴ ἡ μετέχουσα τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος, καὶ οὔτε μετὰ τοῦ ὀνόματος ἠδυνήθη μόνον εἶναι, ὡς κωλυομένη ἐκ τοῦ ῥήματος, οὔτε μετὰ τοῦ ῥήματος ὡς κωλυομένη ἐκ τοῦ ὀνόματος, καὶ λοιπὸν ἐγένετο ἴδιον μέρος λόγου· τὸν αὐτὸν τρόπον καὶ ὁ ἀόριστος μετέχων καὶ τοῦ παρακειμένου καὶ τοῦ ὑπερσυντελικοῦ οὔτε μετὰ τοῦ παρακειμένου ἠδύνατο εἶναι, ἐπειδὴ κωλύεται ἐκ τοῦ ὑπερσυντελικοῦ, οὔτε μετὰ τοῦ ὑπερσυντελικοῦ, ἐπειδὴ ἐκωλύετο ἐκ τοῦ παρακειμένου, καὶ λοιπὸν εὐλόγως ἴδιος χρόνος ἐκλήθη· τρίτον δὲ, εὐλόγως οἱ δύο ἀόριστοι ἀντὶ ἑνὸς χρόνου παραλαμβάνονται, καὶ πάλιν οἱ δύο μέλλοντες ἀντὶ ἑνὸς χρόνου, ἐπειδὴ ἐν ἀμφοτέροις οὐκ ἔστι κατὰ τὸν χρόνον ἡ διαφορὰ, ἀλλὰ κατὰ τὸ πρῶτον καὶ δεύτερον· ὥσπερ [γὰρ] ἐὰν ὦσι δύο κανόνες, καὶ ὁ μὲν εἷς ἐστι πρῶτος, ὁ δὲ ἕτερος δεύτερος, καὶ καθὸ μὲν κανόνες εἰσὶν, οὐκ ἔχουσι διαφορὰν, ἀμφότεροι γὰρ ἀόριστοι καὶ λέγονται καὶ
267 a εἰσί· καὶ πάλιν οἱ β' μέλλοντες καθὸ μέλλοντες οὐδεμίαν ἔχουσι διαφορὰν, ἀμφότεροι γὰρ μέλλοντες λέγονται καί εἰσι, κατὰ δὲ τὸ πρῶτον καὶ δεύτερον δοκεῖ εἶναι διαφορὰ, ὁ μὲν πρῶτός ἐστι ὁ δὲ δεύτερος, ὁ δὲ ἀόριστος κατὰ τὴν αὐτὴν σημασίαν ἔχει τὴν διαφορὰν πρὸς τὸν παρακείμενον καὶ ὑπερσυντελικὸν, καὶ γὰρ ἐν μὲν τῷ ἀορίστῳ ἄδηλον ἐστιν, εἴτε ἄρτι ἐπληρώθη τὸ πρᾶγμα, εἴτε πρὸ πολλοῦ· τὸ γὰρ ἔτυψα ἄδηλόν ἐστιν εἴτε ἄρτι εἴτε πάλαι· ἐν δὲ τῷ παρακειμένῳ δῆλόν ἐστι ὅτι ἄρτι ἐπληρώθη τὸ πρᾶγμα, τὸ γὰρ τέτυφα τὸ ἄρτι πληρωθὲν δηλοῖ· ὡσαύτως δὲ ἐν τῷ ὑπερσυντελικῷ δῆλον ἐστὶ ὅτι πάλαι ἐπληρώθη τὸ πρᾶγμα, τὸ γὰρ ἐτετύφειν τὸ πρὸ πολλοῦ πληρωθὲν δηλοῖ· ὅθεν καὶ ὁ ἀόριστος, ὡς εἴρηται, προσλαμβάνων μὲν τὸ ἄρτι ἰσοδυναμεῖ τῷ παρακειμένῳ, τὸ γὰρ ἔτυψα ἄρτι ἐν ἴσῳ ἐστὶ τῷ τέτυφα·

προσλαμβάνων δὲ τὸ πάλαι ἰσοδυναμεῖ τῷ ὑπερσυντελικῷ· τὸ γὰρ ἔτυψα πάλαι ἐν ἴσῳ ἐστὶ τῷ ἐτετύφειν· εὐλόγως οὖν ὡς κατὰ τὴν αὐτὴν σημασίαν ἔχων ὁ ἀόριστος τὴν διαφορὰν πρὸς τὸν παρακείμενον καὶ ὑπερσυντελικὸν [e] ἰδίᾳ χρόνος ἐκλήθη.

"Πᾶς τοίνυν δεύτερος ἀόριστος ἀπὸ τῶν εἰς Ω κεκλιμένος συνάρχεται μὲν τῷ πρώτῳ ἀορίστῳ, εἰς ΟΝ δὲ λήγει."

Ἐνταῦθα τὸν δεύτερον ἀόριστον κανονίζει· καὶ ἰστέον ὅτι ὁ δεύτερος ἀόριστος συνάρχεται τῷ πρώτῳ ἀορίστῳ, οἷον ἔτυψα ἔτυπον, ἔκειρα ἔκαρον, ἔφθειρα ἔφθαρον, ἔρραφα ἔρραφον, ἡμάρτησα ἥμαρτον, ὠλίσθησα ὤλισθον. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι πᾶς δεύτερος ἀόριστος ἐνεργητικὸς ὁριστικὸς πρώτου προσώπου ἑνικοῦ εἰς Ν λήγει, καὶ πρὸ τοῦ Ν ἀπὸ τῶν εἰς Ω ῥημάτων ὑπάρχων, εἴτε ἀπὸ βαρυτόνων, εἴτε ἀπὸ περισπωμένων, βραχυκαταληκτεῖ, τουτέστι πρὸ τοῦ Ν τὸ Ο ἔχει, οἷον τύπτω ἔτυπον, λήβω ἔλαβον, δήκω ἔδακον, μήθω ἔμαθον, φήγω ἔφαγον, νύσσω ἔνυγον, λείπω ἔλιπον, μυκῶ ἔμυκον, δουπῶ ἔδουπον, ὀλισθῶ ὤλισθον, χραισμῶ ἔχραισμον, ἀλαλκῶ ἤλαλκον, ἁμαρτῶ ἥμαρτον. Πρόσκειται "ἀπὸ τῶν εἰς Ω ῥημάτων ὑπάρχων," διὰ τοὺς ἀπὸ τῶν εἰς ΜΙ δευτέρους ἀορίστους· οὗτοι γὰρ οὔτε βραχυκαταληκτοῦσιν, οὔτε εἰς Ν λήγουσιν, ἀλλὰ καὶ μακροκαταληκτοῦσι καὶ διάφορον ἔχουσι τὴν κατάληξιν· ποτὲ μὲν εἰς Ω λήγουσι διὰ τοῦ Ω, οἷον ἔγνων, ἐβίων, ἥλων, ποτὲ δὲ εἰς ΗΝ, οἷόν ἐστιν ἔθην, ἔβην, ἔφην, ποτὲ δὲ εἰς ΥΝ, ἐκτεταμένου τοῦ Υ, ἔφυν, ἔδυν, ἔκλυν, ἀφ' οὗ τὸ κλῦθι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ δεύτερος ἀόριστος πρὸ τῆς ΟΝ συλλαβῆς τὸ σύμφωνον ἔχει τοῦ μέσου παρακειμένου, ἤγουν τὸ ὂν πρὸ τοῦ Α ἐν τῷ μέσῳ παρακειμένῳ. Ἔστιν εἰπεῖν ταῦτα, ἃ εἰρήκαμεν ἐν τῷ μέσῳ παρακειμένῳ, ὅτι εἰ μὲν ὁ ἐνεστὼς δι' ἑνὸς ἁπλοῦ συμφώνου ἐκφέρεται, δι' ἐκείνου καὶ ὁ μέσος παρακείμενος καὶ ὁ δεύτερος ἀόριστος ἐκφέρεται, οἷον λείπω λέλοιπα ἔλιπον, πήθω ἔπαθον, κείρω κέκορα ἔκορον, φθείρω ἔφθορα ἔφθαρον, σπείρω ἔσπορα ἔσπαρον, πλέκω πέπλοκα ἔπλακον, ἐξ οὗ καὶ τὸ ἐπλάκην, εἰ δὲ ὁ ἐνεστὼς διὰ δύο συμφώνων ἐκφέ-

[e] ἰδιοχρόνως ni fallor Bar.

267 b ρεται, δι' οὗ τὸ ῥηματικὸν ὄνομα ἐκφέρεται, διὰ τούτου καὶ ὁ μέσος παρακείμενος καὶ ὁ δεύτερος ἀόριστος ἐκφέρεται, οἷον σκάπτω σκαφὴ καὶ ἀποσκαφή· τὸ σκάψαι ἔσκαφα καὶ ἔσκαφον, ἐξ οὗ τὸ ἐσκάφην· ῥάπτω ῥαφὴ ἔρραφα ἔρραφον, ἐξ οὗ τὸ ἐρράφην· τύπτω τύπος τέτυπα ἔτυπον· βλάπτω βλάβη βέβλακα καὶ ἔβλαβον, ἐξ οὗ καὶ τὸ ἐβλάβην· κόπτω κοπὴ κέκοπα καὶ ἔκοπον, ἐξ οὗ καὶ τὸ ἐκόπην· εἰ δὲ διὰ τοῦ Ζ ἢ διὰ β' ΣΣ ἐκφέρεται ὁ ἐνεστὼς, τότε ὁ μέσος παρακείμενος καὶ ὁ δεύτερος ἀόριστος ἀκολουθήσει τῷ μέλλοντι· καὶ εἰ μὲν ὁ μέλλων διὰ τοῦ Ξ ἔστιν, ὁ μέσος παρακείμενος καὶ ὁ β' ἀόριστος διὰ τοῦ Γ ἐκφέρεται, οἷον νύσσω νύξω νένυγα ἔνυγον, ἐξ οὗ τὸ ἐνύγην· πλήσσω πλήξω πέπληγα καὶ ἔπλαγον, ἐξ οὗ τὸ ἐπλάγην καὶ κατεπλάγην· πήσσω πήξω πέπηγα καὶ ἔπαγον, ἐξ οὗ τὸ ἐπάγην· σφάζω σφάξω ἔσφαγα καὶ ἔσφαγον, ἐξ οὗ τὸ ἐσφάγην· κράζω κράξω κέκραγα καὶ ἔκραγον, ἐξ οὗ τὸ ἐκράγην· εἰ δὲ ὁ μέλλων διὰ τοῦ Σ, ὁ μέσος παρακείμενος καὶ ὁ δεύτερος ἀόριστος διὰ τοῦ Δ ἐκφέρεται, οἷον χάζω χάσω κέχαδα ἔχαδον, φράζω φράσω πέφραδα ἔφραδον· εἰ δὲ ὁ ἐνεστὼς διὰ δύο ἀμεταβόλων ἐκφέρεται, διὰ τοῦ πρώτου ἀμεταβόλου καὶ ὁ μέσος παρακείμενος καὶ ὁ δεύτερος ἀόριστος ἐκφέρονται, οἷον κάμνω κέκαμα καὶ ἔκαμον, τέμνω τέτομα καὶ ἔταμον, δάμνω, (σημαίνει δὲ τὸ δαμάζω,) δέδημα καὶ ἔδαμον, ἐξ οὗ τὸ ἐδάμην. Ἐκ τούτου [f] πιθανεύονται τινὲς, λέγοντες, ὅτι τοῦ τίλλω καὶ πάλλω καὶ τῶν ὁμοίων τὸ δεύτερον ἀμετάβολον ἐκβλήθη ἐν τῷ τέτιλα καὶ ἔτιλον καὶ πέπαλα καὶ ἔπαλον μέσῳ παρακειμένῳ καὶ ὁ δεύτερος ἀόριστος (καὶ β' ἀορίστῳ,) ὥς που ἀνατρέπονται, εἰρήκαμεν δὲ ἐν τῷ μέσῳ παρακειμένῳ· εἰ δὲ ὁ ἐνεστὼς διὰ καθαροῦ τοῦ Ω ἐκφέρεται, καὶ ὁ μέσος παρακείμενος διὰ καθαροῦ τοῦ Α ἐκφέρεται, καὶ ὁ δεύτερος ἀόριστος διὰ καθαροῦ τοῦ ΟΝ, οἷον κίω, (σημαίνει δὲ τὸ πορεύομαι,) καὶ κέκια καὶ ἔκιον, ὡς παρὰ τῷ ποιητῇ

ἔκιον μεγάλῳ ἀλαλητῷ·

δείω, δέδια καὶ ἔδιον, καίω, κέκαια καὶ ἔκαιον, ἐξ οὗ τὸ ἐκάην· πίω, πέπια καὶ ἔπιον· ἴω τὸ πορεύομαι, καὶ ὁ μέσος παρα-

[f] πυνθάνονται Bar.

κείμενος εἶα καὶ κατ' ἐπέκτασιν Ἀττικὴν τοῦ ε εἰς τὸ η, καὶ κατὰ διάστασιν ἤϊα,

ἤϊα πολλὰ θεοὺς γουνούμενος·

καὶ λοιπὸν ὁ δεύτερος ἀόριστος ἴον διὰ τοῦ ι λόγῳ τῆς παραληγούσης, ὥσπερ εἶδον ἴδον, [Od. ψ'. 40.]

οὐκ ἴδον, οὐ πυθόμην·

ὅτι γὰρ ὁ δεύτερος ἀόριστός ἐστι τὸ ἔπιον καὶ ἔκιον καὶ ἴον, δηλοῦσιν αἱ μετοχαὶ αὐτῶν ὀξυνόμεναι, οἷον πιών, κιών, ἰών, ἐξ οὗ τὸ συνιὼν καὶ ἀπιὼν καὶ παριὼν καὶ προσιών· αἱ γὰρ εἰς ΩΝ ὀξύτονοι μετοχαὶ δευτέρου ἀορίστου εἰσὶν, οἷον ἔλαβον λαβὼν, ἔφαγον φαγὼν, ἔδραμον δραμὼν, ἔλιπον λιπὼν, ἔδακον δακὼν, ἔπαθον παθὼν, ἔτυχον τυχὼν, ἔτυπον τυπών. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τῆς ποσότητος τῶν συλλαβῶν ἐστιν εἰπεῖν, ὅτι
268 a ἀπὸ μὲν βαρυτόνων θεμάτων ἰσοσυλλαβεῖ τῷ πρώτῳ ἀορίστῳ ὁ δεύτερος ἀόριστος, οἷον τύπτω τύψω ἔτυψα ἔτυπον, ῥάπτω ἔρραψα ἔρραφον, νύσσω ἔνυξα ἔνυγον, γράφω ἔγραψα ἔγραφον, ἐξ οὗ τὸ ἐγράφην, ἀπὸ δὲ περισπωμένων θεμάτων μιᾷ αὐτοῦ ἐνδεῖ ὁ δεύτερος ἀόριστος, οἷον δουπῶ ἐδούπησα ἔδουπον, μυκῶ ἐμύκησα ἔμυκον, χραισμῶ ἐχραίσμησα ἔχραισμον, ὀλισθῶ ὠλίσθησα ὤλισθον, καὶ τοῦτο εἰκότως· ὅτε γὰρ ὁ μέλλων περιττοσυλλαβεῖ τοῦ ἐνεστῶτος, τότε καὶ ὁ πρῶτος ἀόριστος ἐκ τοῦ μέλλοντος κανονιζόμενος τοῦ δευτέρου ἀορίστου τοῦ ἐκ τοῦ ἐνεστῶτος κανονιζομένου, χραισμῶ χραισμήσω ἐχραίσμησα ἔχραισμον, ὀλισθῶ ὀλισθήσω ὠλίσθησα ὤλισθον, κτυπῶ κτυπήσω ἐκτύπησα ἔκτυπον, δουπῶ δουπήσω ἐδούπησα ἔδουπον· ὅτε δὲ ὁ μέλλων ἰσοσυλλαβεῖ τῷ ἐνεστῶτι, τότε καὶ ὁ πρῶτος ἀόριστος ἐκ τοῦ μέλλοντος κανονιζόμενος ἰσοσυλλαβεῖ τῷ β' ἀορίστῳ, οἷον τύπτω τύψω ἔτυψα ἔτυπον, γράφω γράψω ἔγραψα ἔγραφον, ῥάπτω ῥάψω ἔρραψα ἔρραφον, κείρω κερῶ ἔκειρα ἔκαρον. Ἕτεροι δὲ λέγουσιν ὅτι εὐλόγως ἀπὸ μὲν βαρυτόνων θεμάτων ἰσοσυλλαβεῖ ὁ δεύτερος ἀόριστος τῷ πρώτῳ ἀορίστῳ, ἀπὸ δὲ περισπωμένων μιᾷ αὐτοῦ ἐνδεῖ, ἐπειδὴ συγγένειαν ἔχει ὁ πρῶτος ἀόριστος πρὸς τὸν πρῶτον μέλλοντα, καὶ ὁ δεύτερος

ἀόριστος πρὸς τὸν δεύτερον μέλλοντα· καὶ γὰρ ὁ μὲν πρῶτος ἀόριστος ἐκ τοῦ πρώτου μέλλοντος κανονίζεται, ὁ δὲ δεύτερος μέλλων ἐκ τοῦ δευτέρου ἀορίστου· ἐπειδὴ οὖν ἡνίκα βαρύνεται τὸ θέμα ὁ πρῶτος μέλλων καὶ ὁ δεύτερος μέλλων ἰσοσυλλαβεῖ, οἷον τύπτω τύψω τυπῶ, κείρω κερῶ κερῶ, τούτου χάριν καὶ ὁ πρῶτος ἀόριστος καὶ ὁ δεύτερος ἰσοσυλλαβοῦσιν, οἷον ἔτυψα ἔτυπον, ἔκειρα ἔκαρον, ἐπειδὴ ἡνίκα περισπᾶται τὸ θέμα, ἤγουν ὁ ἐνεστώς, ἐνδεῖ μιᾷ συλλαβῇ ὁ δεύτερος μέλλων τοῦ πρώτου μέλλοντος, οἷον κτυπῶ κτυπήσω κτυπῶ, δουπῶ δουπήσω δουπῶ· τούτου χάριν τότε καὶ ὁ δεύτερος ἀόριστος ἐνδεῖ μιᾷ συλλαβῇ τοῦ πρώτου ἀορίστου, οἷον ἐκτύπησα ἔκτυπον, ἐδούπησα ἔδουπον· διακρίνεται δὲ ὁ κτυπῶ καὶ δουπῶ μέλλων ἐκ τοῦ κτυπῶ καὶ δουπῶ ἐνεστῶτος, ὅτι μὲν ὁ δεύτερος μέλλων οὐκ ἔχει ἐντέλειαν, ὁ δὲ ἐνεστὼς ἔχει ἐντέλειαν, οἷον κτυπέω, δουπέω. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἡ πρώτη ἐστὶν αἰτία κρείττων ἐκ τοῦ μέλλοντος καὶ ἐνεστῶτος· εἰ γὰρ ἐκ τοῦ μέλλοντος κανονίζεται ὁ πρῶτος ἀόριστος, ἀλλ' οὖν ὁ δεύτερος ἀόριστος ἐκ τοῦ δευτέρου μέλλοντος οὐ κανονίζεται. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι πολλάκις συνεμπίπτουσιν ἀλλήλοις ὁ παρατατικὸς καὶ ὁ δεύτερος ἀόριστος, ὡς ἐπὶ τοῦ ἔγραφον καὶ ἔλεγον· δεῖ γὰρ γινώσκειν ταῦτα, ὅτι καὶ παρατατικοί εἰσι καὶ δεύτεροι ἀόριστοι· καὶ παρατατικοὶ μέν, ὡς δηλοῖ ἡ μετοχὴ γράφων ὡς ἀπὸ βαρυτόνων θεμάτων, ὥσπερ ἔτυπτον τύπτων, ἔκοπτον κόπτων· εἰ γὰρ ἦσαν δευτέρου ἀορίστου, ὀξύνεσθαι ὤφειλεν ἡ μετοχή· αἱ γὰρ εἰς ΩΝ ληγόμεναι μετοχαὶ τοῦ δευτέρου ἀορίστου ὀξύνονται, οἷον τυπών, δραμών, λαβών, φαγών, πιών, δακών, παθών, τυχών, λαχών, χωρὶς τοῦ πέφων, ὅπερ βαρύνεται· ὁμοίως τὸ τέμνων καὶ κάμνων· δευτέρου δὲ ἀορίστου εἰσὶ τὸ ἔγραφον καὶ ἔλεγον,
268 b ὡς δηλοῖ ὁ ἐγράφην καὶ ἐλέγην, παθητικὸς δεύτερος ἀόριστος· ὁ γὰρ β' ἀόριστος παθητικὸς ἀπὸ τοῦ πρώτου ἀορίστου ἐνεργητικοῦ γίνεται, τροπῇ τοῦ ο εἰς η, οἷον ἔτυπον ἐτύπην, ἔγραφον ἐγράφην, ἔσταλον ἐστάλην, ἔνυγον ἐνύγην, ἔκαμον ἐκάμην. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τῆς παραληγούσης τοῦ δευτέρου ἀορίστου ἐστὶν εἰπεῖν, ὅτι ἀπὸ μὲν βαρυτόνων θεμάτων ὑπάρχων ὁ δεύτερος ἀόριστος βραχείᾳ θέλει παραλήγεσθαι, οἷον τύπω ἔτυπον, πείθω ἔπιθον, ἐξ οὗ τὸ πιθεῖν ἀπαρέμφατον ἐκφέρεται ὥσπερ λαβεῖν, καὶ κατὰ ἀναδιπλασιασμὸν πεπιθεῖν, [Il. ι'. 184.]

ῥηΐδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο·

τεύχω ἔτυχον, ἐλεύθω ἤλυθον, καὶ κατὰ συγκοπὴν ἦλθον· λήβω ἔλαβον, λήκω ἔλακον, δήκω ἔδακον, φήγω ἔφαγον. μήθω ἔμαθον, πήθω ἔπαθον, λήχω ἔλαχον, τήκω ἔτακον, ἐξ οὗ τὸ ἐτάκην, πρήθω ἔπραθον, ἐξ οὗ τὸ ἐπράθην, τρώγω ἔτραγον, φεύγω ἔφυγον, καίω ἔκαον, ἐξ οὗ τὸ ἐκάην, ἀπὸ δὲ περισπωμένων ἀδιαφορεῖ ἡ παραλήγουσα πῆ μὲν συστελλομένη, οἷον μυκῶ ἔμυκον, κτυπῶ ἔκτυπον, πῆ δὲ φυλαττομένη μακρὰ, ὀλισθῶ ὤλισθον, χραισμῶ ἔχραισμον, δουπῶ ἔδουπον. Καὶ ζητεῖ ὁ Φιλόπονος, ὅτι ποτὲ μὲν συστέλλεται ἡ παραλήγουσα τοῦ δευτέρου ἀορίστου ἐπὶ τῶν περισπωμένων, ποτὲ δὲ φυλάττεται μακρὰ, καὶ λέγει ὅτι τὰ ἔχοντα δύο σύμφωνα μακρὰν φυλάττουσι τὴν παραλήγουσαν ἐν τῷ δευτέρῳ ἀορίστῳ ἐπὶ τῶν περισπωμένων, οἷον, ὀλισθῶ ὤλισθον, βλαστῶ ἔβλαστον, ἀλαλκῶ ἤλαλκον, ἁμαρτῶ ἥμαρτον· τὰ δὲ μὴ ἔχοντα δύο σύμφωνα συστέλλουσι τὴν παραλήγουσαν ἐν τῷ δευτέρῳ ἀορίστῳ ἐπὶ τῶν περισπωμένων, οἷον ληκῶ ἔλακον· οὐκ ἀκριβῶς δὲ λέγει, ἰδοὺ γὰρ τὸ δουπῶ ἔδουπον μὴ ἔχων δύο σύμφωνα ἐφύλαξε μακρὰν τὴν παραλήγουσαν.

Πάλιν ζητοῦσι διὰ τί γὰρ τὰ ἔχοντα δύο σύμφωνα φυλάττουσι μακρὰν τὴν παραλήγουσαν ἐν τῷ δευτέρῳ ἀορίστῳ ἐπὶ τῶν περισπωμένων, οἷον χραισμῶ ἔχραισμον, ὀλισθῶ ὤλισθον, τὰ δὲ μὴ ἔχοντα δύο σύμφωνα συστέλλουσι τὴν παραλήγουσαν· ἐν τῷ ἔχραισμον καὶ ὤλισθον δευτέρῳ ἀορίστῳ, ἐπειδὴ οὐκ ἔχουσι τὴν μακρὰν κυρίως παραλήγουσαν, δυνάμει γὰρ προπαραλήγουσα ἐστί· τὸ γὰρ ἐντελὲς χραισμέω καὶ ὀλισθέω. Κακῶς λέγουσι· πρῶτον μὲν γὰρ καὶ ἡ ἐν τῷ ἐνεστῶτι μακρὰ οὐκ ἔστι κυρίως καὶ ἐν τῇ παραληγούσῃ, ἀλλὰ δυνάμει ἐν τῇ παραληγούσῃ ἐστίν· ἀλλ' οὖν ἐν τῷ δευτέρῳ

ἀορίστῳ τὸ ἔχραισμον καὶ ὤλισθον κυρίως ἐν τῇ παραληγούσῃ ἐστὶ μακρὰ, καὶ ὤφειλε συσταλῆναι· δεύτερον δὲ, κατὰ τὸν [f] μόνον αὐτῶν, οὔτε τὸ ληκῶ ὤφειλε συσταλῆναι τὴν παραλήγουσαν, ἐν τῷ ἔλακον δευτέρῳ ἀορίστῳ, ἐπειδὴ δυνάμει μακρὰ ἐν τῇ παραληγούσῃ ἔστι, καὶ οὐκ ἐν τῇ παραληγούσῃ, ληκέω γάρ ἐστι τὸ ἐντελές. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δὲ ἐστι ζητῆσαι διὰ τί ὁ δεύτερος ἀόριστος ἡνίκα μὲν ᾖ ἀπὸ βαρυτόνων θεμάτων πάντως βραχείᾳ παραλήγεται, οἷον τύπτω ἔτυπον, τρώγω ἔτραγον, λείπω ἔλιπον, λήβω ἔλαβον, μάθω ἔμαθον, δήκω ἔδακον· ἡνίκα δὲ ᾖ ἀπὸ περισπωμένων θεμάτων οὐ πάντως βραχείᾳ παραλήγεται, ἀλλ' ἔστιν ὅτε καὶ μακρᾷ, οἷον χραισμῶ ἔχραισμον, ὀλισθῶ ὤλισθον, δουπῶ ἔδουπον. Πρόσκειται "οὐ πάντως βραχείᾳ παραλήγεται, ἀλλ' ἔστιν ὅτε καὶ μακρᾷ, καὶ οὐκ ἀεὶ μακρᾷ," ἐπειδὴ ἔστιν ὅτε καὶ βραχείᾳ παραλήγεται, οἷον μυκῶ ἔμυκον,
269 a ληκῶ ἔλακον, τυπῶ ἔτυπον. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· εἰ παρελήγετο μακρᾷ ὁ δεύτερος ἀόριστος ἡνίκα ᾖ ἀπὸ βαρυτόνων θεμάτων, ἔμελλε κατὰ πάντα συνεμπίπτειν τῷ παρατατικῷ, καὶ οὐδεμία διαστολὴ ἦν τοῦ δευτέρου ἀορίστου καὶ τοῦ παρατατικοῦ· οὐδὲ γὰρ ὁ παρατατικὸς συνάρχεται ἀεὶ τῷ δευτέρῳ ἀορίστῳ· ἔτι δὲ ἡνίκα βαρύνεται τὸ θέμα, καὶ τὴν αὐτὴν λήγουσαν ἔχουσιν οἱ δύο χρόνοι, οἷον ἔλειπον καὶ ἔλιπον, ἔπειθον καὶ ἔπιθον, ἔτρωγον καὶ ἔτραγον, ἔτυπτον καὶ ἔτυπον, καὶ τὴν παραλήγουσαν φυλάττεσθαι καὶ μὴ συστέλλεσθαι ἐν τῷ δευτέρῳ ἀορίστῳ· παρατατικὸς σχεδὸν εὑρίσκεται ὁ δεύτερος ἀόριστος, καὶ οὐκ ἦν τι τὸ διακρῖνον τὸν δεύτερον ἀόριστον καὶ τὸν παρατατικόν. Τούτου οὖν χάριν ἡνίκα ᾖ ἀπὸ βαρυτόνων θεμάτων, ὁ δεύτερος ἀόριστος συστέλλει τὴν παραλήγουσαν. Ἡνίκα δὲ ᾖ ἀπὸ περισπωμένων θεμάτων, ὁ δεύτερος ἀόριστος διὰ τοῦτο (οὐκ) ἀναγκάζεται πάντως συστέλλειν τὴν παραλήγουσαν, ἐπειδὴ εἰ καὶ μὴ συστέλλοι τὴν παραλήγουσαν ἱκανή ἐστιν ἡ λήγουσα διαστολὴν ποιήσασθαι τοῦ παρατατικοῦ καὶ τοῦ

[f] Sic Bar. Lacuna fere unius verbi est in Par. Nescio an plura desint.

δευτέρου ἀορίστου· καὶ γὰρ ἐπὶ τῶν περισπωμένων ὁ μὲν παρατατικὸς μακροκαταληκτεῖ, οἷον δουπῶ ἐδούπουν, χραισμῶ ἔχραισμον, ὀλισθῶ ὤλισθον, μυκῶ ἔμυκον· καθόλου γὰρ ὁ δεύτερος ἀόριστος ἀπὸ τῶν εἰς ω ῥημάτων ὑπάρχων, εἴτε ἀπὸ βαρυτόνων θεμάτων εἴτε ἀπὸ περισπωμένων, βραχυκαταληκτεῖ, οἷον τύπτω ἔτυπον, λείπω ἔλιπον, τρώγω ἔτραγον, δουπῶ ἔδουπον, χραισμῶ ἔχραισμον· ὡς ἱκανῆς οὔσης τῆς ληγούσης ἐπὶ τῶν περισπωμένων διαστολὴν ποιήσασθαι τοῦ παρατατικοῦ καὶ τοῦ δευτέρου ἀορίστου, οὐκ ἀναγκάζεται πάντως ἡ παραλήγουσα τοῦ δευτέρου ἀορίστου συσταλῆναι, ἡνίκα ᾖ ἀπὸ περισπωμένου θέματος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ δεύτερος ἀόριστος, εἴτε ἀπὸ βαρυτόνων θεμάτων εἴτε ἀπὸ περισπωμένων, βραχείᾳ θέλει παραλήγεσθαι, οἷον λείπω ἔλιπον, τρώγω ἔτραγον, λήβω ἔλαβον, κτυπῶ ἔκτυπον, μυκῶ ἔμυκον· τὰ γὰρ φυλάττοντα τὴν παραλήγουσαν μακρὰν ἐν τῷ δευτέρῳ ἀορίστῳ εὐαρίθμητα· εἰσὶ δὲ ταῦτα· χραισμῶ ἔχραισμον, ὀλισθῶ ὤλισθον, βλαστῶ ἔβλαστον, ἀλαλκῶ ἤλαλκον, ἁμαρτῶ ἥμαρτον, καὶ κατὰ ὑπερβιβασμὸν τοῦ ρ καὶ τροπῇ τοῦ α εἰς ο καὶ πλεονασμῷ τοῦ β ἤμβροτον. Τὸ δὲ β ἐπλεόνασεν, ἐπειδὴ τὸ μ πρὸ τοῦ ρ οὔτε ἐν συλλήψει δύναται εἶναι, οὔτ' ἐν διαστάσει· καὶ ἐν συλλήψει μέν, ἐπειδὴ ἀμετάβολον ἀμεταβόλου προηγεῖται οὐδέποτε, οἷον ἅρμα, ἔρνος, ἅλμη, εἰ μὴ τὸ μ πρὸ τοῦ ν οἷον μνᾶ, μνημεῖον, ἐν διαστάσει δὲ οὐκ ἐδύνατο εἶναι τὸ μ πρὸ τοῦ ρ, ἐπειδὴ τὸ ρ οὐ θέλει ἔχειν πρὸ ἑαυτοῦ ἕτερον σύμφωνον κατὰ διάστασιν, εἰ μὴ αὐτὸ τὸ ρ, οἷον ἔρραπτον, ἔρραφον, ἔρραγον, ἐπίρρημα, ὑποδηματόρραφος, ἄρρωστος. Πρόσκειται "κατὰ διάστασιν," ἐπειδὴ ἕτερα σύμφωνα εὑρίσκονται προηγούμενα τοῦ ρ κατὰ σύλληψιν, οἷον δρῶ, κρέας, Τρώς, γραῦς, βρέχω. Δεῖ προσθεῖναι, χωρὶς τῶν ἀπὸ τῆς πρός, εἰς, ἐξ, δίς· ἐπὶ τούτων γὰρ εὑρίσκεται ἕτερα σύμφωνα προηγούμενα τοῦ ρ κατὰ διάστασιν, οἷον δύσριγος, δύσροια, πρόσριψις, ἐκρεῦσαι. Ἐπειδὴ οὖν ὡς δέδεικται, οὐκ ἠδύνατο τὸ μ πρὸ τοῦ θ εἶναι, οὔτε κατὰ σύλληψιν, οὔτε

269 b κατὰ διάστασιν, ἐξ ἀνάγκης ἐπλεόνασε τὸ β ἐν τῷ ἤμβροτον. Ἔστι καὶ τὸ δουπῶ ἔδουπον μακρᾷ παραληγόμενον, καὶ τὸ τέρπω ἔταρπον καὶ ἔτραπον πρὸς διάφορον σημαινόμενον, (ἀπὸ μὲν τοῦ τέρπω, τὸ ἔταρπον, ἐξ οὗ τὸ

ταρπήμεναι ἄμφω·

ἀπὸ δὲ τοῦ τρέπω τὸ ἔτραπον, ἐξ οὗ τὸ ἐτράπην,) πλήσσω ἔπληγον καὶ ἔπλαγον πρὸς διάφορον σημαινόμενον· ὁ γὰρ πλήσσων ἢ ὁ πλησσόμενος ἢ σωματικῶς πλήσσεται ἢ ψυχικῶς, καὶ εἰ μὲν σωματικῶς, ἔπληγον, διὰ τοῦ η, ἐξ οὗ καὶ τὸ ἐπλήγην, εἰ δὲ ψυχικῶς, ἔπλαγον, διὰ τοῦ α, ἐξ οὗ τὸ ἐπλάγην καὶ κατεπλάγην. Ἀμέλει ὁ ποιητὴς, ἐπειδὴ ἐπὶ τῆς ψυχικῆς διαθέσεως κατεπλήγη εἶπε διὰ τοῦ η διὰ τὴν ἀνάγκην τοῦ μέτρου, τούτου χάριν προσέθηκε τὸ φίλον ἦτορ,

κατεπλήγη φίλον ἦτορ,

ἵνα μὴ διὰ τῆς γραφῆς τοῦ η νομισθῇ ἐπὶ τῆς σωματικῆς διαθέσεως κεῖσθαι. Τὸ αὐτὸ δὲ λέγουσι καὶ ἐπὶ τοῦ πονῶ πονήσω καὶ πονέσω, ὁ γὰρ πονῶν ἢ σωματικῶς πονεῖ ἢ ψυχικῶς· καὶ εἰ μὲν σωματικῶς, πονέσω διὰ τοῦ ε, εἰ δὲ ψυχικῶς πονήσω διὰ τοῦ η· διὰ τοῦτο σημειούμεθα παρὰ Ἀριστοφάνει [Pac. 820.]

ἐγὼ δέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη·

ἐπειδὴ σωματικῶς λεχθὲν διὰ τοῦ η προ[σ]ηνέχθη. Ἔστι καὶ τὸ δέρθω ἔδαρθον μακρᾷ παραληγόμενον, ὅπερ γίνεται κατὰ ὑπερβιβασμὸν ἔδραθον, σημαίνει δὲ τὸ ἐκοιμήθην· ἔστι δὲ καὶ τὸ ἔπεφνον· τοῦτο δὲ σχηματίζεται τοῦτον τὸν τρόπον· ἀπὸ τοῦ φῶ, τοῦ σημαίνοντος τὸ φονεύω, γίνεται φένω διὰ τοῦ ε, καὶ ἔφενον καὶ ἐπέφενον, καὶ κατὰ συγκοπὴν ἔπεφνον· τοῦτο δὲ ἄφωνον ἔχει πρὸ ἀμεταβόλου καὶ τῷ λόγῳ τῆς κοινῆς ἀντὶ βραχείας παραλαμβάνεται· ἔστι καὶ τὸ ἐνέγκω ἤνεγκον· ὅτι γὰρ τὸ ἤνεγκα δεύτερος ἀόριστος ἐστὶ, δηλοῖ ἡ μετοχὴ ἐνεγκὼν, οὖσα ὀξύτονος· αἱ γὰρ εἰς ΩΝ ὀξύτοναι μετοχαὶ δευτέρου ἀορίστου εἰσὶν, οἷον ἔφαγον φαγὼν, ἔλαβον λαβὼν, ἔδραμον δραμών· ἔστι καὶ τὸ ἅδε τὸ σημαῖνον τὸ ἤρεσε· τοῦτο δὲ τὸ α ποτὲ μὲν ἐκτείνεται, ποτὲ

δὲ συστέλλεται· γέγονε δὲ τοῦτον τὸν τρόπον· ἔστιν ἥδω ἐξ οὗ τὸ ἥδομαι, τούτου ὁ δεύτερος ἀόριστος λόγῳ μὲν παραληγούσης γίνεται ἅδον διὰ τοῦ Α, ἐξ οὗ τὸ

ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων,

ὥσπερ λήβω ἔλαβον, μήθω ἔμαθον, δήκω ἔδακον· λόγῳ δὲ ἀρχούσης γίνεται ἦδον διὰ τοῦ Η, καὶ ἦδε, καὶ κατὰ διάλυσιν τοῦ Η εἰς Ε καὶ Α γίνεται ἔαδα, ὥσπερ ἥλω ἐάλω· ἔστι καὶ τὸ δέρκω ἔδαρκον, ὅπερ γίνεται κατὰ ὑπερβιβασμὸν ἔδρακον· ἔστι καὶ τὸ πέρθω ἔπαρθον, ὅπερ γίγνεται κατὰ ὑπερβιβασμὸν ἔπραθον· τοῦτο δὲ γίνεται καὶ ἀπὸ τοῦ πρήθω, ὅπερ σημαίνει τὸ καίω, ὥσπερ ἀπὸ τοῦ λήβω ἔλαβον, καὶ μήθω ἔμαθον, καὶ φήγω ἔφαγον· ἔστι καὶ τὸ ἔειπον καὶ ἔειδον· δεῖ γὰρ γινώσκειν, ὅτι τὸ εἶπον καὶ εἶδον κατὰ πλεονασμὸν τοῦ Ε γίνονται ἔειπον καὶ ἔειδον,

καὶ τότε δὴ μετέειπε·

ἔστι καὶ τὸ κακέμφατον τὸ πέπαρδον μακρᾷ παραληγόμενον, ὅτι ἀπὸ τοῦ πέρδω, ἐξ οὗ τὸ πέρδομαι, ἔπαρδον καὶ ἀπέπαρδον· τὸ ἦλθον καὶ εὗρον λόγῳ ἀρχούσης ἔχουσι τὴν
270 a μακράν· ἐπειδὴ γὰρ ταῦτα δισύλλαβα εἰσὶ καὶ τὴν αὐτὴν ἔχουσιν ἄρχουσαν καὶ παραλήγουσαν, τῷ λόγῳ τῆς ἀρχούσης ἔσχον τὴν μακρὰν, καὶ οὐ τῷ λόγῳ τῆς παραληγούσης. Γέγονε δὲ τὸ ἦλθον τοῦτον τὸν τρόπον· ὥσπερ ἀπὸ τοῦ φεύγω γέγονεν ἔφυγον, καὶ ἀπὸ τοῦ τεύχω ἔτυχον, οὕτω καὶ ἀπὸ τοῦ ἐλεύθω γέγονεν ἤλυθον καὶ κατὰ συγκοπὴν ἦλθον. Ὡσαύτως δὲ καὶ τὸ εἶπον, ὡς ἀπὸ τοῦ ἔπω γενόμενον, λόγῳ ἀρχούσης ἔσχε τὴν μακράν· τὸ γὰρ Ε μεγεθυνόμενον διὰ τῆς προσθήκης τοῦ Ι μεγεθύνεται, οἷον ἔχω εἶχον, ἕλκω εἷλκον, ἢ τρέπεται εἰς Η, οἷον ἑρμηνεύω ἡρμήνευον, ἐλαύνω ἤλαυνον· οὐ δυνάμεθα δὲ λέγειν, ὅτι ἐν τῷ εἶπον δευτέρῳ ἀορίστῳ λόγῳ παραληγούσης προσῆλθε τὸ Ι, ἐπειδὴ ὡς εἰρήκαμεν, ἡνίκα ᾖ ἀπὸ βαρυτόνων θεμάτων ὁ δεύτερος ἀόριστος, βραχείᾳ θέλει παραλήγεσθαι, οἷον ἔτυπον, ἔνυγον, ἔλαβον, ἔμαθον. Ἀλλ' ἴσως ἔχει εἰπεῖν, ὅτι εἰ ἄρα λόγῳ ἀρχούσης προσῆλθε τὸ Ι ἐν τῷ εἶπον δευτέρῳ ἀορίστῳ, διὰ τί μὴ ἀπέβαλε αὐτὸ καὶ ἐν

ταῖς μετοχαῖς, καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, εἴ γε λόγος ἐστὶν ὁ λέγων, ὅτι τὰ λόγῳ ἀρχούσης χρονικῶς ἢ συλλαβικῶς προσερχόμενα τῷ παρατατικῷ καὶ τοῖς ἀορίστοις ἀποβάλλονται καὶ ἐν ταῖς μετοχαῖς καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, ἔτυπτον τύπτων τύπτειν τύπτε τύπτοιμι, ἐὰν τύπτω· ᾔτουν αἰτῶν αἰτεῖς αἰτεῖ αἰτοῖμι ἐὰν αἰτῶ, ἔτυψα τύψας τύψαι τύψον τύψοιμι ἐὰν τύψω, ἐλέησα ἐλέησας ἐλεῆσαι ἐλέησον ἐλεήσαιμι ἐὰν ἐλεήσω, ἔλαβον λαβὼν λαβεῖν λάβοιμι λάβε ἐὰν λάβω, ἦλθον ἐλθὼν ἐλθεῖν ἔλθοιμι ἐλθὲ ἐὰν ἔλθω; (Πρόσκειται "καὶ τῷ παρατατικῷ καὶ τοῖς ἀορίστοις" διὰ τὸν παρακείμενον· οὗτος γὰρ οὐδαμῶς ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν· οὔτε γὰρ ἐν ταῖς μετοχαῖς αὐτὴν ἀποβάλλει, οὔτ᾽ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι, τέτυφα τετυφὼς τετυφέναι τετύφοιμι τέτυφε ἐὰν τετύφω· ἠλέηκα ἠλεηκέναι ἠλεηκὼς ἠλεήκοιμι ἠλέηκε ἐὰν ἠλεήσω.) Εἰ ἄρα ἦν (οὖν) τὸ εἶπον λόγῳ ἀρχούσης προσέλαβε τὸ ι, πῶς οὐκ ἀποβάλλει αὐτὸ, οὔτε ἐν ταῖς μετοχαῖς, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, εἰπὼν γὰρ καὶ εἰπεῖν καὶ εἴποιμι καὶ εἰπὲ καὶ ἐὰν εἴπω; Καὶ λέγουσί τινες, ὅτι διὰ τοῦτο ἡ εἰπὼν μετοχὴ οὐκ ἀποβάλλει τὸ ι καὶ γίνεται ἐπὼν ἵνα μὴ συνεμπέσῃ τῇ ἐπὼν μετοχῇ τῇ σημαινούσῃ τὸ ὑπάρχων· ἔστι γὰρ ὢν καὶ ἐν συνθέσει μετὰ τῆς ἐπὶ γίνεται ἐπὼν, ὥσπερ συνὼν καὶ παρών· κρεῖττον δέ ἐστιν εἰπεῖν τὴν αἰτίαν ἥν φησιν ὁ Φιλόπονος, ὅτι διὰ τοῦτο οὐκ ἀποβάλλεται τὸ ι οὔτε ἐν ταῖς μετοχαῖς οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι τοῦ εἶπον, ἐπειδὴ λόγος ἐστὶν ὁ λέγων, πᾶς δεύτερος ἀόριστος συναρχόμενος τῷ πρώτῳ ἀορίστῳ ἐν τῇ ὁριστικῇ ἐγκλίσει συνάρχεται καὶ ἐν ταῖς μετοχαῖς καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, οἷον ἔτυψα ἔτυπον, τύψαι τυπεῖν, τύψαιμι τύποιμι, τύψον τύπε, ἐὰν τύψω ἐὰν τυπῶ, τύψας τυπών· ὤλίσθησα ὤλισθον ὀλισθῆσαι ὀλισθεῖν ὀλισθήσαιμι ὀλίσθησον ὄλισθε
270 b ἐὰν ὀλισθήσω ἐὰν ὀλισθῶ ὀλισθήσας ὀλισθών· εἰ ἄρα οὖν ὁ εἰπὼν δεύτερος ἀόριστος συνάρχεται ἐν τῇ ὁριστικῇ ἐγκλίσει τῷ εἶπα πρώτῳ ἀορίστῳ, ὁ δὲ εἶπας πρῶτος

ἀόριστος οὐκ ἀποβάλλει τὸ ι οὔτε ἐν ταῖς μετοχαῖς, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, οἷον εἴπας,

εἴπας ἥλιε χαῖρε,

ἀντὶ τοῦ εἰπών, εἰπὲ εἴποιμι εἶπον, (ὡς παρὰ Μενάνδρῳ,

εἶπον δέ τι ποιεῖν μέλλετε,

ἀντὶ τοῦ εἰπέ·) ἐὰν εἴπω, εἰκότως οὐδὲ ὁ εἰπὼν δεύτερος ἀόριστος ἀποβάλλει τὸ ι, οὔτε ἐν ταῖς μετοχαῖς, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, ἵνα συνάρξωνται τῷ πρώτῳ ἀορίστῳ καὶ ἐν ταῖς μετοχαῖς καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, ὥσπερ καὶ ἐν τῇ ὁριστικῇ ἐγκλίσει συνάρχεται αὐτῷ· ὁ δὲ εἶπα πρῶτος ἀόριστος διὰ τοῦτο οὐκ ἀποβάλλει τὸ ι οὔτε ἐν ταῖς μετοχαῖς οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, ἐπειδὴ, ὡς ἐμάθομεν ἐν τῇ περὶ τοῦ πρώτου ἀορίστου διδασκαλίᾳ, προσέλαβεν τὸ ει οὐ λόγῳ ἀρχούσης· τὰ δὲ λόγῳ παραληγούσης προσερχόμενα οὐκ ἀποβάλλονται, οὔτε ἐν ταῖς μετοχαῖς, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, οἷον κερῶ ἔκειρα κεῖρας κεῖραι κείραιμι κεῖρον ἐὰν κείρω· ἐνταῦθα τὸ ι λόγῳ παραληγούσης προσῆλθε καὶ οὐκ ἀπεβλήθη, οὔτε ἐν ταῖς μετοχαῖς, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι εἶδον γενόμενον ἀπὸ τοῦ εἴδω λόγῳ ἀρχούσης διὰ τῆς ει διφθόγγου γράφεται, οἷον [Od. κ'. 194.]

εἶδον γὰρ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών·

λόγῳ δὲ παραληγούσης διὰ τοῦ ι γράφεται, οἷον

[g] οὐκ ἴδον οὐ πυθόμην.

Ἰστέον δὲ ὅτι τὸ μὲν εἴδω ἐν μὲν τῇ ὁριστικῇ ἐγκλίσει παρὰ τοῖς ποιηταῖς, ἤγουν ἐν στίχοις, καὶ διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ ι γράφεται, οἷον

οὐκ ἴδον, οὐ πυθόμην,

καὶ

εἶδον γὰρ σκοπιὴν εἰς παιπαλόεσσαν ἀνελθών,
Τηλέμαχος μνηστῆρσιν ἐφημένος εἶδεν Ἀθήνην,

[Od. α'. 118. μνηστῆρσι μεθήμενος, εἴσιδ' Ἀθήνην.]

ἀντὶ τοῦ ἐθεώρησε. Παρὰ τοῖς ἰαμβογράφοις, ἤγουν ἐν ἰάμβῳ, καὶ ἐν [h] ῥητορικῷ δὲ λόγῳ, ἤγουν πολιτικῷ, οὐ δεῖ διὰ

[g] Hinc usque ad ι γράφεται v. 27. om. Bar. [h] ῥητορικῆς Bar.

τοῦ ι γράφειν αὐτὸ, ἀλλὰ διὰ τῆς ει διφθόγγου μόνον· εἰ δὲ εὑρεθῇ παρὰ τοῖς τραγικοῖς διὰ τοῦ ι γραφόμενον τὸ ἴδον, οὐδὲν θαυμαστόν· οἱ γὰρ τραγικοὶ ποιητικαῖς λέξεσιν εἰώθασι κεχρῆσθαι· ὅτι γὰρ τὸ εἶδον ἐν πολιτικῷ λόγῳ διὰ τῆς ει διφθόγγου γράφεται δῆλον, εἴγε οὐκ ἀναβιβάζει τὸν τόνον ἐν τῷ παρεῖδον καὶ συνεῖδον· εἰ γὰρ ἐγράφετο διὰ τοῦ ι εἶχεν ἀναβιβάζειν τὸν τόνον, ὡς παρὰ τῷ ποιητῇ

[i]ἔϊδον δ' Ἀθήνην·

ἐν δὲ ταῖς λοιπαῖς ἐγκλίσεσι καὶ ἐν ταῖς μετοχαῖς διὰ συνεσταλμένου τοῦ ι γράφεται μόνως, οἷον ἴδω ἴδων ἴδοιμι ἴδε ἐὰν ἰδῶ, καὶ ἐξ αὐτοῦ δὲ γινόμενος δεύτερος ἀόριστος μέσος ἐν μὲν τοῖς ὁριστικοῖς διφορεῖται, τουτέστι διὰ τοῦ ι γράφεται καὶ διὰ τῆς ει διφθόγγου, οἷον εἰδόμην καὶ ἰδόμην· ἐν δὲ ταῖς μετοχαῖς καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι διὰ τοῦ ι μόνου γράφεται, οἷον ἰδέσθαι ἰδοίμην ἐὰν ἴδωμαι, [Od. ν'. 215.]

ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδωμαι·

καὶ ἰδόμενος ἡ μετοχὴ, (τὸ γὰρ (διὰ) τῆς ει διφθόγγου γραφόμενον [Il. ε'. 462.]

εἰδόμενος Ἀκάμαντι θοῷ,

οὐκ ἀντίκειται, ἐπειδὴ οὐκ ἔστιν ἐπὶ τούτου τοῦ σημαινομένου, λέγω δὲ τοῦ θεωρήσας, ἀλλ' ἐπὶ τοῦ ὁμοιωθείς.) ἴδε τὸ
271 a προστακτικόν. Δεῖ δὲ γινώσκειν ὅτι τὸ προστακτικὸν τοῦ ἰδόμην, λέγω δὲ τὸ ἴδου, βαρύνεται· καὶ ξένον οὐδὲν εἴγε καὶ τοῦτο βαρύνεται, τῶν προστακτικῶν τοῦ δευτέρου ἀορίστου μέσου ἔθος ἐχόντων περισπᾶσθαι, οἷον τυποῦ, λαβοῦ, νυγοῦ, πυθοῦ· λέγει γὰρ ὁ Ἡρωδιανὸς ὅτι τὰ προστακτικὰ τοῦ δευτέρου ἀορίστου οὐ πάντη περισπῶνται, καὶ παρατίθεται τὸ ἀφίκου βαρυνόμενον, καὶ τὸ ἴδου. Λέγουσι δέ τινες, διὰ τοῦτο οὐ περισπᾶται τὸ ἴδου προστακτικὸν, ἵνα μὴ συνεμπέσῃ τῷ ἰδοὺ δεικτικῷ ἐπιρρήματι· οὗτοι δ' οὐκ ἀκριβῶς λέγουσιν· εἰ γὰρ καὶ τῇ φωνῇ συνέπιπτον, ἀλλ' οὖν τῷ τόνῳ διεστέλλοντο. Τὸ γὰρ ἰδοὺ τὸ δεικτικὸν ἐπίρρημα

[i] ἴδον Bar.

ὀξύνεται, τὸ δὲ ἰδοῦ τὸ προστακτικὸν περισπᾶσθαι εἶχεν ὁμοίως τῷ τυποῦ, λαβοῦ, νυγοῦ. Ταῦτα μὲν ἐν τούτοις.

Ἔλθωμεν δὲ καὶ μάθωμεν πῶς συστέλλεται ἐν τῷ δευτέρῳ ἡ παραλήγουσα. Ἰστέον ὅτι ὀφείλει ὁ δεύτερος ἀόριστος διχρόνῳ παραλήγεσθαι, ὅθεν ἐπὶ τοῦ τρώγω ἔτραγον τὸ Ω εἰς τὸ Α ἐτράπη, καὶ ἐπὶ τοῦ λήβω ἔλαβον, τὸ Η εἰς Α τρέπεται ἐν τῷ δευτέρῳ ἀορίστῳ κατὰ τὴν παραλήγουσαν, εἰς Α δὲ συστελλόμενον, δηλονότι βραχὺ, διὰ τὸ τὸν δεύτερον ἀόριστον βραχείᾳ θέλειν παραλήγεσθαι, ὡς εἴρηται. Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· λήβω ἔλαβον, μήθω ἔμαθον, πρήθω (τὸ καίω) ἔπραθον, φήγω ἔφαγον, λήθω ἔλαθον, πήθω ἔπαθον, δήκω ἔδακον, λήχω ἔλαχον, τήκω ἔτακον, (ἐξ οὗ τὸ ἐτάκην,) πλήσσω ἔπλαγον, (ἐξ οὗ τὸ ἐπλάγην πρὸς διάφορον σημαινόμενον, ὡς ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν·) ἡ ΕΥ δίφθογγος τὸ Ε ἀποβάλλει καὶ τὸ δίχρονον φυλάττει ἐν τῷ δευτέρῳ ἀορίστῳ· ἐμάθομεν γὰρ ὅτι ὀφείλει ὁ δεύτερος ἀόριστος διχρόνῳ παραλήγεσθαι· φεύγω ἔφυγον, τεύχω ἔτυχον, πεύθω ἔπυθον, (ἐξ οὗ τὸ ἐπυθόμην,) ἐλεύθω ἤλυθον, καὶ κατὰ συγκοπὴν ἦλθον. Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἔτυχον γίνεται ὁ δεύτερος ἀόριστος ἐτυχόμην, τετύχοντο κατὰ ἀναδιπλασιασμὸν, καὶ τροπῇ τοῦ Χ εἰς τὸ ἀντίστοιχον τὸ ψιλὸν, φημὶ δὲ εἰς τὸ Κ,

τετύκοντό τε δαῖτα.

Ἐὰν εὑρηθῶσι δύο δίχρονα, τὸ δεύτερον ἀποβάλλεται ἐν τῷ δευτέρῳ ἀορίστῳ, καὶ τὸ πρῶτον φυλάττεται, οἷον καίω ἔκαον, ἐξ οὗ τὸ ἐκάην· χαίρω ἔχαρον, ἐξ οὗ τὸ ἐχάρην, μαίνω μαίνομαι ἔμανον, ἐξ οὗ τὸ ἐμάνην· φαίνω ἔφανον, ἐξ οὗ τὸ ἐφάνην· χαίνω ἔχανον, παύω ἔπαυον, ἐξ οὗ τὸ ἐπαύην καὶ ἀνεπαύην ἐν τῇ συνηθείᾳ· ἡ ΕΙ δίφθογγος ἐν τῷ δευτέρῳ ἀορίστῳ ἀποβάλλει τὸ Ε καὶ φυλάττει τὸ Ι· εἴρηται γὰρ ὅτι ὀφείλει ὁ δεύτερος ἀόριστος διχρόνῳ παραλήγεσθαι, οἷον λείπω ἔλιπον, πείθω ἔπιθον, ἐξ οὗ τὸ ἀπαρέμφατον πιθεῖν, ὥσπερ λαβεῖν, καὶ κατὰ ἀναδιπλασιασμὸν πεπιθεῖν, λείβω ἔλιβον. Δεῖ προσθεῖναι, χωρὶς τῶν δισυλλάβων τῆς ε' συζυγίας· ἐπ' ἐκείνων γὰρ τὸ Ι ἀποβάλλεται κατὰ τὸν δεύτερον

ἀόριστον, ἐπειδὴ καὶ ἐν τῷ μέλλοντι τὸ ι ἀποβάλλεται, καὶ τὸ ε εἰς α τρέπεται, οἷον κείρω κερῶ ἔκαρον, ἐξ οὗ τὸ ἐκάρην· φθείρω φθερῶ ἔφθαρον, ἐξ οὗ τὸ ἐφθάρην· σπείρω σπερῶ ἔσπαρον ἐσπάρην· κτείνω κτενῶ ἔκτανον. Πρόσκειται
271 b "χωρὶς τῶν δισυλλάβων," ἐπειδὴ ἐπὶ τῶν ὑπὲρ δύο συλλαβὰς τὸ ι μόνον ἀποβάλλεται, οὐκέτι δὲ τροπὴ παρηκολούθησε τοῦ ε εἰς τὸ α ἐν τῷ δευτέρῳ ἀορίστῳ, οἷον ἐγείρω ἤγειρον, ὀφείλω ὤφελον. Ἰστέον δὲ ὅταν εὑρεθῇ τὸ ε σὺν ἀμεταβόλῳ, ὡς ἐπὶ τὸ πλεῖστον τρέπεται εἰς τὸ α κατὰ τὸν δεύτερον ἀόριστον ἐν τῇ παραληγούσῃ, εἴτε τοῦ ε προηγεῖται τὸ ἀμετάβολον, εἴτε ἐπιφέρεται αὐτῷ· τῆς ε΄ συζυγίας τὸ ι δηλονότι ἀποβάλλεται, οἷον κείρω ἔκαρον, φθείρω ἔφθαρον, στείλω ἔσταλον, ἐξ οὗ τὸ ἐστάλην καὶ ἀπεστάλην, δείρω ἔδαρον, ἐξ οὗ τὸ ἐδάρην· τέμνω ἔταμον, πέρθω ἔπαρθον, καὶ κατὰ ὑπερβιβασμὸν ἔπραθον, δέρκω ἔδαρκον, πέρδω ἔπαρδον, ἐξ οὗ πέρδομαι, δρέμω ἔδραμον· τοῦτο δὲ καὶ προηγούμενον ἔχει τὸ ε καὶ ἐπιφερόμενον ἔχει τὸ ἀμετάβολον· τοῦτο δὲ δύναται, ὥς φησιν Ἡρωδιανὸς, καὶ ἀπὸ περισπωμένου τοῦ δραμῶ εἶναι, ἐξ οὗ ὁ δεδράμηκα παρακείμενος, καὶ ταῦτα μὲν ἐπιφερομένῳ τῷ ε τοῦ ἀμεταβόλου καὶ προηγουμένου δὲ τοῦ ε τοῦ ἀμεταβόλου, οἷον κλέπτω ἔκλαπον, ἐξ οὗ τὸ ἐκλάπην· πλέκω ἔπλακον, ἐξ οὗ τὸ ἐπλάκην, τρέπω ἔτραπον, ἐξ οὗ τὸ ἐτράπην, τρέφω ἔτραφον, ἐξ οὗ τὸ ἐτράφην, στρέφω ἔστραφον, ἐξ οὗ ἐστράφην, βρέχω ἔβραχον, ἐξ οὗ τὸ ἐβράχην. Πρόσκειται "ὡς ἐπὶ τὸ πλεῖστον," διὰ τὸ ἀγείρω ἤγειρον, ἀείρω ἤερον, καὶ ὀφείλω ὤφελον, καὶ λέγω ἔλεγον, ἐξ οὗ τὸ ἐλέγην καὶ κατελέγην· ἐπὶ τούτων γὰρ οὐκ ἐτράπη τὸ ε εἰς α. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι περὶ τούτου διάφοροι δόξαι γεγόνασιν· οἱ μὲν γὰρ, ὡς καὶ ἡμεῖς εἰρήκαμεν, λέγουσιν ὅτι εἴτε τοῦ ε προηγεῖται τὸ ἀμετάβολον, εἴτε ἐπιφέρεται αὐτῷ, τρέπεται τὸ ε εἰς τὸ α ἐν τῷ δευτέρῳ ἀορίστῳ κατὰ τὴν παραλήγουσαν, καὶ τὰ μὴ τρέψαντα, οἷον τὸ ἔλεγον ἐλέγην καὶ κατελέγην, ἔφλεγον ἐφλέγην καὶ κατεφλέγην, Ἀττικὰ λέγουσιν εἶναι· οἱ δὲ λέγουσιν ὅτι τότε τρέπεται τὸ ε εἰς

τὸ Α ἐν τῷ δευτέρῳ ἀορίστῳ κατὰ τὴν παραλήγουσαν, ἡνίκα ἐπιφέρεται αὐτῷ τι ἀμετάβολον, οἷον στέλλω ἔσταλον, δέρω ἔδαρον, καὶ τὰ τρέψαντα τοῦ ἀμεταβόλου προηγουμένου τοῦ Ε, οἷον κλέπτω ἔκλαπον, πλέκω ἔπλακον, καὶ τὰ ὅμοια, Δωρικὰ ἔλεγον εἶναι ἐπικρατήσαντα παρ' ἡμῖν· οἱ γὰρ Δωριεῖς ἔθος ἔχουσι τρέπειν τὸ Ε εἰς τὸ Α, οἷον τρέχω τράχω, Ἄρτεμις Ἄρταμις· μέχρι τοῦ νῦν ἀμφίβολος ἔμεινεν ἡ δόξα. Τούτων οὕτως ἐχόντων, δεῖ γιγνώσκειν ὅτι τὸ ἀμετάβολόν ἐστι τὸ ποιοῦν τροπὴν τοῦ Ε εἰς τὸ Α κατὰ τὴν παραλήγουσαν τοῦ δευτέρου ἀορίστου καὶ οὐχ, ὥς τινες ἐνόμισαν, οἱ ἀόριστοι τῆς ε' συζυγύας· ἰδοὺ γὰρ τὸ πέρθω τρίτης συζυγίας τρέπει τὸ Ε εἰς τὸ Α κατὰ τὸν δεύτερον ἀόριστον, ἔπαρθον γὰρ καὶ κατὰ ὑπερβιβασμὸν ἔπραθον, καὶ πάλιν τὸ τρέπω πρώτης ὂν συζυγίας ἔτραπον γίνεται, ἐξ οὗ τὸ ἐτράπην, καὶ τὸ δέρκω, δευτέρας ὂν συζυγίας, γίνεται ἔδαρκον, καὶ κατὰ ὑπερβιβασμὸν ἔδρακον. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιόν ἐστι ζητῆσαι περὶ τοῦ ἔπεσον, ὅτι εἰ ἄρα δεῖ ἔπεσον λέγειν, ἵνα ᾖ δεύτερος ἀόριστος, ἢ ἔπεσα, ἵνα ᾖ
272 a πρώτου ἀορίστου; Καὶ ἔστιν εἰπεῖν, ὅτι ἔπεσον δεῖ λέγειν· δεύτερος γὰρ ἀόριστος ἐστὶν, ὡς δηλοῖ ἡ μετοχὴ πεσὼν οὖσα, ὥσπερ λαβὼν, καὶ τὸ ἀπαρέμφατον πεσεῖν, ὥσπερ λαβεῖν· εἰ γὰρ ἦν πρῶτος ἀόριστος καὶ ἦν ἔπεσα, πέσας εἶναι εἶχεν ἡ μετοχὴ, ὥσπερ ποιήσας, καὶ τὸ ἀπαρέμφατον πέσαι, ὡς ποιῆσαι. Ἰστέον ὅτι τὸ ἔπεσον μονῆρες ἐστὶν, οὐδέποτε γὰρ ὁ δεύτερος ἀόριστος πρὸ τῆς ΟΝ συλλαβῆς τὸ Σ ἔχει, οἷον ἔτυπον, ἔνυγον, ἔλαβον, ἔμαθον, ἔφαγον, ἔδακον. Λέγει δὲ Ἡρωδιανὸς, ὅτι ἔστιν ὅμοιον αὐτῷ τὸ κακέμφατον, φημὶ δὲ τὸ ἔχεσον, καὶ αὐτὸ πρὸ τῆς ΟΝ συλλαβῆς τὸ Σ ἔχει, καὶ παρατίθεται τὴν χρῆσιν παρ' Ἀλκαίῳ ἐν Γανυμήδει ἔχουσαν οὕτως

κατέχεσον τῆς Νηρηΐδος.

Σχηματίζει δὲ ὁ Ἡρωδιανὸς τοῦτον τὸν τρόπον τὸ ἔπεσον· φησὶν ὅτι ὥσπερ ἀπὸ τοῦ φυσῶ φυσήσω γίνεται φύσημα, καὶ ἀπὸ τοῦ νοσῶ νοσήσω νόσημα, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ πεσῶ περισπωμένου γίνεται πεσήσω καὶ πέσημα,

ὄνομα ῥηματικόν, ὡς παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ [652.]

οὗ πεσήματα
πλεῖσθ' Ἑλλάδος πέπτωκε δορυπετῆ νεκρῶν,

καὶ λοιπὸν ὡς ἀπὸ τοῦ πεσῶ περισπωμένου γέγονεν ἔπεσα, ὁ δεύτερος ἀόριστος ὥσπερ καὶ ἀπὸ τοῦ χραισμῶ ἔχραισμον, καὶ ἀπὸ τοῦ ὀλισθῶ ὤλισθον, καὶ ἀπὸ τοῦ τύπτω ἔτυπον. Εἰ δέ τις εἴποι, διὰ τί γὰρ μὴ ὡς ἀπὸ τοῦ πέσω βαρύτονον λέγομεν αὐτὸ εἶναι; Λέγομεν ὅτι οὐ δύναται τὸ ἓν σ χαρακτηριστικὸν εἶναι βαρυτόνου ἐνεστῶτος· ἡ γὰρ δ' συζυγία τῶν βαρυτόνων ἢ διὰ τοῦ ζ ἢ διὰ τοῦ ξ ἢ διὰ τῶν δύο σσ ἐκφέρεται, οὐ μὲν δι' ἑνός, οἷον φράζω νύσσω ὀρύσσω, διὰ τοῦτο δὲ τὸ ἓν σ οὐ δύναται χαρακτηριστικὸν εἶναι βαρυτόνου ἐνεστῶτος, ἐπειδὴ τὰ χαρακτηριστικὰ βαρυτόνου μέλλοντος οὐ δύναται χαρακτηριστικὰ εἶναι βαρυτόνου ἐνεστῶτος, οἷον τὸ ξ καὶ ψ χαρακτηριστικά εἰσι βαρυτόνου μέλλοντος, ὡς ἐπὶ τοῦ λέξω, τύψω, καὶ οὐκ εἰσὶ χαρακτηριστικὰ βαρυτόνου ἐνεστῶτος, ἀλλὰ περισπωμένου, οἷον ἑψῶ, αὐξῶ Ἀττικά εἰσι. Πρόσκειται "βαρυτόνου μέλλοντος," διὰ τὸ κείρω κερῶ· ἐνταῦθα καὶ τοῦ ἐνεστῶτος καὶ τοῦ μέλλοντος τὸ ρ· ἰδοὺ γὰρ χαρακτηριστικόν· ἀλλ' οὐκ ἔστι βαρυτόνου μέλλοντος, ὡς ἐπὶ τοῦ πονήσω, νοήσω, δηλονότι καὶ χαρακτηριστικὸν εἶναι καὶ βαρυτόνου ἐνεστῶτος, ἀλλὰ καὶ περισπωμένου, οἷον φυσῶ νοσῶ. Ταῦτα μὲν ἐν τούτοις.

Ἐπειδὴ δὲ οἱ Ἴωνες εἰώθασι ἐπὶ τοῦ παρατατικοῦ καὶ πρώτου ἀορίστου καὶ δευτέρου προστιθέναι τὸ σ κατὰ τὸ τρίτον πρόσωπον, ἔλθωμεν καὶ διαλάβωμεν περὶ αὐτῶν. Ἰστέον ὅτι ταῦτα τὰ Ἰωνικῶς γινόμενα διὰ τοῦ σ κατὰ τὸ τρίτον πρόσωπον ἀπὸ μὲν βαρυτόνων ὄντα ἔχουσι φωνῆεν πρὸ τοῦ σ καὶ κ τὸ ε, οἷον τύπτεσκε λάβεσκε λέγεσκε, ὑπεσταλμένου τοῦ πρώτου ἀορίστου, περὶ οὗ μετ' ὀλίγον εἰρήσεται. Καὶ τὰ τῆς πρώτης συζυγίας τῶν περισπωμένων καὶ τὰ τῆς πρώτης συζυγίας τῶν εἰς μι ὁμοίως τὸ ε ἔχουσι πρὸ τοῦ σ καὶ κ, οἷον ποίεσκε, τίθεσκεν, τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐν τῷ παρατατικῷ μόνῳ τὸ α

ἔχουσι πρὸ τοῦ σκ, οἷον βόασκε λέλασκε· ἐν δὲ τῷ β' ἀορίστῳ ἐὰν ὅλως γίνωνται τὸ ε ἔχουσι πρὸ τοῦ σ καὶ κ, μυκῶ μυκᾶς ἔμυκον μύκεσκε· τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν εἰς μι καὶ ἐν τῷ παρατατικῷ καὶ ἐν τῷ δευτέρῳ ἀορίστῳ διὰ τοῦ α ἐκφέρονται πρὸ τοῦ σ καὶ κ οἷον ἵστημι ἵστης ἵστη ἵστασκε· τὰ δὲ τῆς τρίτης συζυγίας τῶν περισπωμένων καὶ τῶν εἰς μι διὰ τοῦ ο ἐκφέρονται πρὸ τοῦ σκ, οἷον ἐχρύσουν ἐχρύσοσκε, ἐδίδων ἐδίδοσκε· τὰ δὲ τῆς τετάρτης συζυγίας εἰς μι συστέλλουσι τὸ δίχρονον μόνον πρὸ τοῦ σκ, οἷον ζεύ-
272 b γνυμι ἐζεύγνυν ἐζεύγνυς ἐζεύγνυσκε, ἔδυν ἔδυς ἔδυσκε· ὁ δὲ πρῶτος ἀόριστος ἐπὶ τῶν βαρυτόνων καὶ ἐπὶ τῶν περισπωμένων καὶ ἐπὶ τῶν εἰς μι τὸ α ἔχει πρὸ τοῦ σκ, οἷον τύψασκε γράψασκε βρήσασκε? φήσασκε πτήσασκε, καὶ τοῦτο εἰκότως· τὸ γὰρ κεχρεωστημένον τῷ τρίτῳ προσώπῳ ἀνεδέξατο ἐνταῦθα· τὸ γὰρ τρίτον πρόσωπον τοῦ πρώτου ἀορίστου, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται, διὰ τοῦ α ὤφειλεν εἶναι, οἷον ἔτυψα ἔτυψας, καὶ ἔτυψα ἐκεῖνος, κατὰ ἀποβολὴν τοῦ σ, ἀλλ' ἐπειδή, ὡς εἴρηται, οὐκ ἠδύνατο τὸ τρίτον πρόσωπον ὁμοφωνεῖν κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὴν αὐτὴν διάλεκτον, καὶ τροπὴ παρηκολούθησε τοῦ α εἰς ε, καὶ γέγονεν ἔτυψεν ἐκεῖνος· ἐνταῦθα δὲ ἐπειδὴ προσερχόμενου τοῦ σκ οὐκέτι γίνεται ὁμοφωνία τοῦ τρίτου προσώπου πρὸς τὸ πρῶτον πρόσωπον, προσῆλθε τὸ κεχρεωστημένον α, οἷον τύψασκε ποιήσασκε. Ταῦτα δὲ οἱ Ἴωνες· οἱ δὲ ποιηταὶ κατὰ μίμησιν τῶν Ἰώνων πολλάκις καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον πρόσωπον ποιοῦσι διὰ τοῦ σκ, οἷον τύπτεσκον· χαίρεσκον γὰρ ἔγωγε, καὶ τύπτεσκες καὶ χαίρεσκες.

Λέγει δὲ ὁ Ἄβρων ὅτι εἴ τι προσλαμβάνουσι ταῦτα κατὰ τὸ τέλος, ἀποβάλλουσι κατὰ τὴν ἀρχήν· καὶ γὰρ τὸ ἔτυπτε ποιοῦσιν οἱ Ἴωνες τύπτεσκεν, ἀποβάλλοντες ἐκ τῆς ἀρχούσης συλλαβῆς, καὶ προστιθέντες κατὰ τὸ τέλος· διὰ τοῦτο δὲ τὸ ἔτυπτεν ἐν τῷ τύπτεσκεν ἀποβάλλει τὸ ε τὸ τῆς ἀρχούσης, ἐπειδὴ τὰ ποιητικὰ Ἰωνικὰ ταῖς ἰδίαις μετοχαῖς θέλουσι συνάρχεσθαι, οἷον ἔτυπτε,

τύπτε δ' ἐπιστροφάδην

πρὸς τὴν τύπτων μετοχὴν, ἦγον ἄγεν

ἄγε δέ ἑ μοῖρα βαρεῖα

πρὸς τὴν ἄγων μετοχὴν, ἥψατο ἄψατο

ἄψατο δ' ἡμιόνων

πρὸς τὴν ἁψάμενος μετοχήν· ἤκουσα ἄκουσα πρὸς τὴν ἀκούσας μετοχὴν [Il. α'. 996.]

πολλάκι γὰρ ἔσω πρὸς (σέο πατρὸς) ἐνὶ μεγάροισιν ἄκουσα.

Διὰ τοῦτο εἶπον ταῖς ἰδίαις μετοχαῖς, καὶ οὐ τοῖς ἰδίοις ἐνεστῶσι, διὰ τὸ εἴπεσκε· τοῦτο γὰρ τῇ εἰπὼν μετοχῇ συνάρχεται οὐ μὴν τῷ ἐνεστῶτι, ἔπω γάρ ἐστιν ὁ ἐνεστὼς, ἐξ οὗ τὸ ἐννέπην. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὰ ποιητικὰ Ἰωνικὰ ταῖς ἰδίαις μετοχαῖς θέλουσι συνάρχεσθαι. Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· ὁ ἐνεστὼς ἔχει ἐν αὐτῷ καὶ τὸν ἐνεστῶτα καὶ τὸν παρῳχημένον καὶ τὸν μέλλοντα. Ὁ γὰρ λέγων γράφω τὸ μὲν ἔχει παρελθὸν καὶ γραφὲν, τὸ δὲ ἐνιστάμενον καὶ γραφόμενον, τὸ δὲ μέλλον γράφεσθαι. Ἐπειδὴ οὖν ὁ ἐνεστὼς ἔχων ἐν ἑαυτῷ τὸν παρῳχημένον καὶ τὸν μέλλοντα, ἔχει τὸν μέλλοντα συναρχόμενον ἑαυτῷ, οἷον τύπτω τύψω, γράφω γράψω, λέγω λέξω· τούτου χάριν ἵνα καὶ ὁ παρῳχημένος συνάρχηται τῷ ἐνεστῶτι, ποιοῦσιν οἱ Ἴωνες καὶ οἱ ποιηταὶ συναρχομένους τοὺς παρῳχημένους ταῖς ἰδίαις μετοχαῖς, οἷον

τύπτε δ' ἐπιστροφάδην,

τύπτω γὰρ καὶ τύπτων

ἄγε δέ ἑ μοῖρα βαρεῖα,

ἄγω γὰρ καὶ ἄγων.

"Ἔτυπες, ἔτυπε. Δυϊκά. Ἐτύπετον ἐτυπέτην. Πληθυντικά· ἐτύπομεν ἐτύπετε ἔτυπον."

"Μέλλων πρῶτος. Τύψω." Ἐνταῦθα περὶ τοῦ πρώτου μέλλοντος διαλαμβάνει· καὶ ἰστέον, ὅτι πᾶς μέλλων ἐνεργητικὸς ὁριστικὸς πρώτου προσώπου ἑνικὸς εἰς ω λήγει, οἷον τύψω, ποιήσω, νοήσω, βοήσω, χρυσώσω, στήσω, θήσω, (πρόσκειται "ἐνεργητικὸς" διὰ τοὺς παθητικούς· οὗτοι γὰρ εἰς ΜΑΙ λήγουσιν, οἷον τυφθήσομαι τυπήσομαι,) καὶ συνάρχεται

τῷ ἐνεστῶτι, οἷον γράφω γράψω, λέγω λέξω, ἄγω ἄξω, ὀρθῶ ὀρθώσω, ἐλεῶ ἐλεήσω, εὕρω εὑρήσω. Δεῖ προσθεῖναι, χωρὶς τοῦ τρέφω θρέψω, καὶ τοῦ ἔχω ἕξω διαλλάξαντος κατὰ τὸ πνεῦμα· τὸ μὲν γὰρ ἔχω ψιλοῦται, τὸ δὲ ἕξω δασύνεται· καὶ χωρὶς τῶν εἰς ΜΙ τῶν ἐχόντων ὥσπερ ἀναδι-
273 a πλασιασμὸν διὰ τοῦ Ι· ταῦτα γὰρ ἀποβάλλουσι τὸν ἀναδιπλασιασμὸν κατὰ τὸν μέλλοντα, οἷον τίθημι θήσω, ἵστημι στήσω, ἵημι ἥσω καὶ ἀφήσω, κίχρημι χρήσω, πίμπλημι πλήσω, πί[μ]πρημι πρήσω, δίδωμι δώσω· τὸ γὰρ βιῶμι βιώσω, ἐξ οὗ τὸ ἐβίων, οὐκ ἀποβάλλει τὴν δευτέραν (α') συλλαβὴν κατὰ τὸν μέλλοντα, ἐπειδὴ οὐκ ἔστιν ἀπὸ διπλασιασμοῦ· ἀπὸ τοῦ βιῶ (βι)οῖς γέγονεν. Ἔτι δεῖ προσθεῖναι, χωρὶς τῶν δισυλλάβων τῆς πέμπτης συζυγίας, διὰ τὸ κείρω κερῶ, φθείρω φθερῶ, καὶ σπείρω σπερῶ, κτείνω κτενῶ, καὶ τείνω τενῶ, τίλλω τιλῶ, καὶ ῥαίνω ῥανῶ, καὶ αἴρω ἀρῶ· ἐπειδὴ γὰρ τὴν αὐτὴν ἔχουσιν ἄρχουσαν καὶ παραλήγουσαν, καὶ τῷ λόγῳ τῆς παραληγούσης συνεστάλησαν κατὰ τὸν μέλλοντα· ὡς γὰρ μετ' ὀλίγον εἰσόμεθα, ἡ ε' συζυγία τὰ ἀμετάβολα τηρεῖ κατὰ τὸν μέλλοντα μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένου τόνου· τούτου χάριν ἔδοξαν ἔχειν τὴν αὐτὴν ἄρχουσαν ἐν τῷ ἐνεστῶτι κατὰ τὸν μέλλοντα. Ταῦτα μὲν ἐν τούτοις.

Ἔλθωμεν δὲ καὶ ζητήσωμεν διὰ τί τοῦ τρέφω θρέψω ἦν ὁ μέλλων, καὶ τοῦ τρέχω θρέξω, καὶ Ἰωνικῶς ἔτρεψαν τὸ Τ τὸ ψιλὸν εἰς τὸ ἀντίστοιχον τὸ δασὺ τὸ Θ, καὶ γεγόνασι θρέψω καὶ θρέξω· οἱ γὰρ Ἴωνες ἔθος ἔχουσι καὶ τὰ παρ' ἡμῖν ψιλὰ εἰς δασέα τρέπειν, καὶ τὰ παρ' ἡμῖν δασέα εἰς ψιλά· ἰδοὺ γὰρ τὴν παρ' ἡμῖν χύτραν λεγομένην, (εἴρηται γὰρ χύτρα παρὰ τὸ χέειν ἡμᾶς ἐξ αὐτῆς,) κύθραν λέγουσι κατὰ μετάθεσιν τοῦ Χ τοῦ δασέος εἰς τὸ ψιλὸν Κ, καὶ τοῦ Τ τοῦ ψιλοῦ εἰς τὸ δασὺ Θ, καὶ πάλιν ὥσπερ παρὰ τὸ κόπτω γίνεται κόπος, οὕτως καὶ παρὰ τὸ θάπτω γίνεται θάπος, καὶ Ἰωνικῶς τάφος, καὶ κατὰ μετάθεσιν τοῦ Θ τοῦ δασέος εἰς τὸ ψιλὸν Τ, καὶ τοῦ Π τοῦ ψιλοῦ εἰς τὸ δασὺ τὸ Φ· οὕτως οὖν καὶ τὸ τρέχω καὶ τὸ τρέφω

Ἰωνικῶς ἔτρεψαν τὸ ψιλὸν τ τοῦ ἐνεστῶτος εἰς τὸ ἀντίστοιχον θ τὸ δασὺ ἐν τῷ μέλλοντι, καὶ γεγόνασι θρέψω καὶ θρέξω. Ἢ οὖν ταύτην τὴν αἰτίαν λέγομεν, ἢ κρείττονα αἰτίαν· ἔχει δὲ οὕτως· ἰστέον ὅτι θρέφω καὶ θρέχω ὤφειλεν εἶναι ὁ ἐνεστὼς, ἵνα συνάρξηται τῷ θρέξω καὶ θρέψω μέλλοντι, ἀλλ' ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι τὸ ρ μετὰ δασέος δασύ ἐστιν, οἷον χρόνος, ἀφρὸς, μετὰ δὲ τῶν ψιλῶν ψιλὸν, οἷον κάπρος, [k]Ἀτρεὺς, κριὸς, οὐδέποτε δὲ εὑρίσκεται λέξις δισύλλαβος ἐν χρήσει ἀρχομένη ἀπὸ β' δασέων τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος, ἐν δὲ τῷ μέλλοντι, τοῦ γὰρ

ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι

ὁ φθείσω (φθίθω) ἐνεστὼς οὐχ εὑρίσκεται ἐν χρήσει· τούτου χάριν οὐκ ἐγίνοντο θρέφω καὶ θρέχω, ἀλλὰ τρέφω καὶ τρέχω, ἵνα μὴ εὑρεθῶσιν ἀρχόμενα ἀπὸ δύο δασέων τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος· ἐν δὲ τῷ μέλλοντι ἀποστάντος τοῦ δασέος φ καὶ χ τοῦ ὄντος κατὰ τὴν β' συλλαβὴν, καὶ προσελθόντος τοῦ διπλοῦ, εὐθέως τὸ κεχρεωστημένον ἦλθε κατὰ τὴν ἄρχουσαν, καὶ γέγονε θρέψω καὶ θρέξω.

Πρόσκειται καὶ ἐν τῷ κανόνι "δισύλλαβος λέξις," διὰ τὸ φθαρῆναι· τοῦτο γὰρ ἄρχεται ἀπὸ β' δασέων τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος· ἀλλ' οὐκ ἔστι δισύλλαβος ἡ λέξις· ἡ φθαρεὶς μετοχὴ, εἰ καὶ δισύλλαβός ἐστι, καὶ ἄρχεται ἀπὸ β' δασέων τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος, δοκεῖ ἐκφεύγειν τὴν παραλογίαν τοῦ μεσοσυλλα-
273 b βεῖσθαι ἐκ τοῦ ρ· ἀναλογωτέρα δέ ἐστιν ἡ φθαρεὶς, ἄλλως τε δὲ οὐδὲ ἐστὶ φύσει δισύλλαβος ἡ φθαρεὶς μετοχή· ἀπὸ γὰρ τοῦ ἐφθάρην γέγονε κατὰ ἀποβολὴν τῆς ἐν ἀρχαῖς κλιτικῆς ἐκτάσεως· τὸ δὲ φθεῖσθαι εἰ καὶ ἄρχεται ἀπὸ δύο δασέων, ἀλλ' οὖν οὐκ ἔχει τὴν δευτέραν συλλαβὴν ἀπὸ δασέων ἀρχομένην· ἀπὸ γὰρ τοῦ σ ἄρχεται ἡ δευτέρα συλλαβή· τὸ γὰρ σ μετὰ τοῦ θ ἐστί· τοῦ (οὕτω)

ῥεχθὲν δέ τε νήπιος ἔγνων

οὐκ ἄρχεται ἀπὸ δύο δασέων τῆς δευτέρας συλλαβῆς ἀρχο-

[k] κυπριανὸς Bar.

μένης ἀπὸ δασέος, ἀλλ' ἐκ τοῦ ἐναντίου ἀπὸ δασυνομένου τοῦ ρ ἄρχεται τῆς β' συλλαβῆς ἀρχομένης ἀπὸ β' δασέων. Τὸ φθείρω ἀπὸ β' δασέων ἄρχεται, ἀλλ' οὐκ ἔχει τὴν δευτέραν συλλαβὴν ἀπὸ δασέος ἀρχομένην, τὸ γὰρ ε ψιλοῦται. Τὸ θρέφθη, εἰ καὶ ἄρχεται ἀπὸ β' δασέων, ἀλλ' οὐκ ἔχει τὴν β' συλλαβὴν ἀπὸ δασέος ἀρχομένην, ἀλλ' ἀπὸ δύο δασέων· ἄλλως τε δὲ οὐκ ἔστι φύσει δισύλλαβον, ἐθρέφθη γάρ ἐστι, καὶ Ἰωνικῶς ἢ ποιητικῶς γέγονε θρέφθην. Ὅτι γὰρ ἀληθεύει ὁ προλεχθεὶς κανών, τουτέστιν ὁ λέγων, ὅτι οὐδέποτε εὑρίσκεται ἐν χρήσει λέξις ἀρχομένη ἀπὸ δύο δασέων, τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος, δῆλον, εἴ γε τὸ θρὶξ ὀφεῖλον κατὰ τὴν γενικὴν εἶναι θριχὸς, ἵνα φυλάξῃ τὴν ἄρχουσαν τῆς εὐθείας, (θέλει γὰρ ἡ εὐθεῖα φυλάττεσθαι καὶ ἐν ταῖς ἑξῆς πτώσεσιν, οἷον Λάχης Λάχητος, Πάρις Πάριδος, Αἴας Αἴαντος,) οὐκ ἐγένετο οὕτως, ἀλλὰ τριχὸς κατὰ μετάθεσιν τοῦ θ εἰς τὸ ἀντίστοιχον τὸ ψιλὸν, φημὶ δὲ τὸ τ, ἵνα μὴ εὑρεθῇ δισύλλαβος λέξις ἀρχομένη ἀπὸ δύο δασέων, τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος· ἐν δὲ τῇ δοτικῇ τῶν πληθυντικῶν ἀποστάντος τοῦ δασέος τοῦ ὄντος ἐν τῇ δευτέρᾳ συλλαβῇ, καὶ προσελθόντος τοῦ διπλοῦ τοῦ ξ, εὐθέως τὸ κεχρεωστημένον θ προσῆλθε κατὰ τὴν ἄρχουσαν καὶ γέγονε θριξί. Ταῦτα περὶ τοῦ τρέφω θρέψω, καὶ τρέχω θρέξω.

Ἰστέον ὅτι τὸ μὲν ἔχω ἀνάγκην ἔχει ψιλοῦσθαι, τὸ δὲ ἕξω δασύνεσθαι· καὶ τὸ μὲν ἔχω ψιλοῦται, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν φωνῆεν πρὸ τοῦ χ ψιλοῦται, οἷον ἄχος, ἦχος, εὔχομαι, ἰχὼρ, ἰχὸς (ἴχνος), ἄχθομαι, ἰχθὺς, ταῦτα παρ' Ἀττικοῖς δασύνεται. Οὕτως οὖν καὶ ἔχω· τὸ γὰρ ἧχι, οἷον [Il. α'. 607.]

ἧχι ἑκάστῳ [1]δῶμα περικλυτὸς ἀμφιγυήεις,

ἀντὶ τοῦ ὅπως, οὐκ ἀντίκειται ἡμῖν δασυνόμενον, ᾗ γὰρ ἦν ἀντὶ τοῦ ὅπως, καὶ ἐδασύνετο πρὸ τῆς χι ἐκτάσεως, καὶ λοιπὸν ἐκταθὲν διὰ τῆς χι συλλαβῆς τὸ αὐτὸ πνεῦμα ἐφύ-

[1] δῶμα] ἐξ ὄμματος Par. δὲ ὄμματι Bar.

λαξε, [λέγω δὲ τὴν δασεῖαν,] φημὶ δὲ τὸ δασύ. Ὅτι δὲ πᾶν φωνῆεν πρὸ τοῦ Χ ψιλοῦσθαι θέλει, δῆλον ἐντεῦθεν, κανόνος λέγοντος ὅτι τὸ Υ ἄρχον λέξεως δασύνεσθαι θέλει, οἷον ὑφαίνω, ὕβρις, ὑγιαίνω, ὑλακτῶ, ὑμεῖς, ὑπὸ, ὑπὲρ, πλὴν τοῦ ὕρχας, τοῦτο γὰρ ψιλοῦται· καὶ πάλιν ἑτέρου κανόνος λέγοντος ὅτι πᾶν φωνῆεν πρὸ τοῦ Χ ψιλοῦσθαι θέλει, οἷον ἦχος, ἄχος, εὔχομαι· οὐδέποτε τὸ Υ εὑρίσκεται ἀρχόμενον λέξεως ἐπιφερομένου τοῦ Χ, ἵνα μὴ ἀναγκασθῇ ψιλωθῆναι, διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι πᾶν φωνῆεν πρὸ τοῦ Χ ψιλοῦσθαι θέλει, οἷον ἦχος, ἄχος, τὸ δὲ ὕρχας (σημαίνει δὲ [m]ταριχηρὸν ἀγγεῖον,) ἢ ὡς Αἰολικὸν ψιλοῦται, (οἱ γὰρ Αἰολεῖς ψιλωτικοί εἰσιν, ὔμμες ἄμμιν,) ἢ διὰ τοῦτο ψι-
274 a λοῦται, ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι πᾶν φωνῆεν καταλῆγον εἰς τὸ Ρ ἐπιφερομένου ἑνὸς τῶν δασέων συμφώνων ψιλοῦσθαι θέλει, οἷον ὀρφανὸς, ὄρχατος, (ἡ τάξις τῶν φυτῶν,) ὄρχαμος (ὁ βασιλεὺς) ἄρχομαι, ὀρθὸς, ἀρχὴ, ἔρχομαι· οὕτως οὖν καὶ τὸ ὕρχας ψιλοῦται· ὁ δὲ ἕξω μέλλων δασύνεται, ἐπειδὴ τὸ Ε πρὸ τοῦ Ξ δασύνεσθαι θέλει, οἷον ἑξῆς, ἐξ οὗ τὸ ἐφεξῆς, ἓξ, (ὁ ἀριθμός·) οὕτως οὖν καὶ ἕξω ἀντὶ τοῦ μέλλοντος ἕξειν. Δεῖ προσθεῖναι, χωρὶς εἰ μὴ εὑρεθῇ ἐν προθέσει, διὰ τὴν ἐξ πρόθεσιν· ἐνταῦθα γὰρ τὸ Ε ψιλοῦται. Πρόσκειται δὲ "εἰ ἀπὸ προθέσεως" διὰ τὸ ἔξω ἐπίρρημα· ἐνταῦθα γὰρ τὸ Ε ψιλοῦται, καὶ ἀπὸ τῆς ἐξ προθέσεως γέγονε. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν ὁ μέλλων συνάρχεσθαι θέλει τῷ ἰδίῳ ἐνεστῶτι, οἷον τύπτω τύψω, λέγω λέξω, ἄγω ἄξω, οἰκῶ οἰκήσω· καὶ λέγουσί τινες ταύτην τὴν ἀπολογίαν[n], ὅτι ὁ ἐνεστὼς ἔχει ἐν ἑαυτῷ καὶ τὸν ἐνεστῶτα καὶ τὸν παρακείμενον καὶ μέλλοντα· ὁ γὰρ λέγων γράφω τὸ μὲν ἔχει παρελθὸν καὶ γραφὲν, τὸ δὲ ἐνιστάμενον καὶ γραφόμενον, τὸ δὲ μέλλον γράφεσθαι· ἐπειδὴ οὖν ὁ ἐνεστὼς ἔχει ἐν ἑαυτῷ καὶ τὸν ἐνεστῶτα καὶ τὸν παρῳχημένον καὶ

[m] ταραχικὸν Bar.

[n] Pro seqq. usque ad περιέχει ὁ ἐνεστὼς habet Bar. ἥντινα προειρήκαμεν εἰς τὰ ποιητικὰ ἑνικὰ ὄπισθεν τούτου τοῦ φύλλου.

τὸν μέλλοντα, τούτου χάριν συνάρχεται τῷ μέλλοντι. Οὐκ ἔστι δὲ αὕτη καταναγκαστικὴ ἀπολογία· τούτῳ γὰρ τῷ λόγῳ ὁ παρῳχημένος ὤφειλε συνάρχεσθαι τῷ ἐνεστῶτι, καὶ αὐτὸ γὰρ, ὡς εἴρηται, δυνάμει περιέχει ὁ ἐνεστώς. Κρεῖττον οὖν ἐστὶν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· ἰστέον ὅτι ἀναλογεῖ ὁ μέλλων τῇ εὐθείᾳ, ὁ δὲ ἐνεστὼς τῇ γενικῇ· πάντα γὰρ τὰ ὄντα ἐν τῇ εὐθείᾳ εἰσὶ καὶ ἐν τῷ μέλλοντι, καὶ πάντα τὰ ὄντα ἐν τῇ γενικῇ εἰσὶ καὶ ἐν τῷ ἐνεστῶτι, οἷον τὸ Ν, Ξ, Ρ, Σ, Ψ εἰσὶν ἐν τῇ εὐθείᾳ, ὡς ἐν τῷ Δίων, Φοῖνιξ, Νέστωρ, Πάρις, Πέλοψ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι εἰσὶν, οἷον τύψω, λέξω, ποιήσω, κερῶ, ῥανῶ· καὶ πάλιν διὰ τοῦ Ν, Κ, Χ, Β, Π, Φ, Δ, Θ, Τ, καὶ διὰ κα(θα)ροῦ τοῦ ΟΣ ἐκφέρεται ἡ γενικὴ, οἷον Φοίνικος, τέττιγος, ὄνυχος, Πέλοπος, Ἄραβος, κίνυφος, Πάριδος, ὄρνιθος, Λάχητος, βότρυος· ἀλλὰ καὶ ὁ ἐνεστὼς ἐκφέρεται διὰ τούτων τῶν συμφώνων, καὶ διὰ καθαροῦ τοῦ Ω, οἷον λέγω, πλέκω, τρέχω, τέρπω, λείβω, γράφω, δίδω, πείθω, ἀνύτω, ἀκούω, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος· οὐδὲ γὰρ πάντα τὰ ὄντα ἐν τῷ μέλλοντι εἰσὶ καὶ ἐν τῇ εὐθείᾳ, οὐδὲ πάντα τὰ ὄντα ἐν τῷ ἐνεστῶτι καὶ ἐν τῇ γενικῇ· ἰδοὺ γὰρ τὸ Μ καὶ τὸ Λ εἰσὶν ἐν τῷ μέλλοντι, οἷον τιλῶ, νεμῶ, καὶ ὅμως οὐκ εἰσὶν ἐν τῇ εὐθείᾳ, (τὸ γὰρ Δανιὴλ καὶ Ἀδὰμ βάρβαρά εἰσι·) καὶ πάλιν ὁ ἐνεστὼς ἔχει πρὸ τοῦ Ω τὸ Ζ, καὶ τὰ δύο ΣΣ, οἷον πλήσσω, συρίζω, καὶ ὅμως ἡ γενικὴ ἀπὸ κλίσεως οὐκ ἔχει ταῦτα. Πρόσκειται "ἀπὸ κλίσεως" διὰ τὸ μαζὸς μαζοῦ, καὶ Παρνασσὸς Παρνασσοῦ· ἐνταῦθα γὰρ
274 b ἀπὸ τῆς εὐθείας ἐστὶ τὸ Ζ καὶ τὰ δύο ΣΣ. Ἐπειδὴ οὖν ὁ μέλλων ἀναλογεῖ τῇ εὐθείᾳ, ὁ δὲ ἐνεστὼς τῇ γενικῇ, ἡ δὲ γενικὴ συνάρχεται τῇ εὐθείᾳ, οἷον λέβητος λέβης, Λάχητος Λάχης, Τρωὸς Τρώς, Πηλέως Πηλεύς, Αἴαντος Αἴας, ἔρωτος ἔρως· τὸ γὰρ Ζεὺς Διὸς Βοιωτικόν ἐστιν, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, καὶ τὸ θρὶξ τριχὸς τροπὴν πέπονθε τοῦ Θ εἰς τὸ Τ διὰ τὴν προλεχθεῖσαν αἰτίαν· τούτου χάριν ὁ ἐνεστὼς συνάρχεται τῷ μέλλοντι, καὶ ἀπὸ μὲν βαρυτόνων θεμάτων ἰσοσυλλαβεῖ [o] αὐτῷ.

[o] ἐνταῦθα· περὶ δὲ Bar.

Ἐνταῦθα περὶ τῆς ποσότητος τῶν συλλαβῶν διαλαμβάνει. Ἰστέον δὲ ὅτι ἐπὶ μὲν βαρυτόνων θεμάτων ἰσοσυλλαβεῖ ὁ μέλλων τῷ ἐνεστῶτι, οἷον τύπτω τύψω· τὸ γὰρ παρ' Ἀριστοφάνει τυπτήσω ἐν Πλούτῳ,

οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά P γε

ὡς ἀπὸ περισπωμένου ἐστί· λέγω λέξω, πλέκω πλέξω, γράφω γράψω, πείθω πείσω, ἀκούω ἀκούσω, βαδίζω βαδίσω, κείρω κερῶ, φθείρω φθερῶ, μιαίνω μιανῶ. Δεῖ προσθεῖναι χωρὶς τῶν ἐχόντων ἓν λ, ἐπὶ τούτων μιᾷ συλλαβῇ περιττεύει ὁ μέλλων τοῦ ἐνεστῶτος, οἷον θέλω θελήσω, μέλω μελήσω,

μελήσουσι δέ μοι ἵπποι,

ὀφείλω ὀφειλήσω, ἀπὸ δὲ περισπωμένων μιᾷ συλλαβῇ περιττεύων ὁ μέλλων τοῦ ἐνεστῶτος, οἷον ποιῶ ποιήσω, νοῶ νοήσω, γελῶ γελάσω, περῶ περάσω, στεφανῶ στεφανώσω, γυψῶ γυψώσω, καὶ ἐπὶ τούτων δὲ ἐὰν λάβῃ τις τὴν ἐντέλειαν, εὑρίσκει τὸν μέλλοντα ἰσοσύλλαβον τῷ ἐνεστῶτι, οἷον ποιέω ποιήσω, βοάω βοήσω, χρυσόω χρυσώσω, ἀλλὰ λοιπὸν ὁ ἐνεστὼς συναιρούμενος ἔνδειαν πάσχει συλλαβῆς, οἷον ποιέω ποιῶ, βοάω βοῶ, χρυσόω χρυσῶ, καὶ τούτου χάριν εὑρίσκεται ὁ μέλλων μιᾷ συλλαβῇ περιττεύων τοῦ ἐνεστῶτος· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐχόντων τὸ ἓν λ, ὡς εἴρηται ἤδη, μιᾷ συλλαβῇ περιττεύει ὁ μέλλων τοῦ ἐνεστῶτος, οἷον θέλω θελήσω, ὀφείλω ὀφειλήσω.

Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί τὰ δι' ἑνὸς λ ἐκφερόμενα περιττοσυλλάβους ἔχουσι τοὺς μέλλοντας, οἷον θέλω θελήσω, μέλω μελήσω (τὸ ἐν φροντίδι εἰμί·) ὀφείλω ὀφειλήσω· ἐμάθομεν γὰρ ἀπὸ βαρυτόνων θεμάτων ὑπάρχων ὁ μέλλων ἰσοσυλλαβεῖ τῷ ἐνεστῶτι, οἷον τύπτω τύψω, λέγω λέξω. Καὶ λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν αἰτίαν, ὅτι πολλά εἰσι ῥήματα, καὶ ὡς ἀπὸ βαρυτόνων καὶ ἀπὸ περισπωμένων ποιοῦνται τὴν κλίσιν, οἷον τύπτω τύψω, καὶ τυπτῶ τυπτήσω·

οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε,

Ἀριστοφάνης ἐν Πλούτῳ· εἴδω εἴσω, ἐξ οὗ καὶ τὸ

εἴσομ' αἴ κε μ' ὁ Τυδείδης κρατερὸς Διομήδης·

P γε et mox ὡς om. Bar.

καὶ εἰδῶ εἰδήσω, ἐξ οὗ τὸ

εἴδῃς δὲ καὶ αὐτός·

ῥίπτω ἔρριπτον, καὶ ῥιπτῶ ἐρρίπτουν, ὡς παρὰ τῷ ποιητῇ, (Od. ν΄. 78.) "ἀνερρίπτουν," κύω ἔκυον, καὶ κυῶ ἐκύουν

ἡ δ' ἐκύει φίλον υἱόν·

γράφω γράψω, καὶ γραφῶ γραφήσω, ἐξ οὗ ὁ [q] γεγράφηκα παρακείμενος· οὕτως οὖν καὶ τὰ ἔχοντα ἓν λ ἕως μὲν τοῦ παρακειμένου ὡς ἀπὸ βαρυτόνων ποιοῦνται τὴν κλίσιν, οἷον θέλω θελήσω τεθέληκα ἐθέλησα, μελῶ μελήσω μεμέληκα
275 a ἐμέλησα, ὀφειλῶ ὀφειλήσω ὠφείληκα ὠφείλησα, ὥσπερ νοῶ νοήσω νενόηκα ἐνόησα. Ταῦτα μὲν ὁ Ἀπολλώνιος.

Ὁ δὲ Ἡρωδιανὸς ἀνατρέπει αὐτὸν λέγων, ὅτι κακῶς λέγεις, τὰ γὰρ ὡς ἀπὸ βαρυτόνων καὶ ὡς ἀπὸ περισπωμένων ποιοῦνται τὴν κλίσιν ἐν τῷ αὐτῷ χρόνῳ, καὶ ὡς ἀπὸ περισπωμένων καὶ ὡς ἀπὸ βαρυτόνων ποιοῦνται τὴν κλίσιν, οἷον τύπτω τύψω, τυπτῶ τυπτήσω, ῥίπτω ἔρριπτον, καὶ ῥιπτῶ ἐρρίπτουν, εἴδω εἴσω, καὶ εἰδῶ εἰδήσω· τὰ δὲ ἔχοντα ἓν λ οὐ ποιοῦνται κατὰ τὸν αὐτὸν χρόνον καὶ ὡς ἀπὸ βαρυτόνων θεμάτων καὶ ὡς ἀπὸ περισπωμένων τὴν κλίσιν· ἀλλ' ἕως μὲν τοῦ παρατατικοῦ, ὡς εἴρηται, ἀπὸ βαρυτόνων ποιοῦνται τὴν κλίσιν, οὐδέποτε δὲ ὡς ἀπὸ περισπωμένων· κρεῖττον οὖν ἐστιν εἰπεῖν, φημὶ, τὴν ἀπολογίαν ταύτην· ἐν τοῖς ῥήμασι τὸ σ καὶ τὸ λ πεφύκασι διπλασιάζεσθαι, οἷον πλήσσω, τινάσσω, πάλλω, τίλλω· καὶ τὰ μὲν ἔχοντα δύο σσ ἢ δύο λλ χαίρουσι τῇ βαρείᾳ τάσει, οἷον νύσσω, πλήσσω, τινάσσω, ἐρύσσω, τίλλω, ποικίλλω, στέλλω, σφάλλω, χωρὶς εἰ μὴ ἔχωσιν ὀνόματα προϋποκείμενα· ἐκεῖνα γὰρ περισπῶνται, οἷον κύκλος κυκλῶ, ἅμιλλα ἁμιλλῶ, (ἐξ οὗ ἁμιλλῶμαι,) λύσσα λυσσῶ, τὸ γὰρ νύσσω [r] οὐκ ἀπὸ τοῦ νύσσα ἐστὶν, ἐπεὶ εἶχε περισπᾶσθαι, ἀλλὰ τοὐναντίον, νύσσα γὰρ λέγεται ὁ καμπτὸς, παρὰ τὸ νύσσεσθαι τοὺς (ἵππους·) τὰ δὲ εἰς ἓν σ ἢ ἓν λ χαίρουσι τῇ περισπωμένῃ τάσει, οἷον [s] φιλῶ, χρυσῶ, γελῶ, λαλῶ, ἐλῶ, (σημαίνει δὲ τὸ ἐλαύνω,) ὀφειλῶ, πωλῶ, ἀμελῶ. Ταῦτα οὖν ἔχοντα ἓν λ καὶ μὴ περισπασθέντα,

[q] ἐγεγράφη Bar.   [r] καὶ Bar.   [s] φυσῶ νοσῶ Bar.

λέγω δὲ τὸ μέλω καὶ θέλω καὶ ὀφείλω, ἀνεμερίσαντο τὴν κλίσιν, καὶ ἕως μὲν τοῦ παρατατικοῦ, ὡς εἴρηται, ἀπὸ βαρυτόνων κλίνονται, μετὰ δὲ τὸν παρατατικὸν ἐν τοῖς ἐφεξῆς χρόνοις ὡς ἀπὸ τῶν περισπωμένων ποιοῦνται τὴν κλίσιν. Τούτου οὖν χάριν τὰ δι' ἑνὸς λ ἐκφερόμενα ἔχουσι τὸν μέλλοντα μιᾷ συλλαβῇ περιττεύοντα τοῦ ἐνεστῶτος, οἷον ποιῶ ποιήσω, νοῶ νοήσω. Ταῦτα μὲν ἐν τούτοις.

Ἔχομεν δὲ εἰπεῖν καὶ περὶ τῆς ποσότητος τῶν συλλαβῶν τοῦ μέλλοντος· ἔλθωμεν δὲ καὶ διαλάβωμεν καὶ περὶ τῆς παραληγούσης τοῦ μέλλοντος, περὶ γὰρ τῆς ἀρχούσης ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν. Ἰστέον ὅτι οἱ ἀπὸ βαρυτόνων μέλλοντες πάντες τὰ αὐτὰ ἔχουσι φωνήεντα τῷ ἐνεστῶτι κατὰ τὴν παραλήγουσαν, οἷον γράφω γράψω, τύπτω τύψω, πλέκω πλέξω, ἀνύω ἀνύσω, κρούω κρούσω, τοξεύω τοξεύσω, βασιλεύω βασιλεύσω, πείθω πείσω, νήθω νήσω, ᾄδω ᾄσω, λήβω λήψω, καὶ λείπω λείψω, δανείζω δανείσω, συρίζω συρίσω, λακτίζω λακτίσω, βαδίζω βαδίσω, ἁρπάζω ἁρπάσω, ἑτοιμάζω ἑτοιμάσω, δεσπόζω δεσπόσω, πλὴν τῶν μελλόντων
275 b *τῆς πέμπτης συζυγίας· οὗτοι γὰρ συστέλλουσι τὴν παραλήγουσαν κατὰ τὸν μέλλοντα, οἷον κείρω κερῶ, φθείρω φθερῶ, ῥαίνω ῥανῶ, μιαίνω μιανῶ, λιαίνω λιανῶ, χωρὶς τοῦ πνίγω πνίξω, ἐρύκω ἐρύξω, ψύγω ψύξω. Ταῦτα μὲν κατὰ τὸν ἐνεστῶτα φύσει μακρᾷ ἔχουσι τὰ δίχρονα, κατὰ δὲ τὸν μέλλοντα θέσει, ὡς μετ' ὀλίγον εἰσόμεθα· εἰσὶ δὲ καὶ ἕτερά τινα τῆς ἕκτης συζυγίας μὴ ἔχοντα τὴν αὐτὴν παραλήγουσαν τῷ ἐνεστῶτι, ὡς ἀπὸ τοῦ χέω χεύσω, καὶ κλαίω κλαύσω, καὶ τῶν ὁμοίων, περὶ ὧν ἐν τῇ ἰδίᾳ διδασκαλίᾳ τοῦ μέλλοντος τῆς ἕκτης συζυγίας μαθησόμεθα. Πρόσκειται "οἱ ἀπὸ βαρυτόνων μέλλοντες" διὰ τοὺς ἀπὸ περισπωμένων μέλλοντας, οἷον διὰ τὸ ποιῶ ποιήσω, βοῶ βοήσω, ὀμῶ ὀμόσω· οὗτοι γὰρ ἄλλῳ τρόπῳ κανονίζονται κατὰ τὴν παραλήγουσαν, ὡς ἐν τῇ περὶ αὐτῶν διδασκαλίᾳ, εἰ θεῷ φίλον, μαθησόμεθα.*

"Παραλήγεται δὲ ἡ μὲν πρώτη τῶν βαρυτόνων τῷ ψ." Ἐνταῦθα περὶ τοῦ συμφώνου τοῦ ὄντος πρὸ τοῦ ω ἐν

τῷ μέλλοντι διαλαμβάνει, καὶ λέγει, ἡ μὲν πρώτη συζυγία τῶν βαρυτόνων τὸ Ψ ἔχει πρὸ τοῦ Ω ἐν τῷ μέλλοντι, οἷον γράφω γράψω, τέρπω τέρψω, λείβω λείψω, τρέπω τρέψω, λείπω λείψω, κόπτω κόψω, ἅπτω ἅψω, ἡ δὲ δευτέρα τὸ Ξ ἔχει, λέγω λέξω, πλέκω πλέξω, τρέχω θρέξω, ἔχω ἕξω, πέκω πέξω, (σημαίνει δὲ τὸ κτενίζω, ὡς παρὰ τῷ ποιητῇ [Il. ξ΄. 176.]

πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινούς,

ἀντὶ τοῦ ἐκτενισμένη·) ἡ δὲ τρίτη πρὸ τοῦ Ω τὸ Σ ἔχει κατὰ τὸν μέλλοντα, οἷον ᾄδω ᾄσω, εἴδω εἴσω,

εἴσομαι εἴ κε μ᾽ ὁ Τυδείδης κρατερὸς Διομήδης·

νήθω νήσω, πείθω πείσω, ἀνύτω ἀνύσω· ἡ δὲ τετάρτη διφορεῖται, πῇ μὲν διὰ τοῦ Σ, πῇ δὲ διὰ τοῦ Ξ· καὶ διὰ μὲν τοῦ Σ ἐκφέρεται κατὰ τὸν μέλλοντα, οἷον φράζω φράσω, συρίζω συρίσω, ἁρπάζω ἁρπάσω, καὶ διὰ τοῦ Ξ, οἷον πήσσω πήξω, πλήσσω πλήξω, τινάσσω τινάξω, φράσσω φράξω· ἡ δὲ ε΄ τὰ ἀμετάβολα τηρεῖ κατὰ τὸν μέλλοντα μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένου τοῦ τόνου, οἷον κείρω κερῶ, φθείρω φθερῶ, σπείρω σπερῶ, τίλλω τιλῶ, στέλλω στελῶ, ποικίλλω ποικιλῶ, κρίνω κρινῶ, νέμω νεμῶ, μένω μενῶ, δέρω δερῶ· ταῦτα δέ, φημὶ δὲ τὸ νέμω, μένω, δέρω, οὐ συνέστειλαν τὴν παραλήγουσαν, ἐπειδὴ καὶ ἐν τῷ ἐνεστῶτι βραχεῖα ἦν ἡ παραλήγουσα, καὶ οὐ χρείαν εἶχε συστολῆς κατὰ τὸν μέλλοντα. Ἡ δὲ ἕκτη τὸ Σ ἔχει πρὸ τοῦ Ω κατὰ τὸν μέλλοντα, οἷον ἱππεύω ἱππεύσω, βασιλεύω βασιλεύσω, τοξεύω τοξεύσω, κρούω κρούσω. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δέ, ὅτι, ὡς ἀνωτέρω ἐμάθομεν, ἀναλογίαν ἔχει ὁ
276 a μέλλων τῇ εὐθείᾳ, ὁ δὲ ἐνεστὼς τῇ γενικῇ· ἐπειδὴ οὖν ὅτε ἡ εὐθεῖα [t]διὰ τοῦ Ψ ἐκφέρεται, τότε ἡ γενικὴ διὰ τοῦ Β ἢ Π ἢ Φ ἐκφέρεται, οἷον Ἄραψ Ἄραβος, Κύκλωψ Κύκλωπος, Κίνυψ Κίνυφος, (ἔστι δὲ ὄνομα ποταμοῦ,) τούτου χάριν καὶ ὅτε ὁ ἐνεστὼς διὰ τοῦ Β ἢ Π ἢ Φ ἢ ΠΤ ἐκφέρεται, τότε ὁ μέλλων διὰ τοῦ Ψ ἐκφέρεται, οἷον λείβω λείψω, γράφω γράψω,

[t] Hinc usque ad καὶ πάλιν ἐπειδὴ ἡ εὐθεῖα supplevit Bar. p. 644, 18.

τέρπω τέρψω· καὶ πάλιν ἐπειδὴ ὅτε εὐθεῖα διὰ τοῦ Ξ ἐκφέρεται τότε ἡ γενικὴ διὰ τοῦ Γ ἢ Κ ἢ Χ ἢ ΚΤ ἐκφέρεται, οἷον Φοίνιξ Φοίνικος, τέττιξ τέττιγος, ὄνυξ ὄνυχος, ἄναξ ἄνακτος, τούτου χάριν καὶ ὅτε ὁ ἐνεστὼς ἢ διὰ τοῦ Γ ἢ Κ ἢ Χ ἢ ΚΤ τότε ὁ μέλλων διὰ τοῦ Ξ ἐκφέρεται, οἷον, λέγω λέξω, πλέκω πλέξω, τρέχω θρέξω, πέκω πέξω· καὶ πάλιν, ἐπειδὴ ὅτε ἡ εὐθεῖα διὰ τοῦ Σ ἐκφέρεται καὶ περιττοσυλλάβως κλίνεται, τότε ἡ γενικὴ διὰ τοῦ Θ ἢ Τ ἢ διὰ καθαροῦ τοῦ ΟΣ ἐκφέρεται, οἷον Πάρις Πάριδος, ὄρνις ὄρνιθος, Λάχης Λάχητος, βότρυς βότρυος· τούτου οὖν χάριν, ὅτε ὁ ἐνεστὼς διὰ τοῦ Δ ἢ Θ ἢ Τ ἢ διὰ καθαροῦ τοῦ Ω ἐκφέρεται, τότε ὁ μέλλων διὰ τοῦ Σ ἐκφέρεται, οἷον, ᾄδω ᾄσω, πείθω πείσω, ἀνύτω ἀνύσω, ἀκούω ἀκούσω. Πρόσκειται "περιττοσυλλάβως κλίνεται" διὰ τὸ κοχλίας κοχλίου, καλὸς καλοῦ, Ἀτρείδης Ἀτρείδου· ἐπὶ τούτων γὰρ ἡ εὐθεῖα διὰ τοῦ Σ ἐκφέρεται, καὶ ὅμως ἡ γενικὴ οὔτε διὰ τοῦ Δ, οὔτε διὰ τοῦ Θ, οὔτε διὰ τοῦ Τ, οὔτε διὰ καθαροῦ τοῦ ΟΣ ἐκφέρεται· ἀλλ' οὐ κλίνονται περιττοσυλλάβως, ἀλλὰ ἰσοσυλλάβως. Καὶ πάλιν, ἐπειδὴ ἡ εὐθεῖα δι' ἀμεταβόλου ἐκφέρεται, τότε ἡ γενικὴ διὰ τοῦ αὐτοῦ ἀμεταβόλου ἐκφέρεται, οἷον Ἕκτωρ Ἕκτορος, Νέστωρ Νέστορος, Πλάτων Πλάτωνος, Θέων Θέωνος· τὸ γὰρ ἧπαρ ἥπατος καὶ δέλεαρ δελέατος ἑτερόκλιτα λέγουσιν εἶναι, ὡς ἀπὸ τῆς εἰς ΑΣ καταλήξεως, ὁμοίως δὲ καὶ ἡ ὕδατος γενικὴ ὡς ἀπὸ τοῦ ὕδας ἐστί· τούτου χάριν καὶ ὅτε ὁ ἐνεστὼς δι' ἀμεταβόλου ἐκφέρεται, τότε καὶ ὁ μέλλων διὰ τοῦ αὐτοῦ ἀμεταβόλου ἐκφέρεται, οἷον κείρω κερῶ, ῥαίνω ῥανῶ, τίλλω τιλῶ, νέμω νεμῶ.

"[u] Ἡ δὲ τετάρτη διφορεῖται." Ἐνταῦθα περὶ τοῦ μέλλοντος τῆς τετάρτης συζυγίας τῶν βαρυτόνων διαλαμβάνει ὁ τεχνικὸς, καὶ λέγει, ὅτι ἡ τετάρτη συζυγία τῶν βαρυτόνων διφορεῖται κατὰ τὸν μέλλοντα· πῇ γὰρ διὰ τοῦ Σ ἐκφέρεται, οἷον συρίζω συρίσω, ἐλπίζω ἐλπίσω, φράζω φράσω· πῇ δὲ διὰ τοῦ Ξ, οἷον πλήσσω πλήξω, σφάζω σφάξω. Καὶ

[u] Ἡ δὲ] Multa h. l. supplevit Bar.

λέγει ὁ Ἡρωδιανὸς, ὅτι εἰκότως ἀτακτεῖ ὁ μέλλων τῆς τετάρτης συζυγίας τῶν βαρυτόνων, καὶ πῆ μὲν διὰ τοῦδε συμφώνου ἐκφέρεται, πῆ δὲ διὰ τοῦδε, ἐπειδὴ καὶ ὁ ἐνεστὼς ἀτακτεῖ. Ποία δὲ συγγένεια ἐπὶ τῶν β΄ σσ πρὸς τὸ ξ· οὐ γάρ εἰσι τὰ β΄ σσ διπλοῦν σύμφωνον, ὡς πρὸς τὸ ξ, διπλᾶ γάρ εἰσι τρία, ζ ξ ψ. Ἀντιλέγει δὲ πρὸς αὐτὸν ὁ Φιλόπονος, λέγων, ὅτι εἰ μὲν διὰ τοῦ ζ ἐκφερόμενα κατὰ τὸν ἐνεστῶτα δι' ἑνὸς μόνου συμφώνου ἐκφέρονται κατὰ τὸν μέλλοντα, ἢ διὰ τοῦ σ μόνου ἢ διὰ τοῦ ξ· καὶ πάλιν, εἰ τὰ διὰ β΄ σσ ἐκφερόμενα κατὰ τὸν ἐνεστῶτα δι' ἑνὸς μόνου συμφώνου ἐκφέρονται κατὰ τὸν μέλλοντα, τυχὸν ἢ διὰ τοῦ σ μόνου ἢ διὰ τοῦ ξ μόνου, καλῶς ἂν ἐλέγομεν· εἰ δὲ ὁρῶμεν καὶ διὰ τοῦ ζ ἐκφερόμενα κατὰ τὸν ἐνεστῶτα πῆ μὲν διὰ τοῦ σ ἐκφερόμενα κατὰ τὸν μέλλοντα, πῆ δὲ διὰ τοῦ ξ, οἷον φράζω φράσω, σφάζω σφάξω, ὁμοίως δὲ καὶ τὰ διὰ β΄ σσ ἐκφερόμενα κατὰ τὸν ἐνεστῶτα πῆ μὲν διὰ τοῦ σ ἐκφερόμενα κατὰ τὸν μέλλοντα, πῆ δὲ διὰ τοῦ ξ, οἷον, πλήσσω πλήξω, πλάσσω πλάσω, τί ἔχομεν εἰπεῖν ὅτι τὸ ζ δι' ἑαυτοῦ ἀτακτεῖται, ἢ διὰ τοῦ σ πρὸς ἑαυτὰ ἀτακτεῖται, ὅτι διφοροῦνται κατὰ τὸν μέλλοντα, καὶ πῆ μὲν διὰ τοῦδε τοῦ συμφώνου ἐκφέρονται, πῆ δὲ διὰ τοῦδε. Ταῦτα μὲν ἐν τούτοις.

Ἔστι δὲ κανονίσαι τὸν μέλλοντα τῆς τετάρτης συζυγίας τῶν βαρυτόνων οὕτως· ἰστέον ὅτι ἡνίκα ὁ ἐνεστὼς διὰ τῶν β΄ σσ ἐκφέρεται, τότε καὶ ὁ μέλλων διὰ τοῦ ξ ἐκφέρεται, οἷον, πλήσσω πλήξω, πήσσω πήξω, νύσσω νύξω, τινάσσω τινάξω· χωρὶς τοῦ ἱμάσσω ἱμάσω, (σημαίνει δὲ τὸ πλήσσω παρὰ τὸ ἱμὰς ἱμάντος,) καὶ χωρὶς τοῦ ἰνάσσω ἰνάσω, (ἰνάσσω δέ ἐστι τὸ ἰσχὺν παρέχω, παρὰ τὸ ἲς ἰνὸς,) καὶ χωρὶς τοῦ πάσσω πάσω, καὶ πλάσσω πλάσω, καὶ λεύσσω λεύσω καὶ τοῦ ἐρέσσω ἐρέσω, (σημαίνει δὲ τὸ κωπηλατῶ,) ἐξ οὗ ὁ α΄ ἀόριστος ἤρεσα,

ἤρεσα χερσὶν ἐμῆσι.

δύναται ὁ ἐρέσω μέλλων, ὥς φησιν ὁ Ἡρωδιανὸς, καὶ ὡς ἀπὸ περισπωμένου τοῦ ἐρεείνω (ἐρῶ), καὶ ὥσπερ τελῶ τελέσω.

Ἰστέον ὅτι λαμβάνονταί τινες τοῦ [x]Φιλοπόνου, λέγοντες, ὅτι κακῶς παρέθετο τὸ λεύσω· τοῦτο γὰρ οὐ κλίνεται κατὰ τὸν μέλλοντα· τὰ δὲ διὰ τοῦ ζ ἐκφερόμενα κατὰ τὸν ἐνεστῶτα ὑπὲρ β′ συλλαβὰς ὄντα, διὰ τοῦ σ ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον συρίζω συρίσω, κουφίζω κουφίσω, ἐλπίζω ἐλπίσω, βαδίζω βαδίσω, λακτίζω λακτίσω, δανείζω δανείσω, ἑτοιμάζω ἑτοιμάσω, δεσπόζω δεσπόσω, ἁρμόζω ἁρμόσω, βαστάζω βαστάσω, νυστάζω νυστάσω· τὸ γὰρ βαστάξω νυστάξω καὶ ἁρπάξω Δωρικά εἰσι, κατὰ τροπὴν τοῦ σ εἰς ξ γινόμενα. Δεῖ προσθεῖναι χωρὶς τοῦ οἰμώζω οἰμώξω καὶ στενάζω στενάξω καὶ αἰάζω αἰάξω καὶ τοῦ θρυλλίζω θρυλλίξω, (σημαίνει δὲ τὸ κλῶ,) ἐξ οὗ καὶ τὸ

θρυλλίχθη δὲ μέτωπα

καὶ τοῦ στηρίζω στηρίξω, καὶ τοῦ ἀλ(αλ)άζω ἀλαλάξω, καὶ τοῦ ὀλολύζω ὀλολύξω. Τὸ δὲ στενάζω δύναται καὶ ἀπὸ τοῦ στενάχω ἐνεστῶτος εἶναι, οἷον,

ἀλλ' ἀεὶ στενάχω καὶ ἄλγεα μυρία πέσσω

οὗ καὶ ἡ μετοχὴ στενάχων,

Κύκλωψ δὲ στενάχων καὶ ὀδύνων (ὠδίνων) ὀδυνῄσιν

ἐξ οὗ καὶ τὸ ῥηματικὸν στεναχὴ, ἔστι δὲ ὄνομα· καὶ τοῦ ἀλαπάζω ἀλαπάξω, εἰ μή τις καὶ αὐτὸ Δωρικῶς εἴπῃ, ὡς ἀπὸ τοῦ ἀλαπάζω ἀλαπάσω γέγονε κατὰ τροπὴν τοῦ σ εἰς ξ, ὥσπερ τὸ βαστάζω βαστάσω βαστάξω, καὶ τὰ ὅμοια. Τὰ δὲ διὰ τοῦ ζ ἐκφερόμενα κατὰ τὸν ἐνεστῶτα, δισύλλαβα ὄντα, ποτὲ μὲν διὰ τοῦ ξ ἐκφέρονται κατὰ τὸν μέλλοντα, ποτὲ δὲ διὰ τοῦ σ, οἷον φράζω φράσω, πορίζω πορίσω, κτίζω κτίσω, ἵζω ἵσω, κνίζω κνίσω, κράζω κράξω, στάζω στάξω, σφάζω σφάξω, παίζω παίξω, τοῦτο δὲ εὕρηται καὶ διὰ τοῦ σ, ὡς παρὰ τῷ ποιητῇ ἐν τῇ Ὀδυσσείᾳ,

παίσατε, ὡς ὁ ξεῖνος ἐνὶ σπείοισι (ἐνίσπῃ οἷσι) φιλοῖσι,

καὶ παρ' Ἀριστοφάνει, [Plut. 1055.]

βούλῃ διὰ χρόνου πρός με παῖσαι;

καὶ ἴσως τὸ ἕξω Δωρικόν ἐστι κατὰ τροπὴν γενόμενον τοῦ σ

[x] φι[λου] ms.

εἰς τὸ Ξ, ὥσπερ καὶ τὸ βαστάξω, καὶ νυστάσω νυστάξω, καὶ ἁρπάσω ἁρπάξω. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι ἐπὶ τῶν διὰ τοῦ ΙΖΩ ὑπερδισυλλάβων διὰ τοῦ Ι γραφομένων εἰώθασιν οἱ Ἀθηναῖοι ἀποβάλλειν τὸ Σ κατὰ τὸν μέλλοντα καὶ περισπᾶν, οἷον γεμίζω γεμίσω γεμιῶ, ἐλπίζω ἐλπίσω ἐλπιῶ, συρίζω συρίσω συριῶ, λακτίζω λακτίσω λακτιῶ, βαδίζω βαδίσω βαδιῶ, κουφίζω κουφίσω κουφιῶ. Ἀποβάλλουσι δὲ τὸ Σ πρῶτον καὶ οὕτως περισπῶσι, ἐπειδὴ τὸ Σ χαρακτηριστικόν ἐστι βαρυτόνου μέλλοντος, οἷον, ποιήσω, νοήσω, λαλήσω· ἀποβάλλουσι γὰρ πρῶτον τὸ αἴτιον τῆς βαρείας τάσεως, καὶ οὕτως περισπῶσι· τοῦτο δὲ ποιοῦσι κατὰ τὸν μέλλοντα διὰ ταύτην τὴν αἰτίαν· Κανών ἐστιν ὁ λέγων, ὅτι ἡ παραλήγουσα τοῦ βαρυτόνου μέλλοντος ἢ ἴση θέλει εἶναι πρὸς τὴν παραλήγουσαν τοῦ βαρυτόνου ἐνεστῶτος, ἢ μείζων, οὐδέποτε δὲ ἐλάττων, χωρὶς τοῦ πνίγω πνίξω, ἐρείκω ἐρείξω, ψύχω ψύξω· ἴση μὲν, οἷον λείπω λείψω, πείθω πείσω, λείβω λείψω, τύπτω τύψω, ῥάπτω ῥάψω, βλάπτω βλάψω· μείζων δὲ, οἷον λέγω λέξω, πλέκω πλέξω, γράφω γράψω, τρέχω θρέξω, ἔχω ἕξω. Πρόσκειται "βαρυτόνου ἐνεστῶτος" διὰ τὸ ἀρκῶ ἀρκέσω· ἐνταῦθα γὰρ ἡ παραλήγουσα τοῦ βαρυτόνου μέλλοντος ἐλάττων ἐστὶ τῆς παραληγούσης τοῦ ἐνεστῶτος· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι βαρύτονος ἐνεστώς. Πρόσκειται "βαρυτόνου μέλλοντος," διὰ τὸ κείρω κερῶ· ἐνταῦθα γὰρ ἡ παραλήγουσα τοῦ μέλλοντος ἐλάττων ἐστὶ τῆς παραληγούσης τοῦ ἐνεστῶτος· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι βαρύτονος μέλλων. Ἐπειδὴ οὖν ἐν τῇ τετάρτῃ συζυγίᾳ παρεβιάσθη ὁ κανὼν, ὁ γὰρ συρίζω καὶ δεσπόζω καὶ γεμίζω καὶ ἑτοιμάζω θέσει μακρᾷ παραλήγονται, τὸ δὲ θέσει μακρὸν τοῦ φύσει βραχέος μεῖζόν ἐστι, τούτου χάριν ταύτην τὴν παραλογίαν φεύγοντες οἱ Ἀθηναῖοι περισπῶσι τὸν μέλλοντα. Κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ἡνίκα ὁ μέλλων ἐλάττονα ἔχει τὴν ἰδίαν παραλήγουσαν τῆς παραληγούσης τοῦ βαρυτόνου ἐνεστῶτος, περισπᾶται, οἷον κείρω κερῶ, σπείρω σπερῶ, φθείρω φθερῶ.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ τί ἐπὶ τῶν ἄλλων τοῦτο οὐ ποιοῦσι· ἐπὶ γὰρ τῶν διὰ τοῦ ΑΖΩ *καὶ* ΟΖΩ *οὐκ ἀποβάλλουσι τὸ* Σ *κατὰ τὸν μέλλοντα καὶ περισπῶσιν, οἷον δεσπόζω δεσπόσω, ἁρμόζω ἁρμόσω, ἀγοράζω ἀγοράσω, ἑτοιμάζω ἑτοιμάσω. Καὶ ἔστιν εἰπεῖν, ὅτι ἐπὶ τῶν διὰ τοῦ* ΑΖΩ *καὶ ἐπὶ τῶν διὰ τοῦ* ΟΖΩ *τοῦτο οὐ ποιοῦσι, ἵνα μὴ φεύγοντες τὸ ἓν ἄτοπον μείζονι ἀτόπῳ περιπέσωσι· οἱ γὰρ Ἀθηναῖοι ὅπου εὕρωσι ἀλλεπάλληλα φωνήεντα δυνάμενα συναιρεθῆναι συναιροῦσιν αὐτὰ, οἷον Ἐρετριέως Ἐρετριῶς, Πειραιέως Πειραιῶς, Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους. Εἰ ἀπέβαλλον οὖν ἐπὶ τούτων τὸ* Σ *κατὰ τὸν μέλλοντα καὶ περιέσπασαν, ἤμελλον συναίρεσιν ποιῆσαι ἀλλεπαλλήλων τῶν αὐτοῦ φωνηέντων, οἷον ἑτοιμάζω ἑτοιμάσω καὶ ἑτοιμῶ ὡς τὸ βοῶ· καὶ πάλιν, δεσπόζω δεσπόσω δεσπῶ, ὥσπερ χρυσόω χρυσῶ. Εἰ ἐποίησαν δὲ συναίρεσιν, ἤμελλεν ὁ μέλλων ἐλάττονας συλλαβὰς ἔχειν τοῦ ἐνεστῶτος, ὅπερ ἐστὶν ἀδύνατον. Ὁ μέλλων (γὰρ) ἰσοσυλλαβεῖν θέλει τῷ ἐνεστῶτι, οἷον τύπτω τύψω, ἢ περιττοσυλλαβεῖν θέλει, οἷον ποιῶ ποιήσω, βοῶ βοήσω, θέλω θελήσω, ὀφείλω ὀφειλήσω. Διὰ ταύτην οὖν τὴν αἰτίαν οὔτε ἐπὶ τῶν διὰ τοῦ* ΑΖΩ *οὔτε ἐπὶ τῶν διὰ τοῦ* ΟΖΩ *ἀποβάλλουσιν οἱ Ἀθηναῖοι τὸ* Σ *κατὰ τὸν μέλλοντα καὶ περισπῶσι· ἐπὶ γὰρ τῶν διὰ τοῦ* ΙΖΩ *ὑπὲρ β′ συλλαβὰς διὰ τοῦτο ἀποβάλλουσι τὸ* Σ *κατὰ τὸν μέλλοντα καὶ περισπῶσιν, ἐπειδὴ τὸ* Ι *καὶ τὸ* Ω *οὐδέποτε κιρνᾶται οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις οὔτε παρ' ἄλλῃ τινὶ διαλέκτῳ, οἷον, μειδιῶ, ἐρυθριῶ, αἰῶ, κατιῶ. Διὰ τὶ δὲ ἐπὶ τῶν δισυλλάβων τῶν διὰ τοῦ* ΙΖΩ [y] . . . *οἷον γογγύζω γογγύσω, ὀπιπύζω ὀπιπύσω (ποππύζω ποππύσω?)* [z] . . . . *καὶ ποιοῦσιν οἱ Ἀθηναῖοι ἀποβολὴν τοῦ* Υ *κατὰ τὸν μέλλοντα καὶ περισπῶσι, καὶ ταῦτα τοῦ* Υ *καὶ* Ω *συναιρουμένου, οἷον λύω, κλύω, οὐκ εἰρήκασιν οἱ τεχνικοί· ἡμεῖς δὲ, εἰ Θεῷ φίλον, ἐν τοῖς προλεγομένοις τῆς Ὀρθογραφίας διαλάβωμεν περὶ αὐτῶν. Ταῦτα μὲν ἐν τούτοις.*

Ἰστέον δὲ ὅτι ἐπὶ τοῦ δανείζω δανείσω οὐ ποιοῦσιν οἱ

[y] Deesse videntur quædam. [z] Lacuna in ms.

Ἀθηναῖοι ἀποβολὴν τοῦ Σ κατὰ τὸν μέλλοντα καὶ περισπῶσι, ἐπειδὴ ἐπὶ τούτων οὐ παρεβίβασθαι (παρεβιάσθη) ὁ κανών· οὐκ ἔχει γὰρ ἐπὶ τούτων ὁ μέλλων ἰδίαν παραλήγουσαν ἐλάττω τῆς παραληγούσης τοῦ ἐνεστῶτος· τῇ ΕΙ διφθόγγῳ παραλήγεται ὁ ἐνεστὼς καὶ ὁ μέλλων.

Καὶ ἔστιν ἄξιον ζητῆσαι, εἰ ἄρα τὰ διὰ τοῦ ΙΖΩ πάντα διὰ τοῦ Ι γράφονται, οἷον συρίζω, ἐλπίζω, κουφίζω, βαδίζω, κτίζω, πρίζω, πῶς γὰρ δανείζω διὰ τῆς ΕΙ διφθόγγου γράφεται; Καὶ ἔστιν εἰπεῖν, ὥσπερ παρὰ τὸ γενεῖον γίνεται γενειάζω, τὸν αὐτὸν τρόπον καὶ παρὰ τὸ δανεῖον γίνεται δανειάζω, καὶ κατ' ἀποβολὴν τοῦ Α δανείζω, καὶ ἐκ τούτου λοιπὸν παραλήγεται τῇ ΕΙ διφθόγγῳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ, ὅτι τὸ πνίγω πνίξω, ἐρύκω ἐρύξω, ψύχω ψύξω, διὰ τοῦτο σημειούμεθα, ἐπειδὴ κατὰ μὲν τὸν ἐνεστῶτα φύσει μακρὰ ποιοῦσι τὰ δίχρονα, κατὰ δὲ τὸν μέλλοντα, θέσει μακρά· τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ· διὰ τοῦτο θέσει μακρά εἰσιν ἐν τῷ μέλλοντι, ἐπειδὴ τὸ Ξ ἐπιφέρονται· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὸ Ι καὶ τὸ Υ οὐδέποτε πρὸ τοῦ Ξ φύσει μακρά εἰσι, χωρὶς εἰ μὴ λόγῳ ἀρχούσης παρῳχημένων, οἷον φοῖνιξ, πέρδιξ, κῆρυξ, Βέβρυξ, ἄμπυξ. Πρόσκειται "εἰ μὴ λόγῳ ἀρχούσης παρῳχημένων," διὰ τὸ ἰξεύω ἴξευον· τὸ μὲν γὰρ ἰξεύω θέσει μακρὸν ἔχει τὸ Ι, τὸ δὲ ἴξευον φύσει μακρὸν, τῷ λόγῳ τῆς ἀρχούσης τῶν παρῳχημένων· οἱ γὰρ παρῳχημένοι κατὰ τὴν ἄρχουσαν ἢ χρονικῶς θέλουσι μεγεθύνεσθαι, ἢ συλλαβικῶς· συλλαβικῶς μὲν, οἷον τύπτω ἔτυπτον, χρονικῶς δὲ, οἷον ἄγω ἦγον· ἐν οἷς τὸ ἴξευον οὐκ ἠδύνατο (συλλαβικῶς) μεγεθύνεσθαι· ἐπειδὴ οὐκ ἄρχεται ὁ ἐνεστὼς ἀπὸ συμφώνου, ἐξ ἀνάγκης χρονικῶς ἐμεγεθύνετο, καὶ τούτου χάριν ἐξέτεινε τὸ Ι. Δέδεικται οὖν ὅτι διὰ τὴν ἐπιφορὰν τοῦ Ξ θέσει μακρά εἰσι τὰ δίχρονα ἐν τῷ πνίξω καὶ ἐρύξω καὶ ψύχω ψύξω μέλλοντι· εἰ δέ τις εἴπῃ, πόθεν δῆλον ὡς ἐν τῷ πνίξω μέλλοντι καὶ ἐρύξω καὶ ψύξω θέσει μακρά εἰσι τὰ δίχρονα, διπλοῦν γὰρ σύμφωνον ἐπιφέρεται, καὶ μακρά ἐστιν ἡ συλλαβὴ, λέγομεν ὅτι τοῦτο ἐστὶ γνῶναι

ἐκ τοῦ πέπνιγα παρακειμένου καὶ εἴρυκα καὶ ἔψυχα βραχὺ ἔχοντος τὸ δίχρονον· ὁ γὰρ παρακείμενος καὶ ὁ μέλλων τὸν αὐτὸν χρόνον θέλουσιν ἔχειν κατὰ τὴν παραλήγουσαν, οἷον τέτυφα τύψω, ἡ ΤΥ συλλαβὴ κατὰ τὸν παρακείμενον βραχεῖά ἐστιν· καὶ πάλιν, πέπεικα πείσω· ἰδοὺ ἡ ΠΕΙ συλλαβὴ κατὰ τὸν παρακείμενον καὶ μέλλοντα φύσει μακρά ἐστιν.

"Ἡ δὲ πέμπτη τὰ ἀμετάβολα τηρεῖ μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένου τόνου." Ἐνταῦθα περὶ τοῦ μέλλοντος τῆς ε΄ συζυγίας διαλαμβάνει, καὶ λέγει, ὅτι ἡ πέμπτη τὰ ἀμετάβολα τηρεῖ κατὰ τὸν μέλλοντα μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένου τόνου· μετὰ συστολῆς δὲ τῆς παραληγούσης, εἴγε μακρὰ εὑρέθη ἡ παραλήγουσα ἐν τῷ ἐνεστῶτι, οἷον, κείρω κερῶ, φθείρω φθερῶ, στέλλω στελῶ, ἀγγέλλω ἀγγελῶ, πάλλω παλῶ. Πρόσκειται "εἴγε μακρὰ εὑρέθη ἡ παραλήγουσα, ἐν τῷ ἐνεστῶτι[a] * * * ἡ αὐτὴ φυλάττεται καὶ ἐν τῷ μέλλοντι, οἷον μένω μενῶ, νέμω νεμῶ, δέμω δεμῶ, βρέμω βρεμῶ. Εὐλόγως δὲ ἡ πέμπτη συζυγία τὰ ἀμετάβολα τηρεῖ κατὰ τὸν μέλλοντα μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένου τόνου. Ἐμάθομεν γὰρ ὅτι ὁ μέλλων ἀναλογεῖ τῇ εὐθείᾳ, ὁ δὲ ἐνεστὼς τῇ γενικῇ. Ἐπειδὴ οὖν ὅτε ἡ εὐθεῖα δι' ἀμεταβόλου ἐκφέρεται, τότε ἡ γενικὴ διὰ τοῦ αὐτοῦ ἀμεταβόλου ἐκφέρεται, οἷον Ἕκτωρ Ἕκτορος, Πλάτων Πλάτωνος, Θέων Θέωνος· τὸ γὰρ ἧπαρ ἥπατος καὶ δέλεαρ δελέατος ἑτερόκλιτα λέγουσιν εἶναι, ὡς ἀπὸ τῆς εἰς ΑΣ καταλήξεως, οἷον ἀπὸ τοῦ ἧπας δέλεας· τούτου χάριν καὶ ὅτε ὁ ἐνεστὼς δι' ἀμεταβόλου ἐκφέρεται, τότε καὶ ὁ μέλλων διὰ τοῦ αὐτοῦ ἀμεταβόλου ἐκφέρεται, οἷον, κείρω κερῶ, φθείρω φθερῶ.

Ἐπειδὴ δὲ τὰ χαρακτηριστικὰ τοῦ βαρυτόνου ἐνεστῶτος οὐ δύνανται χαρακτηριστικὰ βαρυτόνου μέλλοντος εἶναι· καὶ γὰρ τὸ Κ καὶ Π χαρακτηριστικὰ ὄντα βαρυτόνου ἐνεστῶτος, ὡς ἐπὶ τοῦ τέρπω καὶ πλέκω, οὐκ εἰσὶ χαρακτηριστικὰ καὶ

[a] Quædam h. l. exciderunt.

βαρυτόνου μέλλοντος, ἀλλὰ περισπωμένου, ὡς ἐπὶ τοῦ τυπῶ δευτέρου μέλλοντος· τούτου χάριν περισπῶνται οἱ μέλλοντες τῆς ε' συζυγίας, ἵνα μὴ εὑρεθῶσι τὰ χαρακτηριστικὰ τοῦ βαρυτόνου ἐνεστῶτος, φημὶ δὲ τὰ ἀμετάβολα, χαρακτηριστικὰ καὶ βαρυτόνου μέλλοντος· ἐπειδὴ δὲ καὶ περισπῶνται, εὐλόγως τὴν παραλήγουσαν συστέλλουσι· καὶ γὰρ οἱ περισπωμένοι μέλλοντες βραχείᾳ θέλουσι παραλήγεσθαι, οἷον τυπῶ, πλακῶ, βαδιῶ, λακτιῶ, χαπιῶ? συριῶ, κουφιῶ, ἐλπιῶ. Δεῖ προσθεῖναι, χωρὶς τῶν Δωρικῶν· οἱ γὰρ Δωριεῖς τὸν ποιήσω μέλλοντα μακρᾷ παραληγόμενον περισπῶσι ποιησῶ λέγοντες· πάντας γὰρ τοὺς ὁριστικοὺς μέλλοντας περισπῶσιν οἱ Δωριεῖς, τυψῶ, γραψῶ, λεξῶ, ἀμελξῶ.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ τί οἱ Δωριεῖς πάντας τοὺς ὁριστικοὺς μέλλοντας περισπῶσι; Ἔστιν οὖν εἰπεῖν, ὅτι πολλάκις οἱ Δωριεῖς ἐναλλαγὰς ποιοῦνται τόνων πρὸς τὴν κοινὴν διάλεκτον· καὶ γὰρ τὰς παρ' ἡμῖν προπερισπωμένας λέξεις αὐτοὶ παροξύνουσιν, οἷον πᾶνες πάνες, αἶγες αἴγες, φῶτες φώτες, καὶ πάλιν τὰς παρ' ἡμῖν βαρυτόνους λέξεις αὐτοὶ πολλάκις περισπῶσι· τὸ γὰρ πάντων καὶ παίδων παντῶν καὶ παιδῶν λέγουσι περισπωμένως· καὶ πάλιν τὰς παρ' ἡμῖν περισπωμένας λέξεις αὐτοὶ πολλάκις συστέλλοντες ὀξύνουσιν, οἷον τὸ δασμηφορεῖν καὶ ποιεῖν αὐτοὶ δασμηφορέν καὶ ποιέν λέγουσι· (δασμηφορεῖν δέ ἐστι τὸ φέρειν τὰ δημόσια·) ἐπειδὴ οὖν ἐναλλαγὰς τόνων ποιοῦνται οἱ Δωριεῖς πρὸς τὴν κοινὴν διάλεκτον, εἰκότως περισπῶσι τοὺς ὁριστικοὺς μέλλοντας, ἵνα καὶ ἐπὶ τούτων ἐναλλαγὴν ποιήσωνται τόνου πρὸς τὴν κοινὴν διάλεκτον.

"Ἡ δὲ ἕκτη τὸ Σ οἷον ἱππεύω ἱππεύσω." Ἐνταῦθα περὶ τοῦ μέλλοντος τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων διαλαμβάνει. Καὶ ἰστέον ὅτι ἡ ἕκτη συζυγία τῶν βαρυτόνων πρὸ τοῦ Ω προσλαμβάνουσα τὸ Σ τὸν μέλλοντα ἀποτελεῖ, οἷον ἱππεύω ἱππεύσω, δουλεύω δουλεύσω, βασιλεύω βασιλεύσω, κρούω κρούσω, πταίω πταίσω, παίω παίσω, (σημαίνει δὲ τὸ τύπτω,) παλαίω παλαίσω, σβέω σβέσω, τρέω τρέσω,

βδέω βδέσω· τὸ γὰρ πνέω πνεύσω, καὶ πλέω πλεύσω, καὶ χέω χεύσω, καὶ ῥέω ῥεύσω, πλεονασμὸν πεπόνθασι τοῦ υ κατὰ τὸν μέλλοντα· τινὲς δὲ θέλουσι λέγειν ταῦτα εἶναι, ὡς ἀπὸ τοῦ πνεύω, πλεύω, καὶ χεύω, καὶ ῥεύω, τὸ δὲ κλαίω καὶ καίω τροπὴν πεπόνθασι τοῦ ι εἰς τὸ υ κατὰ τὸν μέλλοντα,
276 b οἷον κλαύσω καὶ καύσω· τὸ δὲ πταίω καὶ παίω καὶ παλαίω οὐ πεπόνθασι τροπὴν τοῦ ι εἰς τὸ υ κατὰ τὸν μέλλοντα, πταίσω γὰρ καὶ παίσω καὶ παλαίσω, ὡς ἐν τῇ διδασκαλίᾳ τοῦ ἐνεργητικοῦ παρακειμένου μεμαθήκαμεν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ λύω καὶ θύω κατὰ μὲν τὸν ἐνεστῶτα καὶ ἐκτείνουσι τὸ υ καὶ συστέλλουσι, κατὰ δὲ τὸν λύσω καὶ θύσω μέλλοντα ἐκτεταμένον ἔχουσι τὸ υ.

“ Οἱ δ' ἀπὸ περισπωμένων ἀεὶ μὲν εἰς ω λήγουσι.” Ἐνταῦθα μὲν περὶ τῆς παραληγούσης τοῦ μέλλοντος τῶν τριῶν συζυγιῶν τῶν περισπωμένων διαλαμβάνει καὶ λέγει, ἰστέον ὅτι οἱ ἀπὸ περισπωμένων μέλλοντες ἀεὶ μὲν εἰς ω λήγουσι καὶ πρὸ τοῦ ω ἔχουσι τὸ σ, οἷον ποιῶ ποιήσω, νοῶ νοήσω, βοῶ βοήσω, ἐῶ ἐάσω, χρυσῶ χρυσώσω, ὀμῶ ὀμώσω. Καὶ εὐλόγως πρὸ τοῦ ω τὸ σ ἔχουσιν, ἐπειδὴ ἐὰν λάβωμεν τὴν ἐντέλειαν αὐτῶν τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων εὑρίσκονται, οἷον ποιῶ ποιέω, βοῶ βοάω· ἡ δὲ ἕκτη τῶν βαρυτόνων, ὡς δέδεικται, πρὸ τοῦ ω τὸ σ ἔχει κατὰ τὸν μέλλοντα, οἷον ἱππεύω ἱππεύσω, βασιλεύω βασιλεύσω· παραλήγεται δὲ ἡ μὲν πρώτη συζυγία τῶν περισπωμένων κατὰ τὸν μέλλοντα ἢ τῷ η ἢ τῷ ε, οἷον νοήσω, τελέσω, ἡ δὲ δευτέρα ἢ τῷ η ἢ τῷ α, οἷον βοήσω, ἐάσω, ἡ δὲ τρίτη ἢ τῷ ω ἢ τῷ ο, χρυσώσω, ἀρόσω· (σημαίνει δὲ τὸ ἀροτριάσω·) ἔστι δὲ κακονίσαι τὴν παραλήγουσαν τοῦ μέλλοντος τῆς πρώτης συζυγίας τῶν περισπωμένων οὕτως· ὅτε γὰρ μακρᾷ παραλήγεται ὁ ἐνεστώς, τότε ὁ μέλλων διὰ τοῦ η ἐκφέρεται, οἷον ποιῶ ποιήσω, εὑρῶ εὑρήσω, τηρῶ τηρήσω, ἀθλῶ ἀθλήσω, πενθῶ πενθήσω, ὀλισθῶ ὀλισθήσω· δεῖ προσθεῖναι χωρὶς τοῦ ἀρκῶ ἀρκέσω· τοῦτο γὰρ μακρᾷ παραληγόμενον κατὰ τὸν

ἐνεστῶτα διὰ τοῦ ε ἐξηνέχθη κατὰ τὸν μέλλοντα, καὶ χωρὶς τοῦ νείκω νεικέσω, οἷον [Il. κ΄. 114.]

ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
νεικέσω·

περὶ οὗ λέγουσί τινες ταύτην τὴν ἀπολογίαν· ἔστι νικῶ καὶ νεικῶ, καὶ ἐπειδὴ διάφορον ἔσχον τὴν σημασίαν, (τὸ μὲν γὰρ τὴν φιλονεικίαν σημαίνει, τὸ δὲ τὴν νίκην,) τούτου χάριν καὶ τὴν συζυγίαν διάφορον ἔσχον, τὸ μὲν γὰρ πρώτης ἐστὶ συζυγίας, οἷον νεικῶ νεικήσω, ὡς παρὰ τῷ ποιητῇ [Il. α΄ 521.]

νείκει, καί τέ με φησὶ (μάχῃ) Τρώεσσιν ἀρήγειν·

τὸ δὲ δευτέρας ἐστὶ συζυγίας, οἷον νικῶ νικᾷς· καὶ ἐπειδὴ διάφορον ἔσχον τὴν συζυγίαν καὶ τὴν σημασίαν, [[a] τούτου χάριν] καὶ τὴν παραλήγουσαν κατὰ τὸν ἐνεστῶτα [διάφορον ἔχουσι· τὸ μὲν γὰρ τῇ ει διφθόγγῳ παραληγόμενον, τὸ δὲ τῷ ι μακρῷ, καὶ ἐπειδὴ διάφορον ἔσχον καὶ τὴν συζυγίαν τὴν σημασίαν καὶ τὴν . . . . . κατὰ τὸν ἐνεστῶτα·] τούτου χάριν καὶ κατὰ τὸν μέλλοντα διάφορον ἔσχον τὴν παραλήγουσαν· τὸ μὲν γὰρ νικῶ νικᾷς τῷ η παραλήγεται κατὰ τὸν μέλλοντα, οἷον νικήσω, τὸ δὲ νεικῶ νεικεῖς τῷ ε, οἷον νεικέσω, ὡς παρὰ τῷ ποιητῇ,

[ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
νεικέσω.]

Τὸ δὲ αἰνῶ αἰνέσω ἀναλογώτερόν ἐστι παρὰ τοῖς ποιηταῖς λεγόμενον αἰνήσω διὰ τοῦ η, οἷον,

μῦθον ἐπαινήσαντες Ὀδυσσεῖος θείοιο,

ἐπειδὴ μακρᾷ παραλήγεται κατὰ τὸν ἐνεστῶτα, τοῦ παρὰ τοῖς ἰαμβογράφοις διὰ τοῦ ε λεγομένου, οἷον αἰνέσω καὶ ἐπαινέσω, ὡς παρὰ Σοφοκλεῖ [Aj. 536.]

ἐπῄνεσ' [b] ἔργον καὶ πρόνοιαν ἣν ἔθου·

καὶ πάλιν τοῦ Εὐριπίδου ἐν Μηδείᾳ, [707.]

[c] ἐᾷ δ' Ἰάσων, οὐδὲ ταῦτ' ἐπῄνεσα,

[a] [ ] inclusa om. Bar. [b] ἔργα Bar. et mox om. ἣν. [c] ᾆ Bar.

καὶ τὸ αἰδῶ αἰδήσω, ἐξ οὗ τὸ αἰδήμων ἀναλογώτερόν ἐστι τοῦ αἰδέσω, οἷον [Il. δ'. 402.]

αἰδεσθεὶς βασιλῆος [[d] θείοιο] ἐνιπὴν αἰδοίοιο·

εἰ δὲ βραχείᾳ παραλήγεται ὁ ἐνεστὼς τῆς πρώτης συζυγίας τῶν περισπωμένων, τότε ὁ μέλλων πῇ μὲν τῷ η παραλήγεται, πῇ δὲ τῷ ε, οἷον φιλῶ φιλήσω, νοῶ νοήσω, τελέω
277 a τελέσω, πατῶ πατήσω, πῇ δὲ διφορεῖται, οἷον φορῶ φορέσω καὶ φορήσω, πονῶ πονέσω καὶ πονήσω, τοῦτο δὲ πρὸς διάφορον σημαινόμενον διάφορον καὶ τὴν παραλήγουσαν ἔχει· ὁ γὰρ πονῶν ἢ ψυχικῶς ἢ σωματικῶς πονεῖ· καὶ εἰ μὲν σωματικῶς, διὰ τοῦ ε πονέσω δεῖ λέγειν, εἰ δὲ ψυχικῶς πονήσω διὰ τοῦ η· διὰ τοῦτο σεσημειούμεθα παρ' Ἀριστοφάνει

ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη·

ἐπειδὴ σωματικῶς λεχθὲν διὰ τοῦ ε ἐξηνέχθη. Ταῦτα μὲν περὶ τῆς παραληγούσης τοῦ μέλλοντος τῆς πρώτης συζυγίας τῶν περισπωμένων.

Περὶ δὲ τῆς παραληγούσης τοῦ μέλλοντος τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐστὶν εἰπεῖν ταῦτα· ἰστέον ὅτι ὁ μέλλων τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἢ τῷ η παραλήγεται, ἢ τῷ α, οἷον βοήσω, ἐάσω, καὶ τῷ α, ἢ μακρῷ ἢ βραχεῖ, ἡνίκα μὲν τὸ α πρὸ τοῦ α κατὰ τὸν μέλλοντα συνεσταλμένον ἐστὶν, οἷον γελῶ γελάσω, κλῶ κλάσω, θλῶ θλάσω, ἡνίκα δὲ πρὸ τοῦ α τὸ ρ, ἢ καθαρὸν τὸ α, τότε τὸ α μακρόν ἐστιν, οἷον γηρῶ γηράσω, φυρῶ φυράσω, περῶ περάσω, (ἐπὶ τοῦ παρελθεῖν· τὸ γὰρ περάσω ἐπὶ τοῦ πωλήσω, βραχὺ ἔχει τὸ α, οἷον [Il. φ'. 102.]

Τρώων καὶ πολλοὺς ζωοὺς ἕλον ἠδ' ἐπέρασσα,

ἐπλεονάσθη γὰρ τὸ σ διὰ τὴν βραχεῖαν, καὶ μήποτε ὡς ἀπὸ τοῦ περάζω ἐστὶν, ὥσπερ ἀγοράζω ἀγοράσω·) τὸ κεράσω ἔχον πρὸ τοῦ α τὸ ρ καὶ συστέλλον τὸ α οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν ἀπὸ τοῦ κερῶ κερᾷς, ἀλλ' ὡς ἀπὸ τοῦ κεράζω, ὥσπερ ἀπὸ τοῦ ἀγοράζω ἀγοράσω. Ταῦτα μὲν

[d] Habet θείοιο Bar. sed om. αἰδοίοιο.

ἐπὶ τῶν ἐχόντων πρὸ τοῦ α τὸ ρ· τῶν δὲ ἐχόντων τὸ α καθαρὸν ἔστωσαν παραδείγματα ταῦτα· ἀνιῶ ἀνιάσω, κοπιῶ κοπιάσω, ἀγωνιῶ ἀγωνιάσω, μειδιῶ μειδιάσω, ἀροτριῶ ἀροτριάσω, ἐρυθριῶ ἐρυθριάσω, ἐῶ ἐάσω· τὸ γὰρ [Od. φ΄. 233.]

οὐκ ἐάσω (ἐάσουσιν) ἐμοὶ δόμεναι βιόν,

ποιητικῶς συνεστάλη· τὸ πεινάσω καὶ διψάσω μακρὸν ἔχοντα τὸ α, καὶ μὴ ἔχοντα πρὸ τοῦ α μήτε ρ μήτε φωνῆεν, οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἀπὸ τοῦ πεινήσω καὶ διψήσω γεγόνασι κατὰ τροπὴν Δωρικὴν τοῦ η εἰς α μακρόν. Ταῦτα μὲν ἐν τούτοις.

Ἔστι δὲ κανονίσαι τὴν παραλήγουσαν τοῦ μέλλοντος τῆς δευτέρας συζυγίας τῶν περισπωμένων οὕτως· τὰ ἔχοντα τὸ ω καθαρὸν προηγουμένου τοῦ ε ἢ τοῦ ι τὸν μέλλοντα ἔχουσι διὰ τοῦ α ἐκφερόμενον, οἷον ἐῶ ἐάσω, θεῶ θεάσω, ἐξ οὗ τὸ θεῶμαι θεάσω καὶ θεάσομαι, ἀνιῶ ἀνιάσω, κοπιῶ κοπιάσω, ἀροτριῶ ἀροτριάσω, ἐρυθριῶ ἐρυθριάσω, μειδιῶ μειδιάσω· τὸ ἀλοιῶ ἀλοιάσω ὤφειλεν εἶναι διὰ τοῦ α ὡς παραληγόμενον τῷ ι, ἀλλ' ἐγένετο ἀλοιήσω, ὡς παρὰ τῷ ποιητῇ

ἄχρις ἀπηλοίησε,

(σημαίνει δὲ τὸ ἀλοιῶ τὸ κόπτω·) περὶ οὗ ἀπολογεῖται ὁ Φιλόπονος, λέγων ὅτι ἀλοιάσω ἦν, καὶ Ἰωνικῶς ἔτρεψεν τὸ α εἰς τὸ η καὶ γέγονεν ἀλοιήσω· πολλάκις γὰρ οἱ Ἴωνες ἔθος ἔχουσι τρέπειν τὸ α εἰς τὸ η, οἷον ἐμίανα ἐμίηνα, ἔφανα ἔφηνα καὶ ἀπέφηνα, ἐξ οὗ τὸ ἀπεφηνάμην, ἀναίδεια ἀναιδείη [Il. α΄. 149.]

[e] ὤ μοι ἀναιδείην ἐπιειμένε κερδαλεόφρον·

τὸ ἐλεῶ ἐλεήσω τῷ ε παραληγόμενον, καὶ διὰ τοῦ η γινόμενον κατὰ τὸν μέλλοντα, οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων, ἀλλὰ πρώτης, ἐλεήσω γὰρ ἐλεῶ ἐλεεῖς, καὶ ὁ Μένανδρος ἐδήλωσεν εἰπών,

ἐλεεῖται ὁ ποιμὴν καὶ καλεῖται [f] γλυκύτατος·

εἰ γὰρ ἦν τῆς δευτέρας, ἐλεᾶται εἶχεν εἶναι, ὥσπερ ὁρᾶται· εἰ

η αι
[e] ὁμοίως ἀναιδείη ἐπιείμενα Par. ἔμοι ἀνεδει ἐπιάμην Bar.
[f] ἡδύτατος Bar.

277 b γὰρ κατὰ Αἰολεῖς καὶ Ἴωνας ἐλεῶ ἐλεᾷς ἐστὶν, ὥσπερ βοῶ βοᾷς, ἀλλ' οὖν κατὰ κοινοὺς καὶ Ἀττικοὺς ἐλεῶ ἐλεεῖς λέγεται, ὥσπερ ποιῶ ποιεῖς. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ παραληγόμενα τῷ ο πέντε εἰσί· καὶ τὰ μὲν δύο τῷ η παραληγόμενα κατὰ τὸν μέλλοντα, οἷον βοῶ βοήσω, γοῶ γοήσω, τὰ δὲ β' τῷ α, ἀκροῶ ἀκροᾷς, ἀκροάσω, (ἐξ οὗ τὸ ἀκροῶμαι καὶ ἀκροάσομαι,) μακκοάω μακκοάσω, (μακκοῶ δέ ἐστι τὸ μωραίνω,) τὸ δὲ ἓν διφορεῖται, οἷον ἀλοῶ ἀλοᾷς ἀλοάσω καὶ ἀλοήσω. Τὰ δὲ παραληγόμενα τῷ υ ὀλίγα εἰσὶν, ἅπερ διὰ τοῦ η ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον ἐγγυῶ ἐγγυήσω, ἐξ οὗ καὶ τὸ ἐγγυῶμαι καὶ ἐγγυήσομαι, λυῶ λυήσω, (λυῶ δέ ἐστι τὸ στασιάζω,) δυῶ δυήσω, (σημαίνει δὲ τὸ δυστυχῶ,) τὸ δὲ ἰχθυῶ οὐκ ἔχει μέλλοντα ἐν χρήσει. Οὐκ ἔχομεν τινὰ ἔχοντα καθαρὰν τὸ ω, καὶ παραληγόμενα τῷ η ἢ τῷ α ἢ τῷ ω· καὶ τοῦτο εὐλόγως· τῷ μὲν γὰρ ω οὐ παραλήγονται, ἵνα μὴ εὑρεθῇ ἀλλεπάλληλον τὸ ω· τῷ δὲ α οὐ παραλήγεται, ἐπειδὴ ἡ ἐντέλεια τῆς δευτέρας συζυγίας τῶν περισπωμένων διὰ τοῦ α ἐστὶν, οἷον βοάω περάω· ἵνα οὖν μὴ δόξωσι κατὰ τὴν φωνὴν συνεμπίπτειν τῇ ἐντελείᾳ, τούτου χάριν οὐ παραλήγεται τῷ α· τῷ δὲ η οὐ παραλήγονται, ἵνα μὴ εὑρεθῇ ἀλλεπάλληλον τὸ η ἐν τῷ μέλλοντι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ Ἀπολλώνιος ἐν ἄλλοις διδάσκει ἡμᾶς ταύτην τὴν διαίρεσιν, ὅτι εἰσί τινα μὲν φωνήεντα χαίροντα τῷ η, τινὰ δὲ τῷ α, τινὰ δὲ τῷ η καὶ τῷ α, οἷον τὸ μὲν α χαίρει καὶ τῷ η, ὡς ἐπὶ τοῦ Δανάη, χαίρει δὲ καὶ τῷ α, ὡς ἐπὶ τοῦ πράα· τὸ δὲ ε τῷ α χαίρει, οἷον θέα, θέα ἡ θεωρία, τὸ δὲ ι τῷ α χαίρει, οἷον ἀνανία, μανία, μονία, τὸ δὲ ο καὶ τῷ η χαίρει καὶ τῷ α, πνοὴ, ἀκοὴ, ὀγδόη, ἀθρόα, στοὰ, τὸ δὲ υ τῷ η χαίρει, οἷον Λιβύη, ἐγγύη· τὸ δὲ ω τῷ η χαίρει οἷον ζωὴ, ἰωὴ, (σημαίνει δὲ τὴν ἐκπεμπομένην φωνήν·) διὰ τοῦτο οὖν τὰ μὲν παραληγόμενα ἢ τῷ ε ἢ τῷ ι διὰ τοῦ α ἐκφέρονται κατὰ τὸν μέλλοντα, τουτέστιν οἷον ἀνιῶ ἀνιάσω, ἐῶ ἐάσω· τὰ δὲ παραληγόμενα τῷ ο διφοροῦνται κατὰ τὸν μέλλοντα, τουτέστι καὶ διὰ τοῦ η καὶ διὰ τοῦ α ἐκφέρονται,

οἷον βοῶ βοήσω, ἀκροῶ ἀκροάσω, ἐξ οὗ τὸ ἀκροῶμαι, τὰ δὲ παραληγόμενα τῷ Υ διὰ τοῦ Η, οἷον ἐγγυῶ ἐγγυήσω, ἐξ οὗ τὸ ἐγγυῶμαι ἐγγυήσομαι. Ταῦτα μὲν περὶ τῶν ἐχόντων καθαρὸν τὸ Ω.

Περὶ δὲ τῶν συμφώνων ἐστὶν εἰπεῖν ταῦτα· τὰ ἔχοντα τὸ Ρ ὑπὲρ μίαν συλλαβὴν [μὴ] προηγουμένου συμφώνου, διὰ τοῦ Α ἐκφερόμενον ἔχουσι τὸν μέλλοντα, οἷον [ξυρῶ ξυρεῖς, φυρῶ φυράσω, γηρῶ γηράσω] πέρω περάσω, καταρῶ καταράσω, ἐξ οὗ τὸ καταρῶμαι καὶ καταράσομαι, χωρὶς τοῦ ξυρῶ ξυρίσω· τοῦτο δὲ ὁ μὲν Φιλόπονος πρώτης συζυγίας φησὶν, οἷον ξυρῶ ξυρεῖς· ὁ δὲ Ἡρωδιανὸς δευτέρας, οἷον ξυρῶ ξυρᾷς. Τὰ [μὲν ἔχοντα τὸ Λ κανονίζει ὁ Φιλόπονος οὕτως· τὰ] ἔχοντα τὸ Λ ὑπὲρ μίαν μὴ προηγουμένου συμφώνου διὰ τοῦ Α ἔχουσι τὸν μέλλοντα ἐκφερόμενον, οἷον ἐλῶ ἐλάσω, γελῶ γελάσω, χαλῶ χαλάσω, ἱλῶ ἱλάσω, (σημαίνει δὲ τὸ εὐμενῆ ποιήσω, ὡς παρὰ τῷ ποιητῇ, [Il. α'. 100.]

[g]ἱλασσάμενοι πεπίθοιμεν)

καὶ σημειοῦται τὸ τιλῶ τιλήσω, (σημαίνει δὲ τὸ ἀποπατῶ, ὅπερ ἐν τῇ συνηθείᾳ τζίλω λέγουσιν·) ἔχομεν δὲ τοῦ τίλω
278 a τὴν χρῆσιν παρ' Ἱππώνακτι, οἷον

ὤμιξεν αἷμα, καὶ χολὴν ἐτίλησε·

τοῦτο δὲ τὸ ὤμιξε σημαίνει τὸ οὔρησε. Σημειοῦται δὲ καὶ τὸ χολῶ χολᾷς χολήσω, [h]ὅπερ φησὶν ἀναλογώτερον εἶναι παρὰ τοῖς ἰδιώταις λεγόμενον χολάσω· οὐδαμοῦ δὲ, ὥς φησιν, εὑρίσκονται ἐν χρήσει. [i]Ταῦτα μὲν ὁ Φιλόπονος.

Ἀντίκειται δὲ τῷ κανόνι τούτῳ πλεῖστα· ἰδοὺ γὰρ κραιπαλῶ κραιπαλᾷς κραιπαλήσω διὰ τοῦ Η, καὶ συλῶ συλᾷς συλήσω, καὶ μελαγχολῶ μελαγχολᾷς μελαγχολήσω, ἀσχολῶ ἀσχολᾷς ἀσχολήσω, (σημαίνει δὲ τὸ ἀδημονῶ,) καὶ ἐμπολῶ ἐμπολᾷς ἐμπολήσω, (σημαίνει δὲ τὸ πραγματεύομαι,) παμφαλῶ παμφαλᾷς παμφολήσω, (σημαίνει δὲ τὸ ψεύδομαι,) καὶ μυστιλῶ μυστιλᾷς μυστιλήσω, (σημαίνει δὲ τὸ ἐκροφῶ

[g] ἱλασάμενοι πεποίθαμεν Bar. ἱλάμενοι πεπείθειμεν Par. [h] ἅπερ κατὰ διάλεκτον Par. marg. ὥσπερ Bar. qui add. ἀναλογώτερον. [i] ὁ δὲ Φιλόπονος Bar.

τὸν ζωμὸν τοῖς ψωμίοις· μυστίλη γάρ ἐστιν εἶδος [k]κοίλου ἄρτου εἰς ὃν ἐρρόφουν ζωμοῦ οἱ Ἀθηναῖοι ἐν ταῖς ἑορταῖς.) Ἐστὶ δὲ κανονίσαι ταῦτα τοῦτον τὸν τρόπον· τὰ ἔχοντα τὸ Λ ὑπὲρ μίαν συλλαβὴν, παραλήγοντος τοῦ Ε, διὰ τοῦ Α ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον γελῶ γελάσω, ἐλῶ ἐλάσω· τὰ δὲ λοιπὰ τὰ ἔχοντα τὸ Λ ἢ μόνον ἢ μετὰ συμφώνου, εἴτε κατὰ σύλληψιν εἴτε κατὰ διάστασιν, διὰ τοῦ Η ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον συλῶ συλᾷς συλήσω, κραιπαλῶ κραιπαλᾷς κραιπαλήσω, χολῶ χολᾷς χολήσω, μελαγχολῶ μελαγχολᾷς μελαγχολήσω, ἀσχολῶ ἀσχολᾷς ἀσχολήσω, μυστιλῶ μυστιλᾷς μυστιλήσω, παμφαλῶ παμφαλᾷς παμφαλήσω, ἐμπολῶ ἐμπολᾷς ἐμπολήσω, ὁμοκλῶ ὁμοκλᾷς ὁμοκλήσω, κολλῶ κολλᾷς κολλήσω, μεταλλῶ μεταλλᾷς μεταλλήσω, (σημαίνει δὲ τὸ ἐπιζητῶ.) Σημειούμεθα τὸ χολῶ χολᾷς χολάσω, καὶ τὸ ἱλῶ ἱλᾷς ἱλάσω, ὡς παρὰ τῷ ποιητῇ

ἱλασάμενοι [l]πεπίθοιμεν,

ὅτι διὰ τοῦ Α ἐξηνέχθησαν κατὰ τὸν μέλλοντα, μὴ παραληγόμενα τῷ Ε. Τὰ δὲ ἔχοντα τὸ Ρ ὑπὲρ μίαν συλλαβὴν μετὰ ἑτέρου συμφώνου, ἔτι δὲ καὶ τὰ ἔχοντα τὸ Λ μετὰ ἑτέρου συμφώνου, διὰ τοῦ Η ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον ὁμοκλῶ ὁμοκλήσω, ποδαλγῶ ποδαλγήσω, χειραγρῶ χειραγρήσω. Τὰ δὲ μονοσύλλαβα τὰ ἔχοντα τὸ Ρ ἢ τὸ Λ, εἰ μὲν [[m]οὐ ποιοῦσι παράγωγα εἰς ΜΙ, διὰ τοῦ Α ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον κλῶ κλάσω, θλῶ θλάσω, φλῶ φλάσω, σημαίνει δὲ καὶ αὐτὸ τὸ κλάσω, ὡς παρ' Ἀριστοφάνει φλᾷ τ' (sic) δρῶ δράσω· εἰ δὲ] ποιοῦσι παράγωγα εἰς ΜΙ, διὰ τοῦ Η ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον χρῶ κίχρημι χρήσω, πρῶ πίμπρημι πρήσω, πλῶ πίμπλημι πλήσω, τλῶ τλῆμι τλήσω, (σημαίνει δὲ τὸ ὑπομένω.) Τὰ δὲ ἔχοντα ἄλλο σύμφωνον χωρὶς τοῦ Λ καὶ τοῦ Ρ διὰ τοῦ Η ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον σμῶ σμᾷς σμήσω, [n]κνῶ κνᾷς κνήσω, ἐξ οὗ τὸ κνῶμαι καὶ . . . . . ζήσω, νικῶ νικᾷς νικήσω, κυβερνῶ κυβερνᾷς κυβερνήσω, τιμῶ τιμᾷς τιμήσω, ἡβῶ ἡβᾷς

[k] κοιλίας Bar. [l] πεποίθαμεν Bar. πεπείθειμεν Par. [m] [ ] om. Bar. [n] κλῶ κλᾶς κλήσω Bar. ubi om. ἐξ οὗ νικήσω.

ἡβήσω, τρυφῶ τρυφᾷς τρυφήσω, ῥοφῶ ῥοφᾷς ῥοφήσω, ἀκονῶ ἀκονᾷς ἀκονήσω, τρυγῶ τρυγᾷς τρυγήσω, διψῶ διψᾷς διψήσω, πεινῶ πεινᾷς πεινήσω· (τὸ γὰρ πεινάσω καὶ διψάσω Δωρικῶς ἔτρεψαν τὸ η εἰς α μακρὸν,) σιγῶ σιγᾷς σιγήσω, σιωπῶ σιωπᾷς σιωπήσω, τὸ σπῶ σπήσω καὶ σπάσω πρὸς διάφορον σημαινόμενον διάφορον ἔχουσι τὴν παραλήγουσαν·
278 b ἐπὶ μὲν τοῦ ἀκολουθῶ σπῶ σπᾷς σπήσω, ἐπὶ δὲ τοῦ ἀνασπῶ, σπῶ σπᾷς σπάσω καὶ ἀνασπάσω. Ταῦτα ἔχομεν εἰπεῖν καὶ περὶ τῆς παραληγούσης τῆς β' συζυγίας τῶν περισπωμένων κατὰ τὸν μέλλοντα.

Περὶ δὲ τῆς παραληγούσης τοῦ μέλλοντος τῆς τρίτης συζυγίας τῶν περισπωμένων ἐστὶν εἰπεῖν ταῦτα· ὅτι ἡ τρίτη συζυγία τῶν περισπωμένων κατὰ τὸν μέλλοντα ἢ τῷ ω παραλήγεται, οἷον χρυσῶ χρυσώσω, [[p]ἢ τῷ ο, οἷον ὀμῶ ὀμόσω. Καὶ ἔστιν εἰπεῖν, διὰ τί; ἢ ὅτι ὅσα μὲν ἔχουσιν ὀνόματα παρακείμενα διὰ τοῦ ω ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον χρυσὸς χρυσῶ χρυσώσω,] ἄργυρος ἀργυρῶ ἀργυρώσω, γύψος γυψῶ γυψώσω, χεὶρ χειρῶ χειρώσω, (ἐξ οὗ τὸ χειροῦμαι καὶ χειρώσομαι,) πῦρ πυρὸς πυρῶ πυρώσω, στέφανος στεφανῶ στεφανώσω, ὀρθὸς ὀρθῶ ὀρθώσω, στρεβλὸς στρεβλῶ στρεβλώσω, κακὸς κακῶ κακώσω, ταπεινὸς ταπεινῶ ταπεινώσω· ὅσα δ' [οὐκ] ἔχουσιν ὄνομα προϋποκείμενον, διὰ τοῦ ο ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον ὀμῶ ὀμόσω, ὀνῶ ὀνόσω, (σημαίνει δὲ τὸ μέμφομαι.)

Καὶ ἰστέον ὅτι πάντα τῆς τρίτης συζυγίας τῶν περισπωμένων διὰ τοῦ ω ἐκφέρονται κατὰ τὸν μέλλοντα, χωρὶς τούτων τῶν τριῶν, ἅτινα οὐδὲ ἔχουσιν ὄνομα προϋποκείμενον, φημὶ δὲ τὸ ὀμῶ ὀμόσω, ὀνῶ ὀνόσω, καὶ ἀρῶ ἀρόσω, (σημαίνει δὲ τὸ ἀροτριῶ,) τοῦτο δὲ διφορεῖται· τινὲς μὲν γὰρ [διὰ τοῦ ο γράφουσιν αὐτὸ, ὡς δοξάζοντες μὴ ἔχειν αὐτὸ ὄνομα προϋποκείμενον, τινὲς δὲ] διὰ τοῦ ω γράφουσιν αὐτὸ, λέγοντες ὅτι ἔχει ὄνομα προϋποκείμενον τὸ ἄρης, ἄρης γάρ ἐστιν ὁ σίδηρος. Ἰστέον δὲ ὅτι τὸ ὀμῶ ὀμόσω, ὀνῶ ὀνόσω,

[p] [ ] om. Bar.

καὶ ἀρῶ ἀρόσω διὰ τοῦ ο γραφόμενα τὰ τῆς ἀναλογίας ἐπλήρωσαν· ὥσπερ γὰρ ἡ πρώτη καὶ ἡ δευτέρα συζυγία τῶν περισπωμένων κατὰ τὸν μέλλοντα ποτὲ μὲν διὰ μακροῦ φωνήεντος ἐκφέρεται, ποτὲ δὲ διὰ βραχέος, οἷον βοήσω, τελέσω, ποιήσω, γελάσω, οὕτως ἔδει καὶ τὴν τρίτην συζυγίαν τὴν παραλήγουσαν κατὰ τὸν μέλλοντα ποτὲ μὲν διὰ μακροῦ φωνήεντος ἐκφέρεσθαι, ποτὲ δὲ διὰ βραχέος, οἷον χρυσώσω, ὀμόσω. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δὲ ἐστὶ ζητῆσαι διὰ ποίαν αἰτίαν ἡ μὲν πρώτη συζυγία τῶν περισπωμένων ἢ τῷ η παραλήγεται ἢ τῷ ε κατὰ τὸν μέλλοντα, οἷον ποιήσω, τελέσω, ἡ δὲ δευτέρα παραλήγεται ἢ τῷ α ἢ τῷ η, οἷον βοῶ βοήσω, ἐῶ ἐάσω, ἡ δὲ τρίτη ἢ τῷ η ἢ τῷ ο, οἷον χρυσώσω, ὀμόσω; Καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· αἱ συζυγίαι τῶν περισπωμένων ὅσον κατὰ τὴν ἐντέλειαν ἕκτης συζυγίας τῶν βαρυτόνων εἰσὶ, τὸ γὰρ ποιῶ ἀπὸ τοῦ ποιέω ἐστὶ, καὶ τὸ βοῶ ἀπὸ τοῦ βοάω γέγονε, καὶ τὸ (χρυσῶ ἀπὸ τοῦ) χρυσόω· τὸ δὲ ποιέω καὶ βοάω καὶ χρυσόω ἕκτης συζυγίας τῶν βαρυτόνων εἰσίν· ἐπειδὴ οὖν ἡ ἕκτη συζυγία τῶν βαρυτόνων πῇ μὲν φυλάττει τὸ φωνῆεν τοῦ ἐνεστῶτος ἐν τῷ μέλλοντι, οἷον ξέω ξέσω, σβέω σβέσω, τρέω τρέσω, πῇ δὲ μεγεθύνει αὐτὸ, οἷον χέω χεύσω, ῥέω ῥεύσω, πνέω πνεύσω, τούτου χάριν καὶ αἱ συζυγίαι τῶν περισπωμένων πῇ μὲν φυλάττουσι τὸ φωνῆεν τῆς ἐντελείας ἐν τῷ μέλλοντι, πῇ δὲ μεγεθύνουσιν αὐτό· καὶ λοιπὸν εὐλόγως ἡ μὲν πρώτη συζυγία τῶν περισπωμένων ἢ τῷ η παραλήγεται ἢ τῷ ε κατὰ τὸν μέλλοντα, τῷ ε μὲν, ἐπειδὴ ἡ ἐντέλεια τῆς πρώτης συζυγίας τῶν περισπωμένων τὸ ε ἔχουσιν, οἷον ποιέω, τῷ η δὲ, ἐπειδὴ τὸ ε μεγεθυνόμενον ἐν τοῖς ῥήμασιν εἰς τὸ η τρέπεται, οἷον ἐλαύνω ἤλαυνον, ἑρμηνεύω ἡρμήνευον,
279 a ἐλέγχω ἤλεγχον. Τὰ γὰρ προσλαμβάνοντα τὸ ι ὀλίγα εἰσὶν, ἃ καὶ ἐσημειωσάμεθα. Ἡ δὲ δευτέρα ἢ τῷ η παραλήγεται, ἢ τῷ α· τῷ α μὲν, ἐπειδὴ ἡ ἐντέλεια τῆς δευτέρας συζυγίας τῶν περισπωμένων τὸ α ἔχει, οἷον βοάω, γελάω, τὸ η δὲ, ἐπειδὴ τὸ α μεγεθυνόμενον ἐν τοῖς ῥήμασιν εἰς τὸ η τρέπεται, οἷον ἄγω ἦγον, ἀκούω ἤκουον. Ἡ δὲ τρίτη τῷ ω

παραλήγεται, ἢ τῷ ο, τὸ ο μὲν, ἐπειδὴ ἡ ἐντέλεια τῆς τρίτης συζυγίας τῶν περισπωμένων τὸ ο ἔχει, οἷον χρυσόω· τὸ ω δὲ, ἐπειδὴ τὸ ο μεγεθυνόμενον ἐν τοῖς ῥήμασιν εἰς τὸ ω τρέπεται, οἷον ὀμνύω ὤμνυον, ὁπλίζω ὥπλιζον, ὀρθῶ ὤρθουν.

"Τύψεις τύψει. Δυϊκά· τύψετον τύψετον. Πληθυντικά· Τύψομεν τύψετε τύψουσιν. Εἴρηται. Μέλλοντος δευτέρου. Ἑνικά· τυπῶ. Πᾶς δεύτερος ἀόριστος τὴν ΟΝ εἰς Ω μεταβαλὼν, καὶ τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκτασιν ἀποβαλὼν, δεύτερον μέλλοντα ποιεῖ."

Ἐνταῦθα περὶ τοῦ δευτέρου μέλλοντος διαλαμβάνει· καὶ ἰστέον ὅτι ὁ δεύτερος μέλλων τῷ μὲν σημαινομένῳ ὁ αὐτὸς ἐστὶ τῷ πρώτῳ μέλλοντι, φωνῇ δὲ μόνῃ διενήνοχε· τὸ γὰρ τύψω καὶ τυπῶ τὸ αὐτὸ μὲν σημαίνει, μόνῃ δὲ τῇ φωνῇ διαφέρει, καθάπερ καὶ ὁ δεύτερος ἀόριστος φωνῇ μόνῃ διαφέρει τοῦ ἀορίστου πρώτου, ὡς ἐν τῇ περὶ τούτου διδασκαλίᾳ μεμαθήκαμεν· κανονίζεται δὲ ὁ δεύτερος μέλλων ἀπὸ τοῦ δευτέρου ἀορίστου [q τοῦτον τὸν τρόπον· πᾶς δεύτερος ἀόριστος] τὴν ΟΝ εἰς Ω μεταβαλὼν [r μετὰ περισπωμένου καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλὼν . . . . . . ποιεῖ] τὸ δεύτερον καὶ τρίτον πρόσωπον ἔχοντα διὰ τῆς ΕΙ διφθόγγου ἐκφερόμενον, οἷον ἔτυπον τυπῶ τυπεῖς τυπεῖ, ἔκτανον κτανῶ κτανεῖς κτανεῖ, ἔσπαρον σπαρῶ σπαρεῖς σπαρεῖ, ἔφθαρον φθαρῶ φθαρεῖς φθαρεῖ [ἔκαρον καρῶ καρεῖς καρεῖ.] Ἰστέον δὲ ὅτι ὥσπερ ἡ πρώτη συζυγία τῶν περισπωμένων s κλίνεται, οὕτως κλίνεται καὶ ὁ δεύτερος μέλλων· ὥσπερ γὰρ ποιῶ ποιεῖς ποιεῖ ποιεῖτον ποιεῖτον ποιοῦμεν ποιεῖτε ποιοῦσιν, οὕτως καὶ τυπῶ τυπεῖς τυπεῖ τυπεῖτον τυπεῖτον τυποῦμεν τυπεῖτε τυποῦσι. Οὐ μόνον δὲ ὁ δεύτερος μέλλων ὁμοίως τῇ πρώτῃ συζυγίᾳ τῶν περισπωμένων κλίνεται, ἀλλὰ καὶ πᾶς μέλλων περισπώμενος, εἴτε πρῶτος εὑρεθῇ εἴτε δεύτερος, οἷον εὐφρανῶ εὐφρανεῖς εὐφρανεῖ εὐφρανεῖτον εὐφρανεῖτον εὐφρανοῦμεν εὐφρανεῖτε εὐφρανοῦσι. Δεῖ δὲ γινώσκειν, ὅτι ἡ μὲν πρώτη συζυγία τῶν περισπω-

q [ ] om. Bar. r πάντως μέλλοντα β' ποιεῖ habet Bar.
s κλίνεται] γίνεται Bar. qui mox om. κλίνεται.

μένων ἐκ συναιρέσεώς ἐστιν· τὸ γὰρ ποιῶ ἀπὸ τοῦ ποιέω γέγονεν· ὁ δὲ περισπώμενος μέλλων οὐκ ἔστιν ἐκ συναιρέσεως, τὸ γὰρ εὐφρανῶ καὶ τυπῶ οὐκ ἐκ συναιρέσεως εἰσὶν, οὐδὲ γὰρ ἔχουσιν ἐντέλειαν ἵνα ταῦτα εἴπωμεν συνῃρημένα· τὸ γὰρ ἰδέειν ἀπαρέμφατον δευτέρου ἀορίστου καὶ μέλλοντος, οἷον

δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,

οὐκ ἔστιν ἐντελὲς τοῦ ἰδεῖν, ἀλλὰ τοὐναντίον ἀπὸ τοῦ ἰδεῖν γέγονε κατὰ διάλυσιν, ὥσπερ καὶ ἀπὸ τοῦ εὐφρανεῖν τὸ εὐφρανέειν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι αἱ μετοχαὶ τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος ὁμοφωνοῦσιν ἀλλήλαις· καὶ γὰρ τοῦ δευτέρου ἀορίστου ἡ μετοχὴ τυπών ἐστι, [t]καὶ τοῦ δευτέρου μέλλοντος ἡ μετοχὴ ὁμοίως τυπῶν ἐστιν, ἀλλ' ἔχουσι διαφορὰν ὁμοίως κατὰ τὸν τόνον καὶ τὴν κλίσιν· καὶ κατὰ μὲν τὸν τόνον, ὅτι ἡ μετοχὴ τοῦ δευτέρου ἀορίστου ὀξύνεται, καὶ γὰρ τυπών ἐστιν ὀξυτόνως· ἡ δὲ τοῦ δευτέρου μέλλοντος τυπῶν ἐστι καὶ περισπᾶται· κατὰ τὴν κλίσιν δὲ διαφέρουσι, ὅτι ἡ τοῦ μὲν δευτέρου ἀορίστου μετοχὴ διὰ τοῦ ο κλίνεται, οἷον τυπὼν τυπόντος· ἡ δὲ τοῦ δευτέρου μέλλοντος μετοχὴ διὰ τῆς ου διφθόγγου κλίνεται, οἷον τυπῶν τυποῦντος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι λέγει ὁ Ἡρωδιανὸς, ὡς οὐδέποτε εὑρίσκεται δεύτερος μέλλων ἐνεργητικὸς ὁριστικὸς ἐν χρήσει· ἃς γὰρ, φησὶ, παρέθετο χρήσεις ὁ Ἀπολλώνιος, ἢ πεπλασμέναι αὐτῷ εἰσιν, ὡς τὸ φυγῶν, δραμῶν, τυπῶν [[u]οὐδέτεροι γὰρ μέλλοντες·] οὐδεὶς γὰρ τῶν παλαιῶν, φησὶ, τούτοις ἐχρήσατο, ἢ ἐνεστῶτες εἰσὶν ἀντὶ μελλόντων, ὡς τὸ

κούρην δὲ οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο,

καὶ ὡς τὸ [Il. ψ'. 20.]

πάντα γὰρ ἤδη τοι τελέω·

[t] καὶ τοῦ β' μέλλοντος ἡ μετοχὴ ὁμοφωνοῦσιν ἀλλήλαις, τυπὼν γάρ· ἀλλ' Bar. [u] [ ] om. Bar.

ἐνταῦθα γὰρ οἱ ἐνεστῶτες εἰσὶν ἀντὶ μελλόντων, ἀντὶ γὰρ τοῦ γαμήσω καὶ τελέσω, ὥσπερ καὶ ἐν τῷ

ἐγὼ δέ κ᾽ ἄγω Βρισηΐδα καλλιπάρειον,

[v]ἐνεστῶτος δὲ ἀντὶ μέλλοντος τοῦ ἄξω· ἄλλως τε δὲ οὐδέποτε ὁ μέλλων ὁ ὁριστικὸς διαλύεται, πῶς οὖν τοῦ γαμέω καὶ τελέω, εἴ γε μέλλοντος ὑπῆρχον, ἐν διαλύσει παραλαμβάνονται· ἆρα [οὖν] [x]ἐντέλειαί εἰσιν ἐνεστῶτος τοῦ γαμῶ καὶ τελῶ. Πρόσκειται "ὁριστικὸν," ἐπειδὴ τὸ εὐφρανεῖν ἀπαρέμφατον γίνεται κατὰ διάλυσιν,

εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν·

σημειοῦται δὲ τὸ ἐκχέω δευτέρου μέλλοντος, οἷον καὶ τὸ κατακλιεῖ παρ᾽ Εὐπόλιδι ἐν Χρυσῷ Γένει, οἷον

εἰ μή τις αὐτὴν κατακλιεῖ.

Γέγονε δὲ τὸ κατακλιεῖ τοῦτον τὸν τρόπον· ἔστι κλείω, τούτου ὁ δεύτερος ἀόριστος ἔκλιον διὰ τοῦ ι, τῆς παραληγούσης συσταλείσης, ὥσπερ λείπω ἔλιπον, πείθω ἔπιθον, καὶ λοιπὸν ἐκεῖθεν κατακλιῶ ὁ δεύτερος μέλλων, κατακλιῶ κατακλιεῖς κατακλιεῖ τὸ τρίτον πρόσωπον. Τούτων οὕτως ἐχόντων, [ἰστέον ὅτι κρεμῶ καὶ ἀγορῶ τινὲς λέγουσι δευτέρου μέλλοντος εἶναι·] ἔστι [δὲ] εἰπεῖν, ὅτι ταῦτα οὐ δύνανται οὔτε δευτέρου μέλλοντος εἶναι, οὔτε πρώτου· καὶ δευτέρου μέλλοντος οὐ δύνανται εἶναι, ἐπειδὴ ὁ δεύτερος μέλλων τὸ β΄ καὶ γ΄ πρόσωπον διὰ τῆς ει διφθόγγου ἔχει ἐκφερόμενον, οἷον, τυπῶ τυπεῖς τυπεῖ, νυγῶ νυγεῖς νυγεῖ· ταῦτα δὲ διὰ τῆς αι διφθόγγου ἔχουσι τὸ τρίτον πρόσωπον ἐκφερόμενον, οἷον, κρεμῶ κρεμᾷς κρεμᾷ, ἀγορῶ ἀγορᾷς ἀγορᾷ· πρώτου δὲ μέλλοντος οὐ δύνανται εἶναι, ἐπειδὴ πρῶτον μὲν, ὁ πρῶτος μέλλων τὸ β΄ καὶ γ΄ πρόσωπον ἔχει διὰ τῆς ει διφθόγγου ἐκφερόμενον, οἷον τύψω τύψεις τύψει, εὐφρανῶ εὐφρανεῖς εὐφρανεῖ· ταῦτα δὲ, ὡς εἴρηται, ἔχουσι τὸ δεύτερον καὶ τρίτον πρόσωπον διὰ τῆς αι διφθόγγου ἐκφερόμενον· δεύτερον δὲ, [y]πρώτου μέλλοντος, ἐπειδὴ οὐδέποτε ἐλάττονας συλλαβὰς ἔχει ὁ μέλλων τοῦ

[v] τὸν ἐνεστῶτα Bar.

[x] ἐντελῆ εἰσὶν ἐνεστῶτες] ἐντε^λ τοῦ ἐνεστῶτος Bar.

[y] πρὸ ȣ^τ Bar.

ἰδίου ἐνεστῶτος, ἀλλ' ἰσοσυλλαβεῖ αὐτῷ, οἷον τύπτω τύψω, λέγω λέξω, ἢ περιττοσυλλαβεῖ, οἷον ποιῶ ποιήσω, νοῶ νοήσω· ἂν οὖν τὸ ἀγορῶ καὶ κρεμῶ δῶμεν μέλλοντας εἶναι, εὑρίσκομεν ἐλάττονας συλλαβὰς ἔχοντα τοῦ ἐνεστῶτος, (ὁ γὰρ ἐνεστὼς ἀγοράζω καὶ κρεμάζω ἐστὶν,) ὅπερ ἀδύνατον· ἀλλὰ λέγομεν ὅτι ἐστιν ἀγοράζω καὶ κρεμάζω· τούτων ὁ μέλλων κρεμάσω καὶ ἀγοράσω, καὶ κατὰ ἀποβολὴν τοῦ Σ *κρεμάω καὶ ἀγοράω, καὶ κατὰ κρᾶσιν τῶν φωνηέντων, τουτέστι τοῦ* Α *καὶ* Ω *γίνεται κρεμῶ καὶ ἀγορῶ, ὥσπερ βοάω βοῶ, περάω περῶ, καὶ ἐπειδὴ οὐκ ἔχουσι τί ποτε μὴ ἁρμόζον*
280 a *τῷ μέλλοντι, τουτέστι κατ' ἔνδειαν συλλαβῆς, τοῦτο δὲ οὐχ ἁρμόζει τῷ μέλλοντι, ὁ γὰρ μέλλων, ὡς εἴρηται, οὐ θέλει ἔχειν ἐλάττονας συλλαβὰς τοῦ ἰδίου ἐνεστῶτος, οἷον τύπτω τύψω, ποιῶ ποιήσω· τούτου χάριν* [z]*μετῆλθεν εἰς ἐνεστῶτα· οὕτως γὰρ καὶ ἐν τῷ ἀρέσκω καὶ μεθύσκω γέγονεν, ὁ γὰρ ἀρῶ ἀρέσω, καὶ μεθύω μεθύσω, καὶ προσελθόντος τοῦ* Κ *κατὰ τὸν μέλλοντα ἀνέδραμον ταῦτα εἰς ἐνεστῶτα, ἐπειδὴ ἐδέξαντο τί ποτε μὴ ἁρμόζον τῷ μέλλοντι, φημὶ δὴ τὸ* Κ, *τὸ γὰρ* Κ *οὐκ ἔστι χαρακτηριστικὸν βαρυτόνου μέλλοντος. Πρόσκειται "βαρυτόνου μέλλοντος" διὰ τὸ ἔπλακον, πλακῶν, δεύτερον μέλλοντα.*

"Τυπεῖς τυπεῖ. *Δυϊκά· τυπεῖτον τυπεῖτον. Πληθυντικά· τυποῦμεν τυπεῖτε τυποῦσιν.*"

Εἴρηται *ὅτι πᾶς μέλλων περισπώμενος εἴτε πρῶτος, εἴτε δεύτερος, ὁμοίως τῇ πρώτῃ συζυγίᾳ τῶν περισπωμένων* [a]*κλίνεται.* Ταῦτα *μὲν ἐν τούτοις, ἐν οἷς σὺν θεῷ πεπλήρωται τὰ ἐνεργητικὰ τῆς ὁριστικῆς ἐγκλίσεως.*

Περὶ παθητικῶν.

"Ὁριστικὰ *παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.* Ἑνικά· *τύπτομαι.* Πᾶς *ἐνεστὼς ὁριστικὸς εἰς* Ω *λήγων ἀμοιβῇ τοῦ* Ω *εἰς* Ο *καὶ προσθήκῃ τῆς* ΜΑΙ *τὸ παθητικὸν ποιεῖ, λέγω λέγομαι.*"

[z] *εἰσῆλθεν* Bar. [a] *γίνεται* Bar. qui infra *πεπλήρωται τὰ ὁριστικὰ ἐνεργητικά.*

Κανονίσας ὁ τεχνικὸς τὰ ἐνεργητικὰ τῆς ὁριστικῆς ἐγκλίσεως μετέρχεται νῦν καὶ κανονίζει τὰ παθητικά· διαλαμβάνει δὲ καὶ περὶ τῶν λοιπῶν χρόνων τῆς μέσης διαθέσεως, ἀορίστου φημὶ καὶ μέλλοντος· περὶ γὰρ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ τῆς μέσης διαθέσεως ἐν τοῖς ἐνεργητικοῖς διέλαβε· καὶ περὶ τοῦ ἐνεστῶτος δὲ καὶ παρατατικοῦ τῆς μέσης διαθέσεως ἤδη εἰρήκαμεν, ὅτι οἱ αὐτοί εἰσι καὶ τοῖς ἐνεστῶσι καὶ τοῖς παρατατικοῖς τῆς παθητικῆς διαθέσεως, ἀλλ' ἐκ τῆς συντάξεως διακρίνονται· τὸ γὰρ κολάζομαι καὶ βιάζομαι πρὸς τὴν σύνταξιν ἔχουσι καὶ τὴν διάθεσιν· εἰ μὲν γὰρ εἴπομεν κολάζομαι ὑπὸ σοῦ, καὶ βιάζομαι ὑπὸ σοῦ, παθητικά εἰσιν· εἰ δὲ κολάζομαί σε καὶ βιάζομαί σε, μέσα. Ταῦτα μὲν ἐν τούτοις.

Κανονίζει δὲ ὁ τεχνικὸς τὸν ἐνεστῶτα τῆς παθητικῆς διαθέσεως οὕτως· Πᾶς ἐνεστὼς ὁριστικὸς εἰς ω λήγων τροπῇ τοῦ ω εἰς ο καὶ προσθήκῃ τῆς ΜΑΙ παθητικὸς γίνεται, [οἷον τύπτω τύπτομαι, γράφω γράφομαι, λέγω λέγομαι, βιάζω βιάζομαί σε καὶ κολάζομαί σε·] τὰ δὲ περισπώμενα ἀπὸ τῶν ἐντελεστέρων συναιρούμενα πρὸς τὴν συναίρεσιν ποιοῦνται τὴν παραλήγουσαν, οἷον ποιέω ποιέομαι, καὶ κατὰ κρᾶσιν τοῦ ΕΟ εἰς τὸν ΟΥ δίφθογγον ποιοῦμαι, ὥσπερ χάλκεος χαλκοῦς· καὶ πάλιν βοάω βοάομαι, καὶ κατὰ κρᾶσιν τοῦ ΑΟ εἰς τὸ ω μέγα βοῶμαι, ὥσπερ ἐλούσαο ἐλούσω· καὶ πάλιν χρυσόω χρυσόομαι καὶ κατὰ κρᾶσιν τῶν δύο ΟΟ εἰς τὸν ΟΥ δίφθογγον χρυσοῦμαι, ὥσπερ νόος νοῦς. Πρόσκειται ἐν τῷ κανόνι τὸ "ὁριστικὸς," οἷον πᾶς ἐνεστὼς ὁριστικὸς, διὰ τοὺς ὑποτακτικοὺς ἐνεστῶτας· οἱ γὰρ ὑποτακτικοὶ ἐνεργητικοὶ ἐνεστῶτες οὐ τρέπουσι τὸ ω εἰς ο ἐν τοῖς παθητικοῖς ἐνεστῶσιν, ἀλλὰ φυλάττουσιν αὐτὸ, οἷον ὁ ἐνεργητικὸς ἐνεστὼς, ὁ
280 b ὑποτακτικὸς ἐὰν τύπτω, καὶ ὁ παθητικὸς, ἐὰν τύπτωμαι, διὰ τοῦ ω μεγάλου. Ταῦτα μὲν ἐν τούτοις.

Ἔστι δὲ καθολικῶς οὕτως κανονίσαι καὶ εἰπεῖν, ὅτι πᾶς ἐνεστὼς ὁριστικὸς καὶ πᾶς μέλλων ὁριστικὸς εἰς ω λήγων προσθήκῃ τῆς ΜΑΙ ἢ παθητικὸν ἢ μέσον ποιοῦσι, καὶ ὁ μὲν ἐνεστὼς προσλαμβάνων τὴν ΜΑΙ συλλαβὴν παθητικὸν καὶ

μέσον ποιεῖ, οἷον τύπτω, τύπτομαι ὑπ' αὐτοῦ, καὶ τύπτομαι αὐτὸν, καὶ πάλιν βιάζω, βιάζομαι ὑπ' αὐτοῦ, καὶ βιάζομαι αὐτόν. Ὁ δὲ μέλλων προσθήκῃ τῆς ΜΑΙ μέσον ποιεῖ μέλλοντα, οἷον τύψω τύψομαι. Ὁ δὲ δεύτερος ἐνεργητικὸς μέλλων δεύτερον μέσον μέλλοντα ποιεῖ, οἷον τυπῶ τυποῦμαι, νυγῶ νυγοῦμαι, καρῶ καροῦμαι, σταλῶ σταλοῦμαι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δ' ὅτι προσερχομένης τῆς ΜΑΙ συλλαβῆς ἢ φυλάττεται τὸ Ω ἢ τρέπεται εἰς τὸ Ο ἢ εἰς τὴν [b] ΟΥ δίφθογγον· καὶ φυλάττεται μὲν τὸ Ω τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐν μόνῳ τῷ ἐνεστῶτι, οἷον βοῶ βοῶμαι, περῶ περῶμαι, γελῶ γελῶμαι. Πρόσκειται "ἐν μόνῳ τῷ ἐνεστῶτι," ἐπειδὴ ἐν τῷ μέλλοντι τρέπεται ἡ δευτέρα συζυγία τῶν περισπωμένων τὸ Ω εἰς τὸ Ο, οἷον βοῶ βοήσομαι, ἀκροάσω ἀκροάσομαι, καὶ ὅλοις δὲ τοῖς ὑποτακτικοῖς ὁποίας ἂν [c] εἴη συζυγίας τὸ ῥῆμα ἢ ὁποίου χρόνου φυλάττεται τὸ Ω, οἷον ἐὰν τύπτωμαι, ἐὰν βοῶμαι, ἐὰν περῶ, ἐὰν περῶμαι, ἐὰν χρυσῶ, ἐὰν χρυσῶμαι· τρέπεται δὲ τὸ Ω εἰς τὸ Ο ἐπὶ ὅλων τῶν βαρυτόνων, εἴτε ἐνεστῶτες ὦσιν, εἴτε μέλλοντες, χωρὶς τῶν ὑποτακτικῶν δηλονότι, οἷον τύπτω τύπτομαι, λέγω λέγομαι, λέξω λέξομαι, ποιήσω ποιήσομαι· ἐπὶ δὲ τῶν περισπωμένων, ὑπεσταλμένων τῶν τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, τρέπεται τὸ Ω εἰς τὴν ΟΥ δίφθογγον, εἴτε ἐνεστῶτες εἰσὶν εἴτε μέλλοντες, οἷον ποιῶ ποιοῦμαι, στεφανῶ στεφανοῦμαι, κουφιῶ κουφιοῦμαι. Ταῦτα μὲν ἐν τούτοις περὶ τῶν εἰς Ω ῥημάτων.

Τὰ δὲ εἰς ΜΙ λήγοντα ῥήματα τροπῇ τῆς ΜΙ εἰς ΜΑΙ τὸ παθητικὸν ποιοῦσιν, οἷον τίθημι τίθεμαι, καὶ συστέλλουσι τὴν παραλήγουσαν· καὶ εἰ μὲν ἔχει ἡ πρώτη συζυγία τὴν εἰς ΜΙ, συστέλλει τὴν παραλήγουσαν εἰς τὸ Ε, οἷον τίθημι τίθεμαι, ἵημι ἵεμαι· ἡ δὲ δευτέρα εἰς τὸ Α συστέλλει τὴν παραλήγουσαν, οἷον ἵστημι ἵσταμαι· ἡ δὲ τρίτη εἰς τὸ Ο συστέλλει τὴν παραλήγουσαν, οἷον δίδωμι δίδομαι· ἡ δὲ

[b] εἶ Bar.

[c] εἰσι] εἴη Bar.

τετάρτῃ τὸ δίχρονον μόνον, οἷον πήγνυμι πήγνυμαι, ὄλλυμι ὄλλυμαι, ζεύγνυμι ζεύγνυμαι. Τούτων οὕτως ἐχόντων, τὸ ἧμαι, τὸ σημαῖνον κάθημαι, καὶ τὸ κεῖμαι, δοκοῦσι μήτε ἀπὸ τῶν εἰς Ω *εἶναι, μήτε ἀπὸ τῶν εἰς* ΜΙ· *καὶ ἀπὸ τῶν εἰς* Ω *δοκοῦσι μὴ εἶναι, ἐπειδὴ τὰ ἀπὸ τῶν εἰς* Ω *ἢ τῷ* Ο *παραλήγεται ἐν τῷ εἰς* ΜΑΙ *παθητικῷ ἐνεστῶτι, οἷον τύπτομαι, λέγομαι, ἢ τῷ* Ω, *οἷον βοῶμαι περῶμαι, ἢ τῇ* ΟΥ *διφθόγγῳ, οἷον ποιοῦμαι, φανοῦμαι, χρυσοῦμαι· ἐπὰν οὖν ταῦτα οὐδενὶ ἐκ τούτων παραλήγεται, ἄρα οὐκ εἰσὶν ἐκ τῶν εἰς* Ω· *ἀλλ' οὔτε ἀπὸ τῶν εἰς* ΜΙ *εἰσί· τὰ γὰρ εἰς* ΜΙ *ἢ τῷ* Ε *παραλήγεται*
281 a *ἐν τοῖς παθητικοῖς, οἷον τίθεμαι, ἢ τῷ* Α *συνεσταλμένῳ, οἷον ἵσταμαι, ἢ τῷ* Ο *οἷον δίδομαι, ἢ διχρόνῳ συνεσταλμένῳ, οἷον ζεύγνυμαι· ταῦτα δὲ οὐδενὶ ἐκ τούτων παραλήγεται, ἄρα οὐκ εἰσὶν οὔτε παρὰ τῶν εἰς* ΜΙ. *Τί οὖν ἐστιν εἰπεῖν; Λέγομεν ὅτι ἀπὸ τῶν εἰς* ΜΙ *εἰσίν· ἐλέγχονται γὰρ ταῦτα ἀπὸ τῶν δευτέρων προσώπων ὄντα ἀπὸ τῶν εἰς* ΜΙ, *λέγω δὴ ἧμαι (ἧσαι), ἐξ οὗ τὸ κάθημαι, καὶ ἀπὸ τοῦ κεῖσαι, οἷον ὡς παρὰ τῷ ποιητῇ,* [Il. *υ΄*. 389.]

κεῖσαι [d]*Ὀτρυντείδη πάντων ἐκπαγλότατ' ἀνδρῶν·*

πᾶς γὰρ ἐνεστὼς εἰς ΜΑΙ *λῆγον καὶ ἔχων εἰς* ΑΙ *τὸ δεύτερον πρόσωπον, ἀπὸ τῶν εἰς* ΜΙ *ἐστίν· οἷον τίθεμαι τίθεσαι, ἵσταμαι ἵστασαι, δίδομαι δίδοσαι, ζεύγνυμαι ζεύγνυσαι. Εἰ οὖν ἐστὶ τὸ δεύτερον πρόσωπον ἧσαι καὶ κεῖσαι, δηλονότι ἀπὸ τῶν εἰς* ΜΙ *εἰσίν. Ἔστι δὲ σχηματίσαι αὐτὰ οὕτως· ἔστιν ἔω καὶ κέω, ταῦτα βαρύτονα· ταῦτα περισπωμένως γίνεται ἐῶ καὶ κεῶ· εἶτα ἐκ τούτων τῶν περισπωμένων γίνονται παράγωγα εἰς* ΜΙ, *οἷον ἕημι καὶ κέημι, καὶ λοιπὸν ὁ παθητικὸς ἐνεστώς, ἕεμαι,* [e]*καὶ κατὰ κρᾶσιν τῶν β΄* ΕΕ *εἰς* Η *γίνεται ἧμαι, πῆ δὲ εἰς τὴν* ΕΙ *δίφθογγον, κεῖμαι. Διὰ τί δὲ ἐπὶ μὲν τοῦ ἧμαι τὰ β΄* ΕΕ *εἰς τὸ* Η *ἐκράθησαν, ἐπὶ δὲ τοῦ κεῖμαι εἰς τὴν* ΕΙ *δίφθογγον, ἐν τῷ ῥηματικῷ Ἀπολλωνίου, εἰ θεῷ φίλον, μαθησόμεθα.*

"Τύπτῃ. *Πᾶν πρῶτον πρόσωπον, ἔχον τὸ* Μ *κλιτικὸν,*

[d] *ὀτυπείδη* Bar. [e] Seqq. dedi cum Bar. quæ valde sunt lacunosa in Par.

τοῦ τρίτου προσώπου τὸ Τ τρέπον εἰς Σ τὸ δεύτερον ποιεῖ, ἢ ὑποστέλλον (τὸ Τ) τοῦ τρίτου καὶ κρᾶσιν ποιούμενον τῶν φωνηέντων."

Τὸ παρὸν δεύτερον ἑνικὸν παθητικὸν πρόσωπον καὶ τὰ ὅμοια ἐκ τοῦ ἰδίου τρίτου [ἑνικοῦ] κανονίζονται· κανονίζονται δὲ τοῦτον τὸν τρόπον. Πᾶν πρῶτον πρόσωπον ἔχον τὸ Μ κλιτικόν, τοῦ τρίτου προσώπου τὸ Τ ἢ τρέπον εἰς Σ τὸ δεύτερον πρόσωπον ποιεῖ, ἢ ἀποβάλλον τὸ Τ τοῦ τρίτου, καὶ κρᾶσιν ποιούμενον τῶν φωνηέντων· καὶ ὅσα μὲν ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως, ἐκεῖνα τροπῇ τοῦ Τ εἰς τὸ Σ ποιοῦσι τὸ δεύτερον πρόσωπον, οἷον πεποίημαι πεποίηται πεποίησαι, ἐπεποιήμην ἐπεποίητο ἐπεποίησο· πεποιηκὼς γὰρ ἐνεργητικὸς μετοχὴ εἰς Σ μετ' ὀξείας τάσεως· [καὶ πάλιν τίθεμαι τίθεσαι ἐτιθέμην ἐτίθετο ἐτίθεσο· τιθεὶς γὰρ ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ μετ' ὀξείας τάσεως·] ὅσα δὲ οὐκ ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως, ἐκεῖνα ἀποβολῇ τοῦ Τ καὶ κράσει τῶν φωνηέντων ποιοῦσι τὸ β' πρόσωπον, οἷον τύπτομαι τύπτεται, καὶ κατ' ἀποβολὴν τοῦ Τ τύπτεαι, καὶ κράσει τοῦ Ε καὶ Α εἰς Η τύπτῃ, ὥσπερ βέλεα βέλη, καὶ μένει τὸ Ι προσγεγραμμένον καὶ ἀνεκφώνητον διὰ τὸ μέγεθος τοῦ Η· καὶ πάλιν ἐτυπτόμην ἐτύπτετο, καὶ κατὰ ἀποβολὴν τοῦ Τ ἐτύπτεο καὶ κατὰ κρᾶσιν τοῦ ΕΟ εἰς τὴν ΟΥ δίφθογγον ἐτύπτου, ὥσπερ χάλκεος χαλκοῦς· οὐδὲ γὰρ ἔχουσι ταῦτα τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως· τύπτων γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχή· καὶ πάλιν ἐτυψάμην ἐτύψατο, καὶ κατὰ ἀποβολὴν τοῦ Τ ἐτύψαο, καὶ κατὰ κρᾶσιν τοῦ Α καὶ Ο εἰς τὸ Ω ἐτύψω, ὥσπερ βοάομεν βοῶμεν· οὐδὲ γὰρ ἔχει τοῦτο τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως· τύψας γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ μέν, ἀλλ' οὐκ ὀξύτονος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ποιοῦνται τὴν τροπὴν τοῦ Τ εἰς τὸ Σ ἐν μὲν
281 b τοῖς εἰς Ω παρακειμένοις καὶ ὑπερσυντελικοῖς, ἐπειδὴ ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως, οἷον πεποίημαι πεποίηται πεποίησαι ἐπεποιήμην ἐπεποίητο ἐπε-

ποίησο, πεποιηκὼς γὰρ ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ μετ' ὀξείας τάσεως, τὴν δὲ ἀποβολὴν τοῦ Τ καὶ κρᾶσιν τῶν φωνηέντων, ἐνεστῶτες, παρατατικοὶ, ἀόριστοι μέσοι, καὶ μέλλοντες ἅπαντες, τουτέστι καὶ παθητικοὶ καὶ μέσοι, ἐπειδὴ οὐκ ἔχουσιν οὗτοι τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως, οἷον τύπτομαι τύπτεται τύπτεαι καὶ τύπτῃ, ἐτυπτόμην ἐτύπτετο ἐτύπτου· τύπτων γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχὴ, οὔτε εἰς Σ οὔτε ὀξύτονος. Καὶ πάλιν ἐτυψάμην ἐτύψατο ἐτύψαο ἐτύψω· τύψας γὰρ ἐστὶν ἡ μετοχὴ ἡ ἐνεργητικὴ, εἰς Σ μὲν, ἀλλ' οὐκ ὀξύτονος· καὶ πάλιν ἐτυπόμην ἐτύπετο ἐτύπου· τυπὼν γὰρ ἡ ἐνεργητικὴ μετοχὴ ὀξύτονος μὲν, ἀλλ' οὐκ εἰς Σ· καὶ πάλιν τυφθήσομαι τυφθήσεται τυφθήσεαι καὶ τυφθήσῃ· τύψομαι τύψεται τύψεαι καὶ τύψῃ· τύψων γὰρ ἡ ἐνεργητικὴ μετοχὴ, οὔτε εἰς Σ, οὔτε ὀξύτονος. Καὶ πάλιν, τυπήσομαι τυπήσεται τυπήσεαι τυπήσῃ, τυποῦμαι τυπεῖται τυπεῖαι, καὶ κατὰ ἀποβολὴν τοῦ Ι, καὶ κατὰ κρᾶσιν τῶν φωνηέντων τυπῇ· τυπῶν γὰρ ἡ ἐνεργητικὴ μετοχὴ, οὔτε εἰς Σ, οὔτε ὀξύτονος. Πρόσκεινται δὲ "ἀόριστοι μέσοι" διὰ τοὺς παθητικούς· οὗτοι γὰρ ἀπὸ τοῦ πρώτου προσώπου ποιοῦσι τὸ δεύτερον πρόσωπον τροπῇ τοῦ Ν εἰς τὸ Σ, οἷον ἐτύφθην ἐτύφθης ἐτύπην ἐτύπης, τῷ κανόνι τῷ ῥηθέντι ἐν τῇ περὶ τοῦ ἐνεργητικοῦ ὑπερσυντελικοῦ διδασκαλίᾳ· οὐδὲ γὰρ ἔχουσι τὸ Τ κατὰ τὸ τρίτον πρόσωπον, ἵνα ἐκ τοῦ τρίτου προσώπου κανονισθῶσιν. Ἐν δὲ τοῖς εἰς ΜΙ πάντες τῇ τροπῇ τοῦ Τ εἰς Σ ποιοῦσι τὸ δεύτερον πρόσωπον, ἐπειδὴ ταῦτα τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως ἔχουσιν, οἷον τίθεμαι τίθεται τίθεσαι ἐτιθέμην ἐτίθετο ἐτίθεσο· [ἔστι γὰρ ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ μετ' ὀξείας τάσεως· καὶ πάλιν ἔθην (sic) ἔθετο ἔθεσο, ἐδόμην] ἔδοτο ἔδοσο, καὶ ἐστάμην ἔστατο ἔστασο· δοὺς γὰρ καὶ [f]θεὶς καὶ στὰς ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ μετ' ὀξείας τάσεως. Δεῖ προσθεῖναι χωρὶς τῶν μελλόντων καὶ τοῦ πρώτου μέσου ἀορίστου· οὗτοι γὰρ ἀποβολῇ τοῦ Τ καὶ

[f] τιθεὶς καὶ ἱστὰς Bar.

κράσει τῶν φωνηέντων ποιοῦσι τὰ δεύτερα πρόσωπα, ἐπειδὴ οὐκ ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως, οἷον τεθήσομαι τεθήσεται τεθήσεαι καὶ τεθήσῃ, θήσομαι θήσεται θήσεαι καὶ θήσῃ, [g]ἐπειδὴ οὐκ ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν οὔτε εἰς Σ, οὔτε ὀξύτονον· καὶ πάλιν ἐστησάμην ἐστήσαο ἐστήσω, στήσας γὰρ ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ μὲν, ἀλλ' οὐκ ὀξύτονος. Πρόσκειται ἐν τῷ κανόνι "ἔχον τὸ Μ κλιτικὸν, οἷον πᾶν πρῶτον πρόσωπον ἔχον τὸ Μ κλιτικὸν," διὰ τὸ ἐδάμην· τοῦτο γὰρ οὐ ποιεῖ τὸ δεύτερον πρόσωπον ἀπὸ τοῦ τρίτου ἢ τροπῇ τοῦ Τ εἰς τὸ Σ, ἢ ἀποβολῇ τοῦ Τ καὶ κράσει τῶν φωνηέντων, ἐπειδὴ οὐκ ἔχει τὸ Τ κατὰ τὸ τρίτον πρόσωπον· τὸ γὰρ Μ τὸ ὂν ἐν τῷ πρώτῳ προσώπῳ οὐκ ἔστι κλιτικὸν, ἀλλὰ θεματικὸν, ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· δάμνω γάρ ἐστιν ὁ ἐνεστώς. Πρόσκειται "ὅλως ἔχον τὸ Μ κλιτικὸν" διὰ τὸ, τύπτει ἐκεῖνος· ταῦτα γὰρ ἔχουσι τὸ Τ, καὶ οὐ ποιοῦσι τὸ δεύτερον πρόσωπον ἢ τροπῇ
282 a τοῦ Τ εἰς τὸ Σ, ἢ ἀποβολῇ τοῦ Τ καὶ κράσει τῶν φωνηέντων, ἐπειδὴ οὐκ ἔχουσιν ὅλως κατὰ τὸ [h]πρῶτον πρόσωπον τὸ Μ· τύπτω γὰρ καὶ ὀρύττω. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι καὶ ἐπὶ τῆς πρώτης συζυγίας τῶν περισπωμένων ἀπὸ τοῦ τρίτου προσώπου γίνεται τὸ δεύτερον [i]πρόσωπον κατὰ ἀποβολὴν τοῦ Τ καὶ κράσει τῶν φωνηέντων· οὐδὲ γὰρ ἔχει τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως, οἷόν ἐστι ποιοῦμαι ποιεῖται, καὶ ἐπειδὴ ἡ ἐνεργητικὴ μετοχὴ ποιῶν ἐστὶν οὔτε εἰς Σ οὔτε ὀξύτονος, τούτου χάριν ἀποβολῇ τοῦ Τ γίνεται καὶ κράσει τῶν φωνηέντων, καὶ οὕτως ἀποτελεῖται τὸ δεύτερον πρόσωπον· ἔστιν οὖν ποιεῖται, καὶ κατὰ ἀποβολὴν τοῦ Τ γίνεται ποιεῖαι, καὶ κατὰ ἀποβολὴν τοῦ Ι γίνεται ποιέαι, καὶ κράσει τοῦ ΕΑ εἰς Η ποιῇ περισπωμένως· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται· οἷον, πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέεις Ἡρακλεῖς, ποιέω ποιῶ· τὸ δὲ ἰῶτα ἀπεβλήθη, ἐπειδὴ οὐδέποτε τοῦ Ι μέσου ὄντος συναίρεσις γίνεται τῶν φωνηέντων· ἀμέλει ἐν

[g] θήσων γὰρ ἡ ἐνεργητικὴ μετοχὴ οὔτε εἰς Σ οὔτε ὀξύτονος Bar.
[h] τρίτον Bar. [i] παθητικὸν Bar.

τῷ ἐμῷ πρῶτον ἀποβάλλεται τὸ ι τοῦ τῷ ἄρθρου, καὶ οὕτω γίνεται ἡ κρᾶσις· καὶ γὰρ τὠμῷ (ἐστί.) Ἔστι δὲ καὶ ἐκ τοῦ ἐντελοῦς τοῦ τρίτου προσώπου κανονίσαι αὐτὸ, φημὶ δὲ τὸ ποιῇ· ἔστι γὰρ τὸ ἐντελὲς τρίτου προσώπου ποιέεται, καὶ κατὰ ἀποβολὴν τοῦ τ γίνεται ποιέεαι, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς τὴν η γίνεται ποιέῃ, ὡς τύπτεαι τύπτῃ, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ τῆς ηι διφθόγγου τῆς διὰ τοῦ η καὶ ι εἰς τὴν ηι δίφθογγον ποιῇ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι [k] τῆς δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων [l] τὰ τρίτα πρόσωπα τοῦ ἐνεργητικοῦ ἐνεστῶτος β' γίγνονται παθητικὰ, οἷον [βοῶ βοᾷς βοᾷ βοᾷ σὺ, καὶ πάλιν περῶ περᾷς, περᾷ σύ· καὶ πάλιν] γελῶ γελᾷς, γελᾷ ἐκεῖνος, γελῶμαι, γελᾷ σύ· [καὶ πάλιν ὡς ἀπὸ τοῦ κοιμῶ κοιμᾷς, κοιμᾷ ἐκεῖνος, καὶ κοιμῶμαι, κοιμᾷ σύ·] καὶ πάλιν χρυσῶ χρυσοῖς, χρυσοῖ ἐκεῖνος, χρυσοῦμαι, χρυσοῖ σύ· [καὶ πάλιν, στεφανῶ στεφανοῖς, στεφανοῖ ἐκεῖνος, καὶ, στεφανοῦμαι, στεφανοῖ σύ· καὶ πάλιν, ὀρθῶ ὀρθοῖς, ὀρθοῖ ἐκεῖνος, καὶ, ὀρθοῦμαι, ὀρθοῖ σύ·] οὐδὲ γὰρ ἔχουσι ταῦτα τὴν ἐνεργητικὴν μετοχὴν εἰς ο μετ' ὀξείας τάσεως, ἵνα ἀπὸ τοῦ τρίτου προσώπου τῶν ἐνεργητικῶν ποιήσωσι τὸ δεύτερον τῶν παθητικῶν τροπῇ τοῦ τ εἰς τὸ σ. Ἰστέον δὲ ὅτι οἱ Ἀθηναῖοι καὶ ἐπὶ τῶν βαρυτόνων καὶ ἐπὶ τῆς πρώτης συζυγίας τῶν περισπωμένων τὸ τρίτον πρόσωπον τοῦ ἐνεργητικοῦ ἐνεστῶτος β' ποιοῦσι παθητικὸν, οἷον τύπτω τύπτεις τύπτει, τύπτομαι τύπτει Ἀττικῶς διὰ τῆς ει διφθόγγου, [καὶ πάλιν ὡς ἀπὸ τοῦ βούλω βούλεις βούλει γίνεται βούλομαι βούλει Ἀττικῶς διὰ τῆς ει διφθόγγου, ὡς παρὰ Μενάνδρῳ ἐν τῷ

βούλει κνήμων εἰπέ μοι·

καὶ πάλιν ποιῶ ποιεῖς ποιεῖ, ποιοῦμαι ποιεῖ, Ἀττικῶς, διὰ τῆς ει διφθόγγου·] [m] πάντως δὲ οἱ Ἀθηναῖοι τοῦτο ποιοῦσιν, ἀλλ' [n] ἀκολουθοῦσι καὶ οἱ πεζολόγοι, ἐπεὶ οἱ τραγικοὶ

[k] παρὰ τῆς Bar. [l] τοῦ γ' προσώπου Bar. qui om. [ ] [m] πάντες Bar.
[n] ἀκολουθοῦσι τοῖς πολλοῖς· ὡσαύτως καὶ τὸ βούλω βούλεις βούλει γίνεται βούλομαι Ἀττικῶς διὰ τῆς ΕΙ διφθόγγου. Ταῦτα μ. ἐ. τ. Bar.

τοῦτο οὐ ποιοῦσιν, ἀλλ' ἀκολουθοῦσι τοῖς κοινοῖς. Ταῦτα μὲν ἐν τούτοις.

Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί μὲν ἡ πρώτη συζυγία τῶν περισπωμένων τὸ δεύτερον πρόσωπον τοῦ παθητικοῦ ἐνεστῶτος διὰ τοῦ Η καὶ Ι ἔχει ὁμοίως τοῖς βαρυτόνοις, ποιοῦμαι ποιῇ, ὡς τύπτομαι τύπτῃ, ἡ δὲ δευτέρα καὶ τρίτη συζυγία τῶν περισπωμένων οὐδὲν τοιοῦτον ἔχει, ἀλλ' ὡς εἴρηται, τὸ δεύτερον πρόσωπον τοῦ παθητικοῦ ἐνεστῶτος ὁμόφωνον ἔχει
282 b τὸ τρίτον πρόσωπον τοῦ ἐνεργητικοῦ ἐνεστῶτος, [οἷον γελῶ γελᾷς, γελᾷ ἐκεῖνος, γελῶμαι, γελᾷ σύ, χρυσῶ χρυσοῖς, χρυσοῖ ἐκεῖνος, χρυσοῦμαι, χρυσοῖ σύ.] Καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· ἐπειδὴ ἡ μὲν πρώτη συζυγία τῶν περισπωμένων κατὰ τὸ δεύτερον πρόσωπον τοῦ ἐνεργητικοῦ ἐνεστῶτος ὁμοίως τοῖς βαρυτόνοις ἐκφέρεται, (διὰ γὰρ τῆς ΕΙ διφθόγγου ἐκφέρεται ὁμοίως αὐτοῖς, οἷον ποιῶ ποιεῖς, ὡς τύπτω τύπτεις,) τούτου χάριν καὶ κατὰ τὸ δεύτερον πρόσωπον τοῦ παθητικοῦ ἐνεστῶτος διὰ τοῦ Η καὶ Ι ἐκφέρεται ὁμοίως τοῖς βαρυτόνοις, οἷον ποιοῦμαι ποιῇ, ὥσπερ τύπτομαι τύπτῃ· ἡ δὲ δευτέρα καὶ τρίτη συζυγία τῶν περισπωμένων, ἐπειδὴ οὐκ, [οἶμαι,] ἐκφέρεται κατὰ τὸ δεύτερον πρόσωπον τοῦ [o] παθητικοῦ ἐνεστῶτος ὁμοίως τοῖς βαρυτόνοις, (ἡ μὲν γὰρ διὰ τῆς ΑΙ διφθόγγου ἐκφέρεται, ἡ δὲ διὰ τῆς ΟΙ διφθόγγου, οἷον γελῶ γελᾷς γελᾷ, χρυσῶ χρυσοῖς χρυσοῖ, τὰ δὲ β' πρόσωπα τῶν βαρυτόνων διὰ τῆς ΕΙ διφθόγγου ἐκφερόνται, οἷον τύπτω τύπτεις,) τούτου χάριν οὔτε κατὰ τὸ δεύτερον πρόσωπον διὰ τοῦ Η καὶ Ι ἐκφέρεται ὁμοίως τοῖς βαρυτόνοις, ἀλλ' ἔχουσιν [p] αὐτὸ ὁμόφωνον, ὡς εἴρηται, τῷ τρίτῳ προσώπῳ τοῦ ἐνεργητικοῦ ἐνεστῶτος.

Τούτων οὕτως ἐχόντων, δεῖ γιγνώσκειν ὅτι τὸ κάθῃ καὶ τὸ μένῃ καὶ δύνῃ παράλογά εἰσι· τὸ μὲν γὰρ κάθῃ καὶ δύνῃ ἐνεστῶτές εἰσιν παθητικοὶ ἀπὸ τῶν εἰς ΜΙ· ὁ δὲ παθητικὸς ἐνεστὼς ἀπὸ τῶν εἰς ΜΙ τροπῇ τοῦ Τ τοῦ τρίτου προσώπου εἰς τὸ Σ τὸ δεύτερον πρόσωπον ποιεῖ, οἷον τίθεται τίθεσαι,

[o] ἐνεργητικοῦ Bar. [p] τὸ Bar.

οὕτως οὖν καὶ δύναται δύνασαι, ὡς γὰρ ἀπὸ τοῦ δύνημι ἔστι, καὶ κάθηται καὶ κάθησαι, ἀπὸ γὰρ τοῦ ἧμαι ἐστὶν, ὅπερ, ὡς ἀνωτέρω δέδεικται, ἀπὸ τῶν εἰς μι ἐστίν· παραλόγως [ἄρα] τὸ κάθῃ καὶ δύνῃ· τὸ δὲ μέμνῃ παθητικὸς παρακείμενος ἐστί· πᾶς δὲ παθητικὸς παρακείμενος τροπῇ τοῦ τ τοῦ τρίτου προσώπου εἰς τὸ σ ποιεῖ τὸ δεύτερον πρόσωπον, οἷον πεποίηται πεποίησαι, νενόηται νενόησαι, οὕτως οὖν καὶ μέμνηται μέμνησαι, παραλόγως ἄρα τὸ μέμνῃ. Τί οὖν ἐστιν εἰπεῖν; Λέγομεν, ὅτι ταῦτα ἀποβολὴν πεπόνθασι συμφώνου Ἰωνικῶς καὶ συστολὴν τῆς παραληγούσης ὁμοίως Ἰωνικῶς, καὶ κρᾶσιν τῶν φωνηέντων Ἀττικῶς, οἷον μέμνημαι μέμνηται μέμνησαι, καὶ κατὰ ἀποβολὴν τοῦ σ Ἰωνικῶς γίγνεται μέμνηαι, καὶ κατὰ συστολὴν τῆς παραληγούσης πάλιν Ἰωνικῶς μέμνεαι· καὶ γὰρ οἱ Ἴωνες εἰώθασι πολλάκις ἀποβάλλειν τὸ σύμφωνον τοῦ δευτέρου προσώπου, ὡς ἐν τῷ ἐπίσταμαι ἐπίσταται ἐπίστασαι καὶ ἐπίστααι, καὶ τὴν παραλήγουσαν πάντως συστέλλουσιν εἰς ε, οἷον ἐπίθεαι, χωρὶς εἰ μὴ τὸ δεύτερον πρόσωπον εἰς ο λήγει, τότε γὰρ οὐ συστέλλεται ἡ παραλήγουσα εἰς ε, ἀλλὰ φυλάττεται, οἷον ἐφάμην ἔφατο ἔφασο καὶ ἔφαο, ἐξ οὗ τὸ "ἔπος ἔφατο·" ἐνταῦθα γὰρ φυλάττεται ἡ παραλήγουσα, ἐπειδὴ εἰς ο λήγει τὸ δεύτερον πρόσωπον· ἔστιν οὖν μέμνημαι μέμνηται μέμνησαι, καὶ κατὰ ἀποβολὴν τοῦ σ μέμνηαι, καὶ κατὰ συστολὴν τῆς παραληγούσης μέμνεαι, καὶ κατὰ κρᾶσιν Ἀττικὴν τοῦ ε καὶ α εἰς η μέμνῃ, [ὥσπερ βέλεα βέλη, καὶ μένει τὸ ι προσγεγραμμένον.] Καὶ πάλιν ἐστὶ δύναμαι δύναται δύνασαι, καὶ κατὰ ἀποβολὴν τοῦ σ δύνααι, καὶ κατὰ συστολὴν τῆς παραληγούσης ἢ τροπῇ τοῦ α εἰς ε δύνεαι, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς τὸ η δύνῃ, [q] [καὶ μένει τὸ ι προσγεγραμμένον· καὶ πάλιν ἐστὶ κάθημαι κάθηται κάθησαι, καὶ κατὰ ἀποβολὴν τοῦ σ κάθηαι, καὶ κατὰ συστολὴν τῆς παραληγούσης κάθεαι, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η κάθῃ, καὶ μένει τὸ ι προσγεγραμμένον.] Ταῦτα μὲν ἐν τούτοις.

[q] [ ] ὁμοίως καὶ τὸ κάθῃ Bar.

283 a Ἀποροῦσι δέ τινες, λέγοντες, πῶς τοῦ τύπτοιμι πρώτου προσώπου ἔχοντος τὸ μ κλιτικὸν, ἀπὸ γὰρ τοῦ τύπτω ἐνεστῶτος ἐνεργητικοῦ γίγνεται τὸ εὐκτικὸν κατὰ κλίσιν τύπτοιμι ἔχον τὸ μ κλιτικὸν, οὐδὲ γὰρ ἔχει αὐτὸ ἀπὸ τοῦ θέματος, ἤγουν ἀπὸ τοῦ ὁριστικοῦ ἐνεστῶτος, τὸ τρίτον πρόσωπον [τοῦ τύπτω] οὐ ποιεῖ τὸ δεύτερον τὸ τύπτοις, οὔτε τροπῇ τοῦ τ εἰς τὸ σ οὔτε ἀποβολῇ τοῦ τ καὶ κράσει τῶν φωνηέντων; Ἔστιν οὖν εἰπεῖν, ὅτι τὸ β′ ἑνικὸν πρόσωπον ἐκ τοῦ τρίτου γίνεται ἢ τροπῇ τοῦ τ εἰς σ, ἢ ἀποβολῇ τοῦ τ καὶ κράσει τῶν φωνηέντων, ἡνίκα τὸ τρίτον πρόσωπον ἔχει τὸ τ κλιτικὸν, ὡς ἐπὶ τοῦ τύπτεται καὶ λέγεται· ταῦτα γὰρ ἀπὸ τύπτω καὶ λέγω γινόμενα τὸ τ ἐν τῇ τελευταίᾳ ἀπὸ κλίσεως ἔχουσιν· ἐν δὲ τῷ τύπτοι τρίτῳ προσώπῳ εὐκτικῷ τῷ ἀπὸ τοῦ τύπτοιμι οὐκ ἔχει τὸ τ κλιτικὸν, ἀλλὰ θεματικὸν, ἀπὸ γὰρ τοῦ τύπτω ἐνεστῶτος ἔχουσι τὸ π καὶ τὸ τ· οὕτω γὰρ καὶ ἐπὶ τοῦ Κράτης ὀνόματος ἀπὸ τοῦ κρατῶ ῥήματος, [λέγω, λόγος,] λέγομεν τὸ τ θεματικὸν εἶναι, ἐπὶ δὲ τοῦ θύτης ἀπὸ τοῦ θύω γενομένου, οὐκέτι τὸ τ θεματικὸν λέγομεν εἶναι, οὐδὲ γὰρ ὁ θύω ἐνεστὼς ἔχει τὸ τ, διὸ οὐδὲ τὴν κλίσιν, ὡς ἐν τοῖς ὀνόμασιν εἴρηται.

“Τύπτεται τρίτον ἑνικόν.”

Ἐνταῦθα τὸ τρίτον πρόσωπον κανονίζει· κανονίζεται μὲν τοῦτον τὸν τρόπον· τὰ εἰς ΜΑΙ λήγοντα τροπῇ τῆς ΜΑΙ εἰς ΤΑΙ τὸ τρίτον πρόσωπον ποιοῦσι, καὶ ἢ φυλάττουσι τὴν παραλήγουσαν, ἢ τρέπουσιν αὐτήν· καὶ φυλάττουσι μὲν, ὅτε ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ, οἷον πεποίημαι πεποίηται, πεποιηκὼς γὰρ ἡ μετοχή· τίθεμαι τίθεται, τιθεὶς γὰρ ἡ ἐνεργητικὴ μετοχή· δίδομαι δίδοται, διδοὺς γὰρ ἡ ἐνεργητικὴ μετοχή· ζεύγνυμαι ζεύγνυται, ζευγνὺς γὰρ ἡ ἐνεργητικὴ μετοχή· τρέπουσι δὲ ὅτε μὴ ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ, οἷον, τύπτομαι τύπτεται, τύπτων γὰρ ἡ ἐνεργητικὴ μετοχή· τυπτήσομαι τυπτήσεται τυποῦμαι τυπεῖται· τυπῶν γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχή· τὰ δὲ περισπώμενα πρὸς τὴν συναίρεσιν ποιοῦνται τὴν παραλήγουσαν· ἔστι γὰρ ποιέομαι, καὶ κράσει τοῦ μὲν ε καὶ ο εἰς τὴν ΟΥ

δίφθογγον γίνεται ποιοῦμαι, ὥσπερ χάλκεος χαλκοῦς, κατὰ κρᾶσιν δὲ τῶν δύο ΕΕ εἰς τὴν ΕΙ δίφθογγον ποιεῖται, ὥσπερ Πηλέες Πηλεῖς. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν

ὧν
ἐν τῷ ποιεῖται τὰ δύο ΕΕ εἰς τὴν ΕΙ δίφθογγον [r]κιρναται (sic), καὶ μὴ εἰς τὸ Η; Καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· [ὁμοῦ] τὰ εἰς ΜΑΙ καὶ τὰ εἰς ΤΑΙ τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν κατὰ τὴν παραλήγουσαν, οἷον τύπτομαι τύπτεται, λέγομαι λέγεται, βοῶμαι βοᾶται, χρυσοῦμαι χρυσοῦται, στεφανοῦμαι στεφανοῦται· εἰ οὖν τὸ ποιοῦμαι διὰ δύο φωνηέντων ἐκφέρεται κατὰ τὴν παραλήγουσαν [δηλονότι καὶ τὸ ποιεῖται ἀναγκάζεται διὰ δύο φωνηέντων ἐκφέρεσθαι κατὰ τὴν παραλήγουσαν,] καὶ δηλονότι εὐλόγως εἰς τὴν ΕΙ δίφθογγον ἐγένετο ἡ κρᾶσις, καὶ οὐκ εἰς τὸ Η· πάλιν ἐστὶ βοάομαι βοάεται, καὶ κατὰ κρᾶσιν τοῦ μὲν Α καὶ Ο εἰς τὸ Ω
283 b γίνεται βοῶμαι, ὥσπερ ἐλούσαο ἐλούσω, τοῦ δὲ Α καὶ Ε εἰς Α μακρὸν βοᾶται, ὥσπερ τὰ ἐμὰ τἀμά· πάλιν ἐστὶ χρυσόομαι, χρυσόεται, καὶ κατὰ κρᾶσιν τῶν μὲν δύο ΟΟ εἰς τὴν ΟΥ δίφθογγον χρυσοῦται, ὥσπερ τὸ ἐμὸν, τοὐμόν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι [s]παραλόγως εἶπεν ὁ τεχνικὸς τὰ εἰς ΜΑΙ ἔχοντα τὸ Μ κλιτικὸν, πάντα γὰρ τὰ εἰς ΜΑΙ κλιτικὸν ἔχουσι τὸ Μ. Εἰ δέ τις εἴποι, ὅτι διὰ τὰ εἰς ΜΑΙ [[t] . . . . ἀλλ' ἀπὸ τοῦ τιθῶ, τὰ δὲ κατὰ παραγωγὴν, καὶ τὸ ἵστημι ἀπὸ τοῦ ἱστῶ λέγομεν, ὅτι εἰ καὶ τὰ] εἰς ΜΙ ἀπὸ παραγωγῆς ἔχουσι τὸ Μ, [ἀλλ' οὖν τὰ πάθη αὐτῶν ἀπὸ κλίσεως ἔχουσι τὸ Μ·] τροπῇ [γὰρ] τοῦ Μ ἐκείνου παρηκολούθησεν ἐν τοῖς παθητικοῖς εἰς ἕτερον Μ, ὅθεν καὶ αὐτὰ τροπῇ τῆς ΜΑΙ εἰς ΤΑΙ τὸ τρίτον πρόσωπον ποιοῦσιν, οἷον τίθεμαι τίθεται, ἵσταμαι ἵσταται· περιττῶς οὖν κεῖται τὰ ἔχοντα τὸ Μ κλιτικόν. Ἔρρωται ὁ κανών.

"Δυϊκὰ, τυπτόμεθον, τύπτεσθον, τύπτεσθον."

Ἰστέον δὲ ὅτι τὸ μὲν πρῶτον πρόσωπον τῶν δυϊκῶν οὐκ

αν
[r] ἐκρα Bar. [s] περιττῶς Bar. vid. v. 29. [t] Pro [ ] in Bar. τὰ ἀπὸ τῶν εἰς ΜΙ τοῦτο εἶπε, τὰ γὰρ

ἐπιλιμπάνει ἐνταῦθα, ἐπειδὴ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν οὐκ ἔχει τὸ μ ἐπὶ τῆς τελευταίας συλλαβῆς· τυπτόμεθα γὰρ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, καὶ τὸ θ ἔχει ἐν τῇ τελευταίᾳ συλλαβῇ, οὐ τὸ μ· κανονίζεται δὲ ἐκ τοῦ α΄ τῶν πληθυντικῶν, τροπῇ τῆς θα εἰς θον, οἷον τυπτόμεθα τυπτόμεθον· καθόλου γὰρ πᾶν πρῶτον πρόσωπον πληθυντικὸν εἰς θα λῆγον τροπῇ τῆς θα εἰς θον τὸ πρῶτον τῶν δυϊκῶν ποιεῖ, οἷον τυπτόμεθα τυπτόμεθον, λεγόμεθα λεγόμεθον, τετύμμεθα τετύμμεθον, ἐτυψάμεθα ἐτυψάμεθον, τυφθησόμεθα τυφθησόμεθον, τυφθήσεσθον. Τὸ δὲ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν γέγονε τροπῇ τοῦ ε εἰς ον, οἷον τύπτεσθε τύπτεσθον· καθόλου γὰρ πᾶν δεύτερον πληθυντικὸν εἴτε εἰς τε λήγει εἴτε εἰς σθε, τροπῇ τοῦ ε εἰς ον τὸ δεύτερον τῶν δυϊκῶν ποιεῖ, οἷον τύπτετε τύπτετον, ἐτύψατε ἐτύψατον, τετύφατε τετύφατον, τύπτεσθε τύπτεσθον, ἐτύψασθε ἐτύψασθον· τὸ δὲ τρίτον τῶν δυϊκῶν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν εἰς ται λήγει.

“ Πληθυντικά· τυπτόμεθα.” Κανονίζει τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦτον τὸν τρόπον· πᾶν πρῶτον πρόσωπον ἑνικὸν ἔχον τὸ μ κλιτικὸν μετὰ μακρᾶς τροπῇ τῆς τελευταίας συλλαβῆς εἰς μεθα τὸ πληθυντικὸν ποιεῖ, οἷον τύπτομαι τυπτόμεθα, ἐτυπτόμην ἐτυπτόμεθα, τέτυμμαι τετύμμεθα, τυφθήσομαι τυφθησόμεθα, τυπήσομαι τυπησόμεθα, ἐτυψάμην ἐτυψάμεθα, ἐτυπόμην ἐτυπόμεθα, τύψομαι τυψόμεθα. Πρόσκειται “ ἔχων τὸ μ κλιτικὸν καὶ μετὰ μακρᾶς,” διὰ τὸ ἐδάμην· τοῦτο γὰρ ἔχει τὸ μ καὶ μετὰ μακρᾶς, καὶ ὅμως οὐ ποιεῖ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τροπῇ τῆς τελευταίας συλλαβῆς εἰς μεθα, οὐδὲ γὰρ λέγομεν ἐδάμεθα ἀλλ᾽ [u] ἐδάμημεν, ἐπειδὴ οὐκ ἔχει τὸ μ κλιτικόν, ἀλλ᾽ [ἔστι] θεματικὸν ἀπὸ τοῦ δάμνω ἐνεστῶτος ἔχει αὐτό· δάμνω γάρ ἐστιν ὁ ἐνεστώς· “ μετὰ μακρᾶς” δὲ πρόσκειται διὰ τὰ εἰς μι εὐκτικά· ταῦτα γὰρ κλιτικὸν ἔχουσι τὸ μ, καὶ ὅμως οὐ ποιοῦσιν εἰς μεθα τὸ πληθυντικόν, ἀλλ᾽ εἰς

[u] ἐδάμηκα, ἀλλ᾽ Bar.

ΜΕΝ, οἷον τύπτοιμι τύπτοιμεν, λέγοιμι λέγοιμεν, ἐπειδὴ οὐκ εἰσὶ μετὰ μακρᾶς, ἀλλὰ μετὰ βραχείας· [[x] ὁ δὲ τεχνικὸς λέγει ὅτι "μετὰ μακρᾶς," καὶ διὰ τὰ εἰς ΜΙ ὁριστικά, ταῦτα
284 a γὰρ ἔχουσι τὸ Μ κλιτικόν· καὶ ὅμως οὐ ποιοῦσιν εἰς ΜΕΘΑ τὸ πληθυντικὸν ἀλλὰ εἰς ΜΕΝ, οἷον τίθημι τίθεμεν, ἵστημι ἵσταμεν, ἐπειδὴ οὐκ εἰσὶ μετὰ μακρᾶς, ἀλλὰ μετὰ βραχείας.] Ἰστέον δὲ ὅτι κακῶς παρέθετο τὰ εἰς ΜΙ ὁριστικά· ταῦτα γὰρ οὐκ ἔχουσιν οὐδόλως τὸ Μ κλιτικόν, ἀλλ' ἀπὸ παραγωγῆς· ἀπὸ γὰρ τοῦ τιθῶ γέγονε τίθημι κατὰ παραγωγήν, [καὶ ἀπὸ τοῦ ἱστῶ γέγονεν ἵστημι·] ἄλλο δέ ἐστι τὸ ἀπὸ κλίσεως, καὶ ἄλλο τὸ ἀπὸ παραγωγῆς, οἷον τὸ μὲν Πάρις Πάριδος ἀπὸ κλίσεως ἔχει τὸ Δ· τὸ δὲ Ἀτρεὺς Ἀτρείδης, ἀπὸ παραγωγῆς.

"Τύπτεσθε." Κανονίζει τὸ δεύτερον πρόσωπον τῶν πληθυντικῶν τοῦτον τὸν τρόπον· πᾶν γὰρ τρίτον πρόσωπον ἑνικὸν ἔχον τὸ [y] Τ κλιτικὸν τροπῇ τῆς τελευταίας συλλαβῆς εἰς ΘΕ τὸ δεύτερον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, καὶ εἰ μὲν καθαριεύει τὸ Τ, τουτέστιν, εἰ μὴ ὑπάρχει πρὸ τοῦ Τ σύμφωνον, καὶ τὸ Σ προσλαμβάνει τὸ δεύτερον πρόσωπον τῶν πληθυντικῶν, οἷον τύπτεται τύπτεσθε ἐτύπτετο ἐτύπτεσθε, πεποίηται πεποίησθε ἐπεποίητο ἐπεποίησθε, ἐτύψατο ἐτύψασθε, ἐλάβετο ἐλάβετε, τυφθήσεται τυφθήσεσθε, τύψεται τύψεσθε, τυπεῖται τυπεῖσθε· εἰ δὲ συμφώνῳ παραλήγεται, τουτέστιν, εἰ ὑπάρχει πρὸ τοῦ Τ σύμφωνον, φυλάττει αὐτὸ καὶ ἐν τῷ δευτέρῳ προσώπῳ τῶν πληθυντικῶν, οἷον κέκαρται κέκαρθε, τέτιλται τέτιλθε, ἔσπαρται ἔσπαρθε, μεμίανται μεμίανθε, χωρὶς εἰ μήπω ψιλὸν εὑρεθῇ· τότε γὰρ διὰ τὴν ἀσυνταξίαν εἰς τὸ ἀντίστοιχον τὸ δασὺ τρέπεται ἐν τῷ δευτέρῳ προσώπῳ τῶν πληθυντικῶν, οἷον τέτυπται τέτυφθε, νένυκται νένυχθε· ψιλὰ γὰρ ψιλῶν ἡγεῖται, καὶ δασέα δασέων, καὶ μέσα μέσων κατὰ σύλληψιν, οἷον κτύπος, κτῆμα, πτῶσις, χθών, φθορά. Λέγομεν ἐν τῷ κανόνι "ἔχον τὸ Τ κλιτικὸν" διὰ τὸ τύπτει, τοῦτο γὰρ τρέπον τὴν τελευταίαν

[x] [ ] om. Bar. [y] Μ Bar.

συλλαβὴν εἰς ΘΕ ποιεῖ τὸ δεύτερον πρόσωπον τῶν πληθυντικῶν, ἀλλ' οὐκ ἔχει τὸ τ κλιτικὸν, ἀλλὰ θεματικόν· τύπτω γάρ ἐστι τὸ θέμα καὶ ἔχει τὸ τ.

“ Τύπτονται.”

Ἐνταῦθα τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν κανονίζει· κανονίζεται δὲ τοῦτον τὸν τρόπον· πᾶν τρίτον πρόσωπον ἑνικῶν ἔχον τὸ τ κλιτικὸν πρὸ τοῦ τ λαμβάνον τὸ ν, καὶ τὴν παραλήγουσαν φυλάττον τοῦ ἰδίου α' προσώπου ἑνικοῦ, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, οἷον τύπτεται τύπτονται, ὅτι τύπτομαι τὸ πρῶτον πρόσωπον τῶν ἑνικῶν, ἐτύπτετο ἐτύπτοντο, ὅτι ἐτυπτόμην, πεποίηται πεποίηνται, ὅτι πεποίημαι, ἐπεποίητο ἐπεποίηντο, ὅτι ἐπεποιήμην, ἐτύψατο ἐτύψαντο, ὅτι ἐτυψάμην, ἐτύπτετο ἐτύπτοντο, ὅτι ἐτυπτόμην, τυφθήσεται τυφθήσονται, ὅτι τυφθήσομαι, τυπήσεται τυπήσονται, ὅτι τυπήσομαι, τύψεται τύψονται, ὅτι τύψομαι, τυπεῖται τυποῦνται, ὅτι τυποῦμαι, ποιεῖται ποιοῦνται, ὅτι ποιοῦνται, βοᾶται βοῶνται, ὅτι βοῶμαι, χρυσοῦται χρυσοῦνται, ὅτι χρυσοῦμαι, τίθεται τίθενται, ὅτι τίθεμαι, ἵσταται ἵστανται, ὅτι ἵσταμαι, δίδοται δίδονται, ὅτι δίδομαι, καὶ ζεύγνυται ζεύγνυνται, ὅτι ζεύγνυμαι· ἐὰν δὲ εὑρεθῇ πρὸ τοῦ τ σύμφωνον ἐν τῷ γ' προσώπῳ τῶν ἑνικῶν, τότε διὰ τὴν ἀσυνταξίαν οὐ προσλαμβάνει τὸ ν πρὸ
284 b τοῦ τ, καὶ ποιεῖ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ἀλλὰ διὰ μετοχῆς αὐτὸ ἀναπληροῖ καὶ ὑπαρκτικοῦ ῥήματος, οἷόν ἐστι τέτυπται καὶ κέκαρται· καὶ ἐπειδὴ πρὸ τοῦ τ σύμφωνόν ἐστι, καὶ λοιπὸν προσερχομένου τοῦ ν ἀσυνταξία γίνεται, τούτου χάριν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος, οἷον τετυμμένοι εἰσί. Πρόσκειται ἐν τῷ κανόνι “ ἔχον τὸ τ κλιτικὸν” διὰ τὸ ἀνύτει, ὃ σημαίνει τὸ ἀνύει· τοῦτο γὰρ οὐ προσλαμβάνει πρὸ τοῦ τ τὸ ν, καὶ ποιεῖ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ἀλλ' οὐκ ἔχει τὸ τ κλιτικόν· ἀνύτω γάρ ἐστι τὸ θέμα, καὶ ἔχει τὸ τ.

“ Παρατατικοῦ ἑνικά· ἐτυπτόμην.”

Ἐνταῦθα περὶ τοῦ παθητικοῦ παρατατικοῦ ἢ καὶ μέσου

διαλαμβάνει, καὶ ἰστέον ὅτι πᾶς ἐνεστὼς παθητικὸς ἢ μέσος, (μία γάρ ἐστιν ἡ φωνὴ αὐτῶν τῶν δύο, ὡς εἴρηται,) τρέπων τὴν ΜΑΙ εἰς ΜΗΝ, καὶ τὴν ἄρχουσαν αὔξων χρονικῶς ἢ συλλαβικῶς, τὸν παρατατικὸν ποιεῖ, τὸν παθητικόν τε καὶ μέσον, τύπτομαι ἐτυπτόμην, λέγομαι ἐλεγόμην, γράφομαι ἐγραφόμην, βιάζομαι ἐβιαζόμην, κολάζομαι ἐκολαζόμην, ῥαπίζομαι ἐρραπιζόμην, τίθεμαι ἐτιθέμην, βούλομαι ἐβουλόμην, δύναμαι ἐδυνάμην· τὸ γὰρ ἠβουλόμην καὶ ἠδυνάμην κατὰ ἔκτασιν Ἀττικὴν τοῦ Ε εἰς τὸ Η γεγόνασι διὰ τοῦ Η, ζεύγνυμαι ἐζευγνύμην, ἐλεοῦμαι ἠλεούμην, ἐλέγχομαι ἠλεγχόμην, ἐλαύνομαι ἠλαυνόμην, ἀκούομαι ἠκουόμην, ἐγείρομαι ἠγειρόμην, ἅπτομαι ἡπτόμην, ἄρχομαι ἠρχόμην, ὀρθοῦμαι ὠρθούμην, ὁπλίζομαι ὡπλιζόμην, ἵσταμαι ἱστάμην. Πῶς δὲ συλλαβικῶς μεγεθύνεται, καὶ πῶς χρονικῶς, εἰρήκαμεν ἐν τῷ ἐνεργητικῷ παρατατικῷ. Δυνατὸν δέ ἐστι κανονίσαι αὐτὸν καὶ ἐκ τοῦ ἐνεργητικοῦ παρατατικοῦ, τοῦτον τὸν τρόπον· πᾶς παρατατικὸς ἐνεργητικὸς πρὸ τοῦ Ν λαμβάνων τὸ Μ καὶ Η ἢ παθητικὸς ἢ μέσος γίνεται, οἷον ἔτυπτον ἐτυπτόμην, ἔρραπτον ἐρραπτόμην, ἐρράπιζον ἐρραπιζόμην, ἐποίουν ἐποιούμην, ἐβόων ἐβοώμην, ἐχρύσουν ἐχρυσούμην, ἦγον ἠγόμην, ἤλεγχον ἠλεγχόμην, ἤλαυνον ἠλαυνόμην, ἤγειρον ἠγειρόμην, ὤρθουν ὠρθούμην, ἐπὶ δὲ τῶν εἰς ΜΙ δηλονότι συστέλλεται ἡ παραλήγουσα, οἷον (ἐτίθην) ἐτιθέμην, ἵστην ἱστάμην, ἐδίδων ἐδιδόμην, ἐζεύγνυν ἐζευγνύμην. Τὸ ἦν ἤμην λόγῳ ἀρχούσης ἐφύλαξε τὸ Η, ἐπειδὴ τοῦτο δισύλλαβόν ἐστι, καὶ τὴν αὐτὴν ἔχει ἄρχουσαν καὶ παραλήγουσαν, καὶ τῷ λόγῳ ἀρχούσης ἐφύλαξε τὸ Η, καὶ οὐ τῷ λόγῳ τῆς παραληγούσης συνέστειλεν αὐτό. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι εἰκότως ἐπὶ τῶν εἰς ΜΙ συστέλλεται ἡ παραλήγουσα τοῦ παρατατικοῦ· ἐπειδὴ γὰρ ἐπὶ τῶν εἰς ΜΙ συστέλλεται ἡ παραλήγουσα τοῦ ἐνεστῶτος τοῦ παθητικοῦ, οἷον τίθημι τίθεμαι, ἵστημι ἵσταμαι, δίδωμι δίδομαι, ζεύγνυμι ζεύγνυμαι, ὁ δὲ παρατατικὸς συγγένειαν ἔχει πρὸς τὸν ἐνεστῶτα· παρῳχημένος γὰρ καὶ αὐτός ἐστι, καὶ ἐξ αὐτοῦ κανονίζεται, [καὶ τούτου χάριν καὶ τὴν . . . . εχ (sic).]

“ Ἐτύπτου.”

285 a Ἰστέον ὅτι ἀπὸ τοῦ ἐτύπτετο γέγονεν ἐτύπτεο, καὶ κατὰ ἀποβολὴν τοῦ τ καὶ κατὰ κρᾶσιν τοῦ εο εἰς τὴν ου δίφθογγον, ἐτύπτου, ὥσπερ χάλκεος χαλκοῦς, οὐδὲ γὰρ ἔχει τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ μετ’ ὀξείας τάσεως, [ἵνα τροπῇ τοῦ σ εἰς τὸ τ ποιήσῃ τὸ δεύτερον πρόσωπον·] ποιῶν γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχή· τούτου χάριν καὶ ἀποβολῇ τοῦ τ γίνεται ἐποιεῖο, καὶ κατὰ συστολὴν τῆς παραληγούσης ἐποίεο, καὶ κατὰ κρᾶσιν τοῦ εο εἰς τὴν ου δίφθογγον ἐποιοῦ, [ὥσπερ χάλκεος χαλκοῦς· καὶ πάλιν ἐστὶν ἐβοᾶτο, καὶ ἐπειδὴ οὐκ ἔχει τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ μετ’ ὀξείας τάσεως· βοῶν γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχή· τούτου χάριν κατὰ ἀποβολὴν τοῦ τ γίνεται ἐβοάο, καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ο εἰς τὸ ω γίνεται ἐβοῶ, ὥσπερ ἐποιήσαο ἐποιήσω, ἐλούσαο ἐλούσω· καὶ πάλιν ἐστὶ ἐχρυσοῦτο, καὶ ἐπειδὴ οὐκ ἔχει τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ μετ’ ὀξείας τάσεως, χρυσῶν γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχὴ, τούτου χάριν ἀποβολῇ τοῦ τ γίνεται ἐχρύσουο, καὶ κατὰ συστολὴν τῆς παραληγούσης ἐχρύσοο, καὶ κατὰ κρᾶσιν τῶν δύο οο εἰς τὴν ου δίφθογγον γίνεται ἐχρυσοῦ, ὥσπερ νόος νοῦς.] Ἰστέον δὲ ὅτι διὰ τοῦτο ἐποιοῦ καὶ ἐχρυσοῦ καὶ ἐβοῶ περισπᾶται, ἐπειδὴ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπώμενα [z] τρέπεται, οἷον [πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς], ποιέω ποιῶ· οὕτως οὖν καὶ ἐποιέο ἐποιοῦ, ἐβοάο ἐβοῶ, καὶ ἐχρυσόο ἐχρυσοῦ, περισπωμένως. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δ’ ὅτι διὰ τοῦτο ἐπὶ τοῦ ἐποιοῦ καὶ ἐχρυσοῦ πρῶτον συστολὴ παρηκολούθησε, καὶ τότε ἡ κρᾶσις ἐγένετο τῶν φωνηέντων, ἐπειδὴ οὐδέποτε τοῦ ι μεταξὺ ὄντος ἢ τοῦ υ κρᾶσις γίνεται φωνηέντων, ἀλλὰ πρῶτον ἀποβάλλονται ταῦτα, καὶ οὕτω γίγνεται ἡ κρᾶσις, οἷον τῷ ἐμῷ τὠμῷ, τοῦ ι ἀποβληθέντος τοῦ ἐν τῷ τῷ ἄρθρῳ, καὶ πάλιν τοῦ ἀνθρώπου καὶ τἀνθρώπου, τοῦ υ ἀποβληθέντος τοῦ ἐν τῷ ἄρθρῳ.

“ Ἐτύπτετο.” Ἰστέον ὅτι τὰ εἰς ΜΗΝ λήγοντα ἔχοντα τὸ μ κλιτικὸν, τροπῇ τῆς ΜΗΝ εἰς ΤΟ τὸ τρίτον πρόσωπον

[z] συνέρχονται Bar.

τῶν ἑνικῶν ποιεῖ· καὶ ἢ φυλάττουσι τὴν παραλήγουσαν, ὅτε ἐστὶν ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ, οἷον ἐπεποιήμην ἐπεποίητο, πεποιηκὼς γὰρ ἡ ἐνεργητικὴ μετοχή, ἐτιθέμην ἐτίθετο, τιθεὶς γὰρ ἡ ἐνεργητικὴ μετοχή, ἱστάμην ἵστατο, ἱστὰς γὰρ ἡ ἐνεργητικὴ μετοχή, ἐδιδόμην ἐδίδοτο, διδοὺς γὰρ ἡ ἐνεργητικὴ μετοχή, ἐτυψάμην ἐτύψατο, τύψας γὰρ ἡ ἐνεργητικὴ μετοχή· τρέπουσι δὲ τὴν παραλήγουσαν, ὅτε μέν ἐστιν ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ, οἷον ἐτυπτόμην ἐτύπτετο, τύπτων γὰρ ἡ ἐνεργητικὴ μετοχή, ἐτυπόμην ἐτύπετο, τυπῶν γὰρ ἡ ἐνεργητικὴ μετοχή· τὰ δὲ περισπώμενα [a] κατὰ συναίρεσιν ποιοῦνται τὴν παραλήγουσαν· ἔστι γὰρ ἐποιεόμην ἐποιέετο, καὶ κατὰ κρᾶσιν τοῦ Ε καὶ Ο εἰς τὴν ΟΥ δίφθογγον ἐποιούμην, ὥσπερ χάλκεος χαλκοῦς, τῶν δὲ δύο ΕΕ εἰς τὴν ΕΙ δίφθογγον, ἐποιεῖτο, ὥσπερ Πηλέες Πηλεῖς. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν ἐν τῷ ἐποιεῖτο τὰ δύο ΕΕ εἰς τὴν ΕΙ δίφθογγον ἐκράθησαν, καὶ μὴ εἰς τὸ Ε· καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· τὰ εἰς ΜΗΝ καὶ τὰ εἰς ΤΟ τὰ
285 b ἴσα φωνήεντα θέλουσιν ἔχειν κατὰ τὴν παραλήγουσαν, οἷον ἐτυπτόμην ἐτύπτετο, ἐλεγόμην ἐλέγετο, ἐβοώμην ἐβοᾶτο, ἐχρυσούμην ἐχρυσοῦτο, ἐστεφανούμην ἐστεφανοῦτο, ὠρθούμην ὠρθοῦτο· εἰ οὖν τὸ ἐποιούμην διὰ δύο φωνηέντων ἐκφέρεται κατὰ τὴν παραλήγουσαν, [δηλονότι καὶ τὸ ἐποιεῖτο ἀναγκάζεται διὰ δύο φωνηέντων ἐκφέρεσθαι κατὰ τὴν παραλήγουσαν,] καὶ δηλονότι εὐλόγως εἰς τὴν ΕΙ δίφθογγον ἐγένετο ἡ κρᾶσις, καὶ οὐκ εἰς τὸ Η· πάλιν ἐστὶν ἐβοαόμην ἐβοάετο, καὶ κατὰ κρᾶσιν τοῦ μὲν Α καὶ Ο εἰς τὸ Ω γίνεται ἐβοώμην, ὥσπερ ἐτύψαο ἐτύψω, ἐλούσαο ἐλούσω· τὸ δὲ Α καὶ Ε εἰς Α μακρὸν ἐβοᾶτο γίνεται, ὥσπερ τὰ ἐμὰ τἀμά· καὶ πάλιν ἐχρυσοόμην, ἐχρυσόετο, καὶ κατὰ κρᾶσιν τῶν μὲν δύο ΟΟ εἰς τὴν ΟΥ δίφθογγον ἐχρυσούμην, ὥσπερ νόος νοῦς· τοῦ δὲ Ο καὶ Ε εἰς τὴν ΟΥ δίφθογγον γίνεται ἐχρυσοῦτο, ὥσπερ τὸ ἐμὸν τοὐμόν. Πρόσκειται δὲ ἐν τῷ κανόνι "ἔχον τὸ Μ κλιτικὸν" διὰ τὸ ἐδάμην· τοῦτο γὰρ εἰς ΜΗΝ λῆγον, οὐ τρέπει τὴν ΜΗΝ εἰς ΤΟ, καὶ ποιεῖ τὸ τρίτον πρόσωπον, ἐδάμη

[a] πρὸς τὴν Bar.

γὰρ τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν, [ἀλλ' οὐκ ἔχει τὸ Μ κλιτικὸν, ἀλλὰ θεματικὸν, ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· (δάμνω) γάρ ἐστιν ὁ ἐνεστὼς, καὶ ἔχει τὸ Μ κλιτικόν. Ταῦτα μὲν ἐν τούτοις.]

Ἰστέον δ' ὅτι περιττῶς προσέθηκε τὸ ὀξύτονον, οἷον "τὴν δὲ παραλήγουσαν τρέπει, ὅταν μὲν ἔχῃ τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ ὀξύτονον," ἤρκει γὰρ εἰπεῖν εἰς Σ μονον. Ἰδοὺ γὰρ τὸ ἐτυψάμην ἐτύψατο τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μόνον ἔχει, οὐ μὴν καὶ ὀξύτονον· τύψας γάρ ἐστι, καὶ ὅμως ἐφύλαξε τὴν παραλήγουσαν.

"Δυϊκά· ἐτυπτόμεθον, ἐτύπτεσθον, [ἐτυπτέσθην."

Ἰστέον ὅτι τὸ τρίτον τῶν δυϊκῶν οὐχ ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ ἐνταῦθα, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς ΣΙ οὔτε εἰς Α λήγει· ἔτυπτον γάρ ἐστι τὸ τρίτον τῶν πληθυντικῶν, γέγονε δὲ τὸ τρίτον τῶν δυϊκῶν ἀπὸ τοῦ ἰδίου δευτέρου προσώπου, τροπῇ τοῦ Ο εἰς Η, οἷον ἐτύπτεσθον,] ἐτυπτέσθην.

"Τὰ πληθυντικά· ἐτυπτόμεθα, ἐτύπτεσθε, ἐτύπτοντο. Παρακειμένου ἑνικά· τέτυμμαι."

Ἐνταῦθα περὶ τοῦ παθητικοῦ παρακειμένου διαλαμβάνει. Ἰστέον ὅτι ὁ παθητικὸς παρακείμενος ἐκ τοῦ ἐνεργητικοῦ γίνεται τροπῇ τοῦ τέλους εἰς ΜΑΙ, οἷον πεποίηκα, πεποίημαι· καθόλου γὰρ πᾶς παθητικὸς παρακείμενος εἰς ΜΑΙ λήγει, οἷον νενόημαι, τετέλεσμαι, λέλεγμαι. Καὶ δεῖ γινώσκειν, ὅτι οἱ μὲν εἰς ΦΑ ἐνεργητικοὶ παρακείμενοι τρέπουσι τὴν ΦΑ εἰς ΜΑΙ καὶ ἕτερον Μ προσλαμβάνουσι, τέτυφα τέτυμμαι, γέγραφα γέγραμμαι, κέκοφα κέκομμαι, νένηφα νένημμαι, ἔρραφα ἔρραμμαι· καὶ λέγομεν ὅτι τρέπει τὸ Α εἰς ΜΑΙ, καὶ τὸ Φ εἰς Μ· οἱ δὲ εἰς ΧΑ παρακείμενοι ἐνεργητικοὶ τρέπουσι τὴν ΧΑ εἰς ΜΑΙ, καὶ προσλαμβάνουσι τὸ Γ, οἷον νένηχα νένηγμαι, πέπληχα πέπληγμαι, ὤρυχα ὤρυγμαι, πέπηχα πέπηγμαι, τετίναχα τετίναγμαι, πέπλεχα πέπλεγμαι, ἢ λέγομεν ὅτι τρέπουσι τὸ Α εἰς ΜΑΙ, καὶ τὸ Χ εἰς Γ, οἱ δὲ εἰς ΚΑ ἐνεργητικοὶ
286 a παρακείμενοι εἰ μὲν ὦσιν ἀπὸ περισπωμένων θεμάτων πρὸς τὴν παραλήγουσαν κανονίζονται· εἰ μὲν γὰρ μακρᾷ παραλή-

γονται, τρέπουσι τὸ κα εἰς μαι καὶ ποιοῦσι τὸν παθητικὸν παρακείμενον, οἷον πεποίηκα πεποίημαι, νενόηκα νενόημαι, νένηκα νένησμαι, κεχρύσωκα κεχρύσωμαι, ὤρθωκα ὤρθωμαι· εἰ δὲ βραχείᾳ παραλήγονται, καὶ τὸ σ προσλαμβάνουσιν ἐν τῷ παθητικῷ παρακειμένῳ μετὰ τὴν τροπὴν τοῦ κα εἰς μαι, οἷον τετέλεκα τετέλεσμαι, γεγέλακα γεγέλασμαι, κεχάλακα κεχάλασμαι, κέκλακα κέκλασμαι, τέθλακα τέθλασμαι, ἤρκεκα ἤρκεσμαι· εἰ δὲ ἀπὸ τῶν εἰς μι, τρέπουσι τὴν κα εἰς μαι καὶ συστέλλουσι τὴν παραλήγουσαν, καὶ ποιοῦσι τὸν παθητικὸν παρακείμενον, οἷον τέθεικα τέθεμαι, καὶ κατὰ πλεονασμὸν τοῦ ι τέθειμαι γίνεται· ἕστηκα ἕσταμαι, πέπτωκα πέπτωμαι, δέδωκα δέδομαι. Ταῦτα περὶ τῶν ἀπὸ τῶν εἰς ω περισπωμένων, καὶ περὶ τῶν ἀπὸ τῶν εἰς μι· εἰ δέ εἰσιν ἀπὸ βαρυτόνων θεμάτων, οἱ εἰς κα ἐνεργητικοὶ παρακείμενοι εἴτε βραχείᾳ εἴτε μακρᾷ παραλήγονται, τρέπουσι τὴν κα εἰς μαι, καὶ προσλαμβάνουσι τὸ σ, καὶ ποιοῦσι τὸν παθητικὸν παρακείμενον, οἷον νένηκα νένησμαι, πέπεικα πέπεισμαι, ἐρράπικα ἐρράπισμαι, λελέπικα λελέπισμαι, λελάκτικα λελάκτισμαι, πέφρακα πέφρασμαι, ἥρπακα ἥρπασμαι, χωρὶς τῆς ε′ συζυγίας· ταῦτα γὰρ παρ' ἡμῖν τροπῇ τῆς κα εἰς μαι ποιοῦσι τὸν παθητικὸν παρακείμενον, οἷον τέτιλκα τέτιλμαι, ἔσπαρκα ἔσπαρμαι, ἔσταλκα ἔσταλμαι, ἔφθαρκα ἔφθαρμαι, κέκαρκα κέκαρμαι, κέκλικα κέκλιμαι, πέπλυκα πέπλυμαι, κέκρικα κέκριμαι, τέτακα τέταμαι· καὶ ταῦτα τῆς ε′ συζυγίας τῶν βαρυτόνων εἰσὶν, εἰ καὶ ἀπέβαλον τὸ ν ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ, ὡς ἐν τῇ περὶ τούτου διδασκαλίᾳ μεμαθήκαμεν. Πρόσκειται "παρ' ἡμῖν," ἐπειδὴ οἱ Ἀθηναῖοι πολλάκις τὸ μ εἰς σ τρέπουσι κατὰ τὸν παθητικὸν παρακείμενον ἐπὶ τῆς πέμπτης καὶ ἕκτης συζυγίας· μεμόλυμμαι μεμόλυσμαι, ὕφαμμαι ὕφασμαι, μεμίαμμαι μεμίασμαι. Δεῖ προσθεῖναι, χωρὶς ὀλίγων τῆς ἕκτης συζυγίας· καὶ γὰρ τὰ τῆς ἕκτης συζυγίας πῇ μὲν προσλαμβάνουσι τὸ σ κατὰ τὸν παθητικὸν παρακείμενον, πῇ δὲ οὐ προσλαμβάνουσιν αὐτὸ, οἷον σβέω σβέσω ἔσβεκα ἔσβεσμαι, ζέω ζέσω ἔζεκα ἔζεσμαι, κελεύω κελεύσω κεκέλευκα [κεκέλευσμαι· ἐορ (δέον) δὲ κεκέλεσμαι, ἀφ' οὗ τὸ]

ἐκελεύσθην, κρούω κρούσω κέκρουκα κέκρουσμαι, ἱππεύω ἱππεύσω ἵππευκα ἵππευμαι, βασιλεύω βασιλεύσω βεβασίλευκα βεβασίλευμαι· τοξεύω τοξεύσω τετόξευκα τετόξευμαι. Ἰστέον *δὲ, ὅτι πότε προσλαμβάνει ἡ ἕκτη συζυγία τὸ* Σ *κατὰ τὸν παθητικὸν παρακείμενον, καὶ πότε οὐ προσλαμβάνει, οὐκ ἔστιν ἀπὸ κανόνος γνῶναι, ἀλλ' ἀπὸ τῆς χρήσεως· οὐδὲ γὰρ δυνάμεθα ἀπὸ τῆς ἕκτης συζυγίας πρὸς τὴν παραλήγουσαν κανονίσαι, ὥσπερ ἐπὶ τῶν συζυγιῶν τῶν περισπωμένων, ὅτι εἰ μὲν μακρᾷ παραλήγεται, οὐ προσλαμβάνει τὸ* Σ, *εἰ δὲ βραχείᾳ, προσλαμβάνει τὸ* Σ· *ἰδοὺ γὰρ τὸ μὲν κεκέλευκα καὶ*
286 b *κέκρουκα μακρᾷ παραληγόμενα προσλαμβάνουσι τὸ* Σ, *οἷον κεκέλευσμαι, κέκρουσμαι· τὸ δὲ λέλυκα καὶ τέθυκα βραχείᾳ παραληγόμενα οὐ περιλαμβάνουσι τὸ* Σ, *οἷον λέλυμαι, τέθυμαι.* Ταῦτα *μὲν περὶ τούτων.*

Μηδεὶς *δὲ οἰέσθω τὸ ἔρραγκα καὶ μεμίαγκα καὶ μεμόλυγκα ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ πῇ δὲ εἰς τὸ* Μ, *ὡς ἐν τῷ ἔρραμμαι, μεμόλυμμαι, παθητικῷ παρακειμένῳ· καὶ ἐν μὲν τῷ ἔρραγκα καὶ μέμιαγκα καὶ μεμόλυγκα* [a][*δυνάμει ἐστίν· ἀπὸ γὰρ τοῦ ῥαίνω καὶ μολύνω τρέπεται, ὡς ἐν τῷ ἔρραγκα, μεμίαγκα, μεμόλυγκα ἐνεργητικῷ παρακειμένῳ καὶ ἐν μὲν τῷ ἔρραγκα καὶ μεμόλυγκα . . . .*] *ἐνεργητικῷ παρακειμένῳ τὸ* Ν *εἰς τὸ* Γ *τρέπεται διὰ τὴν ἐπιφορὰν τοῦ* Κ· *τὸ γὰρ* Ν *ἐπιφερομένου τοῦ* Γ *ἢ* Κ *ἢ* Ξ *ἢ* Χ *ἐν μιᾷ λέξει εἰς τὸ* Γ *τρέπεται, οἷον σύγχυσις, συγγενὴς, συγκληρονόμος, συγξηρᾶναι.* Πρόσ*κειται "ἐν μιᾷ λέξει" διὰ τὸ σὺν* Γεωργίῳ, *ἐν χειρί· ἐνταῦθα γὰρ οὐκ ἐτράπη τὸ* Ν *εἰς τὸ* Γ, *ἐπιφερομένου τοῦ* Γ *ἢ* Χ· *ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν ἐν μιᾷ λέξει, ἀλλὰ δύο λέξεις εἰσίν· ἐν παραθέσει γάρ εἰσιν· ἐν δὲ τῷ ἔρραμμαι καὶ μεμίαμμαι καὶ μεμόλυμμαι παθητικῷ παρακειμένῳ τὸ* Ν *εἰς τὸ* Μ *ἐτράπη διὰ τὴν ἐπιφορὰν τοῦ* Μ· *τὸ γὰρ* Ν *ἐπιφερομένου τοῦ* Π *ἢ τοῦ* Β *ἢ τοῦ* Φ *ἢ τοῦ* Ψ *ἢ αὐτοῦ τοῦ* Μ *ἐν μιᾷ λέξει εἰς τὸ* Μ *τρέπεται, οἷον σύμβιος, σύμπονος, σύμφωνος, σύμψηφος, συμμέτοχος.* Πρόσκειται *"ἐν μιᾷ λέξει" διὰ τὸ ἐν* Βυζαντίῳ, *σὺν πολλοῖς· ἐνταῦθα γὰρ οὐ τρέπεται τὸ* Ν

[a] [ ] om. Bar.

εἰς τὸ μ ἐπιφερομένου τοῦ β καὶ τοῦ π, ἐπειδὴ δύο μέρη τοῦ λόγου εἰσίν· ἐν παραθέσει γάρ εἰσιν· ὁ μέντοι κέκλειμαι ὀφείλων [b] ἐν τῷ κέκλεισμαι προσλαμβάνειν τὸ σ, κέκλεισμαι λέγεται παρὰ πᾶσιν Ἕλλησι. Λαμβάνονται δέ τινες τοῦ τεχνικοῦ, λέγοντες, ὅτι κακῶς εἶπεν ὅτι κέκλεισμαι ὀφείλει λέγεσθαι τὸ κέκλειμαι· εἰ γάρ, ὡς εἴρηται, ποτὲ μὲν τὰ τῆς ἕκτης συζυγίας προσλαμβάνουσι τὸ σ κατὰ τὸν παθητικὸν παρακείμενον, ποτὲ δὲ οὐ προσλαμβάνουσι τὸ σ, οἷον ξέω ξέσω ἔξεκα ἔξεσμαι, κρούω κρούσω κέκρουκα κέκρουσμαι, βασιλεύω βασιλεύσω βεβασίλευκα βεβασίλευμαι, τοξεύω τοξεύσω τετόξευκα τετόξευμαι, τὸ δὲ κλείω ἕκτης συζυγίας ὂν δηλονότι μὴ προσλαμβάνον τὸ σ κατὰ τὸν παθητικὸν παρακείμενον οὐκ ὤφειλε σεσημειοῦσθαι· εἴτε δὲ φασί, διὰ τοῦ ι γράφεται, καὶ ἔστιν ε′ συζυγίας, πολλὰ κακῶς ἐσημειώσατο· [c] τὰ γὰρ ὄντα ε′ συζυγίας, ὡς εἴρηται ἀνωτέρω, οὐ προσλαμβάνουσι τὸ σ κατὰ τὸν παθητικὸν παρακείμενον, οἷον κέκαρκα κέκαρμαι, πέπλυκα πέπλυμαι. Ἔστιν οὖν εἰπεῖν, ὅτι καλῶς ἐσημειώσατο αὐτὸ ὁ τεχνικός, [d] περὶ γὰρ τοῦ γραφομένου διὰ τῆς ει διφθόγγου τῆς ἕκτης συζυγίας ἐστὶν αὐτῷ ὁ λόγος· τὸ δὲ κέκλεισμαι ὀφείλει λέγεσθαι μετὰ τοῦ σ· καὶ γὰρ ὅτε ὁ εἰς θην ἀόριστος παθητικὸς ἔχει πρὸ τοῦ θ τὸ σ, πάντως καὶ ὁ παθητικὸς παρακείμενος ἔχει πρὸ τοῦ μ τὸ σ, οἷον ἐσβέσθην ἔσβεσμαι, ἐτελέσθην τετέλεσμαι, ἐξέσθην ἔξεσμαι, ἐγελάσθην γεγέλασμαι, ἐκελεύσθην
287 a κεκέλευσμαι· εἰ οὖν ἐκλείσθην παθητικὸς ἀόριστος ἔχει πρὸ τοῦ θ τὸ σ, δηλονότι καὶ ὁ παθητικὸς παρακείμενος ἔχειν ὀφείλει πρὸ τοῦ μ τὸ σ, καὶ δηλονότι κέκλεισμαι ὤφειλε λέγεσθαι, καὶ οὐ κέκλειμαι χωρὶς τοῦ σ· ὥστε οὖν καλῶς αὐτὸ ἐσημειώσατο ὁ τεχνικός· ὁμοίως καὶ ἀπὸ τοῦ ἐλήλακα ἐλήλαμαι, οὐκ ἐλήλασμαι. Ἰστέον ὅτι τοῦτο καλῶς ἐσημειώσατο ὁ τεχνικός· ἐπειδὴ γὰρ τοῦτο ἔχει τὸ σ κατὰ τὸν παθητικὸν παρακείμενον, ἐπειδή, ὡς ἐμάθομεν, ἡνίκα ἐστὶν ὁ εἰς κα ἐνεργητικὸς παρακείμενος ἀπὸ τῶν περισπωμένων

[b] ἐκ τοῦ Bar. [c] τῶν γὰρ τῆς ε′ Bar. Supra πάλιν κακῶς Par.
[d] παρὰ τοῦ γράφω διὰ τῆς ΕΙ διφθόγγου καὶ οὐ τῆς ἕκτης Bar.

θεμάτων καὶ βραχείᾳ παραλήγεται, τὸ Σ προσλαμβάνει ὁ παθητικὸς παρακείμενος, οἷον τετέλεκα τετέλεσμαι, γεγέλακα γεγέλασμαι, κέκλακα κέκλασμαι, καὶ τέθλακα τέθλασμαι· εἰ οὖν ὁ ἐλήλακα ἐνεργητικὸς παρακείμενος ἀπὸ περισπωμένων θεμάτων ἐστὶ, καὶ βραχείᾳ παραλήγεται, (ἀπὸ γὰρ τοῦ ἐλῶ ἐλάσω γέγονεν ἤλακα, καὶ Ἀττικῶς ἐλήλακα,) δηλονότι ὤφειλεν ὁ παθητικὸς παρακείμενος προσλαμβάνειν τὸ Σ καὶ γενέσθαι ἐλήλασμαι, καὶ μὴ ἐλήλαμαι χωρὶς τοῦ Σ. Ἀπολογοῦνται δέ τινες, λέγοντες, ἐπειδὴ Ἀττικοῦ παρακειμένου ἐστὶν ὁ ἐλήλαμαι παθητικὸς παρακείμενος, τούτου χάριν οὐ προσέλαβε τὸ Σ· ἐμάθομεν γὰρ ὅτι ὁ Ἀττικὸς παρακείμενος τὴν γ′ ἀπ' ἀρχῆς συλλαβὴν συστέλλει, οἷον ἀκήκοα, ἀλήλιφα, ἐλήλυθα. Πρὸς οὓς ἐστὶν εἰπεῖν, [ὅτι ἡνίκα ἡ φύσει μακρὰ συστέλλει τὴν τρίτην ἀπὸ τέλους συλλαβὴν, ὡς ἐν τῇ περὶ τούτου διδασκαλίᾳ μεμαθήκαμεν, ἐπειδὴ θέσει μακρᾷ] πολλάκις εὑρίσκεται, οἷον ἀλήλιμμαι, ἐρήρισται, ἐγήγερμαι, τί οὖν ἄτοπον καὶ ἐν τῷ ἐλήλαμαι Ἀττικῷ παθητικῷ παρακειμένῳ τὸ Σ προσελθεῖν καὶ γενέσθαι τὴν τρίτην ἀπ' ἀρχῆς συλλαβὴν θέσει μακράν; Κρεῖττον οὖν ἐστὶν εἰπεῖν, ὅτι ἐπειδὴ ὁ παθητικὸς α′ ἀόριστος χωρὶς τοῦ Σ [e] ἐπεκράτησε λέγεσθαι, ἠλάθην γὰρ λέγεται καὶ ἀπηλάθην· τούτου χάριν καὶ ὁ ἐλήλαμαι παθητικὸς παρακείμενος χωρὶς τοῦ Σ λέγεται· ἡνίκα γὰρ ὁ εἰς ΘΗΝ ἀόριστος οὐκ ἔχει πρὸ τοῦ Θ τὸ Σ, οὔτε ὁ εἰς ΜΑΙ παθητικὸς, οἶμαι, θέλει ἔχειν πρὸ τοῦ Μ τὸ Σ, οἷον ἐποιήθην πεποίημαι, ἐνοήθην νενόημαι, ἐσιγήθην σεσίγημαι, ἐστεφανώθην ἐστεφάνωμαι, ἐχρυσώθην κεχρύσωμαι . . . . . χωρὶς τοῦ Σ δηλονότι, ἐλήλαμαι χωρὶς τοῦ Σ. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τῆς ἀρχούσης τοῦ παθητικοῦ παρακείμενου ἔστιν εἰπεῖν, ὅτι τὴν αὐτὴν ἔχει ἄρχουσαν τῷ ἐνεργητικῷ παρακειμένῳ, τέτυφα τέτυμμαι, [νενόηκα νενόημαι, νένυκα νένυγμαι,

[e] λέγεται ἡνίκα γὰρ ὁ εἰς ΘΗΝ οὐκ ἔχει πρὸ τοῦ Θ τὸ Σ οὔτε ὁ εἰς ΜΑΙ παθητικὸς παρακείμενος ἔχει πρὸ τοῦ Μ τὸ Σ, οἷον πεποιήμην, πεποίημαι· εἰ οὖν ὁ ἠλάθην καὶ ἀπηλάθην χωρὶς τοῦ Σ, δηλονότι καὶ ἐλήλαμαι χωρὶς τοῦ Σ. Bar.

πεποίηκα πεποίημαι, ὤρυχα ὤρυγμαι, ἔσταλκα ἔσταλμαι, ἔφθαρκα ἔφθαρμαι,] ἔσπαρκα ἔσπαρμαι. Περὶ δὲ τῆς παραληγούσης τοῦ παθητικοῦ παρακειμένου ἔστιν εἰπεῖν ὅτι τὴν αὐτὴν ἔχει παραλήγουσαν τῷ ἐνεργητικῷ παρακειμένῳ ἐπὶ τῶν εἰς ω ῥημάτων, οἷον [κεχρύσωκα κεχρύσωμαι, ἐστεφάνωκα ἐστεφάνωμαι, πεποίηκα πεποίημαι, νενόηκα νενόημαι, ἠρεύνηκα ἠρεύνημαι, ἠλέηκα ἠλέημαι,] ἔρραφα ἔρραμμαι, [τέτυφα τέτυμμαι, νένυχα νένυγμαι, πέπεικα πέπεισμαι.] Πρόσκειται "ἐπὶ τῶν εἰς ω ῥημάτων," ἐπειδὴ ἐπὶ τῶν εἰς ΜΙ συστέλλεται ἡ παραλήγουσα τοῦ παθητικοῦ παρακειμένου, οἷον δέδωκα δέδομαι, τέθεικα τέθεμαι, καὶ κατὰ πλεονασμὸν τοῦ Ι τέθειμαι διὰ τῆς ΕΙ διφθόγγου. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν, ὅτι δισύλλαβα τῆς α′ καὶ β′ συζυγίας τῶν βαρυτόνων τὰ τρέποντα Ἀττικῶς τὸ Ε εἰς Ο κατὰ τὸν ἐνεργητικὸν παρακείμενον ἐν τῷ παθητικῷ παρακειμένῳ ἀναδέχονται τὴν παραλήγουσαν τοῦ ἐνεστῶτος, οἷον λέγω λέλεχα λέλεγμαι, στέφω ἔστεφα ἔστεμμαι, κλέπτω κέκλοφα κέκλεμμαι, εὑρέθη δὲ καὶ κέκλαμμαι, πλέκω πέπλεχα πέπλεγμαι. Δεῖ προσθεῖναι, χωρὶς τῶν ἐχόντων τὸ Ρ μετ' ἐπιπλοκῆς συμφώνου· ἐκεῖνα γὰρ τρέπουσι τὸ Ε εἰς Α κατὰ τὸν παθητικὸν παρακείμενον, οἷον στρέφω ἔστρεφα ἔστραμμαι, τρέφω τέθροφα τέθραμμαι, τρέπω τέτροφα τέτραμμαι, σεσημειουμένου τοῦ βρέχω βέβροχα βέβρεγμαι· τοῦτο γὰρ οὐκ ἔτρεψε τὸ Ε εἰς τὸ Α. Ταῦτα μὲν περὶ τούτων.

Ζήτημα δὲ ἡμῖν ὑπολείπεται τοιοῦτον· εἴπερ πᾶν παθητικὸν ἢ μέσον ἔχον τὸ Μ κλιτικὸν περιττοσυλλαβεῖ τοῦ ἰδίου ἐνεργητικοῦ, οἷον τύπτομαι τύπτω, ἐτυπτόμην ἔτυπτον, τυφθήσομαι τύψω, τύψομαι τύψω, τυπήσομαι τυπῶ, τυποῦμαι τυπῶ, χωρὶς τῶν εἰς ΜΙ, οἷον τίθημι τίθεμαι, [ἵστημι ἵσταμαι, δίδωμι δίδομαι, ζεύγνυμι ζεύγνυμαι,] ταῦτα γὰρ περιττεύουσι τῇ μιᾷ συλλαβῇ, (ἀπὸ γὰρ τῆς παραγωγῆς ἔχουσιν αὐτὴν, διὸ καὶ ἰσοσυλλαβοῦσι τοῖς παθητικοῖς,) διὰ τί ὁ παθητικὸς παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς ἔχοντες τὸ Μ κλιτικὸν, οὐ περιττοσυλλαβοῦσι τοῦ παρακειμένου καὶ

ὑπερσυντελικοῦ τῶν ἐνεργητικῶν, ἀλλ' ἰσοσυλλαβοῦσιν αὐτοῖς, οἷον τέτυφα τέτυμμαι, ἐτετύφειν ἐτετύμμην, πεποίηκα πεποίημαι, ἐπεποιήκειν ἐπεποιήμην; Πρόσκειται "ἔχον τὸ μ κλιτικόν," [οἷον πᾶν παθητικὸν ἢ μέσον ἔχον τὸ μ κλιτικὸν] διὰ τὸ ἐδάμην, ἐπειδὴ οὐκ ἔχει τὸ μ κλιτικὸν, ἀλλὰ θεματικόν· ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· δάμω γάρ ἐστιν ὁ ἐνεστὼς, καὶ ἔχει τὸ μ. Λέγει οὖν ὁ Ῥωμανὸς ταύτην τὴν ἀπολογίαν· πᾶν παθητικὸν ἢ μέσον ἔχον τὸ μ κλιτικὸν μιᾷ συλλαβῇ περιττεῦον τοῦ ἰδίου ἐνεργητικοῦ θέλει ἔχειν τὴν παραλήγουσαν τοῦ α' προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ἐνεργητικοῦ, ἅμα δὲ καὶ τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς τῆς ἐνεργητικῆς, οἷον τύπτομαι τύπτομεν τύπτοντος, ἐτυπτόμην ἐτύπτομεν τύπτοντος, [ἐτύψαμεν τύψαντος, ἐτυπόμην ἐτύπομεν τυπόντος.] τύψομαι τύψομεν τύψοντος, [τυποῦμαι τυποῦμεν τυποῦντος]· ὁ οὖν παρακείμενος παθητικὸς τῷ μὲν λόγῳ τῆς παραληγούσης τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ἐνεργητικοῦ τετύφαμαι εἶχεν εἶναι· τετύφαμεν γάρ ἐστι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεργητικοῦ παρακειμένου, τῷ δὲ λόγῳ τῆς παραληγούσης τῆς γενικῆς τῆς μετοχῆς τῆς ἐνεργητικῆς [c]τετύφομαι εἶχεν εἶναι, τετυφότος γάρ ἐστιν ἡ γενικὴ τῆς μετοχῆς τοῦ ἐνεργητικοῦ· τοῦ μὲν οὖν πρώτου προσώπου τῶν πληθυντικῶν ἀπαιτοῦντος αὐτὸ εἶναι τετύφαμαι διὰ τοῦ α, τῆς δὲ γενικῆς τῆς μετοχῆς τῆς ἐνεργητικῆς ἀπαιτούσης αὐτὸ τετύφομαι εἶναι διὰ τὸ ο, συνεκόπη ἡ συλλαβὴ ἡ ἀμφιβαλλομένη, καὶ ἐγένετο τέτυμμαι, καὶ λοιπὸν εὐλόγως ἰσοσυλλαβεῖ τῷ ἰδίῳ ἐνεργητικῷ. Πάλιν ὁ παθητικὸς ὑπερσυντελικὸς τῷ μὲν λόγῳ τῆς παραληγούσης τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ἐνεργητικοῦ ἐτετυφείμην εἶχεν εἶναι· ἐτετύφειμεν γάρ ἐστι τὸ πρῶτον πρόσωπον τῶν
288 a πληθυντικῶν τοῦ ἐνεργητικοῦ ὑπερσυντελικοῦ· τῷ δὲ λόγῳ τῆς παραληγούσης τῆς γενικῆς τῆς ἐνεργητικῆς μετοχῆς ἐτετυφόμην εἶχεν εἶναι· τετυφότος γὰρ ἡ γενικὴ τῆς ἐνεργητικῆς μετοχῆς.

[c] τετύφομεν Bar.

Τοῦ μὲν οὖν πρώτου προσώπου τῶν πληθυντικῶν ἀπαιτοῦντος ἐτετυφείμην εἶναι διὰ τῆς ει διφθόγγου, τῆς δὲ γενικῆς τῆς ἐνεργητικῆς μετοχῆς ἐτετυφόμην [f]διὰ τοῦ ο, συνεκόπη ἡ ἀμφιβαλλομένη συλλαβὴ, καὶ γίνεται ἐτετύμμην· καὶ λοιπὸν εὐλόγως ἰσοσυλλαβεῖ τῷ ἰδίῳ ἐνεργητικῷ. Πρόσκειται ἀνωτέρω "μιᾷ συλλαβῇ περιττεῦον τοῦ ἰδίου ἐνεργητικοῦ" διὰ τοὺς τυφθήσομαι καὶ τυπήσομαι παθητικοὺς μέλλοντας· οὗτοι γὰρ οὐκ ἔχουσι τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ἐνεργητικοῦ οὔτε τὴν παραλήγουσαν τῆς γενικῆς τῆς ἐνεργητικῆς μετοχῆς· τῇ γὰρ . . συλλαβῇ παραλήγονται, ἐκεῖνα δὲ τῇ ψο καὶ τῇ ποτ, οἷον τύψομεν τύψοντος, τυποῦμεν τυποῦντος· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν ταῦτα, ἐπειδὴ δύο συλλαβαὶ περιττεύουσι τῶν ἰδίων ἐνεργητικῶν, οἷον τυφθήσομαι τύψω, τυπήσομαι τυπῶ.

"Τέτυψαι." Ἐμάθομεν ἐν τοῖς προλαβοῦσι, ποῖα τῶν ἐχόντων τὸ μ κλιτικὸν κατὰ τὸ πρῶτον πρόσωπον τροπῇ τοῦ τ, τοῦ ὄντος κατὰ τὸ τρίτον πρόσωπον εἰς σ, ποιοῦσι τὸ δεύτερον πρόσωπον, καὶ ποῖα ἀποβολῇ τοῦ τ καὶ κράσει τῶν φωνηέντων. Ἐμάθομεν γὰρ ὅτι ἡνίκα ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ μετ' ὀξείας τάσεως, τότε τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν τροπῇ τοῦ τ εἰς σ ποιεῖ τὸ δεύτερον πρόσωπον, οἷον πεποίηται πεποίησαι, πεποιηκὼς γὰρ ἡ μετοχή· ἡνίκα δὲ μὴ ἔστιν ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ μετ' ὀξείας τάσεως, τότε ἀποβολῇ τοῦ τ, τοῦ κατὰ τὸ τρίτον πρόσωπον, καὶ κράσει τῶν φωνηέντων γίνεται τὸ δεύτερον πρόσωπον, οἷον τύπτεται τύπτεαι καὶ τύπτῃ, τύπτων γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχή· ἔστιν οὖν τέτυπται καὶ ἐτέτυπτο, καὶ ταῦτα ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως· τετυφὼς γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχή· καὶ τροπῇ τοῦ τ εἰς σ γίνεται τὸ δεύτερον πρόσωπον τέτυπσαι, καὶ ἐτέτυπσο διὰ τοῦ π καὶ σ, καὶ διὰ τὴν κακοφωνίαν κίρνανται τὸ π καὶ σ εἰς ψ, καὶ γίνεται τέτυψαι καὶ ἐτέτυψο διὰ τοῦ ψ, ὥσπερ καὶ ἀπὸ τοῦ Πέλοπι δοτικῆς ἑνικῆς γίνεται ἡ δοτικὴ τῶν πληθυντικῶν

[f] διὰ τοῦτο συνεκ. Bar.

προσόδῳ τοῦ Σ διὰ τοῦ Π καὶ Σ, καὶ κατὰ κρᾶσιν τοῦ Π καὶ Σ εἰς Ψ, Πέλοψι διὰ τοῦ Ψ. Πάλιν ἐστὶ τὸ νένυκται ἐνένυκτο· καὶ ἐπειδὴ ταῦτα ἔχουσι τὴν ἐνεργητικὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως, νενυχὼς γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχή, τούτου χάριν τρέπουσι τὸ Τ εἰς τὸ Σ, καὶ ποιοῦσι τὸ δεύτερον πρόσωπον νένυκται καὶ ἐνένυκτο διὰ τοῦ Κ καὶ Σ, καὶ διὰ τὴν κακοφωνίαν κίρνανται τὸ Κ καὶ Σ εἰς Ξ, καὶ γίγνονται νένυξαι καὶ ἐνένυξο διὰ τοῦ Ξ, ὥσπερ ἀπὸ τῆς κόρακι δοτικῆς ἑνικῆς γίνεται ἡ δοτικὴ τῶν πληθυντικῶν προσόδῳ τοῦ Σ κόρακσι, διὰ τοῦ Κ καὶ Σ, καὶ κατὰ κρᾶσιν τοῦ Κ καὶ Σ εἰς Ξ, κόραξι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δ' ὅτι ἐὰν πρὸ τοῦ Τ εὑρεθῇ τὸ Σ ἐν τῷ τρίτῳ προσώπῳ τῶν ἑνικῶν τρέπεται τὸ Τ εἰς τὸ Σ, καὶ τὸ ἓν Σ ἀποβάλλεται, καὶ γίνεται τὸ δεύτερον πρόσωπον, οἷον γεγέλασται γεγέλασαι, τετέλεσται τετέλεσαι, ἔξεσται ἔξεσαι,
288 b ἔσβεσμαι ἔσβεσαι, κέκλασται κέκλασαι, διὰ ἑνὸς τοῦ Σ· ἠρκέσθη γὰρ τὸ δεύτερον πρόσωπον τῷ ἑνὶ Σ. Εἰ δέ τις εἴποι, διὰ τί γὰρ μὴ λέγομεν ὅτι ἀποβολῇ τοῦ Τ γεγόνασι ταῦτα, καὶ μὴ τροπῇ τοῦ Τ εἰς Σ, καὶ ἀποβολῇ τοῦ ἑνὸς Σ; Λέγομεν, ὅτι οὐ δύναται ἐπὶ τούτων ἀποβολὴ γενέσθαι τοῦ Τ, ἐπειδὴ ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ μετ' ὀξείας τάσεώς ἐστι· γεγελακὼς γὰρ καὶ τετελεκὼς καὶ ἐξεκὼς καὶ ἐσβεκὼς καὶ κεκλακὼς ἐστίν· ἐμάθομεν δὲ ὅτι ἐπὶ τῶν τοιούτων τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν τροπῇ τοῦ Τ εἰς τὸ Σ ποιεῖ τὸ δεύτερον πρόσωπον, οἷον πεποίηται πεποίησαι, ὅτι πεποιηκὼς ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ μετ' ὀξείας τάσεως. Ταῦτα μὲν ἐν τούτοις. Ἐὰν δὲ εὑρεθῇ πρὸ τοῦ Τ ἀμετάβολον, τρέπεται τὸ Τ εἰς τὸ Σ ἐν τῷ δευτέρῳ προσώπῳ, καὶ φυλάττεται τὸ ἀμετάβολον, οἷον κέκαρται κέκαρσαι, τέτιλται τέτιλσαι, ἔσταλται ἔσταλσαι, ἔσπαρται ἔσπαρσαι, ἔφθαρται ἔφθαρσαι, μεμίανται μεμίανσαι, μεμόλυνται μεμόλυνσαι.

“Τέτυπται.” Ἐμάθομεν ὅτι τὰ εἰς ΜΑΙ τροπῇ τῆς ΜΑΙ εἰς ΤΑΙ τὸ τρίτον ποιοῦσι πρόσωπον, καὶ ἢ φυλάττουσι τὴν παραλήγουσαν, ἢ τρέπουσιν αὐτήν, καὶ ποτε μὲν φυλάττουσιν αὐτὴν καὶ πότε δὲ οὐ φυλάττουσιν ἐν τοῖς προλα-

βοῦσιν ἐμάθομεν· ἔστιν οὖν τέτυμμαι, καὶ ἔδει τρεπομένου τοῦ ΜΑΙ εἰς ΤΑΙ γενέσθαι τὸ τρίτον τῶν ἑνικῶν τέτυμπται διὰ τοῦ Μ καὶ τοῦ Τ· ἀλλ' ἐπειδὴ ἐνταῦθα τὸ Μ ἐκ τοῦ Φ γέγονεν· ἀπὸ γὰρ τοῦ τέτυφα γέγονε· τούτου χάριν ἐτράπη τὸ Μ εἰς τὸ ἀντίστοιχον τοῦ Μ σύμφωνον ἐξ οὗ γέγονε, φημὶ δὲ εἰς τὸ ἀντίστοιχον τοῦ Φ, ἤγουν εἰς τὸ Π, καὶ γέγονε τέτυπται διὰ τοῦ Π καὶ Τ· καὶ πάλιν ἐστὶ νένυγμαι, καὶ ἔδει τρεπομένου τοῦ ΜΑΙ εἰς ΤΑΙ γενέσθαι τὸ γ' τῶν ἑνικῶν διὰ τοῦ Γ καὶ Τ· ἀλλ' ἐπειδὴ τὸ Γ ἐνταῦθα ἀπὸ τοῦ Χ γέγονεν· ἀπὸ γὰρ τοῦ νένυχα γέγονε· τούτου χάριν ἐτράπη τὸ Γ εἰς τὸ ἀντίστοιχον τοῦ συμφώνου ἐξ οὗ γέγονε, φημὶ δὲ εἰς τὸ ἀντίστοιχον τοῦ Χ ἤγουν τοῦ Κ, ἐξ οὗ καὶ γέγονε νένυκται διὰ τοῦ ΚΤ· διὰ τοῦτο δὲ καὶ ἐν τῷ τέτυπται τὸ Φ εἰς τὸ Π ἐτράπη, καὶ ἐν τῷ νένυκται τὸ Χ εἰς τὸ Κ, ὅτι οὐκ ἠδύνατο οὔτε τὸ Φ οὔτε τὸ Χ πρὸ τοῦ Τ εἶναι, οὔτε κατὰ σύλληψιν οὔτε κατὰ διάστασιν· κατὰ διάστασιν μὲν, ἐπειδὴ οὐδέποτε οὔτε συλλαβὴ οὔτε λέξις εἰς δασὺ καταλήγει, ὅθεν τὸ Ἀτθὶς καὶ Σαπφὼ καὶ Βάκχος, τὰ πρῶτα διὰ ψιλῶν γράφομεν· τὸ γὰρ Ἰωσὴφ καὶ Δαυὶδ καὶ τὰ τοιαῦτα βάρβαρά εἰσι· κατὰ σύλληψιν δὲ οὐκ ἠδύνατο οὔτε τὸ Φ οὔτε τὸ Χ πρὸ τοῦ Τ εἶναι, ἐπειδὴ τὸ Φ καὶ τὸ Χ δασέα εἰσὶ, τὸ δὲ Τ ψιλόν· ψιλὰ δὲ ψιλῶν ἡγοῦνται, καὶ δασέα δασέων, καὶ μέσα μέσων κατὰ σύλληψιν, οἷον πτῶσις, κτύπος, χθὼν, ἑβδομὰς, ἐρίγδουπος, ὀγδόη· πῶς οὖν τὸ Φ καὶ τὸ Χ δασέα ὄντα ἠδύναντο τοῦ Τ ψιλοῦ ὄντος προηγεῖσθαι κατὰ σύλληψιν; Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι τὸ μεμίαμμαι καὶ μεμίανται καὶ μεμόλυμμαι μεμόλυνται μηδεὶς οἰέσθω τροπὴν πεπονθέναι τοῦ Μ εἰς τὸ Ν· τὸ γὰρ Ν τοῦτο θεματικόν ἐστι· μιαίνω γὰρ καὶ μολύνω διὰ
289 a τοῦ Ν, ὅπερ πῇ μὲν εἰς τὸ Γ τρέπεται, ὡς ἐν τῷ μεμίαγκα καὶ μεμόλυγκα ἐνεργητικῷ παρακειμένῳ διὰ τὴν ἐπιφορὰν τοῦ Κ, πῇ δὲ εἰς τὸ Μ, ὡς ἐν τῷ μεμίαμμαι καὶ μεμόλυμμαι παθητικῷ παρακειμένῳ διὰ τὴν ἐπιφορὰν τοῦ Μ, ἐν δὲ τῷ μεμίανται καὶ μεμόλυνται τρίτῳ προσώπῳ, ἐπειδὴ οὐκ ἐπιφέρεται σύμφωνον τὸ ὀφεῖλον τρέψαι αὐτὸ, τούτου χάριν

ἐφυλάχθη τὸ ν· τὸ γὰρ γ ἐπιφέρεται· τὸ δὲ ν ἐπιφερομένου τοῦ δ ἢ θ ἢ τ φυλάττεται, οἷον ἔνδον, ἔνθα, [ἐντυχία καὶ] ἔντευξις. Εἰς δὲ τὸ ἀντίστοιχον τοῦ τ μεταβέβληται τὸ μ, (ἀντίστοιχον δὲ ἐνταῦθα τὸ π ἐκάλεσεν, εἰς αὐτὸ γὰρ μετεβλήθη τὸ μ τοῦ τέτυμμαι,) ἐν τῷ τέτυπται. Καὶ λαμβάνονται τινὲς τοῦ τεχνικοῦ, λέγοντες, ὅτι κακῶς ἀντίστοιχον τοῦ τ τὸ π ἐκάλεσεν· ἀντίστοιχον γὰρ τοῦ τ τὸ θ, ὡς ἐν τῇ τέχνῃ Διονυσίου μεμαθήκαμεν. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἀντίστοιχον ἐνταῦθα δεῖ νοεῖν τὸ ἰσόστοιχον, ὥσπερ καὶ ἀντίθεον λέγομεν τὸν ἰσόθεον, καὶ ἀντιάνειραν τὴν ἴσην τοῖς ἀνδράσι [κατὰ τὴν] δύναμιν· οὕτως οὖν καὶ ἐνταῦθα ἀντίστοιχον τοῦ τ τὸ π ἐκάλεσεν, ἀντὶ τοῦ ἰσόστοιχον· ἰσόστοιχον γάρ ἐστι τὸ π καὶ τὸ τ, ἀμφότερα γὰρ ψιλά εἰσιν. Ἡμεῖς δὲ εἰρήκαμεν ἀνωτέρω, ὅτι εἰς τὸ ἀντίστοιχον τοῦ συμφώνου ἐξ οὗ γεγόνεν ἐτράπη τὸ μ, φημὶ δὲ εἰς τὸ ἀντίστοιχον τοῦ φ, ἤγουν εἰς τὸ π.

"Δυϊκά· τετύμμεθον τέτυφθον τέτυφθον. Πληθυντικά. Τετύμμεθα τέτυφθε. Εἴρηται. Τετυμμένοι εἰσίν."

Ἰστέον ὅτι ἡνίκα τὸ γ' τῶν ἑνικῶν ἔχει πρὸ τοῦ τ σύμφωνον, τότε διὰ τὴν ἀσυνταξίαν οὐ προσλαμβάνει πρὸ τοῦ τ τὸ ν, καὶ ποιεῖ τὸ γ πρόσωπον τῶν πληθυντικῶν, ἀλλὰ διὰ μετοχῆς αὐτὸ ἀναπληροῖ ἡ χρῆσις, καὶ τοῦ εἰσὶν ὑπαρκτικοῦ ῥήματος, οἷόν ἐστι τέτυπται καὶ κέκαρται· καὶ ἐπειδὴ ἐὰν προσέλθῃ τὸ ν πρὸ τοῦ τ, ἀσυνταξία γίνεται, τούτου χάριν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν διὰ μετοχῆς ἀναπληροῦσι καὶ τοῦ εἰσὶν ὑπαρκτικοῦ ῥήματος, οἷον τετυμμένοι εἰσὶ καὶ κεκαρμένοι εἰσίν. Ἀλλ' ἔλθωμεν καὶ εἴπωμεν πῶς γίνεται ἡ ἀσυνταξία· ἔστι κέκαρμαι, ἐὰν προσλάβῃ πρὸ τοῦ τ τὸ ν, γίνεται κέκαρνται, διὰ τοῦ ρ καὶ ν καὶ τ· [καὶ λοιπὸν ἀσυνταξία γίνεται· οὔτε γὰρ κατὰ σύλληψιν, οὔτε κατὰ διάστασιν τὸ ρ καὶ τὸ ν] δύνανται παραλαμβάνεσθαι· κατὰ σύλληψιν δὲ, ἐπειδὴ πρῶτον μὲν ἀμετάβολον ἀμεταβόλου οὐδέποτε προηγεῖται κατὰ σύλληψιν, οἷον ἔρνος, ἅρμα, ἅλμη, εἰ μὴ τὸ ν τοῦ μ, οἷον μνᾶ μνημεῖον· δεύτερον δὲ ἐπειδὴ [οὐδέποτε] συλλαβὴ ἐν ἀρχῇ ἢ ἐν μέσῳ λέξεως εἰς

δύο σύμφωνα καταλήγει. Πρόσκειται "ἐν ἀρχῇ ἢ ἐν μέσῳ" διὰ τὰς ἐπὶ τέλους [g]καταλήξεις, οἷον διὰ τὸ σὰρξ, μάκαρς, Τίρυνς, ἅλς, σάλπιγξ. Κατὰ διάστασιν δὲ οὐ δύναται παραλαμβάνεσθαι τὸ Ρ καὶ τὸ Ν ἵνα ᾖ τὸ Ν μετὰ τοῦ Τ, ἐπειδὴ τὰ ὑποτασσόμενα τινὶ ἐν συλλήψει, ἐὰν ἀντιπροηγήσωνται ἐν διαστάσει ἀντιπροηγοῦνται, οἷον τὸ Ρ ὑποτέτακται τῷ Π κατὰ σύλληψιν ἐν τῷ πρῶτος, ἀντιπροηγούμενον δὲ τοῦ Π ἐν τῷ ἕρπω, κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγήσατο· πάλιν τὸ Λ ὑποτέτακται τῷ Κ κατὰ σύλληψιν ἐν τῷ κλέος, ἀντιπροηγησάμενον δὲ αὐτοῦ ἐν τῷ ἕλκω κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγήσατο. Καὶ πάλιν τὸ Ν ὑποτέτακται τῷ Θ κατὰ σύλληψιν ἐν τῷ θνήσκω, ἀντιπροηγησάμενον δὲ αὐτοῦ τοῦ Θ ἐν τῷ ἄνθος κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγήσατο· πάλιν τὸ Ρ ὑποτέτακται τῷ Γ κατὰ σύλληψιν ἐν τῷ γραῦς, ἀντιπροηγησάμενον δὲ αὐτοῦ ἐν τῷ ἔργον κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγήσατο· εἰ ἄρα οὖν τὸ Ν ὑποτέτακται τῷ Τ κατὰ σύλληψιν ἐν τῷ Αἴτνα, δηλονότι ἀντιπροηγούμενον αὐτοῦ, φημὶ δὴ τοῦ Τ, [κατὰ διάστασιν] θέλει ἀντιπροηγεῖσθαι αὐτοῦ· ἀλλ' οὔτε κατὰ διάστασιν ἐνταῦθα δύναται ἀντιπροηγήσασθαι τοῦ Τ, ἐπειδὴ πάλιν εὑρίσκεται μετὰ τοῦ Ρ ἐν συλλήψει, ὅπερ ἐστὶν ἀδύνατον· ἀλλ' οὔτε δὲ τὰ γʹ σύμφωνα ὁμοῦ δύνανται παραλαμβάνεσθαι, λέγω δὴ τὸ Ρ καὶ τὸ Ν καὶ τὸ Τ, ἐπειδὴ ἡνίκα εὑρεθῶσι τρία σύμφωνα ὁμοῦ, θέλει εἶναι τὸ πρῶτον μὲν ἢ Σ ἢ Κ ἢ Π, τὸ δὲ δεύτερον ἄφωνον, καὶ τὸ γʹ ἀμετάβολον, σφραγὶς, στρατὸς, στρῶμα, σκληρὸς, σκῆπτρον, κάτοπτρον, οἰκτρὸς, πλῆκτρον, χωρὶς τοῦ ἐχθρὸς καὶ τοῦ ἔφθαρμαι· ἐν τούτοις γὰρ οὐκ ἔστι τὸ πρῶτον σύμφωνον, οὔτε Σ, οὔτε Κ, οὔτε Π· εἰ εὑρεθῇ οὖν τὸ Ρ καὶ τὸ Ν καὶ τὸ Τ ὁμοῦ, ἔμελλον εἶναι τρία σύμφωνα [ὁμοῦ] μὴ [h]ὄντα μήτε Σ μήτε Κ μήτε Π, μήτε τοῦ β ἀφώνου, καὶ τοῦ γʹ ἀμεταβόλου, ἀλλ' ἐκ τοῦ ἐναντίου τῶν ἀμεταβόλων καὶ τοῦ γʹ ἀφώνου, ὅπερ ἐστὶν ἀδύνατον· μὴ λεγομένου οὖν τοῦ γʹ προσώπου τῶν πληθυντικῶν κατὰ τὴν ἀκολουθίαν, ἀναπληροῖ αὐτὸ ἡ

[g] λέξεις Bar. [h] ὄντος πρώτου Bar.

χρῆσις διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος τοῦ εἰσὶν, οἷον κεκαρμένοι εἰσί· πάλιν ἐστὶ τέτυπται, καὶ ἐὰν πρὸ τοῦ Τ προσέλθῃ τὸ Ν καὶ γένηται τέτυπνται, διὰ τοῦ Π καὶ Ν καὶ Τ, ἀσυνταξία γίνεται· τὸ γὰρ Π καὶ Ν οὔτε ἐν συλλήψει δύνανται εἶναι οὔτε ἐν διαστάσει· ἐν συλλήψει μὲν, ἐπειδὴ οὐδέποτε συλλαβὴ ἐν ἀρχῇ λέξεως ἢ ἐν μέσῳ εἰς β′ σύμφωνα καταλήγει, ὡς εἴρηται, ἐν διαστάσει δὲ ἵνα ᾖ τὸ Ν μετὰ τοῦ Π, ἐπειδὴ τὰ ὑποταττόμενα τινὶ ἐν συλλήψει ἐὰν ἀντιπροηγήσωνται αὐτῶν, ἐν διαστάσει ἀντιπροηγοῦνται, ὡς εἴρηται· εἰ ἄρα οὖν τὸ Ν ὑποτέτακται τῷ Τ, ὡς εἴρηται, κατὰ σύλληψιν ὡς ἐν τῷ Αἴτνῃ, δηλονότι ἀντιπροηγούμενον αὐτοῦ κατὰ διάστασιν θέλει ἀντιπροηγεῖσθαι [αὐτοῦ· ἀλλ' οὔτε δὲ κατὰ διάστασιν ἐνταῦθα δύναται ἀντιπροηγεῖσθαι,] ἐπειδὴ εὑρίσκεται πάλιν μετὰ τοῦ Τ ἐν συλλήψει, ὅπερ ἐστὶν ἀδύνατον, ὡς ἐδείξαμεν, ἀλλ' οὐδὲ τὰ γ′ σύμφωνα ὁμοῦ δύνανται παραλαμβάνεσθαι, λέγω δὲ τὸ Π καὶ Ν καὶ Τ, ἐπειδὴ, ὡς εἴρηται, ἡνίκα εὑρεθῶσι τὰ γ′ σύμφωνα ὁμοῦ, τὸ α′ θέλει εἶναι ἢ Σ ἢ Κ ἢ Π, τὸ δὲ δεύτερον ἄφωνον, καὶ τὸ γ′ ἀμετάβολον, χωρὶς τοῦ ἐχθρὸς καὶ τοῦ διεφθάρσαι· εἰ εὑρεθῇ οὖν τὸ Ν καὶ τὸ Π καὶ τὸ Τ ὁμοῦ, ἤμελλον εἶναι γ′ σύμφωνα ὁμοῦ, τοῦ μὲν πρώτου ὄντος Π, τοῦ δὲ δευτέρου μὴ ὄντος ἀφώνου, μήτε τοῦ γ′ ἀμεταβόλου, ἀλλ' ἐκ τοῦ ἐναντίου, τοῦ μὲν δευτέρου
290 a ἀμεταβόλου, τοῦ δὲ γ′ ἀφώνου, ὅπερ ἐστὶν ἀδύνατον· μὴ λεγομένου οὖν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν κατὰ τὴν [1]ἀκολουθίαν, ἀναπληροῖ αὐτὸ ἡ χρῆσις διὰ μετοχῆς καὶ τοῦ ὑπαρκτικοῦ ῥήματος τοῦ εἰσὶν, οἷον τετυμμένοι εἰσί. Καὶ πάλιν ἐστὶ γεγέλασται, καὶ ἐὰν προσλάβῃ πρὸ τοῦ Τ τὸ Ν καὶ γένηται γεγέλασνται διὰ τοῦ Σ καὶ Ν καὶ Τ, ἀσυνταξία γίνεται· τὸ γὰρ Σ καὶ Ν οὐ δύνανται εἶναι οὔτε ἐν συλλήψει, οὔτε ἐν διαστάσει· ἐν συλλήψει μὲν, ἐπειδὴ, ὡς εἴρηται, οὐδέποτε συλλαβὴ ἢ ἐν ἀρχῇ ἢ μέσῳ λέξεως εἰς δύο σύμφωνα καταλήγει, ἐν διαστάσει δὲ, ἵνα ᾖ τὸ Ν μετὰ τοῦ Τ, ἐπειδὴ, ὡς εἴρηται, τὰ ὑποταττόμενα τινὶ ἐν συλλήψει, ἐὰν

[1] ἀναλογίαν Bar.

ἀντιπροηγήσωνται, ἐν διαστάσει αὐτοῦ ἀντιπροηγοῦνται. [Εἰ ἄρα οὖν τὸ ν ὑποτέτακται τῷ τ, ὡς ἐν τῷ Αἴτνη, δηλονότι ἀντιπροηγησαμένου αὐτοῦ ἐν διαστάσει θέλει προηγεῖσθαι,] ἀλλ' οὔτε δὲ κατὰ διάστασιν ἐνταῦθα δύναται ἀντιπροηγεῖσθαι αὐτοῦ· ἐπειδὴ πάλιν εὑρίσκεται μετὰ τοῦ σ ἐν συλλήψει, ὅπερ ἐστὶν ἀδύνατον, ὡς ἐδείξαμεν· ἀλλ' οὔτε δὲ τὰ γ' σύμφωνα δύνανται ὁμοῦ παραλαμβάνεσθαι, λέγω δὲ τὸ σ, ν, τ, ἐπειδὴ, ὡς εἴρηται, ἡνίκα εὑρεθῶσι τὰ τρία σύμφωνα ὁμοῦ, θέλει εἶναι τὸ λ ἢ σ ἢ κ ἢ π, καὶ τὸ δεύτερον ἄφωνον, τὸ δὲ τρίτον ἀμετάβολον, χωρὶς τοῦ ἐχθρὸς καὶ τοῦ ἔφθαρσαι· εἰ οὖν εὑρεθῇ τὸ σ, ν, τ ὁμοῦ, ἤμελλον εἶναι τρία σύμφωνα ὁμοῦ, τοῦ μὲν πρώτου ὄντος σ, τοῦ δὲ δευτέρου ἀμεταβόλου, καὶ τοῦ τρίτου ἀφώνου ἐκ τοῦ ἐναντίου, ὅπερ ἔστιν ἀδύνατον. Μὴ λεγομένου οὖν τοῦ γ' προσώπου τῶν πληθυντικῶν κατὰ τὴν ἀκολουθίαν, ἀναπληροῖ αὐτὸ ἡ χρῆσις διὰ μετοχῆς καὶ τοῦ ὑπαρκτικοῦ ῥήματος τοῦ εἰσὶν, οἷον γεγελασμένοι εἰσί· διὰ τοῦτο δὲ ἡνίκα τὸ γ' πρόσωπον τῶν πληθυντικῶν ἐπιλείπει, ἀναπληροῦται διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος τοῦ εἰσὶν, οἷον τετυμμένοι εἰσίν· ἐπειδὴ πρῶτον μὲν πᾶν ῥῆμα δύναται καὶ εἰς μετοχὴν ἀναλύεσθαι καὶ εἰς ὑπαρκτικὸν ῥῆμα, οἷον τύπτω, τύπτων εἰμί· γράφω, γράφων εἰμί· τέτυφα, τετυφὼς εἰμι· γέγραφα, γεγραφὼς εἰμι· [k]ὧδε ἡ μὲν μετοχὴ πρᾶγμα σημαίνει, οὐ μέντοι πρόσωπον, οἷον τύπτων, γράφων· αἱ γὰρ μετοχαὶ πρόσωπα οὐκ ἔχουσι· τὸ δὲ ὑπαρκτικὸν ῥῆμα πρόσωπον σημαίνει, οὐ μέντοι πρᾶγμα, οἷον ἐσμὲν, ἐστὲ, εἰσί· συνερχομένων οὖν τῆς μετοχῆς καὶ τοῦ ὑπαρκτικοῦ ῥήματος, ἑκάτερον δι' ἑκατέρου ἀναπληροῦται, τὸ πρᾶγμα μὲν διὰ τῆς μετοχῆς, τὸ πρόσωπον δὲ διὰ τοῦ ὑπαρκτικοῦ ῥήματος· τούτου χάριν ἡνίκα τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἐπιλιμπάνει, διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, ναὶ διὰ μετοχῆς εὐλόγως ἀναπληροῦται τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἐπιλιμ-

[k] β' δὲ ἡ μὲν Bar.

πανόμενον· διὰ τοῦτο γὰρ ἐπενοήθη ἡ μετοχὴ, ἵνα τὸ ἐλλεῖπον τοῦ ῥήματος ἀναπληρώσῃ· διὰ δὲ τοῦ εἰσιν ὑπαρκτικοῦ ῥήματος ἀναπληροῦται· εἰ γὰρ ὁ παρακείμενος παρῳχημένου ἐστὶ χρόνου, τὸ δὲ εἰσὶν ἐνεστῶτος, πῶς ἐπὶ τοῦ παρακειμένου αὐτῷ κεχρήμεθα, λέγοντες τετυμμένοι εἰσίν; Ἔστιν οὖν εἰπεῖν, ὅτι εἰκότως τοῦτο ἐγένετο, ἐπειδὴ πολλὴν συγγένειαν εὑρίσκομεν ἐνεστῶτος καὶ παρακειμένου. Ἀμέλει ὁ ἐνεργητικὸς παρακείμενος εἰς σι λήγει κατὰ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, μιμούμενος τὸν ἐνεστῶτα, οἷον τετύφασιν, ὥσπερ τύπτουσι· καὶ αὐτὸς γὰρ παρὰ πολλοῖς ἐνεστὼς συντελικὸς ὀνομάζεται, ἤγουν, ἐνεστὼς πεπληρωμένος· κατὰ τοῦτο δὲ διαφέρουσι, καθὸ ὁ μὲν ἐνεστὼς πράγματός ἐστι δηλωτικὸς ἀτελοῦς· τὸ γὰρ τύπτω ἀτελὲς πρᾶγμα δηλοῖ καὶ μὴ τελειωθέν· ὁ δὲ παρακείμενος πράγματός ἐστι τετελειωμένου δηλωτικός· τὸ γὰρ τέτυφα τετελειωμένον πρᾶγμα δηλοῖ. Ἰστέον δὲ ὅτι εὑρίσκομεν τινὰς ἐνεστῶτας τετελειωμένον πρᾶγμα δηλοῦντας, καὶ μηδὲν διαφέροντας τῶν παρακειμένων· οἷον, ὁ λέγων γινώσκω καὶ οἶδα ταυτὸν λέγει· καὶ ἔστιν ὁ μὲν γινώσκων ἐνεστῶτος χρόνου, τὸ δὲ οἶδα, παρακειμένου· οὐκ ἔστι γὰρ ἐνταῦθα ὁ ἐνεστὼς ἀτελές· τὸ γὰρ γινώσκω οὐ σημαίνει ὅτι ἐν μέρει μὲν οἶδα, ἐν μέρει δὲ οὐκ οἶδα, ἀλλ' ὅτι τελείως οἶδα. Δεῖ δὲ τοῦτο γινώσκειν ὅτι εὐλόγως διὰ τῆς τοῦ παρακειμένου μετοχῆς καὶ τοῦ εἰσὶν ὑπαρκτικοῦ ῥήματος πολλάκις ἀναπληροῖ ἡ χρῆσις τὰ τοιαῦτα τρίτα πρόσωπα τῶν πληθυντικῶν, οἷον τετυμμένοι εἰσὶ, λελεγμένοι εἰσίν· ἐπειδὴ καὶ αὐτὸ τὸ γ' πρόσωπον τὸ ἐπιλελοιπὸς, οὗτινος τὴν χρείαν ἀναπληροῖ ἡ μετοχὴ, τοῦ ὑπαρκτικοῦ ῥήματος πληθυντικὸν ἐστί.

Καὶ [1]Ἰωνικῶς τετύφαται. Λέγουσί τινες, ὅτι ἐπειδὴ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ παθητικοῦ παρακειμένου καὶ τοῦ ὑπερσυντελικοῦ πολλάκις ἐπιλιμπάνει, καὶ διὰ
291 a μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος, οἷον τετυμμένοι εἰσὶ, τετυμμένοι ἦσαν, τούτου χάριν, ἵνα καὶ διὰ μιᾶς

[1] Sic Bar. Ἀττικῶς Par.

λέξεως ἀναπληρωθῇ, ἐπενόησαν οἱ Ἴωνες τὸ γ' πρόσωπον τῶν πληθυντικῶν, οἷον τετύφαται, ἐτετύφατο· οὐκ ἔστι δὲ καταναγκαστικόν· εἰ γάρ, ὡς λέγουσι, διὰ τοῦτο ἐπενόησαν οἱ Ἴωνες τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, διὰ τὸ πολλάκις ἐπιλιμπάνειν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ καὶ διὰ μετοχῆς ἀναπληροῦσθαι καὶ ὑπαρκτικοῦ ῥήματος, οὐκ ὤφειλε ποιεῖν τὸ τρίτον πρόσωπον πληθυντικὸν ἐφ' οὗ μὴ ἐπιλιμπάνει τὸ γ' πρόσωπον τῶν πληθυντικῶν τοῦ παθητικοῦ παρακειμένου· νῦν δὲ καὶ ἐπὶ αὐτῶν ποιοῦσιν ἢ καὶ (?) ἐπὶ τῶν ἐπιλιμπανόντων οὐδαμῶς· ἰδοὺ γὰρ ἐστὶ νενόηται καὶ πεποίηται, καὶ ἐπὶ τούτων οὐκ ἐπιλιμπάνουσι τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν, νενόηνται γὰρ καὶ πεποίηνται, καὶ ὅμως οἱ Ἴωνες ἐποίησαν νενοέαται· ἄλλως τε δὲ οὐ μόνον ἐπὶ παρακειμένου τοῦτο ποιοῦσιν, ἀλλὰ καὶ ἐπὶ ἐνεστῶτος· ἀπὸ γὰρ τοῦ κεῖται γίνεται κέαται Ἰωνικῶς, καὶ παρὰ τῷ ποιητῇ, [Il. ν'. 763.]

κέαται ψυχὰς ὀλέσαντες,

ἀντὶ τοῦ κεῖνται, ἀπὸ τοῦ ἧται τοῦ σημαίνοντος τὸ κάθηται γίνεται ἕαται, ὡς παρὰ τῷ ποιητῇ [Il. γ'. 134.]

οἱ δὴ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυται,

ἀντὶ τοῦ κάθηνται· οὕτως οὖν διὰ τὴν προλεχθεῖσαν αἰτίαν ἐποίησαν οἱ Ἴωνες τρίτον πρόσωπον τῶν πληθυντικῶν ἐπὶ τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, ἀλλ' ἰδίωμά ἐστι διαλέκτου. Κανονίζεται δὲ οὕτως· πᾶς παθητικὸς παρακείμενος κατὰ τὸ τρίτον πρόσωπον τῶν [m] πληθυντικῶν πρὸ τοῦ τ λαμβάνων τὸ α παθητικὸς παρακείμενος γίνεται, τρίτου προσώπου δηλονότι πληθυντικοῦ. Καὶ εἰ μὲν εὑρεθῇ πρὸ τοῦ τ ψιλόν, τρέπεται εἰς τὸ ἀντίστοιχον τὸ δασύ· οἷον, τέτυπται τετύφαται, νένηπται νενήφαται, νένυκται νενύχαται, λέλεκται λελέχαται· ἐὰν δὲ εὑρεθῇ πρὸ τοῦ τ τὸ σ ἀπὸ βαρυτόνων, τρέπεται [n] τὸ σ εἰς τὸ σύμφωνον τοῦ μέσου παρακειμένου, οἷον πέφρασται πεφράδαται, ὅτι πέ-

[m] ἑνικῶν Bar. [n] εἰς τὸ . . τοῦ μέσου παρακειμένου σύμφωνον Bar.

φραδα ὁ μέσος παρακείμενος, ἐρείδω [o] ἐρήρισται, [ἐρηράδαται, ὅτι ἤρειδα ὁ μέσος παρακείμενος, ῥάζω τὸ ῥαίνω, ἔρρασται] καὶ ἐρράδαται, [ὅτι ἀπὸ τοῦ ἐρράδα (sic)] [Od. υ΄. 354.]

αἵματι δ' ἐρράδαται τοῖχοι,

ἀντὶ τοῦ ἐρρανισμένοι εἰσίν· ὅτι ἔρραδα ὁ μέσος παρακείμενος. Πρόσκειται δὲ "ἀπὸ βαρυτόνων" καλῶς, διὰ τὸ τετέλεσται καὶ γεγέλασται· ταῦτα γὰρ εἰ καὶ ἔχουσι τὸ Σ πρὸ τοῦ Τ, ἀλλ' οὖν οὐκ εἰσὶν ἀπὸ βαρυτόνων θεμάτων, ἀλλ' ἀπὸ περισπωμένων τοῦ τελῶ καὶ γελῶ εἰσίν· οὐ τρέπουσι δὲ οἱ Ἴωνες τὸ Σ πρὸ τοῦ Τ εἰς τὸ σύμφωνον τοῦ μέσου παρακειμένου, λέγω δὲ εἰς τὸ Λ τοῦ γεγέλακα καὶ τετέλεκα· οὐδὲ γὰρ λέγουσι γεγέλαται καὶ τετέλεται, ἀλλ' οὐδὲ ποιοῦσιν ἐπὶ τῶν τοιούτων οἱ Ἴωνες ἴδιον γ' πληθυντικόν, ἀλλὰ γεγελασμένοι εἰσὶ καὶ τετελεσμένοι εἰσὶν, ὁμοίως τῇ κοινῇ διαλέκτῳ· ἐὰν δὲ ἄλλο σύμφωνον εὑρεθῇ πρὸ τοῦ Τ, εἰ ὅλως καὶ [p] γίνεται Ἰωνικὸς παρακείμενος, δηλονότι τρίτου προσώπου φυλάττεται τὸ σύμφωνον, οἷον κέκαρται κεκάραται, τέτιλται τετίλαται. Πρόσκειται δὲ "εἰ ὅλως καὶ γίνεται Ἰωνικὸς παρακείμενος," ἐπειδὴ ἐπὶ τούτων οὐκ ἐφάνησαν οἱ Ἴωνες ποιήσαντες τρίτα πληθυντικὰ, οὐδὲ γὰρ λέγουσι κεκάραται καὶ τετίλαται· τὰ δὲ ἀπὸ περισπωμένων ἐὰν φύσει μακρᾷ παραλήγωνται, συστέλλουσι τὴν παραλήγουσαν εἰς τὴν
291 b ὀφειλομένην [q] συστολὴν, μετὰ τοῦ Τ, καὶ προσλαμβάνει τὸ Α πρὸ τοῦ Τ, οἷον ἀπὸ τοῦ ποιῶ πεποίηται πεποιέαται, νοῶ νενόηται νενοέαται, χρυσῶ κεχρύσωται κεχρυσόαται, βολῶ βεβόληται βεβολέαται. Ἰστέον δ' ὅτι οὐ μόνον ἐπὶ παρακειμένου τοῦτο ποιοῦσι καὶ ὑπερσυντελικοῦ οἱ Ἴωνες, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ ἐνεστῶτος, οἷον κεῖται κέαται, ὡς παρὰ τῷ ποιητῇ, ὅπερ καὶ εἴρηται. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα οἱ Ἴωνες ψιλωτικοί εἰσι, (τοῦ γὰρ ἥλιος δασυνομένου τὸ ἀπηλιώτης Ἰωνικῶς διὰ τοῦ Π ἐπεκράτησεν, ἐπειδὴ διὰ τοῦ Φ ὤφειλεν εἶναι διὰ τὸ ἐπιφέρεσθαι δασὺ φωνῆεν, ὥσπερ ἐπὶ ἡμῶν, ἐφ' ἡμῶν· πάλιν

[o] ἐρείριστ (αι / ω) Bar. ubi om. [ ] [p] γένηται Bar. [q] συλλαβὴν Bar.

τοῦ ἱστίον δασυνομένου τὸ ἐπίστιον Ἰωνικῶς διὰ τοῦ π ἐπεκράτησεν, οἷον [Od. ζ'. 265.]

ἐπίστιος(ν) ἐστὶν ἑκάστῳ,

ἐπειδὴ διὰ τοῦ φ ὤφειλεν εἶναι· καὶ πάλιν τὸ οὐχὶ Ἰωνικῶς οὐκὶ λέγεται, ὡς παρὰ τῷ ποιητῇ,

ἠὲ καὶ οὐκί·)

διὰ ποίαν αἰτίαν ἐπὶ τοῦ τετύφαται καὶ νενύχαται τὸ ψιλὸν σύμφωνον τοῦ τέτυπται καὶ νένυκται εἰς τὸ ἀντίστοιχον τὸ δασὺ ἔτρεψαν καὶ μὴ ἐφύλαξαν αὐτὸ, ὡς χαίροντες τῇ ψιλῇ; Ἔστιν οὖν εἰπεῖν, ὅτι τὸ κεχρεωστημένον δασὺ σύμφωνον τῷ γ' προσώπῳ τῶν πληθυντικῶν τοῦ παθητικοῦ παρακειμένου προσῆλθεν ἐν τῷ Ἰωνικῷ τρίτῳ προσώπῳ πληθυντικῶν. Ἐμάθομεν γὰρ ἐν τῇ περὶ τούτου διδασκαλίᾳ, ὅτι διὰ τὸ μὴ δύνασθαι μήτε τὸ φ μετὰ τὸ χ πρὸ τοῦ τ εἶναι, ἢ κατὰ σύλληψιν, ἢ κατὰ διάστασιν, τούτου χάριν ἐν τῷ τέτυπται, καὶ νένυκται, τροπὴ παρηκολούθησε τῶν δασέων εἰς τὰ ἀντίστοιχα τὰ ψιλά· ἐνταῦθα οὖν ἐν τῷ παρακειμένῳ Ἰωνικῷ, τρίτῳ προσώπῳ δηλονότι πληθυντικῶν, ἐπειδὴ τοῦ α προσερχομένου οὐκέτι εὑρίσκεται τὰ δασέα μετὰ τοῦ τ, τούτου χάριν τὸ ὀφειλόμενον ἀναπληρωθῇ, καὶ τὸ κεχρεωστημένον δασὺ σύμφωνον τῷ τρίτῳ προσώπῳ τῶν πληθυντικῶν τοῦ παρακειμένου προσῆλθεν ἐν τῷ Ἰωνικῷ παρακειμένῳ, τρίτῳ προσώπῳ δηλονότι πληθυντικῶν.

"Ὑπερσυντελικός. Ἑνικά. Ἐτετύμμην."

Ἐνταῦθα περὶ τοῦ παθητικοῦ ὑπερσυντελικοῦ διαλαμβάνει· καὶ ἰστέον ὅτι πᾶς παθητικὸς παρακείμενος τρέπων τὴν ΜΑΙ εἰς ΜΗΝ ὑπερσυντελικὸν παθητικὸν ποιεῖ· καὶ εἰ μὲν ἀπὸ συμφώνου ἄρχεται ὁ παρακείμενος, προσλαμβάνει ὁ ὑπερσυντελικὸς τὸ ε κατὰ τὴν ἄρχουσαν, οἷον τέτυμμαι ἐτετύμμην, πεποίημαι ἐπεποιήμην, πεφίλημαι ἐπεφιλήμην, νενόημαι ἐνενοήμην· εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται ὁ παρακείμενος, συνάρχεται αὐτῷ ὁ ὑπερσυντελικὸς, οἷον ἔφθαρμαι ἐφθάρμην, ἔσταλμαι ἐστάλμην, ἠλέημαι ἠλεήμην, ἠρεύνημαι ἠρευνήμην, καὶ ἁπλῶς εἰπεῖν, ὥσπερ ὁ ἐνεργητικὸς ὑπερσυντελικὸς ἐκ τοῦ ἐνεργητικοῦ παρακειμένου κανονίζεται, οὕτως

καὶ ὁ παθητικὸς ὑπερσυντελικὸς ἐκ τοῦ παθητικοῦ παρακειμένου κανονίζεται, καὶ παθητικὸς ὑπερσυντελικὸς ἐκ τοῦ παθητικοῦ παρακειμένου κανονίζεται ἀπαραλήκτως. (ἀπαραλλάκτως.)

"Ἐτέτυψο." Ἰστέον ὅτι ἀπὸ τοῦ ἐτέτυπτο γέγονε τροπῇ τοῦ τ εἰς τὸ σ ἐτέτυπσο, καὶ κατὰ κρᾶσιν τοῦ π καὶ σ εἰς ψ ἐτέτυψο, ὥσπερ καὶ ἀπὸ τοῦ ἐνένυκτο γέγονε τροπῇ
292 a τοῦ τ εἰς τὸ σ ἐνένυκσο, καὶ κατὰ κρᾶσιν τοῦ κ καὶ σ εἰς ξ, ἐνένυξο· πάντα δὲ ὅσα εἴπομεν ἐν τῷ δευτέρῳ προσώπῳ τῶν ἑνικῶν τοῦ παθητικοῦ παρακειμένου ἐνταῦθα.

"Ἐτέτυπτο." Ἰστέον δὲ ὅτι ἀπὸ τοῦ ἐτετύμμην γέγονεν ἐτέτυπτο, τροπῇ τῆς μην εἰς το, καὶ τοῦ μ εἰς τὸ ἀντίστοιχον τοῦ φ, λέγω δὴ εἰς τὸ π, καὶ πάλιν ἀπὸ τοῦ ἐνενύγμην ἐνένυκτο, τροπῇ τῆς μην εἰς το καὶ τοῦ γ τραπέντος εἰς τὸ κ· περὶ τούτων δὲ ἐν τῷ τρίτῳ προσώπῳ τῶν ἑνικῶν τοῦ παθητικοῦ παρακειμένου ἀκριβέστερον μεμαθήκαμεν.

"Δυϊκά. Ἐτετύμμεθον, ἐτέτυφθον, ἐτετύφθην. Πληθυντικά· ἐτετύμμεθα, ἐτέτυφθε. Εἴρηται. Τετυμμένοι ἦσαν."

Ἰστέον ὅτι ἐνταῦθα ἐπιλιμπάνει τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ὑπερσυντελικοῦ, ἐπειδὴ τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν πρὸ τοῦ τ σύμφωνον ἔχει, οἷον ἐτέτυπτο, καὶ λοιπὸν τοῦ ν προσερχομένου πρὸ τοῦ τ ἀσυνταξία γίνεται, ἀναπληροῦται δὲ [καὶ αὐτὸς] διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος, οἷον τετυμμένοι ἦσαν· δεῖ δὲ γινώσκειν ὅτι ἐπὶ τοῦ παρακειμένου καὶ ἐπὶ τοῦ ὑπερσυντελικοῦ τῇ αὐτῇ μετοχῇ κεχρήμεθα· τετυμμένοι εἰσὶ φαμέν, καὶ τετυμμένοι ἦσαν, ἐπειδὴ μία ἐστὶν ἡ μετοχὴ τοῦ παρακειμένου καὶ τοῦ ὑπερσυντελικοῦ, οἷον τετυμμένος καὶ τετυμμένοι τὸ πληθυντικόν, τῷ δὲ ῥήματι κεχρήμεθα τῷ αὐτῷ· ἐν μὲν γὰρ τῷ παρακειμένῳ τῷ εἰσὶν, οἷον τετυμμένοι εἰσιν, ἐν δὲ τῷ ὑπερσυντελικῷ ἦσαν, οἷον τετυμμένοι ἦσαν· τοῦτο εὐλόγως, ἐπειδὴ τὸ εἰσὶν ἐνεστῶτος χρόνου ἐστὶν, ὁ δὲ παρακείμενος συγγένειαν ἔχει πρὸς τὸν ἐνεστῶτα· [καὶ αὐτὸς γὰρ παρὰ πολλοῖς ἐνεστὼς συντελικὸς ὀνομάζεται, ἢ ἐνεστὼς πεπληρωμένος·] τούτου χάριν ἐπὶ τοῦ παρακειμένου τῷ εἰσὶ κεχρήμεθα, καὶ λέγομεν τετυμμένοι εἰσὶν, ἐπὶ δὲ τοῦ ὑπερσυν-

τελικοῦ τῷ ἦσαν κεχρήμεθα, καὶ λέγομεν τετυμμένοι ἦσαν, ἐπειδὴ ὁ μὲν παρατατικὸς τοῦ ἐνεστῶτός ἐστι παρῳχημένος, ἐξ αὐτοῦ γὰρ κανονίζεται, ὁ δὲ ὑπερσυντελικὸς τοῦ παρακειμένου· ἐπειδὴ οὖν ὁ μὲν παρακείμενος τὸ ῥῆμα τοῦ ἐνεστῶτος ἔλαβε, φημὶ δὴ τὸ εἰσὶ, τούτου χάριν ὁ ὑπερσυντελικὸς, ὁ παρῳχημένος τοῦ παρακειμένου, τὸ ῥῆμα τοῦ παρατατικοῦ ἔλαβε τοῦ παρῳχημένου τοῦ ἐνεστῶτος, φημὶ δὲ τὸ ἦσαν, καὶ ὡς ἵνα εἴπωμεν ἐνεστὼς ἀπὸ ἐνεστῶτος ἔλαβε, καὶ παρῳχημένος ἀπὸ παρῳχημένου.

"Καὶ Ἰακῶς τετύφατο." Ἰστέον δὲ ὅτι ὥσπερ ἐκ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν τοῦ παθητικοῦ παρακειμένου ἐποίησαν οἱ Ἴωνες τρίτον πρόσωπον πληθυντικῶν, οὕτω καὶ ἐκ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν τοῦ παθητικοῦ ὑπερσυντελικοῦ ἐποίησαν οἱ Ἴωνες τρίτον πρόσωπον πληθυντικῶν. Ἀπὸ γοῦν τοῦ ἐτέτυπτο γέγονεν ἐτετύφατο, καὶ κατὰ ἀποβολὴν τοῦ ε τετύφατο, ἵνα συνάρξηται τῇ τετυμμένος μετοχῇ· ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι οἱ Ἴωνες ἔχουσιν ἔθος ποιεῖν τοὺς παρῳχημένους συναρχομένους ταῖς ἰδίαις μετοχαῖς, οἷον

τύπτε δ' ἐπιστροφάδην

ὅτι τύπτων ἡ μετοχή·

ἅψατο δ' ἡμιόνων,

ὅτι ἁψάμενος ἡ μετοχή.

"Ἀορίστου πρώτου ἑνικά. Ἐτύφθην."

Ἰστέον ὅτι τέσσαρας ἀορίστους εὑρίσκομεν ἐν τοῖς παθητικοῖς· δύο μὲν παθητικοὺς, δύο δὲ τῆς μέσης διαθέσεως· εἴρηται γὰρ ἡμῖν ἐν τοῖς προλαβοῦσιν, ὅτι τὸν μὲν παρακείμενον καὶ ὑπερσυντελικὸν τῆς μέσης διαθέσεως ἐν τοῖς ἐνεργητικοῖς ἔταξαν, ἀορίστους δὲ καὶ μέλλοντας ἐν τοῖς παθη-
292 b τικοῖς. Ἔλθωμεν δὲ καὶ διαλάβωμεν περὶ τοῦ ἀορίστου τοῦ παθητικοῦ. Ἰστέον ὅτι ὁ πρῶτος ἀόριστος ὁ παθητικὸς ἀεὶ εἰς θην λήγει· κανονίζεται ἐκ τοῦ παθητικοῦ παρακειμένου τοῦτον τὸν τρόπον· πᾶς παθητικὸς παρακείμενος τρέπων τὴν μαι εἰς θην, ἀόριστον πρῶτον παθητικὸν ποιεῖ, καὶ εἰ μὲν ἀπὸ συμφώνου ἄρχεται ὁ παρακείμενος, ἀποβάλλει

τὸ σύμφωνον ἐν τῷ παθητικῷ πρώτῳ ἀορίστῳ, οἷον τέτυμμαι ἐτύφθην, λέλεγμαι ἐλέχθην, κέκαρμαι ἐκάρθην, πεποίημαι ἐποιήθην, νενόημαι ἐνοήθην, πεφίλημαι ἐφιλήθην, πεπάτημαι ἐπατήθην, κεκέλευσμαι ἐκελεύσθην, κέκρουσμαι ἐκρούσθην, τετέλεσμαι ἐτελέσθην, τέθυκα ἐθύθην καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων ἐτύθην, κατὰ τροπὴν τοῦ θ εἰς τὸ ἀντίστοιχον ψιλὸν τὸ τ· εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται ὁ παθητικὸς παρακείμενος, συνάρχεται αὐτῷ καὶ ὁ παθητικὸς ἀόριστος, οἷον ἔφθαρμαι ἐφθάρθην, ἔξεσμαι ἐξέσθην, ἔσβεσμαι ἐσβέσθην, πέπλεγμαι ἐπλέχθην, ἠλέημαι ἠλεήθην, ἠρεύνημαι ἠρευνήθην, ἠρώτημαι ἠρωτήθην, ὤρθωμαι ὠρθώθην, ὥπλισμαι ὡπλίσθην. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐὰν εὑρεθῇ σύμφωνον πρὸ τοῦ μ ἐν τῷ παθητικῷ παρακειμένῳ, φυλάττεται καὶ κατὰ τὸν παθητικὸν ἀόριστον, οἷον κέκαρμαι ἐκάρθην, ἔσταλμαι ἐστάλθην, τέτιλμαι ἐτίλθην, ἔφθαρμαι ἐφθάρθην, ἔξεσμαι ἐξέσθην, ἔσβεσμαι ἐσβέσθην, κέκρουσμαι ἐκρούσθην, χωρὶς εἰ μὴ εὑρεθῇ τὸ μ ἢ τὸ γ· ἐὰν γὰρ εὑρεθῇ ἐν τῷ παθητικῷ παρακειμένῳ πρὸ τοῦ μ ἢ τὸ μ ἢ τὸ γ, μεταβάλλεται κατὰ τὸν παθητικὸν ἀόριστον εἰς ἐκεῖνα τὰ δασέα, ἐξ ὧν καὶ μεταβέβληται, οἷον τὸ μὲν μ εἰς τὸ φ, ἐξ αὐτοῦ γὰρ καὶ γέγονε· [τὸ δὲ γ ἢ εἰς τὸ χ, ἐξ αὐτοῦ γὰρ καὶ γέγονε·] τέτυμμαι ἐτύφθην, ἀπὸ γὰρ τοῦ τέτυφα γέγονε· γέγραμμαι ἐγράφθην, ἀπὸ γὰρ τοῦ γέγραφα γέγονε· λέλεγμαι ἐλέχθην, ἀπὸ γὰρ τοῦ λέλεχα γέγονε· νένυγμαι ἐνύχθην, ἀπὸ γὰρ τοῦ νένυχα γέγονε· πέπληγμαι ἐπλήχθην, ἀπὸ γὰρ τοῦ πέπληχα γέγονε· μηδεὶς δὲ οἰέσθω τὸ μεμίαμμαι καὶ τὸ μεμόλυμμαι [r] ἐν τῷ ἐμιάνθην καὶ ἐμολύνθην παθητικῷ πρώτῳ ἀορίστῳ τὸ μ εἰς τὸ ν τραπῆναι· τὸ γὰρ ν τοῦτο θεματικόν ἐστι· [[s] μιαίνω γὰρ καὶ μολύνω ἐστὶ τὸ θέμα διὰ τοῦ ν, ὅπερ ν πῇ μὲν εἰς τὸ γ τρέπεται, καὶ (ὡς) ἐν τῷ μεμίαγκα, μεμόλυγκα, ἐνεργητικῷ παρακειμένῳ ἐπιφορόν (δι' ἐπιφορὰν) τοῦ κ, πῇ δὲ εἰς τὸ μ, ὡς ἐν τῷ μεμίαμμαι, καὶ μεμόλυμμαι, παθητικῷ παρακειμένῳ διὰ

[r] ἀπὸ τοῦ ἐν τῷ Bar.

[s] Pro [ ] in Bar. ὡς προείρηται· ἐνταῦθα δέ.

τὴν ἐπιφορὰν τοῦ ἐν τῷ ἐμιάνθην καὶ ἐμολύνθην παθητικῷ πρώτῳ ἀορίστῳ,] ἐπειδὴ οὐκ ἐπιφέρεται σύμφωνον τὸ ὀφεῖλον τρέψαι αὐτὸ ἐν τῷ ἐμιάνθην καὶ ἐμολύνθην παθητικῷ ἀορίστῳ, τούτου χάριν ἐφυλάχθη τὸ Ν· τὸ γὰρ Θ ἐπιφέρεται, τὸ δὲ Ν ἐπιφερομένου τοῦ Δ ἢ Θ ἢ Τ φυλάττεται, οἷον ἐστὶν εἰπεῖν ἔνδον, ἐνθεῖναι, [σύνθεσις, ἔντευξις,] ἐντυχεῖν. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τῆς παραληγούσης τοῦ παθητικοῦ πρώτου ἀορίστου ἔστιν εἰπεῖν, ὅτι παραλήγουσαν τὴν αὐτὴν ἔχει ὁ πρῶτος ἀόριστος ὁ παθητικὸς ἣν ἔχει καὶ ὁ παθητικὸς παρακείμενος, οἷον πεποίημαι ἐποιήθην, νενόημαι ἐνοήθην,
293 a ἔσταλμαι ἐστάλθην, κεχρύσωμαι ἐχρυσώθην, ὤρθωμαι ὠρθώθην, πέπεισμαι ἐπείσθην, νένησμαι ἐνήσθην, δέδομαι ἐδόθην, πλὴν τοῦ εὕρημαι εὑρέθην, [τοῦτο γὰρ διὰ τοῦ Ε γέγονε κατὰ παθητικὸν ἡ παραλήγουσα τοῦ παθητικοῦ παρακειμένου τὸ Ν ἔχουσα κατὰ τὴν παραλήγουσαν,] ὅθεν καὶ τὸ ὄνομα τὸ ῥηματικὸν τὸ εὑρετὴς διὰ τοῦ Ε ἐστὶν, ὅπερ καὶ κατὰ τὸν τόνον ἡμάρτηται ὀξυνόμενον· περὶ οὗ ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ, εἰ θεῷ φίλον, μαθησόμεθα. Ἔτι δεῖ προσθεῖναι, καὶ χωρὶς τοῦ ἐπήνημαι [t] ἐπηνέθην· καὶ τοῦτο γὰρ συστέλλει τὴν παραλήγουσαν κατὰ τὸν παθητικὸν ἀόριστον τῶν παρὰ τὸ αἱρῶ περισπωμένων· ἐπὶ τούτων γὰρ συστέλλεται ἡ παραλήγουσα τοῦ παθητικοῦ πρώτου ἀορίστου, οἷον διαιρῶ διῄρημαι διῃρέθην, συναιρῶ συνῄρημαι συνῃρέθην, καθαιρῶ καθῄρημαι καθῃρέθην, ἀφαιρῶ ἀφῄρημαι ἀφῃρέθην, καὶ χωρὶς τῶν ἐχόντων τὸ Ρ μετ' ἐπιπλοκῆς συμφώνου καὶ τρεπόντων τὸ Ε εἰς τὸ Α κατὰ τὸν παθητικὸν παρακείμενον· ἐπὶ τούτων γὰρ ὁ παθητικὸς α΄ ἀόριστος ἀναδέχεται τὴν παραλήγουσαν τοῦ ἐνεστῶτος, καὶ οὐ φυλάττει τὴν παραλήγουσαν τοῦ παρακειμένου, οἷον στρέφω ἔστραμμαι ἐστρέφθην, τρέπω τέτραμμαι ἐτρέφθην.

" Ἐτύφθης, ἐτύφθη. Εἴρηται. Δυϊκά· ἐτύφθητον, ἐτυφθήτην."

[t] ἐπηνήθην Bar. qui om. καὶ τοῦτο—παθητικὸν ἀόριστον et pergit, καὶ χωρὶς τῶν παρά.

Ἐπιλιμπάνει ἐνταῦθα τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, ἐπειδὴ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ Μ ἔχει ἐπὶ τῆς τελευταίας συλλαβῆς· ἐτύφθημεν γάρ ἐστι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν· τὸ δὲ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν τροπῇ τοῦ Ε εἰς ΟΝ, ἐτύφθητε, ἐτύφθητον· τὸ δὲ τρίτον τῶν δυϊκῶν οὐχ ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν οὔτε εἰς ΣΙ λήγει, οὔτε εἰς ΤΑΙ· ἐτύφθησαν γάρ ἐστι τὸ τρίτον τῶν πληθυντικῶν· γέγονε δὲ τὸ τρίτον τῶν δυϊκῶν ἀπὸ τοῦ ἰδίου δευτέρου τροπῇ τῆς ΟΝ εἰς ΗΝ.

"Πληθυντικά· ἐτύφθημεν, ἐτύφθητε, ἐτύφθησαν. Εἴρηται.
"Ἀόριστος δεύτερος παθητικός· ἐνίκα· ἐτύπην."

Ἐνταῦθα περὶ τοῦ παθητικοῦ δευτέρου ἀορίστου διαλαμβάνει· κανονίζεται δὲ οὗτος ἐκ τοῦ δευτέρου ἀορίστου ἐνεργητικοῦ τοῦτον τὸν τρόπον· ὁ εἰς ΟΝ δεύτερος ἀόριστος ἐνεργητικὸς, (εἰ) ἐπιδεκτικός ἐστι πάθους, "τροπῇ τοῦ Ο εἰς Η δεύτερος ἀόριστος παθητικὸς γίνεται," οἷον ἔνυγον ἐνύγην, ἔτυπον ἐτύπην, ἔχαρον ἐχάρην, ἔκαον ἐκάην, ἔσπαρον ἐσπάρην, ἔφθαρον ἐφθάρην, ἔσταλον ἐστάλην, καὶ ὁ ἐγράφην δεύτερος ἀόριστος παθητικὸς ἀπὸ τοῦ ἔγραφον δευτέρου ἀορίστου ἐνεργητικοῦ γέγονεν· οὐδέποτε γὰρ ἀπὸ τοῦ παρατατικοῦ κανονίζεται ὁ δεύτερος ἀόριστος ὁ παθητικὸς τροπῇ τοῦ Ο εἰς Η· ἐπεὶ εἴ γε ἀπὸ τοῦ παρατατικοῦ ἐκανονίζετο, ἀπὸ τοῦ ἔτυπτον καὶ ἔκραζον ἐτύπτην καὶ ἐκράζην εἶχεν εἶναι· νυνὶ δὲ ἐτύπην καὶ ἐκράγην λέγομεν ἀπὸ τοῦ ἔτυπον καὶ ἔκραγον δευτέρου ἀορίστου ἐνεργητικοῦ. Πρόσκειται "ἐπιδεκτικὸς δέ ἐστι πάθους" διὰ τὸ ἔλαβον, ἔμαθον, καὶ ἔφαγον· ταῦτα γὰρ οὐ ποιοῦσι τροπῇ τοῦ Ο εἰς Η παθητικὸν β' ἀόριστον, οὐδὲ γὰρ λέγομεν ἐφάγην καὶ ἐλάβην
293 b καὶ ἐμάθην, ἐπειδὴ οὔτε ὅλως ἔχουσι παθητικὸν δεύτερον ἀόριστον, ἐπεὶ εἰ εἶχον οὕτως ἤμελλον λέγεσθαι. "Ἐτύπης, ἐτύπη.

"Δυϊκά· τύπητον, τυπήτην. Πληθυντικά· ἐτύπημεν, ἐτύπητε, ἐτύπησαν. Περὶ μέσου ἀορίστου πρώτου. Ἐτυψάμην. Μέσου ἀορίστου δευτέρου ἐτυπόμην." Ἰστέον ὅτι

οἱ μέσοι ἀόριστοι ἀπὸ τῶν ἐνεργητικῶν ἀορίστων κανονίζονται, ὁ πρῶτος ἀπὸ τοῦ α', καὶ ὁ δεύτερος ἀπὸ τοῦ δευτέρου· τοὺς δὲ δύο ὁ τεχνικὸς ἐπενθέσει τῆς ΜΗΝ ἀπὸ τοῦ ἐνεργητικοῦ λέγει κανονίζεσθαι· οὐκ ἔρρωται δὲ τοῦτο, εἰ μὴ ἐπὶ τοῦ α' μέσου ἀορίστου, οἷον ἔτυψα ἐτυψάμην, ἐποίησα ἐποιησάμην· ὁ γὰρ δεύτερος μέσος ἀόριστος οὐ γίνεται ἐπενθέσει τῆς ΜΗΝ, ἀλλ' ἐπενθέσει τῆς ΜΗ, οἷον ἔτυπον ἐτυπόμην, ἔλαβον ἐλαβόμην. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ πρῶτος μέσος ἀόριστος (γίνεται) ἀπὸ τοῦ α' ἀορίστου ἐνεργητικοῦ τοῦτον τὸν τρόπον· πᾶς πρῶτος ἀόριστος ἐνεργητικὸς προσθήκῃ τῆς ΜΗΝ μέσος πρῶτος ἀόριστος γίνεται, [οἷον ἔτυψα ἐτυψάμην, ἐποίησα ἐποιησάμην, ἔγραψα ἐγραψάμην, ἔλουσα ἐλουσάμην·] ἔφανα καὶ Ἰωνικῶς ἔφηνα, καὶ ἐφηνάμην καὶ ἀπεφηνάμην, ἐσήμανα, καὶ Ἰωνικῶς ἐσήμηνα, ἐσημηνάμην. Ὁ δὲ δεύτερος μέσος ἀόριστος ἀπὸ τοῦ δευτέρου ἀορίστου ἐνεργητικοῦ κανονίζεται τοῦτον τὸν τρόπον· πᾶς δεύτερος ἀόριστος ἐνεργητικὸς εἰς ΟΝ λήγων ἐπιλαμβάνων τὸ Μ καὶ Η μέσος δεύτερος ἀόριστος γίνεται, οἷον ἔπιθον ἐπιθόμην, ἔνυγον ἐνυγόμην, ἔλαβον ἐλαβόμην, ἔπραθον ἐπραθόμην, ἔτυπον ἐτυπόμην· ἐπὶ δὲ τῶν εἰς ΜΙ καὶ συστέλλεται ἡ παραλήγουσα, οἷον ἔθην, ἔστην, ἔδων ἐδόμην, ἔφην ἐφάμην· δυνατὸν δέ ἐστιν καὶ ἐκ τοῦ παθητικοῦ δευτέρου ἀορίστου κανονίσαι τὸν δεύτερον μέσον ἀόριστον τοῦτον τὸν τρόπον· πᾶς δεύτερος ἀόριστος παθητικὸς πρὸ τοῦ Η λαμβάνων τὸ Ο καὶ Μ δεύτερον ἀόριστον μέσον ποιεῖ, οἷον ἐνύγην ἐνυγόμην, ἐτύπην ἐτυπόμην. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι οἱ δεύτεροι ἀόριστοι ἐνεργητικοὶ φωνῇ μόνον διαφέρουσι, τῷ σημαινομένῳ δὲ οἱ αὐτοί εἰσι· τὸ γὰρ ἔτυψα καὶ ἔτυπον τῇ φωνῇ μόνον διαφέρουσι, τὸ δὲ σημαινόμενον τὸ αὐτὸ ἔχουσι· τὸν αὐτὸν τρόπον καὶ οἱ δεύτεροι παθητικοὶ ἀόριστοι τῇ φωνῇ μόνον διαφέρουσι, τῷ δὲ σημαινομένῳ οἱ αὐτοί εἰσι· τὸ γὰρ ἐτύφθην καὶ ἐτύπην τὸ αὐτὸ σημαίνουσιν, εἰ καὶ τῇ φωνῇ διαφέρουσιν· ὡσαύτως δὲ καὶ οἱ β' μέσοι ἀόριστοι τῇ φωνῇ μόνῃ διαφέρουσι, τῷ δὲ σημαινομένῳ οἱ

αὐτοί εἰσι· τὸ γὰρ ἐτυψάμην καὶ ἐτυπόμην τὸ αὐτὸ σημαίνουσιν, εἰ καὶ τῇ φωνῇ διαφέρουσιν, ὅθεν καὶ ἓξ χρόνους λέγομεν καὶ οὐ πλείονας, ὡς ἐν τῇ β′ ἀορίστου ἐνεργητικοῦ διδασκαλίᾳ μεμαθήκαμεν, ἡνίκα καὶ ἐζητοῦμεν διὰ τοῦ πρώτου ἀορίστου τοῦ αὐτοῦ ὄντος κατὰ σημασίαν τῷ παρακειμένῳ καὶ ὑπερσυντελικῷ [κατ᾽ ἰδίαν χρόνον λέγομεν τὸν ἀόριστον, καὶ μὴ συναριθμοῦμεν αὐτὸν τῷ παρακειμένῳ καὶ ὑπερσυντελικῷ.]

“ Ἐτυψάμην, ἐτύψω, ἐτύψατο. Δυϊκά· ἐτυψάμεθον,
294 a ἐτύψασθον, ἐτυψάσθην. Πληθυντικά· ἐτυψάμεθα, ἐτύψασθε, ἐτύψαντο. Εἴρηται· μέσου ἀορίστου δευτέρου ἑνικά· ἐτυπόμην, ἐτύπου.” Ἰστέον ὅτι ἐπὶ μὲν τοῦ πρώτου μέσου ἀορίστου τὸ β′ τῶν ἑνικῶν ἐτύψω διὰ τοῦ ω λέγομεν, ἐπὶ δὲ τοῦ δευτέρου μέσου ἀορίστου ἐτύπου διὰ τῆς ου διφθόγγου· καὶ τούτου ἐστὶν αἰτία ἡ κρᾶσις· ἐπειδὴ γὰρ ἐπὶ μὲν τοῦ πρώτου μέσου ἀορίστου τὸ α καὶ ο ἐστὶν, οἷον ἐτύψατο ἐτύψαο, (ἐλούσατο) ἐλούσαο, ἐποιήσατο ἐποιήσαο, τούτου χάριν διὰ τοῦ ω λέγομεν ἐτύψω, ἐποιήσω· τὸ γὰρ αο εἰς ω μέγα κιρνᾶται, οἷον βοάομεν βοῶμεν, γελάομεν γελῶμεν, τοῦ γήραος τοῦ γήρως, τοῦ κρέαος τοῦ κρέως· ἐπειδὴ δὲ ἐπὶ τοῦ δευτέρου μέσου ἀορίστου τὸ ε καὶ ο ἐστὶν, οἷον ἐτύπτετο ἐτύπτεο, ἐλάβετο ἐλάβεο, ἐνύγετο ἐνύγεο, τούτου χάριν διὰ τῆς ου διφθόγγου λέγομεν, ἐτύπου, ἐνύγου, ἐλάβου· τὸ γὰρ ε καὶ ο εἰς τὴν ου δίφθογγον κιρνῶνται, οἷον χάλκεος χαλκοῦς, Δημοσθένεος Δημοσθένους· οὐδὲ γὰρ ἔχουσι ταῦτα τὴν ἐνεργητικὴν μετοχὴν εἰς ς μετ᾽ ὀξείας τάσεως, ἵνα τροπῇ τοῦ τ τοῦ κατὰ τὸ τρίτον πρόσωπον εἰς ς ποιήσωσι τὸ δεύτερον πρόσωπον· τοῦ μὲν ἐτυψάμην α′ μέσου ἀορίστου τύψας ἐστὶν ἡ ἐνεργητικὴ μετοχὴ εἰς ς μὲν, ἀλλ᾽ οὐκ ὀξύτονος· τοῦ δὲ ἐτυπόμην δευτέρου ἀορίστου μέσου τυπών ἐστι ἡ ἐνεργητικὴ μετοχὴ, ὀξύτονος μὲν, ἀλλ᾽ οὐκ εἰς ς.

“ Ἐτύπετο. Δυϊκά· ἐτυπόμεθον, ἐτύπεσθον, ἐτυπέσθην. Πληθυντικά· ἐτυπόμεθα, ἐτύπεσθε, ἐτύποντο. Εἴρηται. Μέλλων, τυφθήσομαι· ὁ μέλλων πρῶτος τυφθήσομαι.” Ἰστέον ὅτι ὁμοίως τοῖς ἀορίστοις καὶ τοὺς μέλ-

λοντας ἐστὶν εὑρεῖν τέσσαρας ἐν τοῖς παθητικοῖς, δύο παθητικοὺς καὶ δύο μέσους· κανονίζονται δὲ οἱ παθητικοὶ μέλλοντες ἀπὸ τῶν παθητικῶν ἀορίστων, ὁ πρῶτος ἀπὸ τοῦ πρώτου, καὶ ὁ β΄ ἀπὸ τοῦ β΄· ὁ μὲν γὰρ πρῶτος ἀόριστος κατὰ τὸ τρίτον αὐτοῦ πρόσωπον προσλαμβάνων τὴν ΣΟΜΑΙ καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλὼν πρῶτον μέλλοντα παθητικὸν ποιεῖ, οἷον ἐτύφθην τυφθήσομαι, ἐνύχθην νυχθήσομαι, ἐλέχθην λεχθήσομαι, ἐκάρην καρήσομαι, ἐκάρθη καρθήσομαι, ἠγοράσθη ἀγορασθήσομαι, ἐνύγη νυγήσομαι, ἐστάλη σταλήσομαι, ἐδάρη δαρήσομαι, ἐφθάρη φθαρήσομαι· εὐλόγως δὲ ἡ ἐν ἀρχῇ κλιτικὴ ἔκτασις ἀποβάλλεται, ἐπειδὴ παρῳχημένων ἴδιόν ἐστι τὸ μεγεθύνεσθαι κατὰ τὴν ἄρχουσαν, οὐ μὴν καὶ τῶν μελλόντων. Ταῦτα μὲν ἐν τούτοις.

Φασὶ δέ τινες ὅτι ἡ παραλήγουσα ἡ ἐν τῷ μέλλοντι τῷ ἐνεργητικῷ τετάρτη θέλει εἶναι ἀπὸ τέλους ἐν τοῖς παθητικοῖς μέλλουσιν, οἷον εἰσὶν ἐνεργητικοὶ μέλλοντες, τύψω καὶ νύξω, παραληγόμενοι τῷ Τ, καὶ εἰσὶ τούτων οἱ παθητικοὶ μέλλοντες, τυφθήσομαι καὶ νυχθήσομαι, ἔχοντες τὸ Τ ἐν τῇ τετάρτῃ ἀπὸ τέλους συλλαβῇ. Ἰστέον δὲ ὅτι οὐκ ἔρρωται ὁ κανὼν αὐτῶν· ἰδοὺ γάρ εἰσιν ἐνεργητικοὶ μέλλοντες, κερῶ καὶ σπερῶ τῷ Ε παραληγόμενοι, καὶ ὁμοίως οἱ παθητικοὶ μέλλοντες καρθήσομαι καὶ σπαρθήσομαι οὐκ ἔχουσιν ἐν τῇ τετάρτῃ ἀπὸ τέλους συλλαβῇ τὸ Ε, ἀλλὰ τὸ Α. Καὶ πάλιν ὁ εὑρήσω ἐνεργητικὸς μέλλων τῷ Η παραληγόμενος, καὶ ὁ
294 b μέλλων ὁ εὑρεθήσομαι παθητικὸς οὐκ ἔχει ἀπὸ τέλους ἐν τῇ τετάρτῃ συλλαβῇ τὸ Η ἀλλὰ τὸ Ε. Κρεῖττον οὖν ἐστι κανονίσαι αὐτοὺς ἐκ τῶν παθητικῶν ἀορίστων.

"Τυφθήσομαι τυφθήσῃ τυφθήσεται. Δυϊκά· τυφθησόμεθον τυφθήσεσθον τυφθήσεσθον. Πληθυντικά· τυφθησόμεθα τυφθήσεσθε τυφθήσονται. Μέλλοντος δευτέρου, τυπήσομαι τυπήσῃ τυπήσεται. Δυϊκά· τυπησόμεθον τυπήσεσθον τυπήσεσθον. Πληθυντικά· τυπησόμεθα τυπήσεσθε τυπήσονται."

Ἰστέον ὅτι οἱ μέσοι μέλλοντες ἐκ τῶν ἐνεργητικῶν μελ-

λόντων γίνονται, ὁ α' ἀπὸ τοῦ πρώτου, καὶ ὁ δεύτερος ἀπὸ τοῦ δευτέρου, τοῦτον τὸν τρόπον· πᾶς μέλλων ἐνεργητικὸς προσλαβὼν τὴν ΜΑΙ γίνεται, ὁ μὲν πρῶτος μέλλων ἐνεργητικὸς πρῶτος μέσος μέλλων γίνεται, ὁ δὲ δεύτερος ἐνεργητικὸς (β') μέσος μέλλων γίνεται, καὶ εἰ μὲν βαρύνεται ὁ ἐνεργητικὸς μέλλων, τρέπει τὸ ω εἰς τὸ ο ἐν τῷ μέσῳ μέλλοντι, τύψω τύψομαι, γράψω γράψομαι, λέξω λέξομαι, ποιήσω ποιήσομαι, ἀκούσω ἀκούσομαι, εἰ δὲ περισπᾶται ὁ μέλλων ὁ ἐνεργητικὸς, τρέπει τὸ ω εἰς τὴν ΟΥ δίφθογγον ἐν τῷ μέσῳ μέλλοντι, οἷον κερῶ κεροῦμαι, φθερῶ φθεροῦμαι, εὐφρανῶ εὐφρανοῦμαι, τυπῶ τυποῦμαι, νυγῶ νυγοῦμαι, δραμῶ δραμοῦμαι, πεσῶ πεσοῦμαι· ἀμέλει οἱ Ἀθηναῖοι λακτιῶ καὶ κουφιῶ καὶ βαδιῶ λέγοντες περισπωμένως τοὺς μέσους τούτων μελλόντων διὰ τῆς ΟΥ διφθόγγου προφέρονται, οἷον λακτιοῦμαι, βαδιοῦμαι, κουφιοῦμαι, καὶ οἱ Δωριεῖς δὲ πάντας τοὺς μέλλοντας περισπῶντες καὶ λέγοντες τυψῶ, γραψῶ, ποιησῶ, κλαυσῶ, φευξῶ, καὶ τοὺς μέσους αὐτῶν διὰ τῆς ΟΥ διφθόγγου προφέρονται, οἷον ποιησοῦμαι, τυψοῦμαι, γραψοῦμαι, κλαυσοῦμαι, πλευσοῦμαι [x]. Ταῦτα δὲ οὐ μόνον παρὰ τοῖς Δωριεῦσιν, ἀλλὰ καὶ παρὰ τοῖς Ἀττικοῖς οὕτως ἐπεκράτησαν λέγεσθαι. Ἰστέον δ' ὅτι εἰ μὲν ἀπὸ περισπωμένων μελλόντων μέσοι μέλλοντες κλίσιν ἀναδέχονται, [y] ὁμοίως τοῖς ἐνεστῶσι καὶ παθητικοῖς τῆς α' συζυγίας τῶν περισπωμένων· ὥσπερ γὰρ ποιοῦμαι ποιῇ ποιεῖται, ποιούμεθον ποιεῖσθον ποιεῖσθον, ποιούμεθα ποιεῖσθε ποιοῦνται, οὕτως καὶ τυποῦμαι τυπῇ τυπεῖται, τυπούμεθον τυπεῖσθον, τυπούμεθα τυπεῖσθε τυποῦνται. Πλὴν εἰ καὶ τὴν αὐτὴν ἔχουσι κλίσιν οἱ παθητικοὶ ἐνεστῶτες τῆς α' συζυγίας τῶν περισπωμένων καὶ οἱ ἀπὸ περισπωμένων μέσοι μέλλοντες. Ἀλλ' οὖν χρὴ γινώσκειν ὅτι οἱ μὲν παθητικοὶ ἐνεστῶτες τῆς πρώτης συζυγίας τῶν περισπωμένων, λέγω δὴ ὁ ποιοῦμαι καὶ νοοῦμαι καὶ οἱ ὅμοιοι, ἀπὸ τῶν ἐντελῶν συναιρεθέντες, λέγω δὴ τοῦ ποιεόμαι καὶ τοῦ νοέομαι, πρὸς τὴν συναίρεσιν

[x] Paris. in marg. χευσοῦμαι. [y] Seqq. usque ad Ἰστέον δὲ ὅτι πολλάκις p. 710, 23. supplevimus ex Bar.

ποιοῦνται τὴν κλίσιν· οἱ δὲ ἀπὸ περισπωμένων μελλόντων μέσοι μέλλοντες, λέγω δὴ ὁ τυποῦμαι καὶ ὁ καροῦμαι καὶ οἱ ὅμοιοι, οὐκ ἀπὸ συναιρέσεως ποιοῦνται τὴν κλίσιν, οὐδὲ γάρ εἰσιν ἀπὸ τῶν ἐντελῶν συνῃρημένοι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ α' μέλλων ὁ ἐνεργητικὸς πῆ μὲν τὸ ω εἰς τὸ ο τρέπει ἐν τῷ πρώτῳ μέσῳ μέλλοντι, οἷον, τύψω τύψομαι, πῆ δὲ εἰς τὴν ου δίφθογγον, καρῶ καροῦμαι. Ὁ δὲ β' μέλλων ὁ ἐνεργητικὸς ἀεὶ τὸ ω εἰς τὴν ου δίφθογγον τρέπει ἐν τῷ α' μέσῳ μέλλοντι· καὶ ὁ μὲν α' μέλλων ὁ ἐνεργητικὸς, ἐπειδὴ πῆ μὲν βαρύνεται, πῆ δὲ περισπᾶται, οἷον τύψω, εὐφρανῶ, τούτου χάριν ἡνίκα βαρύνεται τρέπει τὸ ω εἰς τὸ ο, ἡνίκα δὲ περισπᾶται τρέπει τὸ ω εἰς τὴν ου δίφθογγον· ὁ β' μέλλων ὁ ἐνεργητικὸς, ἐπειδὴ ἀεὶ περισπᾶται, τούτου χάριν ἀεὶ εἰς τὴν ου δίφθογγον τρέπει τὸ ω ἐν τῷ β' μέλλοντι. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι εἰ καὶ λέγομεν ἐν τῇ διδασκαλίᾳ τοῦ β' μέλλοντος τοῦ ἐνεργητικοῦ ὁριστικοῦ ὥς φησιν Ἡρωδιανὸς μήποτε εὑρίσκεσθαι ἐν χρήσει β' μέλλοντα ἐνεργητικὸν ὁριστικὸν, ἀλλ' οὖν ἀπὸ τοῦ β' μέλλοντος μέσου εὑρίσκεται ἐν χρήσει· ὥσπερ καὶ ὁ δραμοῦμαι ἀπὸ τοῦ δραμῶ, καὶ ὁ κατθανοῦμαι ἀπὸ τοῦ κατθανῶ.

"Τύψομαι τύψῃ τύψεται. Δυϊκά· τυψόμεθον τύψεσθον. Πληθυντικά· τυψόμεθα τύψεσθε τύψονται. Μετ' ὀλίγου μέλλοντος παθητικοῦ ἑνικά· Τετύψομαι." Ἰστέον ὅτι οἱ Ἀθηναῖοι ἴδιον μέλλοντα ποιοῦσι τὸν μετ' ὀλίγον κείμενον, ὅστις καὶ μέλλων ὡρισμένος λέγεται, ὅτι τὸ μετ' ὀλίγον ὡρισμένον ἐστί. Ἐπειδὴ γὰρ οἱ Ἀθηναῖοι εὗρον τὸν παρῳχημένον εἰς πολλὰ καταμεμερισμένον, οἷον παρατατικὸν, παρακείμενον, ἀόριστον, ὑπερσυντελικὸν, κατεμέρισαν αὐτοὶ τὸν μέλλοντα χρόνον, καὶ ἐποίησαν μετ' ὀλίγον μέλλοντα. Οὗτος δὲ σημαίνει οὐ τὸ ὀφειλόμενον γενέσθαι μετὰ μίαν ἡμέραν ἢ β', ἀλλὰ τὸ εὐθέως ὄφειλον γενέσθαι, μετὰ μικρὸν τυχόν. Ἰστέον δὲ ὅτι ὁ μετ' ὀλίγον μέλλων τῆς μέσης διαθέσεως ἐστίν· ὥσπερ γὰρ ἡ μέση διάθεσις πῆ μὲν ἐνέργειαν σημαίνει, ὡς τὸ τέτυπα καὶ ἐγραψάμην ἀντὶ

τοῦ τέτυφα καὶ ἔγραψα ἐστί, πῇ δὲ πάθος παρίστησι, ὡς τὸ τέτηκα καὶ ἐλουσάμην ἀντὶ τοῦ ἐτάκην καὶ ἐλούθην ἐστί, τὸν αὐτὸν τρόπον καὶ ὁ μετ' ὀλίγον μέλλων πῇ μὲν ἐνέργειαν σημαίνει, οἷον κεκράξεται ἀντὶ τοῦ κεκράξειν, πῇ δὲ πάθος παρίστησιν, οἷον βεβρώσεται ἀντὶ τοῦ βεβρωμένοι εἰσίν, ὡς παρὰ τῷ ποιητῇ

χρήματα δ' αὐτὰ κακῶς βεβρώσεται.

Καὶ ἐπειδὴ μέσης ἐστι διαθέσεως ὁ μετ' ὀλίγον μέλλων, τούτου χάριν ἐν τοῖς παθητικοῖς ἐτάγη· οἱ γὰρ ἀόριστοι καὶ οἱ μέλλοντες τῆς μέσης διαθέσεως ἐν τοῖς παθητικοῖς εἰσι τεταγμένοι. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι διὰ τί ἐπενοήθη ὁ μετ' ὀλίγον μέλλων; Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν αἰτίαν. Ὥσπερ ἐν τῷ παθητικῷ παρακειμένῳ μεμαθήκαμεν, ὁ παθητικὸς παρακείμενος συγκοπὴν πέπονθε, καὶ ἔνδειαν ἔπαθε συλλαβῆς, τούτου χάριν ἐπενοήθη ὁ μετ' ὀλίγον μέλλων μιᾷ συλλαβῇ περιττεύων τοῦ παθητικοῦ παρακειμένου, οἷον τέτυμμαι τετύψομαι, ἵνα τὴν συλλαβὴν τὴν κεχρεωστημένην τῷ παθητικῷ παρακειμένῳ ἀναπληρώσῃ. Κανονίζεται δὲ ὁ μετ' ὀλίγον μέλλων τοῦτον τὸν τρόπον· ὁ παθητικὸς παρακείμενος κατὰ τὸ β' ἑαυτοῦ πρόσωπον πρὸ τῆς ΑΙ διφθόγγου προσλαμβάνων τὸ ΟΜ τὸν μετ' ὀλίγον μέλλοντα ποιεῖ, οἷον τέτυψαι τετύψομαι, βέβρωσαι βεβρώσομαι. Ἰστέον δὲ ὅτι πολλάκις ὁ μετ' ὀλίγον μέλλων καὶ ὁ μέσος μέλλων συνεμπίπτουσιν ἀλλήλοις, οἷον ἐπὶ τούτου ἐστίν, ὠθῶ ὠθήσω, καὶ ὁ μέσος μέλλων ὠθήσομαι· εἶτα ὁ παθητικὸς παρακείμενος ὤθημαι ὤθησαι, καὶ ὁ μετ' ὀλίγον μέλλων ὠθήσομαι· πάλιν ἐστὶν ἡβῶ ἡβήσω, ὁ μέσος μέλλων ἡβήσομαι· πάλιν ἐστὶν ἰξεύω ἰξεύσω, καὶ ὁ μέσος μέλλων ἰξεύσομαι· εἶτα ὁ παθητικὸς παρακείμενος μέσος ἴξευμαι ἴξευσαι, καὶ ὁ μετ' ὀλίγον μέλλων ἰξεύσομαι· πάλιν ἐστὶν ὑδρεύω ὑδρεύσω, καὶ ὁ μέσος μέλλων ὑδρεύσομαι· εἶτα ὁ παθητικὸς παρακείμενος ὕδρευσμαι ὕδρευσαι, καὶ ὁ μετ' ὀλίγον μέλλων ὑδρεύσομαι. Καὶ ἔστιν εἰπεῖν, ὅτι τότε ὁ μέσος μέλλων καὶ ὁ μετ' ὀλίγον μέλλων
295 a συνεμπίπτουσιν ἀλλήλοις, ἡνίκα ἡ αὐτὴ ἄρχουσα φυλάττεται

ἐπὶ τοῦ ἐνεργητικοῦ μέλλοντος καὶ ἐπὶ τοῦ παθητικοῦ παρακειμένου· τοῦτο δὲ γίνεται ἐπὶ τῶν ἀρχομένων ἀπὸ τοῦ Η ἢ Ω ἢ Ι ἢ Υ, ὡς τὰ προλεχθέντα παραδείγματα δεδηλώκασι. Δεῖ δὲ τοῦτο γινώσκειν, ὅτι ἐπὶ τῶν ἀπὸ τοῦ Ι ἢ Υ ἀρχομένων ὁ μὲν μέσος μέλλων συνεσταλμένα αὐτὰ ἔχει, ὁ δὲ μετ' ὀλίγον μέλλων ἐκτεταμένα, ἐπειδὴ καὶ ὁ παθητικὸς παρακείμενος ἐκτείνει αὐτά.

"Τετύψῃ τετύψεται. Δυϊκά· τετυψόμεθον τετύψεσθον τετύψεσθον. Πληθυντικά· τετυψόμεθα τετύψεσθε τετύψονται."

Πεπλήρωται σὺν θεῷ ἡ ὁριστικὴ ἔγκλισις.

Περὶ ἀπαρεμφάτων.

"Ἐδόκει τισὶ τὰ ἀπαρέμφατα μηδὲ ῥήματα εἶναι."

Ἰστέον ὅτι τὰ ἀπαρέμφατα δευτέραν ἔχουσι τάξιν, καὶ τοῦτο εὐλόγως, εἴ γε καὶ πρώτην ὤφειλον ἐπέχειν τάξιν, ὡς ὄντα ἀρχαὶ καὶ οἱονεὶ ῥίζαι τῶν ῥημάτων· ἐξ αὐτῆς γὰρ τῆς ἀπαρεμφάτου γίνονται πᾶσαι αἱ ἐγκλίσεις, καὶ εἰς αὐτὴν ἀναλύονται· ὥσπερ γὰρ ἐκ τῶν δ' στοιχείων τὰ ἡμέτερα συνίστανται σώματα καὶ εἰς αὐτὰ πάλιν ἀναλύονται, ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων,

ὕδωρ καὶ γαῖα γένοισθε,

οὕτω καὶ ἐκ τῆς ἀπαρεμφάτου ἐγκλίσεως συνίστανται αἱ ἄλλαι ἐγκλίσεις, καὶ εἰς αὐτὴν ἀναλύονται· ἐκ γὰρ τοῦ τύπτειν μεταλαμβάνω καὶ λέγω τύπτω καὶ τύπτε καὶ τύπτομαι καὶ ἐὰν τύπτω, καὶ ἰδοὺ ἐξ αὐτῆς συνίστανται· ἀλλὰ καὶ εἰς αὐτὴν ἀναλύονται· ἐὰν γὰρ λέγω τύπτω, καὶ ἐρωτηθῶ τί ὡρισάμην, λέγω τὸ τύπτειν, καὶ πάλιν εἰ εἴπω τύπτοιμι, καὶ ἐρωτηθῶ τι ὡρισάμην ἢ τί ηὐξάμην, λέγω τὸ τύπτειν, καὶ πάλιν ἐὰν εἴπω [z] ἐὰν τύπτω, καὶ ἐρωτηθῶ τί ἐδίστασα, λέγω ὅτι τὸ τύπτειν· ἀλλ' ἐπειδὴ, ὡς δειχθήσεται, ἀμφιβάλλονται τὰ ἀπαρέμφατα εἰ ἄρα εἰσὶ ῥήματα [a], οὐ δεῖ δὲ τὰς ἀρχὰς ἀπὸ τῶν ἀμφιβαλλομένων ποιεῖσθαι, διὰ

[z] τύπτε καὶ ἐρωτηθῶ τί προσέταξα, λέγω τὸ τύπτειν Bar. [a] Addit Bar. εἰ ἄρα οὐκ εἰσί et sic p. 712, 10.

τοῦτο οὐ προετάγησαν τῶν ἄλλων ἐγκλίσεων· μὴ προταγέντα οὖν τὰ ἀπαρέμφατα εἰκότως τὴν δευτέραν εἰλήφασι τάξιν, εἴ γε ὡς εἴρηται καὶ πρώτην ὤφειλον ἐπέχειν τάξιν. Ἰστέον δὲ ὅτι τινὲς τὴν ἀπαρέμφατον τελευταίαν ἔτασσον διὰ τὸ μὴ ἔχειν μήτε πρόσωπα, μήτε ἀριθμοὺς, μήτε θέλημα ψυχῆς, ὅθεν καὶ ἀπαρέμφατος λέγεται διὰ τὸ μὴ παρεμφαίνειν, ἤγουν δηλοῦν, μήτε πρόσωπα, μήτε ἀριθμοὺς, μήτε θέλημα ψυχῆς. Ταῦτα μὲν ἐν τούτοις.

Ἔλθωμεν δὲ καὶ εἴπωμεν πῶς ἀμφιβάλλονται τὰ ἀπαρέμφατα, εἰ ἄρα εἰσὶ ῥήματα, εἰ ἄρα οὐκ εἰσί. Καὶ δεῖ γινώσκειν, ὅτι πᾶν ῥῆμα θέλει ἔχειν πρόσωπα, ἀριθμοὺς, θέλημα ψυχῆς, οἷον τύπτω τύπτεις τύπτει τύπτετον τύπτετον τύπτομεν τύπτετε τύπτουσι· τὰ δὲ ἀπαρέμφατα οὐδὲν ἐκ τούτων ἔχουσιν, οὔτε γὰρ πρόσωπα ἔχουσιν, οὔτε ἀριθμοὺς, οὔτε θέλημα ψυχῆς, (τὸ γὰρ τύπτειν οὐδὲν ἐκ τούτων ἔχει,) οὐκ ἄρα εἰσὶ ῥήματα τὰ ἀπαρέμφατα· ἄλλως τε δὲ οὐδέποτε δύο ῥήματα ἄνευ συνδέσμου παραλαμβανόμενα τέλειον λόγον ἀποτελοῦσιν· οὐδεὶς γὰρ λέγει τύπτω ἀνάγνωθι, ἢ τύπτω ἀναγινώσκω, ἀλλὰ μετὰ συνδέσμου τύπτω καὶ ἀναγινώσκω,
295 b *καὶ τύπτω καὶ ἀνάγνωθι· ἐὰν λούσωμαι, ὑγιαίνω· τὰ μέντοι ἀπαρέμφατα ἄνευ συνδέσμου παραλαμβάνονται μετὰ ῥημάτων, καὶ ἀποτελοῦσι λόγον, ὡς ἐπὶ τοῦ βούλομαι ἀναγινώσκειν, προαιροῦμαι φιλοσοφεῖν, μέλλω γράφειν, εὔχομαι ὑγιαίνειν· οὐκ ἄρα οὖν εἰσὶ ῥήματα τὰ ἀπαρέμφατα. Πρὸς τούτοις ἔτι τρίτον ἐπιχείρημα προεβάλλοντο λέγοντες ὅτι ἐπιρρήματα εἰσὶν τὰ ἀπαρέμφατα· ὥσπερ γὰρ λέγομεν καλῶς γράφω γράφω καλῶς κατὰ πρόταξιν καὶ καθ' ὑπόταξιν τοῦ ἐπιρρήματος παραλαμβανόμενα, οὕτω λέγομεν καὶ θέλω γράφειν καὶ γράφειν θέλω κατὰ πρόταξιν καὶ καθ' ὑπόταξιν τοῦ ἀπαρεμφάτου προσλαμβανομένα. Ἔστι δὲ εἰπεῖν ὅτι ῥήματά εἰσι τὰ ἀπαρέμφατα· καὶ γὰρ τὰ ῥήματα ἔχουσι πάθος, ἐνέργειαν, μεσότητα, οἷον τύπτω τύπτομαι τέτυπα, καὶ ἔχουσι διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς, ἤγουν ἐν ἰδίαις ἐναλλαγαῖς τῶν λέξεων, οἷον τύπτω ἔτυπτον τέτυφα ἐτετύφειν [τέτυπα ἐτύφθην ἐτύπην·] ὁμοίως*

δὲ καὶ τὰ ἀπαρέμφατα ἔχουσιν ἐνέργειαν, πάθος, μεσότητα, ἔχουσι διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς, οἷον τύπτειν, τετυφέναι, τετυπέναι, τύψαι, τύψειν, τυπεῖν, τύπτεσθαι· ἆρα οὖν ῥήματά εἰσι τὰ ἀπαρέμφατα. Ἔστι δὲ καὶ ἐξ ἄλλου λόγου πιστώσασθαι ὅτι ῥήματα εἰσὶ τὰ ἀπαρέμφατα· καὶ γὰρ πολλάκις εὑρίσκομεν τὸν ποιητὴν ἀντὶ τινῶν ῥημάτων προστακτικῶν τοῖς ἀπαρεμφάτοις κεχρημένον· ἀντὶ γὰρ τοῦ εἰπεῖν Ἀθηναίῃ ἐπίτειλον, εἶπεν [Il. δ'. 64.]

"Ἀθηναίῃ ἐπιτεῖλαι·"

καὶ πάλιν [Il. δ'. 66.]

πειρᾶν δ' ὥς κεν Τρῶες,

ἀντὶ τοῦ πειρᾶσαι· ἔλαβε τὸ γένος, φημὶ δὲ τὸ ἀπαρέμφατον, ἤγουν τὴν ἀρχὴν καὶ τὴν ῥίζαν, ἀντὶ τοῦ εἴδους, λέγω δὴ τοῦ προτακτικοῦ, ἤγουν ἀντὶ τοῦ κλάδου τοῦ ἐκφυέντος ἐκ τῆς ῥίζης, τουτέστι τὸ ἀπαρέμφατον· εἰώθαμεν γὰρ πολλάκις ἐν τῇ συνηθείᾳ γένη τινὰ ἀντὶ εἰδῶν λαμβάνειν· πολλάκις γὰρ ἢ θρόνον ἢ σκάμνον ἤ τι τῶν τοιούτων βουλόμενός τις ἐπαινέσαι, φησὶν ὅτι καλὸν τὸ ξύλον, τὸ γένος ἀντὶ τοῦ εἴδους ὀνομάζων· γένος γὰρ τοῦ θρόνου καὶ τοῦ σκάμνου τὸ ξύλον. Οὕτως οὖν καὶ ὁ ποιητὴς πολλάκις τὸ γένος καὶ τὴν ῥίζαν, ἤγουν τὸ ἀπαρέμφατον, λαμβάνει ἀντὶ τῶν εἰδῶν, ἤγουν τῶν ἄλλων ἐγκλίσεων. Περὶ δὲ τοῦ μὴ ἔχειν τὰ ἀπαρέμφατα μήτε πρόσωπα, μήτε ἀριθμούς, μήτε θέλημα ψυχῆς, ἐστὶν εἰπεῖν ὅτι τὰ ἀπαρέμφατα ὀνόματά εἰσι τῶν [b] πραγμάτων· ἀντὶ γὰρ τοῦ εἰπεῖν ὁ περίπατος λέγω τὸ περιπατεῖν, καὶ ἀντὶ τοῦ εἰπεῖν ἡ φιλοσοφία λέγω τὸ φιλοσοφεῖν· τὸ δὲ πρᾶγμα αὐτὸ καθ' ἑαυτὸ νοούμενον οὐ θεωρεῖται ἔν τινι· τὸν αὐτὸν τρόπον, ὥσπερ ἡ λευκότης αὐτὴ καθ' ἑαυτὴν οὖσα οὐ θεωρεῖται ἔν τινι, τὸν αὐτὸν τρόπον καὶ τὰ ἀπαρέμφατα ὀνόματα ὄντα τῶν πραγμάτων αὐτὰ καθ' ἑαυτὰ ὄντα οὐκ ἐγένοντο ἔν τινι· μὴ γενόμενα δὲ ἔν τινι,
296 a εἰκότως οὐκ ἔχουσι πρόσωπα· τούτου χάριν οὐκ ἔχουσι πρόσωπα τὰ ἀπαρέμφατα· προσώπων δὲ μὴ ὄντων, εἰκότως

[b] ῥημάτων Bar.

οὔτε θέλημα ψυχῆς δύναται εἶναι· πῶς γὰρ δύναται θέλημα ψυχῆς εἶναι ἄνευ προσώπων· τὸ γὰρ μὴ ὂν πῶς ἔχει θελῆσαι· εἰκότως οὔτε θέλημα ψυχῆς ἔχουσι τὰ ἀπαρέμφατα, ἀλλ' οὔτε δὲ ἀριθμοὺς δύναται ἔχειν προσώπων μὴ ὄντων· ἐκ γὰρ διαφόρων προσώπων τίκτεται ὁ διάφορος ἀριθμὸς, οἷον, ἐκ τοῦ ἑνὸς προσώπου γίνεται ὁ ἑνικὸς ἀριθμὸς, καὶ ἐκ τῶν δύο ὁ δυϊκὸς, καὶ ἐκ τῶν πλειόνων ὁ πληθυντικός· τούτου χάριν οὔτε ἀριθμοὺς ἔχουσι τὰ ἀπαρέμφατα. Δέδεικται οὖν ὅτι εἰκότως τὰ ἀπαρέμφατα οὔτε πρόσωπα ἔχουσιν, οὔτε ἀριθμοὺς, οὔτε θέλημα ψυχῆς, καὶ ὥσπερ τὰ δʹ στοιχεῖα, φημὶ δὲ τὸ ὕδωρ, ἡ γῆ, ὁ πῦρ, καὶ ὁ ἀὴρ, ἁπλούστερά εἰσιν ὡς ἀρχαὶ τῶν σωμάτων, τὰ ἐξ αὐτῶν γινόμενα σώματα ποικίλλονται, καὶ ὥσπερ τὰ κδʹ στοιχεῖα, φημὶ δὲ τὸ Α Β καὶ τὰ λοιπὰ, ἁπλούστερά εἰσιν ὡς ἀρχαὶ τῶν συλλαβῶν καὶ τῶν λέξεων, αἱ δὲ ἐξ αὐτῶν γινόμεναι συλλαβαὶ καὶ λέξεις ποικιλώτεραί πως γίνονται, τὸν αὐτὸν τρόπον καὶ ἡ ἀπαρέμφατος ὡς ἀρχὴ καὶ ῥίζα οὖσα τῶν ἄλλων ἐγκλίσεων ἁπλουστέρα ὑπάρχει καὶ ἀποίκιλος, προσώπων τε ὑπάρχουσα ἐκτὸς καὶ ἀριθμῶν καὶ θελημάτων ψυχῆς· [αἱ δὲ ἐξ αὐτῆς γινόμεναι ἐγκλίσεις ποικίλλονται διά τε προσώπων καὶ ἀριθμῶν καὶ θελήματος ψυχῆς.]

Περὶ δὲ τῆς συντάξεως αὐτῶν ὅτι ἄνευ συνδέσμων παραλαμβανόμενα τὰ ἀπαρέμφατα μετὰ ῥημάτων ἀποτελοῦσι τέλειον λόγον, οἷον θέλω γράφειν, βούλομαι φιλοσοφεῖν, ἔστιν εἰπεῖν, ὅτι πρῶτον μὲν οὐ μετὰ πάντων τῶν ῥημάτων τὰ ἀπαρέμφατα συνταττόμενα τέλειον λόγον ποιοῦσιν· οὐδὲ γὰρ λέγομεν τύπτω ἀναγινώσκειν, ἢ περιπατῶ διαλέγεσθαι, ἀλλὰ μετὰ μόνων τῶν προαιρετικῶν, λέγω δὴ τοῦ θέλω, βούλομαι, καὶ προαιροῦμαι, καὶ τῶν ἐφετικῶν· ἐφετικὰ δὲ λέγονται τὰ ἐφέσεως καὶ ἐπιθυμίας δηλωτικὰ, οἷον μέλλω γράφειν, ἐπιθυμῶ φιλοσοφεῖν [c], [εὔχομαι ὑγιαίνειν, τολμῶ παιδεύειν, ἐπιχειρῶ περιπατεῖν, ὀφείλω εὐεργετεῖν·] δεύτερον

[c] [ ] καὶ ἁπλῶς εἰπεῖν μετὰ τῶν σημαινόντων ἔλλαμψιν πράγματος, ὡς ἐπὶ τοῦ δεῖ γράφειν, χρὴ διαλέγεσθαι, ὀφείλω εὐεργετεῖν Bar.

δὲ διὰ τοῦτο τὰ ἀπαρέμφατα μετὰ τούτων συνταττόμενα τέλειον λόγον ἀποτελοῦσιν, ἐπειδὴ ταῦτα, λέγω δὲ τὸ θέλω καὶ βούλομαι καὶ προαιροῦμαι καὶ τὰ ὅμοια, ἔχουσι θέλημα ψυχῆς πρόσωπα καὶ ἀριθμοὺς, πράγμασι δὲ μόνον ἐλλείπουσιν· ὁ γὰρ βουλόμενος ἢ θέλων τι ποιῆσαι, ὡς ἐλλεῖπον τῷ πράγματι θέλει ποιῆσαι αὐτό· τὰ δὲ ἀπαρέμφατα ἐκ τοῦ ἐναντίου πράγματός εἰσι δηλωτικὰ μὴ ἔχοντα μήτε πρόσωπα μήτε ἀριθμοὺς μήτε θέλημα ψυχῆς· εἴ τι οὖν λείπει τοῖς ἀπαρεμφάτοις, [d] ἀναπληροῦνται διὰ τούτων, φημὶ δὴ τὸ πρόσωπον καὶ τὸ θέλημα τῆς ψυχῆς καὶ ὁ ἀριθμὸς, καὶ εἴ τι λείπει τούτοις, ἀναπληροῦται διὰ τῶν ἀπαρεμφάτων, φημὶ δὲ τὸ πρᾶγμα, καὶ ὡς ἔστιν εἰπεῖν ἑκάτερα δι'
296 b ἑκατέρων ἀναπληροῦται· τούτου οὖν χάριν τὰ ἀπαρέμφατα μετὰ τούτων [e] συνταττόμενα ἀποτελοῦσι τέλειον λόγον.

Πρὸς δὲ τὸ τρίτον ἐπιχείρημα, τὸ λέγον ὅτι ἐπιρρήματά εἰσι τὰ ἀπαρέμφατα, διότι ὥσπερ τὰ ἐπιρρήματα καὶ προτάσσονται καὶ ὑποτάσσονται τῶν ῥημάτων, οὕτω καὶ ἡ ἀπαρέμφατος ἔγκλισις, ἔστιν εἰπεῖν, ὅτι τὰ ἐπιρρήματα οὐ δηλοῦσι διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς [ἢ ἐν ἰδίαις ἐναλλαγαῖς τῶν λέξεων,] τὸ γὰρ χθὲς καὶ σήμερον καὶ αὔριον διαφόρους μὲν χρόνους δηλοῦσιν, ἀλλ' οὐκ ἐν ἰδίοις μετασχηματισμοῖς, ἀλλ' ἐν ἀλλοτρίαις φωναῖς· οὐδὲ γὰρ μετέχει κατὰ τὴν φωνὴν τὸ χθὲς τοῦ σήμερον ἢ τοῦ αὔριον, ἀλλὰ τελεία ἐγένετο ἐναλλαγὴ τῆς φωνῆς· ἑκάστη γὰρ αὐτῶν θεματική ἐστιν· ἄλλη γὰρ λέξις τὸ χθὲς, καὶ ἄλλη τὸ σήμερον, καὶ ἄλλη τὸ αὔριον. Τὰ δὲ ἀπαρέμφατα ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦσιν, οἷον τύπτειν, τετυφέναι, τετυπέναι, τύψαι, τύψειν, τυπεῖν· ἰδοὺ γὰρ διάφοροι χρόνοι ἐδηλώθησαν οὐκ ἐν ἀλλοτρίαις φωναῖς, ἀλλ' ἐν ἰδίαις ἐναλλαγαῖς τῶν λέξεων· μετέχει γὰρ ἑκάστη λέξις τούτων τῆς ἄλλης λέξεως, καὶ οὐ τελεία ἐναλλαγὴ ἐγένετο τῆς φωνῆς, ὥστε οὖν οὐκ εἰσὶν ἐπιρρήματα τὰ ἀπαρέμφατα. Ταῦτα μὲν ἐν τούτοις.

[d] ἀναπληροῦνται—ἑκατέρων ἀναπληροῦται] ἀναπληροῦται δι' ἑαυτῶν Bar. nec plura. [e] συναπτόμενα Bar.

Ἰστέον δὲ ὅτι ἠπόρηται τοῦτο, εἰ ἄρα ἡ ἐνέργεια τινὸς ἔστιν ἐνέργεια, καὶ τὸ πάθος τινὸς ἔστι πάθος, ὁ γὰρ ἐνεργῶν καὶ πάσχων τίς ποτε ἐστὶν, ἐν τοῖς ἀπαρεμφάτοις τινὸς μὴ ὄντος, τὰ γὰρ ἀπαρέμφατα πρόσωπα οὐκ ἔχουσι, πῶς ἔστιν ἐνέργεια καὶ πάθος; Καὶ λέγει ὁ Φιλόπονος ταύτην τὴν ἀπολογίαν· ὅτι ὥσπερ ἡ λευκότης αὐτὴ καθ' ἑαυτὴν νοεῖται, ὡς μὴ γενομένη ἔν τινι, οὕτως καὶ ἐνταῦθα ἐν τοῖς ἀπαρεμφάτοις ἡ ἐνέργεια καὶ τὸ πάθος αὐτὰ καθ' ἑαυτὰ νοοῦνται, μὴ γενόμενα ἔν τινι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι κακῶς εἶπεν ἐνταῦθα ὁ τεχνικὸς, ὡς πᾶν μέρος λόγου φύσει μὲν ἕν ἐστι, θέσει δὲ ποικίλον· ἔδει γὰρ εἰπεῖν αὐτὸν ὅτι πᾶν μέρος λόγου, τουτέστι πᾶσα λέξις, δέχεται ἄρθρον, ἢ τῷ λόγῳ τοῦ σημαινομένου ἢ τῷ λόγῳ πάντως τῆς φωνῆς, καὶ τῷ μὲν λόγῳ τοῦ σημαινομένου δέχεται ἄρθρα τὰ πτωτικὰ, λέγω δὴ ἐπὶ ὀνόματος καὶ μετοχῆς, οἷον ὁ Σωκράτης, ὁ τύπτων· αἱ γὰρ ἀντωνυμίαι [οὐ] δέχονται ἄρθρα τῷ λόγῳ τοῦ σημαινομένου, ἐπειδὴ ὡς ἐν τῷ περὶ ἀντωνυμιῶν, εἰ θεῷ φίλον, μαθησόμεθα, [οὐ] δέχονται αἱ ἀντωνυμίαι ἄρθρα, ὑπεσταλμένης τῆς αὐτὸς, καὶ τὰ ἀπαρέμφατα δὲ τῷ λόγῳ τοῦ σημαινομένου δέχονται ἄρθρα, οἷον τὸ περιπατεῖν ὠφέλιμόν ἐστι, τοῦ περιπατεῖν ὠφελίμου ὄντος, τῷ περιπατεῖν ὠφελίμῳ ὄντι, καὶ τοῦτο εὐλόγως,
297 a ἐπειδὴ τὰ ἀπαρέμφατα δυνάμει πτωτικά εἰσιν· ὀνόματα γὰρ εἰσὶ τῶν πραγμάτων· ἀντὶ γὰρ τοῦ εἰπεῖν ὁ περίπατος λέγω τὸ περιπατεῖν, καὶ ἀντὶ τοῦ εἰπεῖν ἡ φιλοσοφία λέγω τὸ φιλοσοφεῖν· τῷ δὲ λόγῳ τῆς φωνῆς πάντα τὰ μέρη τοῦ λόγου δέχονται ἄρθρα· ἡνίκα βουλόμεθα τεχνολογῆσαι τὴν φωνὴν κεχρήμεθα τῷ ἄρθρῳ, οἷον τὸ Αἴας ἐστὶ δισύλλαβον· προσυπακούεται γὰρ τὸ ὄνομα, οἷον τὸ Αἴας ὄνομα· καὶ πάλιν τὸ λέγε προστακτικόν ἐστι, προσυπακούεται γὰρ τὸ ῥῆμα, οἷον τὸ λέγω ῥῆμα· καὶ πάλιν τὸ περιπατῶ περισπᾶται, προσυπακούεται γὰρ τὸ ῥῆμα, οἷον τὸ περιπατῶ ῥῆμα, καὶ πάλιν ἡ τύπτων παροξύνεται· προσυπακούεται γὰρ ἡ μετοχὴ, οἷον ἡ τύπτων μετοχή· καὶ πάλιν ἡ ἐγὼ ὀρθοτονεῖται, προσακούεται γὰρ ἡ ἀντωνυμία, οἷον ἡ ἐγὼ

ἀντωνυμία· καὶ πάλιν ἡ περὶ ὀξύνεται, προσακούεται δὲ ἡ πρόθεσις· καὶ πάλιν τὸ εὐσεβῶς περισπᾶται, προσακούεται γὰρ τὸ ἐπίρρημα, οἷον τὸ εὐσεβῶς ἐπίρρημα· καὶ πάλιν ὁ μὲν προηγεῖται τοῦ δὲ, προσυπακούεται γὰρ ὁ σύνδεσμος, οἷον ὁ [f] μὲν σύνδεσμος· ταῦτα δὲ τῷ λόγῳ τῆς φωνῆς λέγονται δέχεσθαι τὰ ἄρθρα, ἐπειδὴ τὴν φωνὴν, ἤγουν τὴν λέξιν, βουλόμενοι τεχνολογῆσαι κεχρήμεθα αὐτοῖς, ὅθεν καὶ πολλάκις πληθυντικοῖς ὀνόμασι ἑνικὰ ἄρθρα ἐπιτίθεμεν τῷ λόγῳ τῆς φωνῆς, οἷον τὸ Ἀρίσταρχος προπαροξύνεται, τουτέστι τὸ Ἀρίσταρχος ὄνομα· τὸ τοίνυν ἀπαρέμφατον τοῦ φύσει ῥήματος ἐστὶν μόνον ὄνομα, τουτέστι ἁπλῶς καὶ [g] ἀποικίλως λεγομένου, ὡς γὰρ ἐν τοῖς προλαβοῦσι ἐμάθομεν, ἀρχὴ καὶ οἱονεὶ ῥίζα τῶν ῥημάτων εἰσὶ τὰ ἀπαρέμφατα· ἐκ γὰρ τῆς ἀπαρεμφάτου, ὡς δέδεικται, γίνονται αἱ λοιπαὶ ἐγκλίσεις, καὶ εἰς αὐτὴν ἀναλύονται· διὸ [h] μονόφωνόν ἐστι. Ἰστέον δὲ ὅτι κακῶς εἶπεν ὅτι ἐπειδή ἐστιν ὄνομα τοῦ ῥήματος τὸ ἀπαρέμφατον, διὰ τοῦτο [i] μονόφωνόν ἐστιν, ἤγουν ἄκλιτον· τοῦτο γὰρ αὐτό ἐστι τὸ ζητούμενον, ὅτι διὰ τί ὄνομα ὂν τὸ ἀπαρέμφατον οὐ κλίνεται· ἀντὶ γὰρ τοῦ εἰπεῖν ὁ περίπατος, λέγει τὸ περιπατεῖν, ἔδει οὖν αὐτὸν εἰπεῖν, ὅτι ἐπειδὴ ἀχαρακτήριστόν ἐστι, διὰ τοῦτο οὐ κλίνεται· οὐδέποτε γὰρ εὑρίσκεται ὄνομα, οὔτε ἀρσενικὸν οὔτε θηλυκὸν οὔτε οὐδέτερον, εἰς ΕΙΝ λῆγον· τὸ γὰρ ὑλήειν καὶ ὀφρήειν ἀπὸ τοῦ ὑλῆεν καὶ ὀφρῆεν γεγόνασι κατὰ πλεονασμὸν τοῦ Ι· καὶ πολλάκις ἄρθρον ἔχει συναρτώμενον, οἷον “τὸ ἀναγινώσκειν ὠφέλιμόν ἐστι·” κακῶς οὖν προσέθηκε τὸ πολλάκις, οὐδὲ γὰρ πάντως ἔχει συναρτώμενον ἄρθρον· οὐδὲ γὰρ λέγομεν θέλω τὸ ἀναγινώσκειν, οὐδὲ βούλομαι τὸ τρώγειν, ἀλλὰ χωρὶς τοῦ ἄρθρου, θέλω ἀναγινώσκειν, βούλομαι τρώγειν, προαιροῦμαι φιλοσοφεῖν.

“Ἐνεστῶτος καὶ παρατατικοῦ τύπτειν.”

Ἰστέον ὅτι ἐν τοῖς ἀπαρεμφάτοις ὁ μὲν ἐνεστὼς καὶ ὁ παρατατικὸς ὁμοῦ εἰσι, καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυν-

[f] δὲ Bar. [g] ἀπὸ κλίσεως Bar. [h] ὁμόφωνον Bar. [i] ὁμόφωνον Bar.

τελικὸς ὁμοίως ὁμοῦ, ὁ δὲ ἀόριστος ἰδίᾳ, καὶ ὁ μέλλων ἰδίᾳ, καὶ τοῦδε, λέγουσιν, αἰτία ἐστὶν ἡ μετοχή· ὅπου μὲν γὰρ ἡ μετοχὴ συνεζευγμένη, ἐκεῖ καὶ τὸ ἀπαρέμφατον συνεζευγμένον ἐστὶν, ὡς ἐπὶ ἐνεστῶτος καὶ παρατατικοῦ καὶ παρακειμένου καὶ ὑπερσυντελικοῦ· ἐπὶ τούτων γὰρ ἐπειδὴ ἡ μετοχὴ συνεζευγμένη ἐστὶ, τούτου χάριν καὶ τὸ ἀπαρέμ-
297 b φατον συνεζευγμένον ἐστὶν, ἐφ᾽ ὧν δέ ἐστι διακεχωρισμένη ἡ μετοχὴ, ἐκεῖ καὶ τὸ ἀπαρέμφατον διακεχωρισμένον ἐστὶν, ὡς ἐπὶ τοῦ α′ ἀορίστου καὶ τοῦ α′ μέλλοντος· ἐν τούτοις γὰρ ἐπειδὴ διάφορός ἐστιν ἡ μετοχὴ, τούτου χάριν διάφορόν ἐστι καὶ τὸ ἀπαρέμφατον· ἡ δὲ τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος ἡ μετοχὴ τῇ μὲν φωνῇ συνέπεσον, τῷ δὲ τόνῳ διεστάλησαν· ἡ μὲν γὰρ τοῦ δευτέρου ἀορίστου μετοχὴ ὀξύνεται, οἷον τυπών· ἡ δὲ τοῦ δευτέρου μέλλοντος περισπᾶται, οἷον τυπῶν· ὤφειλεν οὖν καὶ τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος τῇ μὲν φωνῇ συνεμπεσεῖν, τῷ δὲ τόνῳ διαφέρειν, καὶ ὤφειλε τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου ὀξυνθῆναι ὁμοίως τῇ ἰδίᾳ μετοχῇ, τὸ δὲ ἀπαρέμφατον τοῦ δευτέρου μέλλοντος περισπασθῆναι παραπλησίως τῇ ἰδίᾳ μετοχῇ· ἀλλ᾽ ἐπειδὴ, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, τὰ ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, ἐξ ἀνάγκης περιεσπάσθη τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου, καὶ συνέπεσε τῷ ἀπαρεμφάτῳ τῷ τοῦ β′ μέλλοντος, καὶ λοιπὸν εὑρίσκεται τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος ἕν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐν μὲν ταῖς μετοχαῖς ἐρχόμενος καὶ ἐρωτώμενος διὰ τί ἐν αὐταῖς ὁ μὲν ἐνεστὼς καὶ ὁ παρατατικὸς ὁμοῦ εἰσι καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς ὁμοίως ὁμοῦ, ὁ δὲ ἀόριστος ἰδίᾳ καὶ ὁ μέλλων ἰδίᾳ; Πάλιν τὰ ἀπαρέμφατα αἰτιῶνται, λέγοντες ὅτι ὅπου μὲν τὰ ἀπαρέμφατα συνεζευγμένα εἰσὶν, ἐκεῖ καὶ αἱ μετοχαὶ συνεζευγμέναι εἰσίν· ὅπου δὲ τὰ ἀπαρέμφατα διακεχωρισμένα εἰσὶν, ἐκεῖ καὶ αἱ μετοχαὶ διακεχωρισμέναι εἰσί· καὶ ἔστι ἡ δεῖξις διάλληλος· διάλληλος δὲ δεῖξις ἐστὶν, ἡνίκα τὸ ζητούμενον ἐκ τοῦ ζητου-

μένου κανονίζομεν, οἷον ποῦ μένει Δίων, ὅπου μένει Πλάτων, καὶ ποῦ μένει Πλάτων, ὅπου μένει Δίων· οὕτως οὖν καὶ ἐνταῦθα τὰ ἀπαρέμφατα ἐκ τῶν μετοχῶν κανονίζουσι, καὶ τὰς μετοχὰς ἐκ τῶν ἀπαρεμφάτων. Ἰστέον δὲ ὅτι τῶν δείξεων αἱ μέν εἰσιν οὐσιώδεις, ἤγουν φυσικαὶ, αἱ δὲ ἐπουσιώδεις, ἤγουν τεκμηριώδεις. Καὶ φυσικαὶ μὲν δείξεις ὑπάρχουσιν, ὡς ὅταν πόρρωθεν θεωρήσας καπνὸν εἴπω, καίτοι μὴ θεώμενος τὸ πῦρ, ὅτι πῦρ ἐστιν ἐκεῖ, φυσικὸν γάρ ἐστι τὸ ἐκ τοῦ πυρὸς τὸν καπνὸν ἐξιέναι· τεκμηριώδεις δὲ δείξεις εἰσὶν, ὡς ὅταν ἐν οἴκῳ τοῖχόν τις μέλανα θεωρήσας εἴπῃ, ὅτι οὗτος ὁ τόπος ἀπὸ καπνοῦ ἐρρυπώθη καὶ ἐμελάνθη, μὴ ἀκριβῶς δὲ λέγων ἀλλ' ἐκ στοχασμοῦ· οὔτε γὰρ ἀπὸ καπνοῦ μόνου [k] *ἐστὶ μελανθῆναι, ἀλλὰ καὶ ἐξ ἑτέρου τινὸς [τυχεῖν] ἢ μέλανος, ἢ κάρβωνος. Τούτων οὕτως ἐχόντων, οἱ μὲν κανονίζοντες τὰς μετοχὰς ἐκ τῶν ἀπαρεμφάτων, καὶ λέγοντες ὅτι ὅπου ἓν τὸ ἀπαρέμφατον ἐκεῖ καὶ μία ἡ μετοχὴ, ὅπου δὲ δύο τὰ ἀπαρέμφατα, ἐκεῖ δύο καὶ αἱ μετοχαὶ, φυσικῇ κέχρηνται δείξει· ἡ γὰρ ἀπαρέμφατος, ὡς εἴρηται, ἀρχὴ καὶ* 298 a *οἱονεὶ ῥίζα ἐστὶ τῶν ῥημάτων, οἱ δὲ κανονίζοντες τὰ ἀπαρέμφατα ἐκ τῶν μετοχῶν τεκμηριώδει οὐ φυσικῇ κέχρηνται δείξει· οὐ γὰρ αἱ μετοχαὶ πρῶται τῶν ἀπαρεμφάτων εἰσίν.*

Ἔλθωμεν δὲ καὶ εἴπωμεν, διὰ τί ὁ ἐνεστὼς καὶ ὁ παρατατικὸς ὁμοῦ καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς ὁμοίως ὁμοῦ, ὁ δὲ ἀόριστος ἰδίᾳ καὶ ὁ μέλλων ἰδίᾳ. Ἰστέον ὅτι ἐν τοῖς προλεγομένοις μεμαθήκαμεν τοῦ ῥήματος ὁ ἐνεστὼς φυσικὴν συγγένειαν ἔχει πρὸς τὸν παρατατικὸν, καὶ τούτου χάριν καὶ ἡνώθη [αὐτῷ· ὁμοίως δὲ ὁ παρακείμενος καὶ ὑπερσυντελικὸς . . . [l] *ἔχει, καὶ τούτου χάριν ἡνώθη αὐτῷ·] ὁ μέντοι ἀόριστος καὶ ὁ μέλλων ἐπειδὴ οὐκ ἔχουσι φυσικὴν συγγένειαν, κατὰ γὰρ τὸν ἀόριστον καὶ τὸν μέλλοντα [ἔχουσι τὴν σχέσιν, ἐπειδὴ φυσικὴν κοινωνίαν οὐκ ἔχουσι· ποία γὰρ κοινωνία ἐν παρεληλυθότι καὶ μέλλοντι· τούτου χάριν οὐκ ἡνώθησαν* (sic)*· περὶ γὰρ τοῦ ἐν τοῖς προστακτικοῖς καὶ τοῖς*

k *εἰκὸς ἦν τὸν τόπον ἐκεῖνον* Bar. qui om. mox *τυχεῖν*, ubi f. l. *τυχόν*.
l *οὐ διαφορὰν* Par. in marg.

ὑποτακτικοῖς συνεζευγμένον εἶναι τὸν ἀόριστον καὶ τὸν μέλλοντα] λέγει ὁ Φιλόπονος, ὅτι ἐπειδὴ αἱ μὲν [l] τούτων φωναὶ ἐκ τοῦ ἀορίστου γεγόνασιν, οἷον ἔτυψα τύψον ἐὰν τύψω, αἱ δὲ σημασίαι αὐτῶν μέλλοντός εἰσι, τούτου χάριν, ὡς τῆς σημασίας τοῦ μέλλοντος ἀναπληρωθείσης ἐν τῇ τοῦ ἀορίστου φωνῇ, σεσίγηνται οἱ ἐν τῇ τοῦ μέλλοντος σχηματισμοί. Τούτων οὕτως ἐχόντων, ἰστέον ὅτι δύο τελικά εἰσι τῶν ἀπαρεμφάτων, τὸ ν καὶ ἡ αι δίφθογγος, οἷον τύπτειν, τύπτεσθαι. Καὶ τοῦτο εἰκότως. Ἐπειδὴ γὰρ τὰ ἀπαρέμφατα ἐν μιᾷ φωνῇ δοκοῦσι τὰ τρία πρόσωπα ἔχειν, οἷον τύπτειν θέλω, τύπτειν θέλεις, τύπτειν θέλει, τούτου χάριν καὶ τελικὰ ἔλαβον ἁρμόζοντα τοῖς τρισὶ προσώποις, καὶ διὰ τοῦτο τὸ ν καὶ τὴν αι δίφθογγον ἔχουσι τελικὰ τὰ ἀπαρέμφατα· καὶ γὰρ καὶ τὸ ν καὶ ἡ αι δίφθογγος εὑρίσκεται καὶ ἐν πρώτῳ καὶ ἐν δευτέρῳ καὶ ἐν τρίτῳ προσώπῳ, οἷον τυπτόμεθον τύπτεσθον τύπτεσθον, πεποίημαι πεποίησαι πεποίηται· [m] τὸ γὰρ ἐνταῦθα τελικὸν ὑπάρχον τῶν ῥημάτων, οἷον ἔτυψας, οὐκ ἔστι τελικὸν τῶν ἀπαρεμφάτων, ἐπειδὴ τὸ σ τελικόν ἐστι μόνου δευτέρου προσώπου παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις, οἷον τέτυφας. Προσκεῖται "παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις," ἐπειδὴ παρὰ ταῖς διαλέκτοις εὑρίσκεται τὸ σ καὶ α' προσώπου τελικὸν καὶ γ', ὡς παρὰ Θεοκρίτῳ

εἵρπομες ἐκ πόλιος,

ἀντὶ τοῦ εἵρπομεν ἐκ πόλεως· καὶ πάλιν ἐπὶ γ', ἀντὶ τοῦ ἦν,

ἧς χρόνος ἁνίκ' ἐγώ τε καὶ Εὔκριτος ἐς τὸν Ἄλεντα,

ἀντὶ τοῦ ἦν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι κανονίζει ὁ τεχνικὸς τὸ ἀπαρέμφατον τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ· καὶ δεῖ γινώσκειν, ὅτι ἐπὶ μὲν βαρυτόνων ἀπὸ τοῦ ἐνεστῶτος κανονίζονται τὰ ἀπαρέμφατα τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ, ἐπὶ δὲ τῶν περισπωμένων ἀπὸ τοῦ παρατατικοῦ. Κανονίζονται δὲ οὕτως· τὰ ἀπὸ βαρυτόνων γινόμενα ἀπαρέμφατα ἀπὸ τοῦ ἐνεστῶτος· πᾶς

[l] τούτου Bar. [m] τὸ Σ καὶ τὸ Τ τελικὰ ὑπάρχοντα Bar.

ἐνεστὼς ἀπὸ βαρυτόνων θεμάτων κατὰ τὸ τρίτον πρόσωπον προσλαμβάνων τὸ ν, *τὸ ἀπαρέμφατον ποιεῖ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ, οἷον τύπτει τύπτειν, λέγει λέγειν, γράφει γράφειν, κόπτει κόπτειν, πλήττει πλήττειν, αἴδει αἴδειν, πλέκει πλέκειν· τὰ δὲ ἀπὸ περισπωμένων γινόμενα ἀπαρέμφατα κανονίζονται ἀπὸ τοῦ παρατατικοῦ τοῦτον τὸν τρό-*
298 b *πον· πᾶς παρατατικὸς ἀπὸ περισπωμένων κατὰ τὸ γʹ πρόσωπον προσλαμβάνων τὸ* ν *μετὰ περισπωμένου τόνου, καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλων τὸ ἀπαρέμφατον ποιεῖ, οἷον ἐποίει ποιεῖν, ἐνόει νοεῖν, ἐτέλει τελεῖν, ἐβόα βοᾶν, ἐγέλα γελᾶν, ἐπέρα περᾶν, ἐχρύσου χρυσοῦν, ἐστεφάνου στεφανοῦν, ὤρθου ὀρθοῦν, ἵδρου ἱδροῦν· ὅτι γὰρ καὶ ἐπὶ τῶν περισπωμένων τὰ ἀπαρέμφατα τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ ἀπὸ τοῦ παρατατικοῦ κανονίζονται, καὶ οὐκ ἀπὸ τοῦ ἐνεστῶτος, δῆλον ἐκ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ ἐκ τῆς γʹ· καὶ ἐκ μὲν τῆς γʹ, ὅτι χρυσοῦν καὶ στεφανοῦν λέγομεν διὰ τῆς* ου *διφθόγγου [τὰ ἀπαρέμφατα, ἐπειδὴ καὶ ὁ παρατατικὸς ἐχρύσου καὶ ἐστεφάνου ἐστὶ διὰ τῆς* ου *διφθόγγου·] εἰ δὲ ἐγένοντο ἀπὸ τοῦ ἐνεστῶτος, χρυσοῖν καὶ στεφανοῖν εἴχομεν λέγειν, χρυσῶ γὰρ χρυσοῖς χρυσοῖ, καὶ στεφανῶ στεφανοῖς στεφανοῖ [ἐστιν ὁ ἐνεστώς·] ἀπὸ δὲ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων δῆλόν ἐστιν, ὅτι ἐπὶ τῶν περισπωμένων τὰ ἀπαρέμφατα ἀπὸ τοῦ παρατατικοῦ γίνονται καὶ οὐκ ἀπὸ τοῦ ἐνεστῶτος, ὅτι βοᾶν καὶ γελᾶν λέγομεν χωρὶς τοῦ* ι· *εἰ δὲ ἐκανονίζοντο ἐκ τοῦ ἐνεστῶτος, βοαῖν καὶ γελαῖν εἶχεν εἶναι σὺν τῷ* ι, *ἐπειδὴ καὶ ὁ ἐνεστὼς βοῶ βοᾷς βοᾷ, γελῶ γελᾷς γελᾷ, ἐστὶ σὺν τῷ* ι.

Εἰ *δέ τις εἴποι, διὰ τί γὰρ τὸ βοᾶν καὶ γελᾶν οὐκ ἔχουσι τὸ* ι *προσγεγραμμένον, λέγομεν ὅτι τὰ εἰς* ν *λήγοντα ῥήματα οὐδέποτε ἔχουσι πρὸ τοῦ* ν *τί ποτε ἀνεκφώνητον, οἷον ἐτύφθην, ἐδάρην, ἐβόων, ἐγέλων, ἐπέρων· οὕτως οὖν καὶ βοᾶν καὶ γελᾶν χωρὶς τοῦ* ι· *ἄλλως τε δὲ διὰ τοῦτο τὸ βοᾶν καὶ γελᾶν οὐκ ἔχουσι τὸ* ι *προσγεγραμμένον, ἐπειδὴ οὐδὲ τὸ βοᾶσθαι, καὶ γελᾶσθαι ἔχουσι τὸ* ι *προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν· καθόλου δὲ τὰ εἰς* σθαι *ἀπαρέμφατα*

προπερισπώμενα χρόνου ἐνεστῶτος τὴν ἰδίαν παραλήγουσαν ἔχουσιν ἐπὶ τῶν ἐνεργητικῶν· ὁ δὲ λόγος ἐπὶ τῶν φωνηέντων· οἷον ποιεῖσθαι ποιεῖν, νοεῖσθαι νοεῖν, χρυσοῦσθαι χρυσοῦν, στεφανοῦσθαι στεφανοῦν· εἰ οὖν τὸ βοᾶσθαι καὶ γελᾶσθαι οὐκ ἔχουσι τὸ ι *προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, ἄρα οὐδὲ τὸ βοᾶν καὶ γελᾶν ἔχουσι τὸ* ι *προσγεγραμμένον κατὰ τὴν [παρα]λήγουσαν. Πρόσκειται ἐν τῷ κανόνι "προπερισπώμενα" διὰ τὸ τύπτεσθαι τύπτειν· τὸ γὰρ τύπτεσθαι οὐκ ἔχει τὴν ἰδίαν παραλήγουσαν τοῦ ἐνεργητικοῦ λήγουσαν· τὸ μὲν γὰρ τύπτεσθαι τῷ* ε *παραλήγεται, τὸ δὲ τύπτειν εἰς τὴν* ει *δίφθογγον λήγει· ὁ δὲ λόγος περὶ τοῦ φωνήεντος· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι προπερισπώμενον. Πρόσκειται δὲ "χρόνου ἐνεστῶτος" διὰ τὸ πεποιῆσθαι, πεποιηκέναι· ἰδοὺ γὰρ τὸ πεποιῆσθαι προπερισπᾶται, καὶ οὐκ ἔχει τὴν ἰδίαν παραλήγουσαν λήγουσαν τοῦ ἐνεργητικοῦ· τὸ μὲν γὰρ πεποιῆσθαι τῷ* η *παραλήγεται, τὸ δὲ πεποιηκέναι εἰς τὴν* αι *δίφθογγον λήγει· ἀλλ' οὐκ ἔστιν ἐνεστῶτος χρόνου, ἀλλὰ παρακειμένου. Εἰ δέ τις εἴποι, διὰ τί τὸ βοᾶσθαι καὶ γελᾶσθαι οὐκ ἔχουσι τὸ* ι *προσγεγραμμένον, λέγομεν, ὅτι ἐπειδὴ οὐδέποτε βοᾶται καὶ γελᾶται ἔχουσι τὸ* ι *προσγεγραμμένον, τὰ δὲ εἰς* ται *ὁριστικὰ καὶ εἰς* θαι *ἀπαρέμφατα ἶσα φωνήεντα ἔχουσι κατὰ τὴν παραλήγουσαν,*
299 a *οἷον τύπτεται τύπτεσθαι, ποιεῖται ποιεῖσθαι, νοεῖται νοεῖσθαι, χρυσοῦται χρυσοῦσθαι, λέγεται λέγεσθαι, στεφανοῦται στεφανοῦσθαι. Εἰ οὖν τὸ βοᾶται καὶ γελᾶται οὐκ ἔχουσι τὸ* ι *προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, δηλονότι οὐδὲ τὸ βοᾶσθαι καὶ γελᾶσθαι ἔχουσι τὸ* ι *προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν. Εἰ οὖν τὸ βοᾶται καὶ γελᾶται εἴποι τις διὰ τὶ οὐκ ἔχει τὸ* ι *προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, λέγομεν, ὅτι πρῶτον μὲν ἐπειδὴ ἀπὸ τοῦ βοάεται καὶ γελάεται γεγόνασι κατὰ κρᾶσιν τοῦ* α *καὶ* ε *εἰς* α, *οἷον βοᾶται, ὥσπερ τὰ ἐμὰ, τἀμά· τοῦ οὖν ἐντελοῦς μὴ ἔχοντος τὸ* ι, *εἰκότως οὔτε τὸ συνῃρημένον ἔχει αὐτό· δεύτερον δὲ, διὰ τοῦτο τὸ βοᾶται καὶ γελᾶται οὐκ ἔχουσι προσγεγραμμένον τὸ* ι *κατὰ τὴν παραλήγουσαν,*

ἐπειδὴ οὐδὲ τὸ βοῶμαι καὶ γελῶμαι ἔχουσι τὸ ι προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, τὰ δὲ εἰς ΜΑΙ καὶ τὰ εἰς ΤΑΙ τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν ἐν τῇ παραληγούσῃ, οἷον τύπτομαι τύπτεται, λέγομαι λέγεται, ποιοῦμαι ποιεῖται, νοοῦμαι νοεῖται, χρυσοῦμαι χρυσοῦται, στεφανοῦμαι στεφανοῦται· εἰ οὖν τὸ βοῶμαι καὶ γελῶμαι ἐνὶ φωνήεντι παραλήγεται, ἀναγκαίως καὶ τὸ βοᾶται καὶ γελᾶται ἐνὶ φωνήεντι παραλήγεται. Εἰ δέ τις εἴποι, διὰ τί γὰρ τὸ βοῶμαι καὶ γελῶμαι οὐκ ἔχουσι τὸ ι προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, λέγομεν, ὅτι πρῶτον μὲν, ἐπειδὴ ἀπὸ τοῦ βοάομαι γεγόνασι κατὰ κρᾶσιν τοῦ Α καὶ Ο εἰς Ω μέγα, ὡς τὸ ἐτύψαο ἐτύψω· τοῦ οὖν ἐντελοῦς μὴ ἔχοντος τὸ ι, εἰκότως οὐδὲ τὸ συνῃρημένον ἔχει αὐτό· δεύτερον δὲ, διὰ τοῦτο τὸ βοῶμαι καὶ γελῶμαι οὐκ ἔχουσι τὸ ι προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, ὅτι ἀπὸ τοῦ βοῶ καὶ γελῶ γεγόνασι· τοῦ δὲ βοῶ καὶ γελῶ μὴ ἐχόντων τὸ ι προσγεγραμμένον, εἰκότως οὐδὲ τὸ βοῶμαι καὶ γελῶμαι ἐξ αὐτῶν γινομένα ἔχουσι τὸ ι. Εἰ δέ τις εἴποι, διὰ τί γὰρ τὸ βοῶ καὶ γελῶ οὐκ ἔχουσι τὸ ι προσγεγραμμένον, λέγομεν, ὅτι ἐπειδὴ τὰ εἰς Ω λήγοντα ῥήματα πρώτου προσώπου ὄντα οὐ θέλουσιν ἔχειν ἐν τῇ τελευταίᾳ συλλαβῇ τί ποτε ἀνεκφώνητον, οἷον τύπτω, λέγω, χρυσῶ, οὕτως οὖν καὶ βοῶ καὶ γελῶ χωρὶς τοῦ ι. Πρόσκειται "πρώτου προσώπου ὄντα" διὰ τὸ ἐὰν ἀναγνῷ ἐκεῖνος, ἐὰν γνῷ ἐκεῖνος· ταῦτα γὰρ ἔχουσι τὸ ι προσγεγραμμένον, ἀλλ' οὐκ εἰσὶ πρώτου προσώπου, ἀλλὰ τρίτου.

"Παρακειμένου καὶ ὑπερσυντελικοῦ. Τετυφέναι."

Πάλιν ὁμοίως ἐστὶν εὑρεῖν ἓν τὸ ἀπαρέμφατον τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, ἐπειδὴ καὶ μία ἐστὶν ἡ τούτων μετοχή· κανονίζεται δὲ τὸ ἀπαρέμφατον τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ τοῦ ἐνεργητικοῦ, καὶ τοῦ μέσου παρακειμένου καὶ ὑπερσυντελικοῦ, τοῦτον τὸν τρόπον· ὁ ἐνεργητικὸς παρακείμενος καὶ ὁ μέσος παρακείμενος κατὰ τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν προσλαμβάνοντες τὴν ΝΑΙ συλλαβὴν τὸ ἀπαρέμφατον ποιοῦσιν αὐτῶν καὶ τῶν ὑπερσυντελικῶν,

καὶ παραλήγουσαν ἔχουσι δηλονότι τὴν λήγουσαν τοῦ τρίτου προσώπου τῶν ἑνικῶν, ἐξ οὗ κανονίζονται, οἷον τέτυφε τετυφέναι, πεποίηκε πεποιηκέναι, γέγραφε γεγραφέναι, δέδουπε δεδουπέναι, μέμυκε μεμυκέναι· φυλάττουσι δὲ τὴν
299 b αὐτὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, ἐπειδὴ ὁ παρακείμενος οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν· οὔτε γὰρ ἐν ταῖς μετοχαῖς ἀποβάλλει αὐτήν, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι· οἷον τέτυφα τετυφὼς τετυφέναι τέτυφε σὺ τετύφοιμι, ἐὰν τετύφω· ἔσταλκα ἐσταλκὼς ἐστάλκοιμι ἔσταλκε σὺ ἐὰν στάλκω (sic) ἐσταλκέναι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι εὐλόγως τὰ ἀπαρέμφατα τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ καὶ τοῦ μέσου παρακειμένου εἰς ΝΑΙ εἰσὶν, ἐπειδὴ καὶ ἡ μετοχὴ αὐτῶν εἰς Σ μετ' ὀξείας τάσεώς ἐστιν, οἷον τετυφὼς, πεποιηκὼς, δεδουπώς· τὰ δὲ ἔχοντα τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως εἰς ΝΑΙ ἔχουσι τὸ ἀπαρέμφατον, οἷον τυφθεὶς τυφθῆναι, τυπεὶς τυπῆναι, ἱστὰς ἱστάναι, διδοὺς διδόναι, ζευγνὺς ζευγνύναι· οὕτως οὖν καὶ τετυφὼς τετυφέναι, καὶ τετυπὼς τετυπέναι. Ταῦτα μὲν περὶ τῶν ἀπαρεμφάτων τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, καὶ τοῦ μέσου παρακειμένου καὶ ὑπερσυντελικοῦ.

Τὰ δὲ λοιπὰ τὰ ἔχοντα τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως κανονίζονται τοῦτον τὸν τρόπον· τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τρέπον τὴν ΜΕΝ συλλαβὴν εἰς ΝΑΙ, καὶ ἀποβάλλον τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν τὸ ἀπαρέμφατον ποιεῖ μετὰ τοῦ φυλάττεσθαι, δηλονότι ἐν τοῖς ἀπαρεμφάτοις, τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν ἐξ οὗ κανονίζονται, οἷον τυφθεὶς ἐτύφθημεν τυφθῆναι, τυπεὶς ἐτύπημεν τυπῆναι, τιθεὶς τίθεμεν τιθέναι, ἱστὰς ἵσταμεν ἱστάναι, διδοὺς δίδομεν διδόναι, ζευγνὺς ζεύγνυμεν ζευγνύναι, στὰς ἔστημεν στῆναι, γνοὺς ἔγνωμεν γνῶναι, βιοὺς ἐβίωμεν βιῶναι, ἁλοὺς ἥλωμεν ἁλῶναι· σεσημείωται τὸ δοῦναι, θεῖναι, εἶναι· ταῦτα γὰρ ἀπαρέμφατα ὄντα δευτέρου

ἀορίστου ἐνεργητικοῦ οὐκ ἐφύλαξαν τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν [n] πληθυντικῶν, ἐξ οὗ κανονίζονται· ἔδομεν γὰρ καὶ ἔθεμεν καὶ ἕμεν (ὃ σημαίνει τὸ ἀπελύσαμεν,) ἐξ οὗ τὸ προέμεν, προέσθαι, ἀντὶ τοῦ προεπέμψαμεν, ἐστὶ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν· οὐ μόνον δὲ κατὰ τοῦτο σεσημείωται τὸ δοῦναι, θεῖναι, εἶναι, ἀλλὰ καὶ κατὰ ἄλλο· τὰ γὰρ εἰς ΝΑΙ ἀπαρέμφατα ἔχοντα τὸ Ν κλιτικὸν οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι, οἷον τυφθῆναι τυπῆναι τετυφέναι. Πρόσκειται "ἔχοντα τὸ Ν κλιτικὸν" διὰ τὸ μεῖναι· τοῦτο γὰρ διφθόγγῳ παραλήγεται, ἀλλ' οὐκ ἔχει τὸ Ν κλιτικὸν, ἀλλὰ θεματικόν· ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· μείνω γάρ ἐστιν ὁ ἐνεστὼς, καὶ ἔχει τὸ Ν· παράλογα οὖν εἰσι ταῦτα, φημὶ δὴ τὸ θεῖναι, δοῦναι, εἶναι, ὡς διφθόγγῳ παραληγόμενα ἔχοντα τὸ Μ κλιτικόν. Ἀλλ' ἔστιν ἀπολογήσασθαι περὶ αὐτῶν οὕτως· ἰστέον ὅτι διὰ τὴν τοιαύτην αἰτίαν ταῦτα διφθόγγῳ παραλήγονται· ἀπὸ τοῦ ἔδομεν γὰρ γέγονε δόναι, καὶ ἀπὸ τοῦ ἔθεμεν θέναι, καὶ ἀπὸ τοῦ ἕμεν ἕναι· καὶ ἐπεὶ τὰ εἰς ΝΑΙ ἀπαρέμφατα ἀορίστου ὄντα μακρᾷ θέλουσι παραλήγεσθαι, οἷον τυφθῆναι, τυπῆναι, στῆναι, βῆναι, γνῶναι, βιῶναι, ἀναγνῶναι, δαρῆναι, νυγῆναι, ἀναγκάζονται καὶ ταῦτα μακρᾷ παραλήγεσθαι, ὡς ἀορίστου ὄντα· καὶ ἐπειδὴ τὸ μὲν Ο μεγεθυνόμενον διὰ τῆς [300 a] προσθήκης τοῦ Υ μεγεθύνεται, οἷον τύπτοντες τύπτουσα, λέγοντος λέγουσα, τὸ Ε διὰ τῆς προσθήκης τοῦ Ι μεγεθύνεται, οἷον τυφθέντος τυφθεῖσα, νυγέντος νυγεῖσα· τούτου χάριν τὸ μὲν διδόναι ἐμεγεθύνθη διὰ τῆς προσθήκης τοῦ Υ, καὶ γέγονε δοῦναι· τὸ δὲ θέναι καὶ ἕναι διὰ τῆς προσθήκης τοῦ Ι ἐμεγεθύνθη, καὶ γεγόνασι θεῖναι καὶ εἶναι· τούτου χάριν ταῦτα διφθόγγῳ παραλήγονται. Πρόσκειται δὲ ἀνωτέρω "τὰ εἰς ΝΑΙ ἀπαρέμφατα," ἐπειδὴ τὰ εἰς ΝΑΙ ἀπαρέμφατα ἀορίστου ὄντα οὐ πάντως μακρᾷ παραλήγονται, οἷον τελέσαι, συρίσαι, λεπίσαι. Πρόσκειται δὲ ἐν τῷ κανόνι "ἀορίστου ὄντα" διὰ τὸ τετυφέναι, τετυπέναι, τιθέναι, διδόναι· ταῦτα

[n] ἑνικῶν Bar.

γὰρ εἰς ΝΑΙ ἀπαρέμφατα ὄντα οὐ παραλήγονται μακρᾷ, ἀλλ' οὐκ εἰσὶν ἀορίστου χρόνου, ἀλλὰ τὸ μὲν τετυφέναι καὶ τετυπέναι παρακειμένου καὶ ὑπερσυντελικοῦ, τὸ δὲ τιθέναι καὶ διδόναι ἐνεστῶτος καὶ παρατατικοῦ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ εἶναι ἐνταῦθα τὸ ἀπολῦσαι σημαίνει, ἐξ οὗ τὸ ἀφεῖναι· τὸ γὰρ ἧν ἕμεν τὸ ἀπολῦσαι σημαίνει, ὅπερ ἀπὸ τοῦ ἵημι γέγονε· τὸ δὲ εἶναι τὸ σημαῖνον τὸ ὑπάρχειν, ὅπερ καὶ ψιλοῦται, οἷον οὐκ εἶναι, ἀπεῖναι, ἐνεστῶτος καὶ παρατατικοῦ ἐστιν ἀπὸ τοῦ εἰμὶ γινόμενον, ὥσπερ γὰρ ἀπὸ τοῦ τίθεμεν γίνεται τιθέναι, καὶ ἀπὸ τοῦ δίδομεν διδόναι, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ εἰμὶ γίνεται τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ἕμεν, ὅπερ καὶ κατὰ πλεονασμὸν τοῦ Σ γίνεται ἐσμὲν, καὶ λοιπὸν ἀπὸ τοῦ ἕμεν γίνεται ἕναι τὸ ἀπαρέμφατον, καὶ κατὰ πλεονασμὸν τοῦ Ι εἶναι. Περὶ δὲ τούτου ἀκριβέστερον ἐν τῷ ῥηματικῷ Ἀπολλωνίου, εἰ θεῷ φίλον, μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι εἰ ἄρα τὸ θεῖναι καὶ δοῦναι καὶ εἶναι διὰ τοῦτο προσέλαβε τὸ [Υ καὶ] Ι, ἐπειδὴ ἀναγκάζοντο, ὡς εἴρηται, μακρᾷ παραλήγεσθαι, ὡς ἀορίστου ὄντα, διὰ τί μὴ μᾶλλον τὸ μὲν δόναι, γέγονε δῶναι κατὰ ἔκτασιν τοῦ Ο εἰς Ω, ὥσπερ ὀμνύω ὤμνυον, τὸ δὲ θέναι καὶ ἕναι, θῆναι καὶ ἧναι διὰ τοῦ Η κατὰ ἔκτασιν τοῦ Ε εἰς τὸ Η, ὥσπερ ἐλέγχω ἤλεγχον· οὕτω γὰρ εἰ ἐγένετο, καὶ μακρᾷ εὑρίσκοντο παραληγόμενα, καὶ οὐκέτι παράλογα ὡς διφθόγγῳ παραληγόμενα. Ἔστιν οὖν εἰπεῖν, ὅτι εἰ ἐγένετο ταῦτα οὕτως κατὰ ἔκτασιν τῶν φωνηέντων, οὐδὲ ὅλως ἐφυλάττετό τι τῆς παραληγούσης τοῦ α' προσώπου τῶν πληθυντικῶν, φημὶ δὴ τοῦ ἔδομεν, ἔθεμεν, ἕμεν, ὅπερ σημαίνει τὸ ἀπελύσαμεν· τούτου οὖν χάριν τὸ μὲν δοῦναι τὸ Υ προσέλαβε, τὸ δὲ θεῖναι καὶ εἶναι τὸ Ι, ἵνα εὑρεθῶσιν ἐν ταὐτῷ καὶ φυλάττοντα τὸ φωνῆεν τῆς παραληγούσης τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, καὶ μακρὰν ποιοῦντα τὴν παραλήγουσαν. Τούτων οὕτως ἐχόντων, ζητοῦμεν διὰ τί ὁ παρακείμενος ὁ ἐνεργητικὸς καὶ ὁ μέσος ἔχοντες τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως οὐ φυλάττουσι τὴν παραλήγουσαν τοῦ ἰδίου

πρώτου προσώπου τῶν πληθυντικῶν ἐν τοῖς ἀπαρεμφάτοις· οὐδὲ γὰρ λέγομεν τετύφαμεν τετυφάναι, καὶ τετύπαμεν τετυπάναι, ὥσπερ ἐτύφθημεν τυφθῆναι, καὶ ἐτύπημεν τυπῆναι,
300 b ἀλλὰ τετυφέναι καὶ τετυπέναι, διὰ τοῦ ε. Καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· τῷ λόγῳ τῆς παραληγούσης τοῦ α΄ προσώπου τῶν πληθυντικῶν τοῦ παρακειμένου διὰ τοῦ πρώτου βραχέος [o]ὤφειλεν εἶναι τὸ ἀπαρέμφατον, οἷον τετυφέναι, τετύφαμεν γάρ ἐστι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ παρακειμένου, τῷ δὲ λόγῳ τῆς παραληγούσης τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ὑπερσυντελικοῦ τετυφεῖναι ὤφειλεν εἶναι τὸ ἀπαρέμφατον διὰ τῆς ει διφθόγγου, ἐτετύφειμεν γάρ ἐστι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ὑπερσυντελικοῦ· ἐπειδὴ (δὲ) ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς συνεζευγμένην ἔχουσι τὴν μετοχὴν, ἀναγκάζονται καὶ τὰ ἀπαρέμφατα συνεζευγμένα ἔχειν, ὧν γὰρ αἱ μετοχαὶ συνεζευγμέναι εἰσὶ, τούτων καὶ τὰ ἀπαρέμφατα [συνεζευγμένα εἰσί· συνεζευγμένου δὲ ὄντος τοῦ ἀπαρεμφάτου] Τοῦ οὖν παρακειμένου καὶ ὑπερσυντελικοῦ οὐ δύναται τὰ ἀπαρέμφατα τὴν ει δίφθογγον ἔχειν κατὰ τὴν παραλήγουσαν, καὶ τὸ πρῶτον συνεσταλμένον. Τῶν οὖν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὴν ει δίφθογγον, τοῦ δὲ ἑτέρου τὸ α συνεσταλμένον, τὰ τῆς ἀναλογίας ἀνεμερίσαντο, καὶ ὁ μὲν βραχὺς χρόνος ἐφυλάχθη τοῦ παρακειμένου, καὶ γὰρ τὸ ε βραχύ ἐστιν ὁμοίως τῷ α συνεσταλμένῳ, τὸ δὲ φωνῆεν τοῦ ὑπερσυντελικοῦ ἐφυλάχθη, λέγω δὴ τὸ ε, καὶ γὰρ ὁ ὑπερσυντελικὸς τὴν ει δίφθογγον ἔχει. Εἰ δέ τις εἴποι, διὰ τί γὰρ μὴ ἐκ τοῦ ἐναντίου γέγονε τετυφᾶναι διὰ μακροῦ τοῦ α, ἵνα ἡ μὲν ποιότης τῆς παραληγούσης τοῦ τετύφαμεν παρακειμένου φυλαχθῇ, τουτέστι τὸ α, ὁ δὲ χρόνος τοῦ ἐτετύφειμεν ὑπερσυντελικοῦ, τουτέστιν ὁ μακρός· λέγομεν ὅτι εὐλόγως μᾶλλον ἀκολουθεῖ τὸ ἀπαρέμφατον τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, καὶ δῆλον ἐκ τοῦ εἰδέναι ἀπαρεμφάτου παρακειμένου καὶ ὑπερσυντελικοῦ τοῦ σημαίνοντος τὸ γινώσκειν,

[o] ἔφαμεν Bar.

οὗ ἡ μετοχὴ ὁ εἰδώς. Τοῦτο γὰρ οὐ τῇ ἀρχούσῃ τοῦ οἶδα μέσου παρακειμένου ἠκολούθησεν, ἀλλὰ τῇ ἀρχούσῃ τοῦ εἴδειν ὑπερσυντελικοῦ, ὅστις καὶ κατ' ἔκτασιν [p]*Ἀττικὴν διὰ τοῦ* η *καὶ* ι *γίνεται ᾔδειν.*

“ *Μέσου παρακειμένου καὶ ὑπερσυντελικοῦ τετυπέναι.*”

Εἴρηται ἡ περὶ αὐτοῦ διδασκαλία ἐν τῇ διδασκαλίᾳ τοῦ ἀπαρεμφάτου τοῦ ἐνεργητικοῦ παρακειμένου.

“ *Ἀορίστου πρώτου· τύψαι.*”

Ἰστέον ὅτι διακεχωρισμένον ἐστὶ τὸ ἀπαρέμφατον τοῦ πρώτου ἀορίστου καὶ τοῦ πρώτου μέλλοντος, ἐπειδὴ καὶ ἡ μετοχὴ τούτων διακεχωρισμένη ἐστίν· ἡ μὲν γὰρ μετοχὴ τοῦ πρώτου ἀορίστου τύψας ἐστὶν, ἡ δὲ μετοχὴ τοῦ πρώτου μέλλοντος τύψων· ἡμεῖς δὲ ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν τὴν ἀναγκαιοτέραν αἰτίαν, δι' ἣν ὁ μὲν ἐνεστὼς καὶ ὁ παρακείμενος ὁμοῦ εἰσὶ, καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς ὁμοίως ὁμοῦ, ὁ δὲ ἀόριστος καὶ ὁ μέλλων ἰδίᾳ, δείξαντες ὅτι ἐκ τῶν μετοχῶν κανονίζει τὰ ἀπαρέμφατα καὶ μὴ ἐκ τῶν ἀπαρεμφάτων τὰς μετοχάς. Διάλληλός ἐστιν ἡ δεῖξις. Κανονίζεται δὲ τὸ ἀπαρέμφατον τοῦ πρώτου ἀορίστου τοῦτον τὸν τρόπον· ὁ εἰς α *λήγων ἀόριστος κατὰ τὸ πρῶτον πρόσωπον προσλαμβάνων τὸ* ι *καὶ τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκτασιν ἀποβάλλων, τὸ ἀπαρέμφατον ποιεῖ τοῦ πρώτου ἀορίστου, οἷον ἔτυψα τύψαι, ἔγραψα γράψαι, ἔπεισα πεῖσαι, ἐποίησα ποιῆσαι, ἐνόησα νοῆσαι, ἔκειρα κεῖραι.*

“ *Μέλλων πρῶτος τύψειν.*”

Ἰστέον ὅτι τὸ ἀπαρέμφατον τοῦ πρώτου μέλλοντος
301 a *κανονίζεται τοῦτον τὸν τρόπον· πᾶς μέλλων α' ἐνεργητικὸς ὁριστικὸς κατὰ τὸ τρίτον πρόσωπον προσλαμβάνων τὸ* ν *τὸ ἀπαρέμφατον ποιεῖ, οἷον γράψει γράψειν, λέξει λέξειν, ποιήσει ποιήσειν, εὐφρανεῖ εὐφρανεῖν, μανεῖ μανεῖν.*

“ *Ἀορίστου β' καὶ μέλλοντος δευτέρου τυπεῖν.*”

Ἰστέον ὅτι ὤφειλε τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μελλόντος διακεχωρισμένον εἶναι,

p *ἰωνικὴν* Bar.

ἐπειδὴ καὶ ἡ μετοχὴ τούτων διακεχωρισμένη ἐστὶν, ὅτι ἡ μετοχὴ τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος τῇ μὲν φωνῇ συνέπεσον, τόνῳ δὲ [q]διεστάλησαν· ἡ μὲν γὰρ τοῦ δευτέρου ἀορίστου μετοχὴ ὀξύνεται, ἡ δὲ τοῦ δευτέρου μέλλοντος περισπᾶται, οἷον τυπὼν ἡ τοῦ δευτέρου ἀορίστου, καὶ τυπῶν ἡ τοῦ δευτέρου μέλλοντος· ὤφειλεν οὖν καὶ τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος τῇ μὲν φωνῇ συμπεσεῖν, τῷ δὲ τόνῳ [r]διιστάναι, καὶ ὤφειλεν [εἶναι] τὸ μὲν ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου ὀξυνθῆναι ὁμοίως τῇ ἰδίᾳ μετοχῇ, τὸ δὲ ἀπαρέμφατον τοῦ β′ μέλλοντος περισπασθῆναι παραπλησίως τῇ οἰκείᾳ μετοχῇ· ἀλλ' ἐπειδὴ, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, τὰ ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, ἐξ ἀνάγκης περισπᾶται. Περιεσπάθη οὖν τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου, καὶ συνέπεσε τῷ ἀπαρεμφάτῳ τοῦ δευτέρου μέλλοντος, καὶ λοιπὸν εὑρίσκεται τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος ἓν, οἷον τυπεῖν· ὅτι δὲ τοῦτο ἀληθές ἐστι, καὶ ἡ [s]τούτων εὐθεῖα τὴν συνέμπτωσιν ἐποίησε γενέσθαι, δῆλον, εἴ γε καὶ ἐν τοῖς παθητικοῖς καὶ ἐν τοῖς μέσοις διάφορόν ἐστι τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος· τὸ μὲν γὰρ τοῦ δευτέρου μέσου ἀορίστου ἀπαρέμφατον τυπέσθαι καὶ νυγέσθαι ἐστὶ, τὸ δὲ τοῦ δευτέρου μέσου μέλλοντος τυπεῖσθαι καὶ νυγεῖσθαι. Καὶ πάλιν τὸ μὲν τοῦ δευτέρου ἀορίστου παθητικοῦ ἀπαρέμφατον τυπῆναι καὶ νυγῆναί ἐστι, τὸ δὲ τοῦ δευτέρου μέλλοντος τυπήσεσθαι καὶ νυγήσεσθαι. Ταῦτα μὲν ἐν τούτοις.

Κανονίζει δὲ ὁ τεχνικὸς τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος τοῦτον τὸν τρόπον· πᾶς δεύτερος μέλλων ἐνεργητικὸς κατὰ τὸ τρίτον πρόσωπον προσλαμβάνων τὸ ν τὸ ἀπαρέμφατον ποιεῖ τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος, οἷον τυπεῖ τυπεῖν, νυγεῖ νυγεῖν· δυνατὸν δέ ἐστι [t]κανονίσαι αὐτὸν τοῦτον τὸν

[q] συνεστάλησαν Bar. [r] συσταλῆναι Bar. [s] τοῦ'τον (υ superscript) Bar.
[t] καὶ τοῦ β′ ἀορίστου Bar.

τρόπον· πᾶς δεύτερας ἀόριστος ἐνεργητικὸς ὁριστικὸς κατὰ τὸ τρίτον πρόσωπον προσλαμβάνων τὸ Ι καὶ τὸ Ν μετὰ περισπωμένου τόνου καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλων τὸ ἀπαρέμφατον ποιεῖ τοῦ β′ ἀορίστου καὶ τοῦ β′ μέλλοντος, οἷον, ἔλαβε λαβεῖν, ἔμαθε μαθεῖν, ἔφαγε φαγεῖν, ἔπιε πιεῖν, ἔδραμε δραμεῖν· ἔπιθε πιθεῖν, καὶ κατὰ διπλασιασμὸν πεπίθειν, ὡς παρὰ τῷ ποιητῇ, [Il. ι′. 184.]

ῥηϊδίως πεπίθειν μεγάλας φρένας Αἰακίδαο.

Σεσημείωται τὸ πέφνειν β′ ἀορίστου ὂν καὶ βαρυνόμενον, περὶ οὗ ἐστιν εἰπεῖν, ὅτι ἐπειδὴ καὶ ἡ μετοχὴ τούτου ἐβαρύνθη, πέφνω γάρ ἐστι βαρυτόνως, τούτου χάριν ὁμοίως αὐτῇ καὶ τὸ ἀπαρέμφατον ἐβαρύνθη· ἡ δὲ μετοχὴ ἐβαρύνθη ὁμοίως τῇ τέμνων μετοχῇ καὶ τῇ κάμνων.

Περὶ παθητικῶν ἀπαρεμφάτων.

301 b Ἐνταῦθα περὶ τῶν εἰς ΘΑΙ ἀπαρεμφάτων διαλαμβάνει παθητικῶν τε καὶ μέσων, καὶ ἔστι κανονίσαι αὐτὰ οὕτως· πᾶν παθητικὸν ἢ μέσον ὁριστικὸν ἔχον ἐν τῷ τρίτῳ προσώπῳ τὸ Τ κλιτικὸν τρέπον τὴν τελευταίαν συλλαβὴν εἰς ΘΑΙ καὶ τὴν κατ' ἀρχὰς κλιτικὴν ἔκτασιν ἀποβάλλον, δηλονότι χωρὶς τοῦ παρακειμένου, τὸ ἴδιον ἀπαρέμφατον ποιεῖ· καὶ εἰ μὲν καθαριεύει τὸ Τ ἐν τῷ παθητικῷ ὁριστικῷ ἢ τῷ μέσῳ, τὸ Σ προσλαμβάνει τὸ ἀπαρέμφατον, οἷον τύπτεται τύπτεσθαι, ἐτύψατο τύψασθαι, ἐτύπετο τύπεσθαι, [ἐλάβετο λάβεσθαι (sic), ἐποιήσατο ποιήσασθαι, τυφθήσεται τυφθήσεσθαι, τυπήσεται τυπήσεσθαι, τύψεται τύψεσθαι·] εἰ δὲ συμφώνῳ παραλήγεται, φυλάττεται τὸ σύμφωνον καὶ ἐν τῷ ἀπαρεμφάτῳ, οἷον κέκαρται κέκαρθαι, ἔσπαρται ἔσπαρθαι, τέτιλται τέτιλθαι, μεμίανται μεμίανθαι, μεμόλυνται μεμόλυνθαι, χωρὶς εἰ μή πω ψιλὸν εὑρεθῇ· τότε γὰρ διὰ τὴν ἀσυνταξίαν εἰς τὸ ἀντίστοιχον τὸ δασὺ τρέπεται, οἷον νένυκται νενύχθαι, τέτυπται τετύφθαι, λέλεκται λελέχθαι, γέγραπται γεγράφθαι, ἔρραπται ἐρράφθαι· ψιλὰ γὰρ ψιλῶν ἡγοῦνται, καὶ δασέα δασέων, καὶ μέσα μέσων κατὰ σύλληψιν. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται δὲ ἐν τῷ κανόνι "χωρὶς τοῦ παρακειμένου" δηλονότι ἐπειδὴ ὁ παρακείμενος οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν· οὔτε γὰρ ἐν ταῖς μετοχαῖς αὐτοῦ ἀποβάλλει αὐτὴν, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, οἷον τέτυφα τετυφὼς τετυφέναι, τέτυφε σὺ, τετύφοιμι, τετυφέναι, ἐὰν τετύφω· [ἔσταλκα ἐσταλκὼς ἐσταλκέναι ἔσταλκε σὺ, ἐστάλκοιμι, ἐὰν ἐστάλκω·] τὸ γὰρ δέχθαι οἷον

ἀγλαὰ δέχθαι ἄποινα,

καὶ τὸ βλῆσθαι, οἷον

πρὶν βλῆσθαι Μενέλαον

πεπονθότα εἰσὶν, ἀφαίρεσιν γὰρ πεπόνθασι· τὸ γὰρ ἀνάλογον αὐτῶν δεδέχθαι καὶ βεβλῆσθαι ἐστίν. Εἰ δέ τις εἴποι, διὰ τί τὸ ἀπαρέμφατον τοῦ μετ' ὀλιγὸν μέλλοντος, φημὶ δὲ τὸ τετύψεσθαι, οὐκ ἀπέβαλε τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, λέγομεν ὅτι τοῦτο τὴν ἄρχουσαν τοῦ παρακειμένου ἔχει, ἐξ αὐτοῦ γὰρ κανονίζεται, ὡς δέδεικται ἐν τῇ περὶ τούτου διδασκαλίᾳ· [ὁ δὲ παρακείμενος οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν· οὔτε γὰρ ἐν ταῖς μετοχαῖς ἀποβάλλει αὐτὴν, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι. Ταῦτα μὲν ἐν τούτοις.]

Πρόσκειται δὲ τῷ κανόνι "τὸ ἔχον τὸ τ κλιτικὸν" διὰ τὸ τύπτει· τοῦτο γὰρ ἔχει τὸ τ καὶ οὐ ποιεῖ εἰς θαι τὸ ἀπαρέμφατον· τύπτειν γάρ ἐστι τὸ ἀπαρέμφατον τούτου· τὸ γὰρ [u] τύπτεσθαι τύπτεται· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν τοῦτο, φημὶ δὲ τὸ τύπτει, ἐπειδὴ οὐκ ἔχει τὸ τ κλιτικὸν, ἀλλὰ θεματικὸν, ἀπὸ γὰρ τοῦ θέματος, ἤγουν ἀπὸ τοῦ ἐνεστῶτος, ἔχει αὐτό· τύπτω γάρ ἐστι τὸ θέμα καὶ ἔχει τὸ τ, ἀλλ' οὔτε δέ ἐστι παθητικὸν ἢ μέσον, ἀλλ' ἐνεργητικόν. Ταῦτα μὲν ἐν τούτοις.

302 a Ἰστέον δὲ ὅτι πᾶν ἀπαρέμφατον εἰς σθαι λῆγον, ἁπλοῦν, πάντως [x] ὁμοτονεῖ τῷ ἰδίῳ ὁριστικῷ, οἷον τύπτεται τύπτεσθαι, βοᾶται βοᾶσθαι, [χρυσοῦται χρυσοῦσθαι, τυφθήσεται τυφθήσεσθαι, τυπήσεται τυπήσεσθαι, ἔρχεται

[u] Τύπτεσθαι τοῦ τέτυπται ἐστιν Bar. [x] ὁμοφωνεῖ Bar.

ἔρχεσθαι, ἐτύψατο τύψασθαι, ἐποιήσατο ποιήσασθαι, τύψεται τύψεσθαι,] χωρὶς τῶν εἰς ΘΑΙ ἀπαρεμφάτων τοῦ παθητικοῦ παρακειμένου καὶ τοῦ δευτέρου μέσου ἀορίστου· ταῦτα γὰρ οὐχ ὁμοτονοῦσι τοῖς ἰδίοις ὁριστικοῖς, ἀλλὰ πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον [y πεποίηται πεποιῆσθαι, νενόηται νενοῆσθαι, τέτυπται τετύφθαι, γέγραπται γεγράφθαι, λέλεκται λελέχθαι,] ἐτύπετο τυπέσθαι, ἐνύγετο νυγέσθαι, [ἐλάβετο λαβέσθαι,] ἵκετο ἱκέσθαι, [ἀφίκετο ἀφικέσθαι·] σεσημείωται τὸ ἔρεσθαι δευτέρου μέσου ἀορίστου ὂν καὶ προπαροξυνόμενον, περὶ οὗ ἔστιν εἰπεῖν ὅτι ἐξηκολούθησε τῷ δέρεσθαι καὶ φέρεσθαι καὶ στέρεσθαι, ἅτινά εἰσιν ἐνεστῶτος καὶ παρατατικοῦ, καὶ ἐκ τοῦ ἐναντίου δὲ σεσημείωται τὸ λιτέσθαι ἐνεστῶτος καὶ παρατατικοῦ ὂν καὶ παροξυνόμενον, οἷον [Il. π΄. 47.]

οἷ τ' αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι,

ἀντὶ τοῦ ἱκετεύειν· ὤφειλε γὰρ προπαροξύνεσθαι ὁμοίως τῷ ἰδίῳ ὁριστικῷ τῷ λίτεται. z Κάλλιον δέ φησιν Ἡρωδιανὸς ἐν τῇ Καθόλου ἠκολούθησε τῷ λιπέσθαι ἱκέσθαι θέσθαι ἰδέσθαι, ἅτινά εἰσι δευτέρου μέσου ἀορίστου. Σεσημείωται τὸ ἐγρήγορθαι οἷον

ἐγρήγορθαι ἄνωχθι

ὅτι παρακειμένου ὂν προπαροξύνεται· περὶ οὗ λέγει ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου ὅτι Αἰολίδος ἐστὶ διαλέκτου, καὶ τούτου χάριν ἀνεβίβασε τὸν τόνον· οἱ γὰρ Αἰολεῖς ἀναβιβαστικοὶ τῶν τόνων εἰσί· τὸ γὰρ Ἀτρεὺς Ἄτρευς λέγουσι, καὶ τὸ Πηλεὺς Πήλευς. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται ἐν τῷ κανόνι, ὅτι "πᾶν εἰς ΘΑΙ λῆγον ἀπαρέμφατον ἁπλοῦν πάντως ὁμοτονεῖ τῷ ἰδίῳ ὁριστικῷ" διὰ τὸ κατάκειται κατακεῖσθαι, κάθηται καθῆσθαι· τὸ μὲν γὰρ ὁριστικὸν προπαροξύνεται, τὸ δὲ ἀπαρέμφατον προπερισπᾶται, ἐπειδὴ οὐδέποτε ἀπαρέμφατα συντιθέμενα τοὺς τόνους ἀναβιβάζουσιν, οἷον ἰδεῖν συνιδεῖν, πλεῖν συμπλεῖν, [σπᾶν περισπᾶν, χεῖσθαι συγχεῖσθαι, τετύφθαι προτετύχθαι, ἵκεσθαι

y [ ] κέκαρται κεκάρθαι Bar. z ἀλλ' ὦ Bar.

(sic) ἀφίκεσθαι ἀποχέσθαι, ὀλέσθαι ἀπολέσθαι, δόσθαι ἀποδόσθαι, σχεῖν ἐπισχεῖν,] σπεῖν ἐπισπεῖν· [[a] θῆσθαι καθῆσθαι, κατακεῖσθαι, διακεῖσθαι, παρακεῖσθαι, περικεῖσθαι·] οὕτως οὖν καὶ ἧσθαι καθῆσθαι. Ἡ δὲ αἰτία ἐστιν αὕτη τοῦ τὰ ἀπαρέμφατα ἐν τῇ συνθέσει μὴ ἀναβιβάζειν τοὺς τόνους, διότι τὰ ἀπαρέμφατα συγγένειαν ἔχουσι πρὸς τὰς μετοχάς· ὥσπερ γὰρ τὰ ἀπαρέμφατα οὐκ ἔχουσιν οὔτε πρόσωπα οὔτε θέλημα ψυχῆς, τὸν αὐτὸν τρόπον καὶ αἱ μετοχαὶ πρόσωπα οὐκ ἔχουσιν, οὔτε θέλημα ψυχῆς· ἐπειδὴ οὖν τὰ ἀπαρέμφατα συγγένειαν ἔχουσι πρὸς τὰς μετοχὰς, αἱ δὲ μετοχαὶ συντεθειμέναι οὐκ ἀναβιβάζουσι τοὺς τόνους, οἷον
302 b πτὰς ἀποπτὰς, δοὺς ἀποδούς· ἐὰν γὰρ ἀναβιβάσωσι τοὺς τόνους οὐκέτι μένουσι μετοχαὶ, ἀλλὰ γίνονται ὀνόματα, οἷον τλὰς Ἄτλας, βὰς Ἄβας, φὰς Περίφας, χωρὶς τῆς ἀεκὼν ἀέκων, αὕτη γὰρ καὶ τὸν τόνον ἀνεβίβασε, καὶ ἔμεινε μετοχή· ἥτις καὶ ἄκων γίνεται, κράσει τοῦ Α καὶ Ε εἰς Α μακρόν· τούτου χάριν οὔτε τὰ ἀπαρέμφατα συντεθειμένα ἀναβιβάζουσι τοὺς τόνους. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι χάριν σαφηνείας ἐλέγομεν ὡς αἱ μετοχαὶ συντιθέμεναι οὐκ ἀναβιβάζουσι τοὺς τόνους, ἐπειδὴ κατὰ ἀκρίβειαν δεῖ λέγειν οὕτως· οὐ γάρ εἰσιν αἱ μετοχαὶ σύνθετοι, ἀλλ' ἁπλαῖ εἰσιν, ἢ παρασύνθετοι· ἢ γὰρ ἀπὸ ἁπλῶν ῥημάτων παράγονται καὶ εἰσὶν ἁπλαῖ, οἷον τύπτω τύπτων, λέγω λέγων, ποιῶ ποιῶν, βοῶ βοῶν, ἢ ἀπὸ συνθέτων ῥημάτων παράγονται καί εἰσι παρασύνθετα, οἷον καταγράφω καταγράφων, ἀναγινώσκω ἀναγινώσκων, περιπατῶ περιπατῶν, καλλιγραφῶ καλλιγραφῶν. Δεῖ προσθεῖναι χωρὶς τῆς ἑκὼν μετοχῆς, αὕτη γὰρ σύνθετός ἐστιν· ἀπὸ γὰρ τῆς ἑκὼν γέγονεν ἐν συνθέσει ἀέκων, οὐ γὰρ ἔχει ῥῆμα προϋπάρχον ἐν συνθέσει, ἵνα παρασύνθετον αὐτὴν εἴπωμεν, ἀλλ' ἐν τῇ μετοχῇ ἐγένετο ἡ σύνθεσις, οἷον ἑκὼν ἀέκων· οὕτως οὖν δεῖ λέγειν, ὅτι αἱ μετοχαὶ αἱ μὴ οὖσαι ἁπλαῖ οὐκ εἴσι σύνθετοι ἀλλὰ παρασύνθετοι· πᾶσαι γὰρ ἀπὸ προϋπαρχόντων ῥημά-

[a] σχέσθαι ἐπισχέσθαι Bar.

των σύνθετοί εἰσιν· καὶ δῆλον ὅτι ὑπάρχουσι παρασύνθετοι καὶ φυλάττουσι τὸν τόνον τοῦ ἁπλοῦ, οἷον ἔβην ἀνέβην ἀναβὰς, ὀξυτόνως, ὅτι βὰς, [κατέστην καταστὰς, ὀξυτόνως, ὅτι στὰς, κατέγραφον καταγράφων, ὅτι γράφων βαρυτόνως·] ὅσαι δὲ οὐκ ἔχουσι ῥῆμα προϋπάρχον οὔτε τὸν τόνον τοῦ ἁπλοῦ φυλάττουσιν, ἀλλ' ἀναβιβάζουσιν αὐτὸν, οὔτε δὲ μένουσι μετοχαὶ, ἀλλὰ γίνονται ὀνόματα, οἷον βὰς Ἄβας, (οὐ γάρ ἐστι ῥῆμα ἄβην,) τλὰς Ἄτλας· σεσημείωται ἡ ἀέκων μετοχὴ, ὅτι μὴ ἔχουσα ῥῆμα προϋπάρχον ἐν συνθέσει, ἐν γὰρ τῇ μετοχῇ ἐγένετο ἡ σύνθεσις οἷον ἑκὼν ἀέκων, τὸν μὲν τόνον ἀνεβίβασε, τὸ δὲ μέρος τοῦ λόγου οὐκ ἐνήλλαξεν· οὐδὲ γὰρ γέγονεν ὄνομα, ἀλλ' ἔμεινε μετοχή. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τοῦ ἀναβιβάζειν τοὺς τόνους συντιθέμενα τὰ ἀπαρέμφατα λέγομεν, τὰ εἰς ΘΑΙ ἀπαρέμφατα τοῦ παθητικοῦ παρακειμένου καὶ τοῦ δευτέρου μέσου ἀορίστου [a]ἀεὶ πρὸ μιᾶς ἔχειν τὸν τόνον, ἔστιν εἰπεῖν δύο ἀπολογίας· καὶ πρώτη ἀπολογία ἐστὶν αὕτη· τὰ εἰς ΘΑΙ ἀπαρέμφατα εἴτε παθητικὰ εἴτε μέσα θέλουσι φυλάττειν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐν ᾗ ἔχουσι τὸν τόνον τὰ ἐνεργητικὰ ἀπαρέμφατα, οἷον τύπτειν καὶ τύψειν εἰς τὴν ΤΥ συλλαβὴν ἔχουσι τὸν τόνον, ἀλλὰ καὶ τὸ τύπτεσθαι καὶ τύψασθαι εἰς τὴν ΤΥ συλλαβὴν ἔχουσι τὸν τόνον· [πάλιν τὸ ποιεῖν καὶ κερεῖν εἰς τὴν ΕΙ δίφθογγον ἔχουσι τὸν τόνον,] ἀλλὰ καὶ τὸ ποιεῖσθαι καὶ κερεῖσθαι εἰς τὴν ΕΙ δίφθογγον ἔχουσι τὸν τόνον· πάλιν καὶ τὸ τυπεῖν εἰς τὴν συλλαβὴν τὴν ἔχουσαν τὸ Π ἔχει τὸν τόνον, [b]ἀλλὰ καὶ τὸ τυπεῖσθαι καὶ τὸ τυπήσεσθαι εἰς τὴν συλλαβὴν τὴν ἔχουσαν τὸ Π [c]ἔχουσι τὸν τόνον, καὶ τὸ τυπήσεσθαι διὰ τοῦ
303 a Η γράφεται καὶ προπαροξύνεται· πάλιν τὸ τύψειν εἰς τὴν ΤΥ συλλαβὴν ἔχει τὸν τόνον, ἀλλὰ καὶ τὸ τυφθήσεσθαι ὤφειλεν εἰς τὴν ΤΥ συλλαβὴν φυλάττειν τὸν τόνον· ἀλλ' ἐπειδὴ οὐδέποτε πρὸ τριῶν συλλαβῶν εἴωθεν ὁ τόνος πίπτειν οἷον (sic) Ἀγαμεμνόνειος, Ἀριστάρχειος, φιλήματα,

[a] εἰ καὶ Bar. [b] ἅμα καὶ τῷ] ἀλλὰ καὶ τὸ Bar. [c] ἔχει Bar.

Ἀδώνιδος, τούτου χάριν κατεβιβάσθη ἐπὶ τούτου ὁ τόνος μίαν συλλαβήν. Τούτων οὕτως ἐχόντων, ἐπειδὴ τὸ τυπεῖν ἐν τῇ συλλαβῇ τῇ ἐχούσῃ τὸ π ἔχει τὸν τόνον, τούτου χάριν καὶ τὸ τυπεῖσθαι, λέγω δὴ ὁ β′ μέσος ἀόριστος, ἐπὶ τῇ συλλαβῇ τῇ ἐχούσῃ τὸ π ἔχει τὸν τόνον, καὶ τούτου χάριν ἀεὶ πρὸ μιᾶς ἔχει τὸν τόνον· καὶ πάλιν εἰ τὸ τετυφέναι εἰς τὴν φε συλλαβὴν ἔχει τὸν τόνον καὶ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους, δηλονότι καὶ ἐν τῷ τετύφθαι ἐπὶ τῆς ττ συλλαβῆς εὐλόγως ἐστὶν ὁ τόνος, εἰ καὶ μὴ ἐν τῇ αὐτῇ συλλαβῇ ἐφυλάχθη. Διὰ τί γὰρ ἐν τῇ αὐτῇ συλλαβῇ οὐκ ἐφυλάχθη ὁ τόνος, ὁ Ῥωμανὸς ἡμᾶς ἐδίδαξεν, εἰπὼν, ὅτι ὁ παθητικὸς παρακείμενος συγκοπὴν πέπονθε· συγκοπὴν δὲ παθὼν τῆς φε συλλαβῆς ἀπεστέρηται. Δεῖ προσθεῖναι τῷ κανόνι, χωρὶς τοῦ ἐνεστῶτος τοῦ παθητικοῦ ἀπὸ τῶν εἰς μι· τὸ γὰρ τιθέναι καὶ ἱστάναι καὶ διδόναι καὶ ζευγνύναι πρὸ μιᾶς ἔχουσι τὸν τόνον, τὸ δὲ τίθεσθαι καὶ ἵστασθαι καὶ δίδοσθαι καὶ ζεύγνυσθαι πρὸ δύο συλλαβῶν ἔχουσι τὸν τόνον, ταῦτα γὰρ κατὰ συνεκδρομὴν ἐγένοντο τῶν ἰδίων ὁριστικῶν τοῦ τίθεται, ἵσταται, δίδοται, καὶ ζεύγνυται· αὕτη μὲν οὖν ἐστιν ἡ πρώτη ἀπολογία. Δευτέρα δὲ ἀπολογία ἐστὶν αὕτη· τὸν τόνον τῆς μετοχῆς τῆς ἐνεργητικῆς τὸν ὄντα ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχειν ἀνάγκη καὶ τὴν παραλήγουσαν τῶν εἰς θαι ἀπαρεμφάτων εἴτε παθητικῶν εἴτε μέσων, οἷον τὸ τύπτων καὶ τὸ τύψων εἰς τὴν τελευταίαν συλλαβὴν ἔχουσι βαρεῖαν· πᾶσα γὰρ συλλαβὴ, χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον, βραχεῖαν δέχεται, οἷον Αἴας, βοτρὺς, μῆλον· ἀλλὰ καὶ τὸ τύπτεσθαι, καὶ τὸ τύψεσθαι, ἐν τῇ παραληγούσῃ βαρεῖαν ἐπιδέχονται· τῆς οὖν βαρείας ἐν τῇ παραληγούσῃ οὔσης, οὐ δύναται ἐν τῇ παραληγούσῃ εἶναι ὁ κύριος τόνος, φημὶ δὲ ἡ ὀξεῖα, ἡ οὖσα ἐν τῇ παραληγούσῃ, ἐπειδὴ κωλύεται ἐκ τῆς βαρείας· ὅπου γάρ ἐστιν ἡ βαρεῖα, ἐκεῖ οὐ δύναται εἶναι ὁ κύριος τόνος τῆς λέξεως· ἀλλ' οὔτε δὲ ἐν τῷ τέλει δύναται εἶναι, ἐπειδὴ τὰ ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν· μὴ δυνάμενος οὖν ὁ κύριος τόνος εἶναι μήτε ἐν τῷ τέλει, μήτε ἐν τῇ παραληγούσῃ, ἀνατρέχει ἐπὶ τὴν

πρὸ τῶν δύο συλλαβῶν συλλαβὴν, καὶ ἐξ ἀνάγκης προπαροξύνεται. Πάλιν τὸ ποιῶ ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχει τὸν κύριον τόνον [τῆς λέξεως, ἀλλὰ καὶ τὸ ποιεῖσθαι ἐν τῇ παραληγούσῃ ἔχει τὸν κύριον τόνον·] οὕτως οὖν καὶ ἐπὶ τοῦ παθητικοῦ παρακειμένου καὶ ἐπὶ τοῦ δευτέρου μέσου ἀορίστου· ἐπειδὴ γὰρ αἱ μετοχαὶ αὐτῶν αἱ ἐνεργητικαὶ ἀεὶ ἐπὶ τέλους ἔχουσι τὸν τόνον, (τετυφὼς γὰρ καὶ τετυπὼς,) τούτου χάριν
303 b καὶ τὰ εἰς ΘΑΙ αὐτῶν ἀπαρέμφατα ἀεὶ ἐν τῇ παραληγούσῃ ἔχουσι τὸν κύριον τόνον· [οὕτως οὖν καὶ ἐπὶ τοῦ παθητικοῦ παρακειμένου,] οἷον τετύφθαι καὶ [d]τυπέσθαι. Δεῖ πάλιν σημειώσασθαι καὶ προσθεῖναι ἐν τῷ κανόνι, χωρὶς τοῦ ἐνεστῶτος τοῦ παθητικοῦ τοῦ ἀπὸ τῶν εἰς ΜΙ· αἱ γὰρ μετοχαὶ τούτων αἱ ἐνεργητικαὶ ἐπὶ τέλους ἔχουσι τὸν κύριον τόνον, οἷον τιθεὶς, ἱστὰς, διδοὺς, ζευγνὺς, καὶ ὅμως τὰ εἰς ΘΑΙ αὐτῶν ἀπαρέμφατα οὐκ ἔχουσιν ἐν τῇ παραληγούσῃ τὸν κύριον τόνον, ἀλλ' ἐν τῇ (προ)παραληγούσῃ· τίθεσθαι γὰρ καὶ ἵστασθαι προπαροξυτόνως· ταῦτα δὲ, ὡς εἴρηται, κατὰ συνεκδρομὴν ἐγένοντο τῶν ἰδίων ὁριστικῶν τοῦ τίθεται καὶ ἵσταται καὶ δίδοται καὶ ζεύγνυται. Τούτου χάριν ἀεὶ πρὸ μιᾶς συλλαβῆς, τουτέστιν ἐν τῇ παραληγούσῃ, ἔχουσι τὸν τόνον τὰ εἰς ΘΑΙ ἀπαρέμφατα τοῦ παθητικοῦ παρακειμένου καὶ τοῦ δευτέρου μέσου ἀορίστου.

"Ἀόριστοι δὲ παθητικοὶ πρῶτος καὶ δεύτερος, ἐπειδὴ μὴ ἔχουσιν ἐν τῷ τρίτῳ προσώπῳ τὸ Τ κλιτικὸν, ἑτέρως γίνονται."

Ἐνταῦθα περὶ τῶν ἀπαρεμφάτων τοῦ παθητικοῦ ἀορίστου καὶ τοῦ παθητικοῦ δευτέρου ἀορίστου διαλαμβάνει, φημὶ δὲ τοῦ τυφθῆναι καὶ τυπῆναι, καὶ λέγει ὅτι ἐπειδὴ ταῦτα οὐκ ἔχουσιν ἐν τῷ τρίτῳ προσώπῳ τοῦ [e]ἐνεργητικοῦ τὸ Τ κλιτικὸν, τούτου χάριν ἀλλοίως κανονίζονται· κανονίζονται δὲ τοῦτον τὸν τρόπον· οἱ παθητικοὶ ἀόριστοι, φημὶ δὲ ὁ πρῶτος καὶ ὁ δεύτερος, κατὰ τὸ τρίτον αὐτῶν πρόσωπον προσλαμβάνοντες τὴν ΝΑΙ συλλαβὴν καὶ τὴν ἐν ἀρχαῖς

[d] τετυπέσθαι Bar. [e] ὁριστικοῦ τὸ Τ κλιτικὸν Bar.

κλιτικὴν ἔκτασιν ἀποβάλλοντες τὸ ἀπαρέμφατον ποιοῦσιν, οἷον ἐτύφθη τυφθῆναι, ἐνύχθη νυχθῆναι, ἐλέχθη λεχθῆναι, ἐτύπη τυπῆναι, ἐνύγη νυγῆναι, ἐστάλη σταλῆναι. Ἰστέον δὲ ὅτι εὐλόγως ταῦτα εἰς ΝΑΙ ἔχουσι τὸ ἀπαρέμφατον, ἐπειδὴ καὶ ἡ μετοχὴ αὐτῶν εἰς Σ ἐστι μετ' ὀξείας τάσεως, οἷον τυφθεὶς τυπεὶς, τὰ δὲ ἔχοντα τὴν μετοχὴν, ὡς εἴρηται, εἰς Σ μετ' ὀξείας τάσεως εἰς ΝΑΙ ἔχουσι τὰ ἀπαρέμφατα, οἷον τετυφὼς τετυφέναι, τετυπὼς τετυπέναι, τιθεὶς τιθέναι, διδοὺς διδόναι, οὕτως οὖν καὶ τυφθεὶς τυφθῆναι, καὶ τυπεὶς τυπῆναι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐν τοῖς παθητικοῖς ἀπαρεμφάτοις οὐχ ὁμοφωνεῖ ὁ δεύτερος ἀόριστος τῷ δευτέρῳ μέλλοντι, ὥσπερ ἐν τοῖς ἐνεργητικοῖς ἀπαρεμφάτοις· [ἐν μὲν γὰρ τοῖς ἐνεργητικοῖς ἀπαρεμφάτοις τυπεῖν ἐστιν, ὡς ἔγνωμεν, τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος· ἐνταῦθα ἐν τοῖς παθητικοῖς τὸ μὲν ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου] τυπῆναί ἐστι, τὸ δὲ τοῦ δευτέρου μέλλοντος τυπήσεσθαι. Καὶ ἔστιν εἰπεῖν ὅτι ἐπειδὴ οὐ συνέπεσον αἱ παθητικαὶ μετοχαὶ ἀλλήλαις· ἡ μὲν γὰρ τοῦ [δευτέρου παθητικοῦ ἀορίστου τυπ(εὶς) ἡ δὲ τοῦ] δευτέρου παθητικοῦ μέλλοντος τυπησόμενος· τούτου χάριν οὐδὲ τὰ ἀπαρέμφατα συνέπεσον· ἐν γὰρ τοῖς ἐνεργητικοῖς, ὡς εἴπομεν, ὁ τόνος ἐποίησε τὴν συνέμπτωσιν τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος κατὰ τὰ ἀπαρέμφατα. Τοιαῦτα ἔχομεν εἰπεῖν περὶ τῶν ἀπαρεμφάτων.

Περὶ [f] προστακτικῶν.

304 a Ἰστέον ὅτι ὁ Ἀπολλώνιος τὰ εὐκτικὰ προτάττει τῶν προστακτικῶν, ὅτι τὰ μὲν εὐκτικὰ τελείας ἔχουσι φωνάς· ἔχουσι γὰρ καὶ πρῶτον καὶ δεύτερον καὶ τρίτον πρόσωπον· τὰ δὲ προστακτικὰ οὐκ ἔχουσι τελείας φωνὰς, δεύτερον γὰρ καὶ τρίτον πρόσωπον ἔχουσι μόνον, οὐ μὴν καὶ πρῶτον· ὁ δὲ Θεοδόσιος τὰ προστακτικὰ προτάττει τῶν εὐκτικῶν, ἐπειδὴ τὰ προστακτικὰ δοκοῦσι φωνὰς ἔχειν ὁριστικὰς, οἷον ἔτυπτε

[f] εὐκτικῶν Bar.

τύπτε, ἐποίει ποίει, ἐβόα βόα, καὶ ἐπειδὴ τὰ προστακτικὰ, ὡς εἴρηται, δοκοῦσι φωνὰς ἔχειν ὁριστικὰς, τὰ δὲ ὁριστικὰ πρωτεύουσι τῶν εὐκτικῶν, τούτου χάριν τὰ προστακτικὰ προέταξε τῶν εὐκτικῶν.

Ἰστέον δὲ ὅτι ἐν τοῖς προστακτικοῖς καθόλου οὐκ ἔστιν εὑρεῖν α' πρόσωπον, οὔτε ἐν τοῖς ἑνικοῖς, οὔτε ἐν τοῖς δυϊκοῖς, οὔτε ἐν τοῖς πληθυντικοῖς, ἐπειδὴ οὐδεὶς ἑαυτῷ προστάσσει, [ἐπειδὴ ὁ προστάσσων τοῦ προστασσομένου θέλει χωρίζεσθαι, ἐὰν προστάξῃ τις ἑαυτῷ, μέλλει αὐτοῦ αὐτὸς χωρίζεσθαι, ὅπερ ἐστὶν ἀδύνατον·] ὁ δὲ τεχνικὸς λέγει, ὅτι διὰ τοῦτο ἐν τοῖς προστακτικοῖς οὐκ ἔστιν α' πρόσωπον, ἐπειδὴ πρῶτον πρόσωπόν ἐστι τὸ ὑπὲρ ἑαυτοῦ ἀποφαινόμενον [ἢ περὶ ἑαυτοῦ], οἷον λέγω, γράφω, ποιῶ, ἀναγινώσκω, τύπτω· ἰδοὺ γὰρ ὑπὲρ ἑαυτοῦ ἀποφαίνεταί τις, οἷον περὶ ἑαυτοῦ λέγων, τύπτω, γράφω καὶ τὰ ὅμοια· ἡ δὲ πρόσταξις πρὸς παρὸν καὶ ἕτερον πρόσωπον ἐστὶν ἀπότασις· πᾶς γὰρ ἀνὴρ ἑτέρῳ παρόντι προστάττει, οἷον τύπτε οὐχ ἑαυτῷ· τοῦ οὖν πρώτου μὲν προσώπου ἀεὶ περὶ ἑαυτοῦ ἀποφαινομένου, τῆς δὲ προστάξεως [g] πρὸς παρόντα καὶ ἕτερον πρόσωπον ἀεὶ γινομένης, πῶς δυνατὸν τὰ προστακτικὰ ἔχειν πρῶτα πρόσωπα; ἀδυνατὸν γὰρ ἐν μιᾷ φωνῇ περὶ ἑαυτοῦ τε ἀποφαίνεσθαί τινα, καὶ πρὸς ἕτερον ποιεῖσθαι τὸν λόγον· εὑρίσκεται γὰρ, ὡς ἀνωτέρω εἴρηται, αὐτὸς ἑαυτοῦ χωριζόμενος, καθὼς ὁ προστάσσων ἐκ τοῦ προστασσομένου κεχώρισται, ὅπερ ἐστὶν ἀδύνατον. Ταῦτα μὲν ἐν τούτοις.

Λέγουσι δέ τινες ὅτι εὑρίσκομεν ἐν χρήσει τινὰ πρῶτα πρόσωπα προστακτικὰ, ὡς παρὰ τῷ ποιητῇ

ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδωμαι,

[Il. ι'. 61.]

[ἐξείπω [καὶ εἴπω,] καὶ πάντα διίξομαι]

καὶ ἐν πληθυντικοῖς ὁμοίως, [Il. ζ'. 70.]

ἀλλ' ἄνδρας κτείνωμεν, ἔπειτα δὲ

καὶ πάλιν [Il. β'. 140.]

φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν

[g] προπαρὸν Bar. deest v. Par.

καὶ τοῦτο πιστοῦνται ἐκ τῆς συντάξεως τοῦ ἄγε καὶ τοῦ μή, [τὸ γὰρ ἄγε καὶ τὸ μή] προστακτικοῖς συντασσόμενα, οἷον ἄγε γράφε, μὴ γράφε, συντάσσονται καὶ τούτοις, [οἷον

ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδωμαι·
ἀλλ' ἄγ' ἐγὼν ὡς σεῖο γεννικότερος (γεραίτερος) εὔχομαι εἶναι, [Il. ι'. 60.]

εἴπω μὴ κτείνωμεν,] μὴ ποιήσωμεν, [μὴ γράψωμεν.] Ἔστι δὲ εἰπεῖν ὅτι οὐ δύναται τὸ κτείνωμεν καὶ φεύγωμεν α' πρόσωπα πληθυντικῶν εἶναι· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι πᾶν πρῶτον πρόσωπον εἰς ΜΕΝ λῆγον ἰσοχρονεῖν θέλει κατὰ τὴν παραλήγουσαν τῷ ἰδίῳ β' προσώπῳ, οἷον τύπτομεν τύπτετε, γράφομεν γράφετε, λέγομεν λέγετε· ἰδοὺ γὰρ τὸ πρῶτον πρόσωπον βραχείᾳ παραλήγεται, καὶ τὸ δεύτερον ὁμοίως, καὶ πάλιν ποιοῦμεν ποιεῖτε, βοῶμεν βοᾶτε, χρυσοῦμεν χρυσοῦτε· ἰδοὺ γὰρ καὶ τὸ πρῶτον πρόσωπον μακρᾷ
304 b παραλήγεται, καὶ τὸ β' ὁμοίως· καὶ πάλιν, ἐὰν γράφωμεν, ἐὰν γράφητε, ὁμοίως ἀμφοτέρων μακρὰ ἡ παραλήγουσα· εἰ οὖν τὸ "ἄνδρας κτείνωμεν" καὶ "φεύγωμεν σὺν νηυσὶ" μακρᾷ παραλήγονται, τὸ δὲ κτείνετε καὶ φεύγετε δεύτερα προστακτικὰ καὶ βραχείᾳ παραλήγεται, δηλονότι οὐκ ἔστι τὸ κτείνωμεν πρῶτον τοῦ κτείνεται, οὐδὲ τὸ φεύγω πρῶτον τοῦ φεύγετε· ἄρα οὖν οὐκ εἰσὶ τὸ κτείνωμεν καὶ τὸ φεύγωμεν α' πρόσωπα πληθυντικῶν προστακτικά, δηλονότι οὐδὲ τὸ

ἀλλ' ἄγε δὴ τὰ χρήματα [ἐξ]αριθμήσω καὶ ἴδωμαι

[h] εἰσὶ πληθυντικῶν πρῶτα πρόσωπα προστακτικά. Τί οὖν εἰσι ταῦτα; Λέγομεν ὅτι οὐκ εἰσὶ προστακτικά, τὰ γὰρ προστακτικά, ὡς εἴρηται, οὐκ ἔχουσι πρῶτα πρόσωπα, ἀλλ' ὑποθετικά. Ὑποθετικὰ δὲ λέγονται, ἐπειδὴ ὑποτίθεταί τις καὶ συμβουλεύει τὸ πρακτέον, οἷον ποιήσωμεν, κτείνωμεν, φεύγωμεν, μάθωμεν· δεῖ γὰρ γινώσκειν ὅτι οἱ φιλόσοφοι ἄλλας δύο ἐγκλίσεις μετὰ τὰς ε' προστιθέασι, φημὶ δὲ τὴν [i] ὑποθετικήν, καὶ τὴν ἐρωτηματικήν· καὶ τὴν μὲν ἐρωτηματικὴν οὐ δεχόμεθα, ἐπειδὴ πᾶσα λέξις ἐρώτησιν δέχεται, ἤγουν κατὰ ἐρώτησιν δύναται προ[σ]ενεχθῆναι, οἷον τύπτεις ἄνθρωπος

[h] πρῶτόν ἐστι πρόσωπον πληθυντ. προστακτικόν Bar. [i] ὑπερθετικὴν Bar.

[*μεγάλως*] *ἄτοπον γάρ ἐστι τὴν ἐν παντὶ μέρει λόγου εὑρισκομένην εἰπεῖν ἔγκλισιν εἶναι ῥήματος· εὑρεθήσεται γὰρ τὸ ἄνθρωπος, ἡνίκα ἐρωτηματικῶς προφέρεται, ἔγκλισις ἐρωτηματική, ὅπερ ἄτοπον, ὄνομα γάρ ἐστιν· ἄλλως τε δὲ οὐ δύναται ἔγκλισις εἶναι ἡ ἐρωτηματική, ἐπειδὴ οὐκ ἔχει ἰδίας φωνάς· ἑκάστη δὲ ἔγκλισις ἰδίας φωνὰς ἔχει, οἷον ἡ ὁριστική, τύπτω, γράφω, καὶ ἡ ἀπαρέμφατος, τύπτειν, γράφειν, καὶ ἡ προστακτική, τύπτε, γράφε, καὶ ἡ εὐκτικὴ τύπτοιμι, γράφοιμι, καὶ ἡ ὑποτακτικὴ ἐὰν τύπτω, ἐὰν γράφω, ἡ δὲ ἐρωτηματικὴ ἔγκλισις, ἡ κατὰ τοὺς φιλοσόφους, οὐκ ἔχει ἰδίας φωνάς· ἣν γὰρ ἔχουσι φωνὴν πρὸ τῆς ἐρωτήσεως τὰ μέρη τοῦ λόγου τὴν αὐτὴν ἔχουσι καὶ ἐρωτηματικῶς προ*[*σ*]*φερόμενα· τὸ γὰρ Ὅμηρος καὶ τύπτω, καὶ τὰ ὅμοια, εἴτε ἄνευ ἐρωτήσεως εἴτε μετὰ ἐρωτήσεως προσενέγκῃ τις, τὴν αὐτὴν ἔχουσι φωνήν.* Τὴν *δὲ ὑποθετικὴν οὐ δεχόμεθα ἑτέραν ἔγκλισιν, ἐπειδὴ πρῶτον μὲν τὰ ὑποθετικὰ σπάνιά εἰσι καὶ οὐ πολλάκις εὑρημένα ἐν τῇ χρήσει· δεύτερον δέ, ὅτι τὰ ὑποθετικὰ πρώτου καὶ μόνου προσώπου εἰσὶν, οὐδέποτε δὲ δευτέρου καὶ τρίτου προσώπου,* [k] *ὡς δῆλον ἐκ τῶν προειρημένων παραδειγμάτων· τρίτον δέ, ὅτι οὐκ ἔχουσιν ἰδίας φωνὰς τὰ ὑποθετικά· αἱ γὰρ φωναὶ αὐτῶν ὑποτακτικαί εἰσιν,*

> *ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδωμαι,*
> *ἀλλ' ἄνδρας κτείνωμεν...*
> *ἐξείπω καὶ πάντα διίξομαι...*
> *φεύγωμεν σὺν νηυσὶ,*

λάβωμεν, ποιήσωμεν, φύγωμεν, δράμωμεν, ἔλθωμεν, ἐνέγκωμεν.

" Ἐνεστῶτος *καὶ παρατατικοῦ τύπτε.*"

Ἰστέον *ὅτι ἐν τοῖς προστακτικοῖς οἱ ὅλοι χρόνοι συνε-*
305 a *ζευγμένοι εἰσὶν,* [*ἐπὶ*] *ἐνεστῶτος καὶ παρατατικοῦ* [*ὁμοῦ*] *φαμέν· καὶ παρακειμένου καὶ ὑπερσυντελικοῦ ὁμοίως* [*ὁμοῦ,*] *καὶ ἀορίστου καὶ μέλλοντος ὁμοίως* [*ὁμοῦ.*] Δεῖ *δὲ γινώσκειν, ὅτι τὸ προστακτικὸν τοῦ ἐνεστῶτος καὶ τοῦ παρατατικοῦ κανονίζεται τοῦτον τὸν τρόπον· πᾶν τρίτον πρόσωπον*

[k] *καὶ* Bar.

ἑνικὸν τοῦ ἐνεργητικοῦ παρατατικοῦ τοῦ ὁριστικοῦ, τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλὸν, τὸ προστακτικὸν ποιεῖ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ, τῆς βαρείας τάσεως φυλαττομένης, οἷον ἔτυπτε τύπτε, ἔλεγε λέγε, ἔγραφε γράφε, ἔκοπτε κόπτε, ἐποίει ποίει, ἐνόει νόει, ἐβόα βόα, ἐγέλα γέλα, ἐχρύσου χρύσου, ἐστεφάνου στεφάνου· ὁ δὲ λόγος ἐπὶ τῶν εἰς Ω· τὰ γὰρ εἰς ΜΙ ἀλλοίως κανονίζονται, ὡς, εἰ θεῷ φίλον, ἐν τῇ περὶ τούτων διδασκαλίᾳ μαθησόμεθα.

"Τυπτέτω." Ἰστέον ὅτι πᾶν δεύτερον προστακτικὸν ἐνεργητικὸν ἢ μέσον εἰς φωνῆεν λῆγον παρακειμένου ὑπερσυντελικοῦ, πλὴν τῶν εἰς ΘΙ, προσθέσει τοῦ ΤΩ τρίτον γίνεται· οἷον τύπτε τυπτέτω, λέγε λεγέτω, ποίει ποιείτω, βόα βοάτω, χρύσου χρυσούτω, τέτυφε τετυφέτω, τέτυπε τετυπέτω, δέδουπε δεδουπέτω. Πρόσκειται "ἐνεργητικὸν" διὰ τὸ τύπτου· τοῦτο γὰρ οὐ ποιεῖ προσθέσει τοῦ ΤΩ τὸ τρίτον· οὐδὲ γὰρ λέγομεν τυπτούτω, ἀλλὰ τυπτέσθω· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν ἐνεργητικὸν ἀλλὰ παθητικόν. Πρόσκειται "εἰς φωνῆεν λῆγον" διὰ τὸ τύψον· τοῦτο γὰρ οὐ ποιεῖ προσθέσει τοῦ Τ τὸ τρίτον· οὐδὲ γὰρ λέγομεν τυψόντω, ἀλλὰ τυψάτω· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ τὸ τύψον οὐ λήγει εἰς φωνῆεν. Πρόσκειται "πλὴν τῶν εἰς ΘΙ," ἐπειδὴ τὰ εἰς ΘΙ οὐ ποιοῦσι προσθέσει τοῦ Τ τὸ τρίτον, ἀλλὰ τροπῇ τῆς ΘΙ εἰς ΤΩ, οἷον ἵσταθι ἱστάτω, δίδοθι διδότω, ζεύγνυθι ζευγνύτω. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, εἰ ἄρα ἡ πρόσταξις, ὡς εἴρηται, πρὸς παρὸν πρόσωπον ἀεὶ γίνεται, (εἰρήκαμεν γὰρ ὅτι ἡ πρόσταξις πρὸς παρὸν πρόσωπον ἐστὶν [1] ἀπότασις, οἷον τύπτε, γράφε, ποίει· τὸ δὲ τρίτον πρόσωπον, ὡς ἐν τοῖς προλεγομένοις ἐμάθομεν, ἀεὶ ἀπὸν ἐστὶν μήτε προσφωνοῦν μήτε προσφωνούμενον, γ' γάρ ἐστι πρόσωπον περὶ οὗ ὁ λόγος, μήτε προσφωνοῦντος μήτε προσφωνουμένου,) πῶς εὑρίσκομεν ἐν τοῖς προστακτικοῖς γ' πρόσωπα, ἢ πῶς δυνατὸν τινὰ τῷ μὴ παρόντι, μήτε προσφωνοῦντι μήτε

[1] ἀπόταξις] ἀπότασις Bar.

προσφωνουμένῳ, προστάξαι; Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι καὶ τὸ προστακτικὸν τρίτον πρόσωπον πρὸς παρὸν δεύτερον πρόσωπον ἀπότασίς ἐστιν εἰς μετάδοσιν τοῦ γ'· λέγομεν γὰρ καὶ προστάσσομεν τῷ δευτέρῳ προσώπῳ, ἵνα μεταδῷ τοῦ προστασσομένου τῷ γ', οἷον ἐν τῷ λέγειν με τυψάτω καὶ λεγέτω καὶ ποιείτω, τρίτον πρόσωπον προστακτικὸν πρὸς παρὸν δεύτερον πρόσωπον ἀποτεινόμενον, καὶ παρόντι προστάσσω, ἵνα μεταδῷ τῷ τρίτῳ τοῦ προστασσομένου, καὶ ἵνα τὸ τρίτον λοιπὸν ποιήσῃ τὸ προστασσόμενον. Τούτων οὕτως ἐχόντων, ἀποροῦσί τινες, λέγοντες, διὰ τί γὰρ μὴ καὶ τὸ τυπτέτω καὶ λεγέτω καὶ πάντα τὰ γ' πρόσωπα τὰ προστακτικὰ δεύτερα εἶναι λέγομεν, ἔνθα καὶ ἐν αὐτοῖς, ὡς εἴρηται, πρὸς παρὸν δεύτερον πρόσωπόν ἐστιν ἡ ἀπότασις; Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται τὰ τρίτα
305 b πρόσωπα προστακτικὰ καὶ δεύτερα λέγεσθαι, ἐπειδὴ ἐν τοῖς προστακτικοῖς τὰ δεύτερα πρόσωπα οὐ λέγονται ἀνομοιοσχήμως ἀλλ' ἢ ὁμοιοσχήμως· ἐὰν μὲν γὰρ ἑνὶ προστάξωμεν, τύπτε φαμὲν ἑνικῶς καὶ οὐ πληθυντικῶς, ἐὰν δὲ πολλοῖς, τύπτετε πληθυντικῶς, καὶ οὐ τύπτε ἑνικῶς· τὰ δὲ τρίτα πρόσωπα ἐν τοῖς προστακτικοῖς ἀνομοιοσχήμως λέγεται· καὶ γὰρ ἑνὸς παρόντος προσώπου λέγομεν καὶ προστάσσομεν τυπτέτωσαν πληθυντικῶς, καίπερ πρὸς ἕνα τὴν ἀπότασιν ποιούμενοι εἰς μετάδοσιν πολλῶν· πρὸς ἕνα γὰρ ἀποτεινόμεθα ἵνα μεταδῷ τοῖς πολλοῖς τοῦ τύπτειν· καὶ πάλιν ἐκ τοῦ ἐναντίου, πολλῶν παρόντων λέγομεν καὶ προστάσσομεν τυπτέτω ἑνικῶς, καίπερ πρὸς πολλοὺς τὴν ἀπότασιν ποιούμενοι εἰς μετάδοσιν ἑνός· πρὸς πολλοὺς γὰρ ἀποτεινόμεθα, ἵνα μεταδῶσι ἑνὶ τοῦ τύπτειν. Δῆλον οὖν ἐκ τοῦ καὶ ἀνομοιοσχήμως λέγεσθαι τὰ τρίτα πρόσωπα ἐν τοῖς προστακτικοῖς ὡς οὐ δύνανται λέγεσθαι δεύτερα, εἰ καὶ πρὸς παρὸν πρόσωπον ἔχουσι τὴν ἀπότασιν, ὡς ἐδείξαμεν ἀνωτέρω.

"Δυϊκά· τύπτετον, τυπτέτων."

Ἰστέον ὅτι τὸ πρῶτον τῶν δυϊκῶν ἐπιλιμπάνει ἐνταῦθα, οὐκ ἐπειδὴ τὸ πρῶτον τῶν πληθυντικῶν ἔχει ἐν τῇ τελευταίᾳ συλλαβῇ τὸ μ, οὐ γάρ ἐστιν οὔτε ἐν τοῖς πληθυντικοῖς

πρῶτον πρόσωπον, ἀλλ' ἐπειδὴ, ὡς ἔγνωμεν ἀνωτέρω, ἐν τοῖς προστακτικοῖς καθόλου ἐπὶ τῶν τριῶν ἀριθμῶν ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον, καθὸ οὐδεὶς ἑαυτῷ προστάσσει. Γέγονε δὲ τὸ μὲν δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν τροπῇ τοῦ ε εἰς ον, οἷον τύπτετε τύπτετον, τὸ δὲ τρίτον τῶν δυϊκῶν ἐκ τοῦ ἰδίου δευτέρου γέγονε, τροπῇ τοῦ ο εἰς ω· καθόλου γὰρ ἐν τοῖς προστακτικοῖς πᾶν δεύτερον πρόσωπον δυϊκῶν τροπῇ τοῦ ο εἰς ω τὸ γ' τῶν δυϊκῶν ποιεῖ, οἷον τύπτετον τυπτέτων, ποιεῖτον ποιείτων, βοᾶτον βοάτων, τύπτεσθον τυπτέσθων· καὶ ἐν μὲν ταῖς ἄλλαις ἐγκλίσεσιν, ἡνίκα διαφωνοῦσι τὰ δεύτερα καὶ τὰ γ' τῶν δυϊκῶν, τροπῇ τοῦ ο τοῦ ἐν τῷ δευτέρῳ δυϊκῷ εἰς τὸ η γίνεται τὸ γ' τῶν δυϊκῶν· οἷον ἐτύπτετον ἐτυπτέτην, ἐτετύφατον ἐτετυφάτην, τύπτοιτον τυπτοίτην, τυφθείητον τυφθειήτην· ἐν δὲ τοῖς προστακτικοῖς, ὡς εἴρηται, τροπῇ τοῦ ο τοῦ ἐν τῷ δευτέρῳ δυϊκῷ εἰς ω τὸ γ' γίνεται· καὶ εὐλόγως εἰς τὸ ω γέγονεν ἡ τροπὴ ἐν τοῖς προστακτικοῖς, ἐπειδὴ χαίρουσι τὰ γ' τῶν προστακτικῶν τῷ ω, οἷον τυπτέτω τυπτέτωσαν, ποιείτω ποιείτωσαν· ἰδοὺ γὰρ, καὶ ἐν τῷ ἑνικῷ γ' καὶ ἐν τῷ πληθυντικῷ γ'· διὰ τοῦτο [m] δὲ ἐν τοῖς προστακτικοῖς οὐχ ὁμοφωνεῖ τὸ τρίτον τῶν δυϊκῶν τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς σι λήγει, οὔτε εἰς ται· τυπτέτωσαν γὰρ φαμὲν καὶ τυψάτωσαν καὶ τυψάσθωσαν.

"Πληθυντικά· τύπτετε, τυπτέτωσαν." Ἰστέον ὅτι ἐν τοῖς προστακτικοῖς καὶ τὸ δεύτερον τῶν πληθυντικῶν καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἐκ τοῦ γ' τῶν ἑνικῶν γίνονται, καὶ τὸ μὲν β' τῶν πληθυντικῶν κανονίζεται τοῦτον τὸν τρόπον· πᾶν τρίτον ἑνικὸν προστακτικὸν τροπῇ τοῦ ω εἰς ε δεύτερον τῶν πληθυντικῶν γίνεται, οἷον τυπτέτω τύπτετε, λεγέτω λέγετε, τυπτέσθω τύπτεσθε, τυψάσθω τύψασθε, τετυφέτω
306 a τετύφετε, τετυπέτω τετύφετε, τυφθήτω τύφθητε, δαρήτω δάρητε, νυγήτω νύγητε· [n] ὁμοτονοῦσι δὲ ταῦτα τῷ β' προσώπῳ τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, οἷον

[m] καὶ Bar.   [n] ὁμοφωνοῦσι] ὁμοτονοῦσι Bar.

ἐποιεῖτε ποιεῖτε, ἐτύπετε τύπετε, ἐτύψατε τύψατε, ἐτύφθητε τύφθητε, ἐνύγητε νύγητε, ἐδάρητε δάρητε, πλὴν τοῦ ἔστε καὶ φάτε· τὸ μὲν γὰρ ὁριστικὸν ὀξύνεται, ἐστὲ καὶ φατέ· τὸ δὲ προστακτικὸν βαρύνεται, οἷον, ἔστε καὶ φάτε. Τὸ δὲ τρίτον τῶν πληθυντικῶν κανονίζεται τοῦτον τὸν τρόπον· πᾶν γ′ προστακτικὸν ἑνικὸν προσθήκῃ τῆς ΑΝ τὸ τρίτον τῶν πληθυντικῶν ποιεῖ, οἷον τυπτέτω τυπτέτωσαν, λεγέτω λεγέτωσαν, τυφθήτω τυφθήτωσαν, τυπτέσθω τυπτέσθωσαν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι οἱ Ἀθηναῖοι ἐπὶ μὲν τῶν προστακτικῶν τῶν γινομένων ἀπὸ ὁριστικοῦ μὴ ἔχοντος τὸ Μ κλιτικὸν τὸ γ′ πρόσωπον τῶν πληθυντικῶν ὁμόφωνον ἔχουσι τῇ γενικῇ τῶν πληθυντικῶν τῆς ἰδίας μετοχῆς, οἷον τύπτετε τυπτόντων, ἀντὶ τοῦ τυπτέτωσαν· οἱ τύπτοντες γὰρ τῶν τυπτόντων· καὶ πάλιν τύψατε τυψάντων, ἀντὶ τοῦ τυψάτωσαν· οἱ τύψαντες γὰρ τῶν τυψάντων· ἐπὶ δὲ τῶν προστακτικῶν τῶν γινομένων ἀπὸ ὁριστικοῦ ἔχοντος τὸ Μ κλιτικόν, τὸ γ′ πρόσωπον τῶν πληθυντικῶν ὁμόφωνον ποιοῦσι τῷ γ′ προσώπῳ τῶν δυϊκῶν, οἷον τύπτεσθε τυπτέσθων, ἀντὶ τοῦ τυπτέσθωσαν· τυπτέσθων γάρ ἐστι τὸ γ′ τῶν δυϊκῶν· ὅθεν καί τινες ἐνόμισαν αὐτούς, λέγω δὲ τοὺς Ἀττικούς, τρίτα δυϊκὰ προστακτικὰ λέγειν ἀντὶ τρίτων πληθυντικῶν, καὶ κεχρῆσθαι αὐτοὺς δυϊκοῖς ἀντὶ πληθυντικῶν. Κακῶς δὲ νομίζουσιν οἱ νομίζοντες αὐτοὺς δυϊκοῖς κεχρῆσθαι ἀντὶ πληθυντικῶν· οὐκ εἰσὶ ταῦτα δυϊκὰ ἀντὶ τῶν πληθυντικῶν, [ἀλλ᾽, ὡς εἴρηται, ἴδια γ′ πρόσωπα ποιοῦσι πληθυντικὰ οἱ Ἀθηναῖοι ἐν τοῖς προστακτικοῖς· ὅτι γὰρ οὐκ εἰσὶ ταῦτα δυϊκὰ ἀντὶ πληθυντικῶν,] ἀλλὰ πληθυντικὰ εἰσὶν ἴδια τῶν Ἀττικῶν, δῆλον ἐκ τῶν ἐνεργητικῶν Ἀττικῶν γ′ προσώπων πληθυντικῶν διαφωνούντων πρὸς γ′ δυϊκά· τὸ γὰρ τρίτον ἐνεργητικὸν δυϊκῶν λεγέτων καὶ ποιείτων ἐστί· τὸ δὲ γ′ Ἀττικὸν πληθυντικῶν λεγόντων καὶ ποιούντων ἐστὶν ἀντὶ τοῦ λεγέτωσαν καὶ ποιείτωσαν, ὁμοφώνως, ὡς εἴρηται, τῇ γενικῇ τῶν πληθυντικῶν τῆς ἰδίας μετοχῆς. Ἰδοὺ οὖν ἐν τοῖς ἐνεργητικοῖς διαφωνοῦσι τὰ τρίτα δυϊκὰ καὶ τὰ τρίτα πληθυντικὰ Ἀττικά, εἰ καὶ ἐν

τοῖς παθητικοῖς ὁμοφωνοῦσιν· εἰ δέ γε τοῖς τρίτοις δυϊκοῖς ἐχρῶντο οἱ Ἀθηναῖοι ἀντὶ τῶν τρίτων πληθυντικῶν ἐν τοῖς προστακτικοῖς, καὶ ἐπὶ τῶν ἐνεργητικῶν τοῦτο ἐποίουν, καὶ ἤμελλον καὶ ἐν αὐτοῖς ὁμοφωνεῖν τὰ τρίτα δυϊκὰ καὶ τὰ τρίτα πληθυντικὰ Ἀττικά. Δῆλον οὖν ὅτι ἴδια τρίτα πρόσωπα ποιοῦσι πληθυντικὰ οἱ Ἀττικοὶ ἐν τοῖς προστακτικοῖς.

"Παρακείμενος καὶ ὑπερσυντελικός. Τέτυφε."

Ἐνταῦθα τὸ προστακτικὸν τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ κανονίζει. Ἔστι δὲ κανονίσαι αὐτὸ ἅμα δὲ καὶ τὸ προστακτικὸν τοῦ μέσου παρακειμένου καὶ ὑπερσυντελικοῦ τοῦτον τὸν τρόπον· τὸ γʹ πρόσωπον τὸ ἑνικὸν παρακειμένου τοῦ ὁριστικοῦ εἴτε ἐνεργητικοῦ εἴτε μέσου βʹ γίνεται πρόσωπον προστακτικὸν παρακειμένου καὶ ὑπερσυντελικοῦ, οἷον τέτυφε ἐκεῖνος, τέτυφε σύ· καὶ πεποίηκε ἐκεῖνος καὶ πεποίηκε σύ· τέτυπε ἐκεῖνος, καὶ τέτυπε σύ· δέδουπε ἐκεῖνος, καὶ δέδουπε σύ· φυλάττεται δὲ ἡ ἐν ἀρχαῖς κλιτικὴ ἔκτασις, ἐπειδὴ, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, ὁ παρακείμενος οὐδαμῶς ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν
306 b ἔκτασιν· οὔτε γὰρ ἐν ταῖς μετοχαῖς ἀποβάλλει αὐτὴν οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, οἷον τέτυφα τετυφὼς, τετυφέναι, τέτυφε σύ· τετύφοιμι, ἐὰν τετύφω· ἔσταλκα, ἐσταλκὼς, ἐσταλκέναι, ἔσταλκε σύ· ἐστάλκοιμι, ἐὰν ἐστάλκω. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι λέγουσί τινες, ὡς εἰς ΘΙ εἰσὶ τὰ προστακτικὰ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, ἐπειδὴ πᾶσα μετοχὴ εἰς Σ λήγουσα μετ᾽ ὀξείας τάσεως εἰς ΘΙ ἔχει τὸ προστακτικὸν, οἷον τυπεὶς τύπηθι, νυγεὶς νύγηθι, δαρεὶς δάρηθι· εἰ οὖν τετυφὼς ἡ μετοχὴ εἰς Σ μετ᾽ ὀξείας τάσεως, δηλονότι καὶ [o] τέτυφθι τὸ προστακτικὸν εἰς ΘΙ· προστιθέασι δὲ καὶ τοῦτο, ὅτι ἐπειδὴ τὸ τρίτον πρόσωπον τὸ ὁριστικὸν τοῦ παρακειμένου τὸ ἑνικὸν διὰ τοῦ Α ὤφειλεν εἶναι, οἷον τέτυφας τέτυφα ἐκεῖνος, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν· οὐκ ἐγένετο δὲ οὕτως, ἀλλ᾽ ἔτρεψε τὸ Α εἰς τὸ Ε, ἵνα μὴ ὁμοφωνήσῃ

[o] ἐτύφθηθι Bar.

τῷ ἰδίῳ πρώτῳ, τέτυφα ἐγώ· τούτου χάριν ὡς μὴ γνησίαν κατάληψιν ἔχοντος τοῦ γʹ προσώπου, οὐκ ἐγένετο ἐξ αὐτοῦ τὸ προστακτικὸν, ἀλλ' εἰς θι. *Ταῦτα μὲν οὗτοι· ὁ δὲ Ἀπολλώνιος οὐ βούλεται τοῦτο, ἀλλὰ λέγει, ὅτι εἰς* ε *λήγει τὸ προστακτικὸν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ ὁμοφώνως τῷ τρίτῳ προσώπῳ τῶν ἑνικῶν τοῦ ὁριστικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, οἷον τέτυφε ἐκεῖνος, τέτυφε σύ· τέτυπε ἐκεῖνος, τέτυπε σύ· τότε γὰρ, φησὶν, εἰς* θι *ἐστὶ τὸ προστακτικὸν, ἡνίκα ἐστὶν οὐ μόνον εἰς* σ *καὶ ὀξύτονος ἡ μετοχὴ, ἀλλὰ καὶ διὰ τοῦ* ντ *κλινομένη, οἷον, τυπεὶς τυπέντος τύπηθι, νυγεὶς νυγέντος νύγηθι, δαρεὶς δαρέντος δάρηθι, σταλεὶς σταλέντος στάληθι, γνοὺς γνόντος γνῶθι· εἰ οὖν ἄρα ὁ ἐνεργητικὸς καὶ μέσος παρακείμενος οὐκ ἔχουσι τὴν μετοχὴν διὰ τοῦ* ντ *κλινομένην, εἰ καὶ ἔχουσιν αὐτὴν εἰς* σ *μετ' ὀξείας τάσεως, οἷον τετυφὼς τετυφότος, τετυπὼς τετυπότος, δηλονότι οὐδὲ τὸ προστακτικὸν δύναται ἔχειν εἰς* θι. *Ταῦτα μὲν ὁ Ἀπολλώνιος· ἡ δὲ χρῆσις διττή ἐστι· καὶ εἰς* θι *γὰρ εὑρίσκεται καὶ εἰς* ε, *οἷον* [Od. *ξ*ʹ. 462.]

κλῦθι (κέκλυθι) νῦν Εὔμαιε,

καὶ "*ἄνωχθι,*" *καὶ* "*δείδιθι,*" *καὶ* "*εὕρισκε σύ·*" *καὶ λέγει ὁ Ἡρωδιανὸς, ὅτι ταῦτα τὰ εἰς* ε *προστακτικὰ οὐκ εἰσὶ παρακειμένου, ἀλλ' ἐνεστῶτος εἰσὶ καὶ παρατατικοῦ, τοῦ παρακειμένου εἰς ἐνεστῶτα* [p] *μετενεχθέντος, οἷον ἀπὸ τοῦ εὕρηκα γίνεται ὁ ἐνεστὼς εὑρήκω, καὶ ἐκ τούτου ὁ παρατατικὸς εὕρηκον, εὕρηκες, εὕρηκε, καὶ λοιπὸν τὸ προστακτικὸν, εὕρηκε σύ.*

"Τ*ετυφέτω.* Δ*υϊκὰ, τετύφετον, τετυφέτων.* Π*ληθυντικά· τετύφετε, τετυφέτωσαν.* Ε*ἴρηται.* Μ*έσου παρακειμένου καὶ ὑπερσυντελικοῦ τέτυπε.*"

Ἡ *αὐτὴ τεχνολογία τοῦ προστακτικοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ καὶ τοῦ μέσου παρακειμένου καὶ ὑπερσυντελικοῦ.*

"Τ*ετυπέτω.* Δ*υϊκά· τετύπετον, τετυπέτων.* Π*ληθυντικά·*

[p] *μεταχθέντος* Bar.

τετύπετε, τετυπέτωσαν. Εἴρηται. Ἀόριστος α΄ καὶ μέσος. τύψον."

307 a Ἐνταῦθα περὶ τῶν προστακτικῶν τοῦ α΄ ἀορίστου καὶ μέσου διαλαμβάνει, καὶ λέγει, ὅτι ἔδει καὶ τὸν ἀόριστον ἐκ τοῦ ἰδίου [q] ἐνεργητικοῦ προσώπου ἑνικοῦ ποιεῖν τὸ προστακτικὸν τοῦ α΄ ἀορίστου καὶ μέλλοντος κατὰ ἀποβολὴν τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, οἷον ἔτυψεν ἐκεῖνος, τύψε σύ· ἔγραψεν ἐκεῖνος καὶ γράψε σύ· ὥσπερ ἔτυπτεν ἐκεῖνος, τύπτε σύ· ἔγραφεν ἐκεῖνος, γράφε σύ· ἀλλ' ἐγένετο, φησὶν, εἰς ΟΝ τὸ προστακτικὸν τοῦ α΄ ἀορίστου καὶ μέλλοντος Συρρακουσίων ἔθει· οἱ γὰρ Συρρακούσιοι τῆς Δωριέων διαλέκτου εἰσίν· οὗτοι τὰ προστακτικὰ τοῦ β΄ ἀορίστου εἰς ΟΝ μεταποιοῦσι, τὸ λάβε λάβον λέγοντες, καὶ τὸ ἄνελε ἄνελον, καὶ τὸ νύγε νύγον· οὕτως οὖν καὶ τὸ τύψε τύψον· καὶ τὸ προστακτικὸν τοῦ α΄ ἀορίστου καὶ μέλλοντος κατὰ μίμησιν τῶν Συρρακουσίων εἰς ΟΝ ἐγένετο, οἷον ἔτυψεν τύψον, ἐποίησε ποίησον, ἔγραψε γράψον, ἔλουσε λοῦσον. Καὶ λέγει ὁ Ἡρωδιανὸς ὅτι εἰκότως εἰς ΟΝ ἐγένετο τὸ προστακτικὸν τοῦ α΄ ἀορίστου καὶ μέλλοντος· εἰς Ε γὰρ, φησὶν, οὐκ ἠδύνατο γενέσθαι, ἐπειδὴ τὸ Ε οὐκ ἔστιν ἐνταῦθα γνήσιον τοῦ γ΄ προσώπου τοῦ ὁριστικοῦ ἑνικοῦ· πᾶν γὰρ δεύτερον πρόσωπον εἰς Σ λῆγον, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται, ἀποβολῇ τοῦ Σ τὸ γ΄ ποιεῖ, οἷον τύπτεις τύπτει, ἔτυπτες ἔτυπτε, ἔλεγες ἔλεγε, ἔμαθες ἔμαθε, χωρὶς τοῦ ἐνεστῶτος τῶν εἰς ΜΙ· ἐπ' ἐκείνων γὰρ οὐκ ἀποβάλλεται τὸ Σ, ἀλλὰ τοὐναντίον καὶ τὸ Ι προσέρχεται, οἷον τίθημι τίθης τίθησι, ἵστημι ἵστης ἵστησι, δίδωμι δίδως δίδωσι, ζεύγνυμι ζεύγνυς ζεύγνυσι· εἰ οὖν εἰς ΑΣ ἐστὶ τὸ δεύτερον πρόσωπον δηλονότι, καὶ τὸ γ΄ ὤφειλεν εἶναι ἔτυψα ἐκεῖνος κατὰ ἀποβολὴν τοῦ Σ, ἀλλ' ἐπειδὴ οὐκ ἐνεδέχετο κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ κατὰ τὴν αὐτὴν διάλεκτον ὁμοφωνεῖν τὸ γ΄ τῷ πρώτῳ, τούτου χάριν καὶ τροπὴ παρηκολούθησε τοῦ Α εἰς Ε, καὶ ἐγένετο ἔτυψε. Ἐπειδὴ οὖν τὸ Ε οὐκ ἔστι γνήσιον τοῦ γ΄ προσώπου τοῦ

[q] ὁριστικοῦ γ΄ προσώπου Bar.

ἑνικοῦ τοῦ α' ἀορίστου, ἐμάθομεν γὰρ ὅτι διὰ τοῦ Α ὤφειλεν εἶναι, τούτου χάριν οὐκ ἐκφέρεται δι' αὐτοῦ, φημὶ δὲ διὰ τοῦ Ε, τὸ προστακτικὸν τοῦ α' ἀορίστου καὶ μέλλοντος.

Λέγει δὲ πάλιν ὁ Ἡρωδιανὸς, ὅτι μὴ δυνάμενον γενέσθαι εἰς Ε, διατί οὐκ ἐγένετο εἰς Α, ἵνα τὸ κεχρεωστημένον τῷ γ' προσώπῳ τῶν ἑνικῶν τοῦ α' ἀορίστου ἀναδέξηται τὸ προστακτικόν· οὐδὲ γὰρ ἔχει πρῶτον ἵνα αὐτῷ συνεμπέσῃ, ὥσπερ ἐν τοῖς ὁριστικοῖς. Καὶ λέγει, ὅτι οὔτε εἰς Α ἠδύνατο γενέσθαι [τὸ προστακτικὸν τοῦ α' ἀορίστου καὶ μέσου, ἐπειδὴ τὸ Α τοῦ α' ἀορίστου συνεσταλμένον ἐστὶν, οἷον ἔτυψα, ἐποίησα, ἐνόησα. Οὐ δύναται δὲ] τὸ προστακτικὸν διὰ τοῦ Α συνεσταλμένου ἐκφέρεσθαι, ἐπειδὴ τὰ εἰς Α λήγοντα προστακτικὰ, μὴ ὄντα κατὰ ἀποκοπὴν, μακροκαταληκτεῖν θέλουσιν, οἷον βόα, πέρα, γέλα, ὅρα, φύρα, σίγα, σιώπα, τίμα, κυβέρνα. Εἰ οὖν ἐξηνέχθη τὸ προστακτικὸν τοῦ α' ἀορίστου καὶ μέλλοντος διὰ τοῦ Α, συνεσταλμένον
307 b ἤμελλεν ἔχειν τὸ Α· ὡς γὰρ εἴρηται τὸ Α τοῦ α' ἀορίστου συνεσταλμένον ἐστὶν, ὅπερ ἄτοπον. Πρόσκειται "μὴ οὖσα κατὰ ἀποκοπὴν" διὰ τὸ οὖτα, τοῦτο γὰρ συνεσταλμένον ἔχει τὸ Α· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἀπὸ τοῦ οὔτασε γέγονε κατὰ ἀποκοπήν. Μὴ δυνάμενον οὖν τὸ προστακτικὸν τοῦ α' ἀορίστου καὶ μέλλοντος μήτε εἰς Ε εἶναι, μήτε εἰς Α, ὡς δέδεικται, μήτε εἰς ΘΙ, ἐπειδὴ οὐκ ἔχει τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην, (εἰ γὰρ καὶ εἰς Σ καὶ διὰ τοῦ ΝΤ κλινομένην αὐτὴν ἔχει, ἀλλ' οὐκ ὀξύτονον, οἷον τύψας τύψαντος, ἐκεῖνα δὲ ἔχουσι προστακτικὸν εἰς ΘΙ, ὅσα ἔχουσι τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην, οἷον τυπεὶς τυπέντος, τύπηθι, νυγεὶς νυγέντος, (νύγηθι), δαρεὶς δαρέντος, δάρηθι, γνοὺς γνόντος, γνῶθι,) ἐξ ἀνάγκης γέγονεν εἰς ΟΝ κατὰ μίμησιν ὡς εἴρηται τῶν Συρρακουσίων προστακτικῶν τοῦ β' ἀορίστου. Τούτου χάριν φασὶ καὶ τὰ προστακτικὰ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ τῆς ἐνεργητικῆς τε καὶ μέσης διαθέσεως σπανίζουσιν, εἰς Ε γὰρ οὐκ ἐδύναντο γενέσθαι, ἐπειδὴ οὐκ ἐστὶ τὸ Ε γνήσιον τοῦ γ' προσώπου τοῦ ἑνικοῦ παρακειμένου,

ὤφειλε γὰρ εἶναι τέτυφα τὸ γ′ πρόσωπον, ἐπειδὴ καὶ τὸ δεύτερον τέτυφας ἐστί· πᾶν δὲ δεύτερον πρόσωπον, ὡς εἴρηται, ἀποβολῇ τοῦ Σ τὸ γ′ ποιεῖ, [οἷον τύπτεις τύπτει, ἔτυπτες ἔτυπτε, οὕτως οὖν καὶ τέτυφας τέτυφα ὤφειλεν εἶναι τὸ γ′ πρόσωπον,] ἀλλ᾽ ἐπειδὴ οὐκ ἐνεδέχετο τρίτον πρώτῳ ὁμοφωνεῖν κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ κατὰ τὴν αὐτὴν διάλεκτον, τούτου χάριν καὶ τροπὴ παρηκολούθησεν τοῦ Α εἰς Ε, καὶ γέγονε τέτυφε. Ἀλλ᾽ οὔτε δὲ εἰς Ω ἠδύνατο εἶναι τὸ προστακτικὸν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, ἐπειδὴ τὸ Α τοῦ παρακειμένου συνεσταλμένον ἐστὶν, οἷον τέτυφα, πεποίηκα· τὰ δὲ εἰς Α λήγοντα προστακτικὰ μὴ ὄντα κατὰ ἀποκοπὴν, ὡς εἰρήκαμεν, μακροκαταληκτεῖν θέλουσιν, οἷον βόα, γέλα, πέρα, τίμα, τρύφα. Ἀλλ᾽ οὔτε δὲ εἰς ΘΙ ἠδύνατο εἶναι, ἐπειδὴ εἰ καὶ ἔχει τὴν μετοχὴν εἰς Σ μετ᾽ ὀξείας τάσεως, ἀλλ᾽ οὐκ ἔχει αὐτὴν διὰ τοῦ ΝΤ κλινομένην, οἷον τετυφὼς τετυφότος, τετυπὼς τετυπότος· ἐκεῖνα δὲ ἔχουσι τὸ προστακτικὸν εἰς ΘΙ, ὅσα ἔχουσι τὴν μετοχὴν εἰς Σ μετ᾽ ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην, οἷον τυπεὶς τυπέντος, τύπηθι, δαρεὶς δαρέντος, δάρηθι, νυγεὶς νυγέντος, νύγηθι, γνοὺς γνόντος, γνῶθι. Ἀλλ᾽ οὔτε δὲ εἰς ΟΝ δύναται εἶναι τὸ προστακτικὸν τοῦ παρακειμένου Συρρακουσίῳ ἔθει· ἐπειδὴ οἱ Συρρακούσιοι ἐπὶ τοῦ ἀορίστου μόνου τοῦτο ποιοῦσιν, οἷον ἄνελε ἄνελον, λάβε λάβον, νύγε νύγον, οὐ μὴν καὶ ἐπὶ τοῦ παρακειμένου, ἵνα κατὰ μίμησιν τῶν Συρρακουσίων γένηται εἰς ΟΝ τὸ προστακτικὸν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ. Μὴ δυνάμενα οὖν τὰ προστακτικὰ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ τῆς ἐνεργητικῆς τε καὶ μέσης διαθέσεως μήτε εἰς Ε εἶναι μήτε εἰς Α μήτε εἰς ΟΝ, ἐξ ἀνάγκης σπανίζουσι, καὶ τούτου χάριν σπανίως εὑρίσκονται ἐν χρήσει. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι διάφοροι δόξαι γεγόνασι περὶ τῶν εἰς ΟΝ
308 a προστακτικῶν τοῦ α′ ἀορίστου καὶ μέλλοντος. Τινὲς μὲν γάρ φασιν, ὅτι Συρρακουσίων ἐστὶν ἰδίωμα τὸ τύψον καὶ ποίησον, καὶ ἁπλῶς ἡ εἰς ΟΝ κατάληξις τῶν Δωριέων· οἱ γὰρ Συρρακούσιοι Δωριεῖς εἰσίν. Ἄλλοι δὲ λέγουσιν, ὅτι οὐκ

ἔστιν ἡ εἰς ΟΝ *κατάληξις Συρρακουσίων ἰδίωμα, ἀλλὰ κοινῆς κυρίως εἰσὶ διαλέκτου·* [*καὶ ἐκέχρηντο οἱ μὲν λέγοντες ὅτι κοινῆς εἰσὶ διαλέκτου*] *τὰ εἰς* ΟΝ *προστακτικὰ τοῦ* Α *ἀορίστου καὶ μέλλοντος τοιούτοις ἐπιχειρήμασι. Τὰ τῶν διαλέκτων* [r] *οὐκ ἐπικρατοῦσι καθόλου ἐν ὅλῳ τῷ εἴδει, ἀλλ' ἢ καὶ τὰ κοινὰ αὐτῶν εὑρίσκονται· ἰδοὺ γὰρ τὸ Παπίας Παπία, Αἰνείας Αἰνεία, Δωρίδος εἰσὶ διαλέκτου, καὶ ὅμως εὑρίσκονται καὶ τὰ κοινὰ αὐτῶν, οἷον Παπίου, Αἰνείου· καὶ πάλιν, τὸ Πάρις Πάριος καὶ Θέτις Θέτιος Ἰωνικά εἰσιν, καὶ ὅμως εὑρίσκονται καὶ τὰ κοινὰ αὐτῶν Πάριδος Θέτιδος· ἢ ἐὰν ἐπικρατήσῃ τί ἀπὸ διαλέκτου ἐν ὅλῳ τῷ εἴδει, ἐπικρατεῖ τὸ τοιοῦτον σχῆμα, ὡς ἐπὶ τοῦ ζῇς· τοῦτο γὰρ ὥσπερ Δωρίδος διαλέκτου ἐπεκράτησε κατὰ κοινὴν διάλεκτον· καὶ ὅμως τὸ τοιοῦτον σχῆμα οὐκ ἐπεκράτησεν ἐν ὅλῳ τῷ εἴδει·* [s] *τῶν γὰρ ὁμοίων εὑρέθησαν τὰ κοινά, οἷον βοᾷς, γελᾷς, ὁρᾷς, εἰ καὶ* [t] *τούτου τὸ κοινὸν μὴ εὑρεθῇ. Εἰ ἄρα οὖν ἡ εἰς* ΟΝ *κατάληξις τοῦ προστακτικοῦ τοῦ α' ἀορίστου καὶ μέλλοντος ἐν ὅλῳ τῷ εἴδει ἐπικρατεῖ, ὅλα γὰρ τὰ προστακτικὰ τοῦ α' ἀορίστου τοῦ ἐνεργητικοῦ καὶ τοῦ α' μέλλοντος εἰς* ΟΝ *λήγουσιν, οἷον τύψον, ποίησον, νόησον, γράψον, λάλησον, δηλονότι κοινῆς εἰσὶ διαλέκτου. Εἰ γὰρ ἦσαν Συρρακουσίων, ἢ καὶ τὰ κοινὰ αὐτῶν ὤφειλον εὑρεθῆναι, εἰ καὶ ἐπεκράτησε κατὰ κοινὴν διάλεκτον, ἢ ἐν μιᾷ τυχὸν λέξει, ἢ ἐν β', ὤφειλεν ἐπικρατῆσαι τὸ τοιοῦτον σχῆμα, καὶ μὴ ἐν ὅλῳ τῷ εἴδει. Ὥστε οὖν κοινῆς εἰσι διαλέκτου καὶ οὐ Συρρακουσίων. Ἄλλως τε δέ, φασί, φαίνεται ὁ ποιητὴς κεχρημένος τοῖς εἰς* ΟΝ *προστακτικοῖς τοῦ α' ἀορίστου καὶ μέλλοντος, ὡς ἐπὶ τοῦ* [Il. *ε'.* 830.]

> *τύψον δὲ σχεδιὴν*

ἀντὶ τοῦ τύψον ἐκ τοῦ σύνεγγυς, καὶ

> *ποίησον δ' αἴθρην*

ἀντὶ τοῦ εὐδίαν, καὶ

> *ἐν δὲ φάει καὶ ὄλεσσον·*

[r] *οὐκ ἐπικρατοῦσι* Bar. *οὐκέτι κρατ.* Par. [s] *τῶν ὁμοίων εὑρεθῆναι* Bar. *τῷ ὁμοίῳ ε.* Par. [t] *τοῦτο κοινὸν* Bar.

Ὁ δὲ ποιητὴς πρὸ πολλῶν ἐτῶν τῶν Συρρακουσίων ἦν· πῶς οὖν τῷ ἰδιώματι τῶν Συρρακουσίων ὁ ποιητὴς ἐκέχρητο μήπω ὄντων τῶν Συρρακουσίων; Οἱ δὲ λέγοντες τῶν Συρρακουσίων εἶναι τοῦτο τὸ ἰδίωμα ἐπιχειρήματι ἐκέχρηντο τοιούτῳ· ἔλεγον ὅτι [u]Ἀρχίας καὶ Χερσικράτης, Κορίνθιοι ὄντες, καὶ διωχθέντες ἀπὸ Κορίνθου, ἀποικίαν ἐποιήσαντο ἐπί τινας τόπους· καὶ ὁ μὲν Χερσικράτης κατῴκησεν ἐν τῇ Φαιακίᾳ μετὰ τῶν Κόλχων τῶν ἀπομεινάντων καὶ μὴ ὑποστρεψάντων πρὸς Αἰήτην διὰ φόβον, οὓς ἔπεμψεν [x]εἰς καταδίωξιν τῆς Μηδείας· ὁ δὲ Ἀρχίας ἀπελθὼν ᾤκησεν ἐν τῇ Σικελίᾳ, καὶ ᾠκοδόμησε τὰς Συρρακούσας [y]ἐπ' ὀνόματι Σύρας καὶ Ἀκούσης τῶν θυγατέρων αὐτοῦ. Τί οὖν ἄτοπον τοὺς Κορινθίους ἀποικίαν ποιουμένους τὴν οἰκείαν διάλεκτον μεθ' ἑαυτῶν λαβεῖν; Οἱ γὰρ ποιοῦντες ἀποικίαν, πάντως καὶ τὴν οἰκείαν διάλεκτον ἔχοντες μεθ' ἑαυτῶν ἐξέρχονται, ὥσπερ οἱ Ἴωνες ἀποικίαν ποιησάμενοι εἰς τὴν Μίλητον τὴν οἰκείαν ἔχοντες
308 b διάλεκτον ἐξῆλθον καὶ ᾤκησαν ἐκεῖ. Οὐ γὰρ [z]ἄλαλοι ὄντες τὰς ἀποικίας ποιοῦνται. Ἀπὸ οὖν Κορίνθου τὴν ἀποικίαν ἐποιήσαντο οἱ Κορίνθιοι καὶ εἶχον ταύτην τὴν διάλεκτον ἐκεῖθεν. Ὁ γοῦν ποιητὴς εἰ καὶ ἐχρήσατο τῇ εἰς ΟΝ καταλήξει τῶν προστακτικῶν τοῦ α' ἀορίστου καὶ μέλλοντος εἰπών,

τύψον δὲ σχεδιὴν,

καὶ τὰ ὅμοια, εἰ καὶ πρὸ τοῦ κτισθῆναι Συρρακούσας ἦν, ἀλλ' οὖν μετὰ πολλὰ ἔτη τῶν Κορινθίων [ἦν] γενόμενος, ὡς καὶ αὐτὸς ἐδήλωσεν εἰπών,

ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο,

αὕτη δὲ ἐστὶν ἡ Κόρινθος· ὥστε οὖν εἰ καὶ ἐχρήσατο ὁ ποιητὴς τῇ [a]τοιαύτῃ καταλήξει, τῷ τῶν Συρρακουσίων ἤτοι Δωριέων ἢ Κορινθίων ἰδιώματι ἐχρήσατο. Εἰ γὰρ καὶ πρὸ τῶν Συρρακουσίων ἦν ὁ ποιητὴς, ὡς εἴρηται, ἀλλὰ μετὰ τοὺς Κορινθίους ἦν, ἐξ ὧν τὴν ἀποικίαν ἔσχον οἱ Συρρακούσιοι,

[u] v. Strabo VI. p. 414=389.
[x] κατὰ δι καταδιώξιν Bar.
[y] ἐπ' ὀνόματι γύρας Bar. ἐπονομάσας Par.
[z] ἀναλύοντες Bar.
[a] αὐτῇ λέξει τῶν Bar.

καὶ τὴν διάλεκτον ταύτην καὶ ουτοι. Ἔστι δὲ εἰπεῖν ὅτι τὰ εἰς ον *προστακτικὰ τοῦ α′ ἀορίστου καὶ μέλλοντος κοινῆς ἐστὶ διαλέκτου κατὰ μίμησιν γινόμενα τῶν Συρρακουσίων προστακτικῶν τοῦ β′ ἀορίστου. Οἱ γὰρ Συρρακούσιοι, ὡς εἴρηται, τὰ προστακτικὰ τοῦ β′ ἀορίστου εἰς* ον *μεταβάλλουσι, τὸ λάβε λάβον λέγοντες, καὶ τὸ ἄνελε ἄνελον, καὶ τὸ νύγε νύγον. Ἰστέον δὲ ὅτι οἱ Συρρακούσιοι μεταποιοῦντες εἰς* ον *τὰ προστακτικὰ τοῦ β′ ἀορίστου, τὸν τόνον φυλάττουσι τῶν κοινῶν προστακτικῶν, οἷον λάβε λάβον, νύγε νύγον, ἄνελε ἄνελον· ὅθεν δηλονότι τὸ εἶπον προστακτικὸν, ὡς παρὰ Μενάνδρῳ,*

εἶπον δὲ τί ποιεῖν μέλλετε,

ἀντὶ τοῦ εἶπε, ἀορίστου τοῦ εἶπα προστακτικόν ἐστιν, ὥσπερ ἔτυψα τύψον, ἔλουσα λοῦσον. Εἰ γὰρ ἦν β′ ἀορίστου Συρρακουσίων ἔθει, ὀξυτονεῖσθαι εἶχε ὁμοίως τῷ κοινῷ προστακτικῷ τῷ εἰπέ. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, εἰ ἄρα τὰ προστακτικὰ τοῦ α′ ἀορίστου καὶ μέλλοντος εἰς ον *εἰσὶν, οἷον τύψον γράψον ποίησον λάλησον, πῶς ὁ ποιητὴς εἰς* ε *εἶπε τὸ οἶσε προστακτικὸν καὶ οὐκ εἰς* ον, *οἷον* [Od. χ′. 481.]

οἶσε [b] *θέειον γρηῦ*

ἀντὶ τοῦ κόμισον θεῖον, ὅ ἐστι θεάφιον. Καὶ ἐπιλύεται ὁ γραμματικὸς Ἰωάννης ὁ Χάραξ λέγων, ὅτι ἐπειδὴ τούτου ὁ ἀόριστος ὁ ὁριστικὸς οὐχ εὕρηται ἐν χρήσει ἀλλὰ μόνος ὁ μέλλων, (οἴσω γὰρ φαμὲν ὡς ἀπὸ τοῦ οἴω ἐνεστῶτος, οὐ μὴν ὡς ἀπὸ τοῦ ὁριστικοῦ ἀορίστου,) τούτου χάριν τοῦ ὁριστικοῦ ἀορίστου μὴ εὑρισκομένου ἐν χρήσει ἐξ οὗ ὤφειλε κανονισθῆναι τὸ προστακτικὸν, ὡς ἔτυχε καὶ οὐ κατὰ ἀκολουθίαν ἐξηνέχθη. Ὁ δὲ Ἡρωδιανὸς οὐ δοξάζει τὸ " οἶσε θέειον γρηῦ" προστακτικὸν ἀορίστου καὶ μέλλοντος, ἀλλὰ προστακτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ, τοῦ μέλλοντος εἰς ἐνεστῶτα μετενεχθέντος. Λέγει γὰρ, ὅτι ὁ οἴσω μέλλων μετάγεται κατὰ ποιητικὴν ἐξουσίαν εἰς ἐνεστῶτα, καὶ κλίνεται λοιπὸν εἰς παρατατικὸν, οἷον οἶσον οἶσες οἶσε. Καὶ λοιπὸν

[b] *θέϊον*] *θεῖον θεῖον* Bar.

ἐκεῖθεν τὸ προστακτικὸν οἶσε σὺ, ὥσπερ ἔτυπτον ἔτυπτες καὶ τύπτε σὺ, ὅθεν καὶ τὸ πληθυντικὸν εἶπεν [Il. ο'. 718.]

οἴσετε πῦρ

309 a διὰ τοῦ ε, ὥσπερ τὸ τύπτετε.

"Τυψάτω." Ἐμάθομεν ὅτι ἀπὸ τοῦ τρίτου προσώπου τοῦ ὁριστικοῦ ἀορίστου ὤφειλε γενέσθαι τὸ προστακτικὸν κατὰ ἀποβολὴν τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, οἷον ἔτυψε τύψε, ἔγραψε γράψε, ὥσπερ [c]ἔτυπτε τύπτε, ἀλλ' ἐγένοντο εἰς ον, ὡς εἴρηται, Συρρακουσίων ἔθει, οἷον τύψον καὶ γράψον. Τὸ οὖν γ' πρόσωπον διὰ τοῦ ε ὤφειλεν εἶναι, οἷον τυψέτω καὶ γραψέτω, ὡς ἀπὸ τοῦ τύψε καὶ γράψε [d]προστακτικοῦ, ὥσπερ τύπτε τυπτέτω καὶ γράφε γραφέτω· ἀλλ' ἐγένετο διὰ τοῦ α τυψάτω καὶ γραψάτω, ἐπειδὴ, ὥς φησιν ὁ τεχνικὸς, πανταχοῦ ὁ α' ἀόριστος χαίρει τῷ α. Καὶ γὰρ ἐν τοῖς ὁριστικοῖς, οἷον ἔτυψα, καὶ ἐν ταῖς μετοχαῖς, οἷον τύψας, καὶ ἐν τοῖς ἀπαρεμφάτοις, οἷον τύψαι, καὶ ἐν τοῖς εὐκτικοῖς, οἷον τύψαιμι. Ἵνα οὖν καὶ ἐν τοῖς προστακτικοῖς εὑρεθῇ ἔχον τὸ α, τούτου χάριν τὸ γ' πρόσωπον τῶν προστακτικῶν τοῦ α' ἀορίστου καὶ μέλλοντος διὰ τοῦ α ἐγένετο, οἷον τυψάτω. Ἔστι δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι τὸ α τὸ κεχρεωστημένον τῷ γ' προσώπῳ τοῦ ἀορίστου τοῦ ὁριστικοῦ τὸ προστακτικὸν γ' πρόσωπον ἀνεδέξατο. Ἐκεῖ μὲν γὰρ, φημὶ δὲ ἐν τῷ ὁριστικῷ, διὰ τὴν συνέμπτωσιν τὴν πρὸς τὸ α' πρόσωπον τροπὴ παρηκολούθησε τοῦ α εἰς ε, ὡς ἐν τῷ προστακτικῷ [e]ἀποσταλείσης τῆς συμπτώσεως τὸ κεχρεωστημένον α προσῆλθε. Τούτων οὕτως ἐχόντων, δεῖ γινώσκειν ὅτι εὑρίσκονται παρὰ τῷ ποιητῇ τινες κινήσεις ὡς ἀπὸ τῆς διὰ τοῦ ετω κλίσεως· τὸ γὰρ

ἄξετε δὲ Πριάμοιο βίαν

καὶ

οἴσετε πῦρ,

ὡς ἀπὸ τοῦ ἀξέτω καὶ οἰσέτω ποιεῖ. Ἀπὸ γὰρ τοῦ [f]ἀξάτω, ἄξετε εἶχεν εἶναι, καὶ ἀπὸ τοῦ οἰσάτω οἴσατε. Ταῦτα ὁ

[c] ἔτυπε καὶ ἔγραφε] ἔτυπτε τύπτε ἀλλ' Bar. [d] πρόσκειται] προστακτικοῦ Bar. [e] ἀποστάσης Bar. [f] ἄξε] ἀξάτω Bar.

Ἡρωδιανὸς πάντα οὐ λέγει εἶναι προστακτικὰ α΄ ἀορίστου καὶ μέλλοντος, ἀλλ᾽ ἐνεστῶτος καὶ παρατατικοῦ, τοῦ μέλλοντος κατὰ ποιητικὴν [g] ἄδειαν μετενεχθέντος εἰς ἐνεστῶτα, καὶ λοιπὸν τοῦ ἐνεστῶτος κλιθέντος εἰς παρατατικὸν, καὶ ἀπὸ τοῦ παρατατικοῦ ἀκολούθως προσενεχθέντος τοῦ προστακτικοῦ.

"Δυϊκά. Τύψατον τυψάτων. Πληθυντικά. Τύψατε τυψάτωσαν. Ἀορίστου β΄ καὶ μέλλοντος. Τύπε."

Ἐνταῦθα περὶ τοῦ προστακτικοῦ τοῦ β΄ ἀορίστου καὶ τοῦ β΄ μέλλοντος διαλαμβάνει, καὶ κανονίζει αὐτὸν τοῦτον τὸν τρόπον· τὸ γ΄ πρόσωπον ἑνικὸν τὸ ὁριστικὸν τοῦ β΄ ἐνεργητικοῦ ἀορίστου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλὸν τὸ προστακτικὸν ποιεῖ τοῦ β΄ ἀορίστου καὶ τοῦ β΄ μέλλοντος τῆς βαρείας τάσεως φυλαττομένης, οἷον ἔτυπε τύπε, ἔλαβε λάβε, ἔνυγε νύγε, ἔφαγε φάγε, ἔδακε δάκε, ἔπιε πίε, ἔδραμε δράμε, ἔμαθε μάθε, ἔλαβε λάβε, ἔλαχε λάχε. Σεσημείωται τὸ εὑρὲ ἐλθὲ εἰπὲ ὀξυνόμενα· τὰ γὰρ ὁριστικὰ τούτων εἶπε καὶ ἦλθε καὶ εὗρε βαρύτονα εἰσίν. Καὶ ὤφελον καὶ τὰ προστακτικὰ αὐτῶν βαρύνεσθαι· πάντα γὰρ τὰ εἰς ε προστακτικὰ τοῦ β΄ ἀορίστου καὶ μέλλοντος βαρύνονται, ὡς ἐδήλωσε διὰ τῶν προλεχθέντων παραδειγμάτων· τὸ γὰρ ἰδὲ καὶ λαβὲ Ἀττικά εἰσι· τὰ γὰρ κοινὰ βαρύνονται, οἷον ἴδε καὶ λάβε· λέγουσι δέ τινες, ὅτι καὶ τὸ φάγε καὶ πίε οἱ Ἀττικοὶ φαγὲ καὶ πιὲ λέγουσιν ὀξυτόνως, ὅπερ οὐκ ἐπεκράτησεν. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι διατί τὸ ἐλθὲ καὶ εἰπὲ καὶ εὑρὲ
309 b ὀξύνονται. Ἰστέον ὅτι ἀπολογεῖται περὶ αὐτῶν ὁ Ἡρωδιανὸς κατὰ δύο τρόπους· φησὶ γὰρ, ὅτι τὰ ἀπαρέμφατα τοῦ β΄ ἀορίστου εἴωθεν ὁ ποιητὴς κατὰ διάλυσιν προφέρειν, οἷον φαγεῖν φαγέειν, ποιεῖν ποιέειν, ἰδεῖν ἰδέειν, ταῦτα δὲ οὐ προφέρεται κατὰ διάλυσιν· τὸ γὰρ ἐλθεῖν οὐκ εἶπεν ἐλθέειν, οὐδὲ τὸ εἰπεῖν εἰπέειν, οὐδὲ τὸ εὑρεῖν εὑρέειν. Ἐπειδὴ οὖν, φησὶ, ταῦτα ἡμαρτήθησαν κατὰ τοῦτο, φημὶ τὸ μὴ διαλύεσθαι, τούτου χάριν καὶ ἐν τοῖς προστακτικοῖς κατὰ τὸν

[g] ἐξουσίαν Bar.

τόνον ἡμαρτήθησαν καὶ ὠξυτονήθησαν· ἄλλως τε δέ, φησί, ὁ β' ἀόριστος οὐ θέλει μακρᾷ παραλήγεσθαι, ἀλλὰ βραχείᾳ, ὡς ἐν τῇ περὶ αὐτοῦ διδασκαλίᾳ μεμαθήκαμεν, οἷον ἔλαβον ἔφαγον ἔπιον ἔνυγον· ταῦτα δὲ μακρᾷ παραλήγεται, οἷον ἦλθον εἶπον εὗρον. Ἐπειδὴ οὖν διήλλαξε περὶ τὸν χρόνον τῆς παραληγούσης ἐν τοῖς ὁριστικοῖς, τούτου χάριν διήλλαξε καὶ περὶ τὸν τόνον ἐν τοῖς προστακτικοῖς, καὶ ὠξυτονήθησαν. Ταῦτα μὲν ἐν τούτοις.

Φησὶ δὲ ὁ γραμματικὸς Ἰωάννης ὁ Χάραξ, ὅτι τὸ παρὰ τῇ θείᾳ γραφῇ προστακτικὸν ὀξυτόνως λεγόμενον, οἷον εἰπόν, ἀντὶ τοῦ εἰπὲ β' ἀορίστου ἐστὶ κατὰ τὴν τῶν Συρρακουσίων γλῶσσαν γενόμενον. Καὶ γὰρ οἱ Συρρακούσιοι μεταποιοῦντες εἰς ΟΝ τὰ προστακτικὰ τοῦ β' ἀορίστου τὸν τόνον φυλάττουσι τῶν κοινῶν προστακτικῶν, οἷον νύγε νύγον, λάβε λάβον, ἄνελε ἄνελον. Εἰ γοῦν τὸ εἰπὲ ὀξυτόνως, δηλονότι καὶ εἰπὸν κατὰ Συρρακουσίους ὀξυτόνως· τὸ γὰρ παρ' ἡμῖν βαρυνόμενον ἐν τῷ Μενάνδρῳ, οἷον

εἶπον δὲ τί ποιεῖν μέλλετε,

ἀντὶ τοῦ εἰπὲ α' ἀορίστου, ἀπὸ τοῦ εἶπα προστακτικόν ἐστιν, ὥσπερ ἔτυψα τύψον, ἔγραψα γράψον, ἔλουσα λοῦσον.

"Τυπέτω. Δυϊκά. Τύπετον τυπέτων. Πληθυντικά· τύπετε τυπέτωσαν. Εἴρηται. Προστακτικὰ παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. Τύπτου."

Ἐνταῦθα περὶ τοῦ προστακτικοῦ παθητικοῦ ἐνεστῶτος καὶ παρατατικοῦ διαλαμβάνει, καὶ λέγει, ὅτι τὸ β' πρόσωπον τοῦ παθητικοῦ παρατατικοῦ, τῆς ὁριστικῆς ἐγκλίσεως δηλονότι, τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλὸν τὸ προστακτικὸν ποιεῖ τοῦ παθητικοῦ ἐνεστῶτος καὶ παρατατικοῦ, τοῦ αὐτοῦ τόνου φυλαττομένου, οἷον ἐτυπτόμην ἐτύπτου τύπτου, ἐλεγόμην ἐλέγου λέγου, ἐγραφόμην ἐγράφου γράφου, ἐποιούμην ἐποιοῦ ποιοῦ, ἐβοώμην ἐβοῶ βοῶ, ἐχρυσούμην ἐχρυσοῦ χρυσοῦ, ἐστεφανούμην ἐστεφανοῦ στεφανοῦ. Ἔστι δὲ καὶ καθολικὸν κανόνα εἰπεῖν τοιοῦτον· τὰ εἰς ΜΗΝ ἔχοντα τὸ Μ κλιτικόν, εἴτε παθητικὰ εἴτε μέσα, τοῦ ἰδίου β' προσ-

ώπου ἀποβάλλοντα τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκτασιν τὸ προστακτικὸν ποιοῦσιν, τοῦ αὐτοῦ δηλονότι τόνου φυλαττομένου, οἷον ἐτυπτόμην ἐτύπτου τύπτου, ἐγραφόμην ἐγράφου γράφου, ἐποιούμην ἐποιοῦ ποιοῦ, ἐβοώμην ἐβοῶ βοῶ, ἐχρυσούμην ἐχρυσοῦ χρυσοῦ, ἐτετύμμην ἐτέτυψο τέτυψο,
310 a *ἐπεποιήμην ἐπεποίησο πεποίησο, ἐτυπόμην ἐτύπου τύπου, ἐνυγόμην ἐνύγου νύγου, ἐπυθόμην ἐπύθου πύθου, ἐλαβόμην ἐλάβου λάβου.* Ταῦτα *δέ, φημὶ τὰ προστακτικὰ τοῦ β′ μέσου ἀορίστου, οἱ* Ἀθηναῖοι *περισπῶσιν, οἷον τυποῦ καὶ λαβοῦ καὶ νυγοῦ καὶ πυθοῦ.* Ὑπεξαιρείσθω *δὲ ὁ πρῶτος μέσος ἀόριστος.* Ἐκεῖνος *γὰρ εἰς* ΜΗΝ *λήγει καὶ ἔχει τὸ* Μ *κλιτικόν, καὶ ὅμως οὐκ ἀποβάλλει τοῦ ἰδίου β′ προσώπου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν καὶ ποιεῖ τὸ προστακτικόν, οἷον ἐτυψάμην ἐτύψω.* Οὐ *λέγομεν τὸ προστακτικὸν τύψω, ἀλλὰ τύψαι, [καὶ πάλιν ἐποιησάμην ἐποιήσω, οὐ λέγομεν τὸ προστακτικὸν ποιήσω ποίησαι, καὶ πάλιν ἐλουσάμην ἐλούσω, οὐ λέγομεν τὸ προστακτικὸν λούσω ἀλλὰ λοῦσαι,] περὶ οὗ ἐν τῷ ἰδίῳ αὐτοῦ τόπῳ, εἰ θεῷ φίλον, μαθησόμεθα.* Πρόσκειται *ἐν τῷ κανόνι "ἔχον τὸ* Μ *κλιτικόν," διὰ τὸ ἐδάμην.* Τοῦτο *γὰρ εἰς* ΜΗΝ *λήγει καὶ ὅμως εἰς* ΘΙ *ἔχει τὸ προστακτικόν, οἷον δάμηθι, καὶ οὐκ ἀπὸ τοῦ ἰδίου β′ προσώπου ποιεῖ αὐτὸ κατὰ ἀποβολὴν τῆς κατ' ἀρχὴν κλιτικῆς ἐκτάσεως· ἐδάμης γάρ ἐστι τὸ β′ πρόσωπον, καὶ οὐ γίνεται τὸ β′ πρόσωπον δάμης· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν τοῦτο, ἐπειδὴ οὐκ ἔχει τὸ* Μ *κλιτικόν, ἀλλὰ θεματικόν, ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό.* Δάμνω *γάρ ἐστιν ὁ ἐνεστώς, καὶ ἔχει τὸ* Μ.

" Τυπτέσθω." Ἰστέον *ὅτι τὰ εἰς* ΤΩ *προστακτικὰ ἐνεργητικὰ γ′ προσώπου τροπῇ τῆς* ΤΩ *εἰς* ΘΩ *παθητικὰ ἢ μέσα γίνεται μετὰ τῆς προσλήψεως τοῦ* Σ, *οἷον τυπτέτω τυπτέσθω, λεγέτω λεγέσθω, ποιείτω ποιείσθω, βοάτω βοάσθω, χρυσούτω χρυσούσθω, τυψάτω τυψάσθω, ποιησάτω ποιησασθω, τυπέτω τυπέσθω, λαβέτω λαβέσθω, νυγέτω νυγέσθω.* Ἐπὶ *μέντοι τοῦ παθητικοῦ παρακειμένου συγκοπὴ παρηκολούθησεν, οἷον τετυφέτω τετυφέσθω καὶ ἐν συγκοπῇ τετύφθω,*

πεποιηκέτω πεποιηκέσθω, καὶ ἐν συγκοπῇ πεποιήσθω. Δοκοῦσιν ἀντικεῖσθαι τὰ προστακτικὰ τοῦ παθητικοῦ α' ἀορίστου καὶ μέλλοντος, καὶ τοῦ παθητικοῦ β' ἀορίστου καὶ μέλλοντος· οὐδὲ γὰρ γίνεται ταῦτα ἐκ τῶν ἰδίων ἐνεργητικῶν τροπῇ τῆς ΤΩ εἰς ΘΩ. Τὰ γὰρ ἐνεργητικὰ τούτων τυψάτω καὶ [h] τυπέτω εἰσὶν, τὰ δὲ παθητικὰ τρίτα τούτων τυφθήτω καὶ τυπήτω εἰσι. Τὸ γὰρ τυψάσθω καὶ τυπέσθω τοῦ μέσου πρώτου ἀορίστου καὶ μέλλοντος, καὶ τοῦ μέσου β' ἀορίστου καὶ μέλλοντος εἰσίν. Ἔστιν οὖν εἰπεῖν, ὅτι τὰ γ' πρόσωπα τῶν προστακτικῶν τοῦ παθητικοῦ α' ἀορίστου καὶ μέλλοντος, ἢ μέσου παθητικοῦ β' ἀορίστου καὶ μέλλοντος, ἀπὸ τῶν ἰδίων β' προσώπων γίνεται τροπῇ τῆς ΘΙ εἰς ΤΩ, οἷον τύφθηθι, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων τύφθητι καὶ ἐκεῖθεν τυφθήτω, τύπηθι καὶ ἐκεῖθεν τυπήτω. Δυνατὸν δέ ἐστιν καὶ ἐκ τοῦ δευτέρου τῶν πληθυντικῶν προσώπου τοῦ ἰδίου ὁριστικοῦ κανονίσαι τὸ γ' πρόσωπον τὸ ἑνικὸν τῶν προστακτικῶν παθητικῶν τε καὶ μέσων τοῦτον τὸν τρόπον· πᾶν β' πρόσωπον πληθυντικὸν ὁριστικὸν, εἴτε παθητικὸν εἴτε μέσον, τροπῇ τοῦ Ε εἰς Ω προστακτικὸν
310 b γίνεται γ' ἑνικὸν παθητικὸν ἢ μέσον δηλονότι καὶ τῆς ἐν ἀρχαῖς κλιτικῆς ἐκτάσεως ἀποβαλλομένης, χωρὶς τοῦ παρακειμένου. (Οὗτος γὰρ, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται, οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν, οὔτε γὰρ ἐν μετοχαῖς ἀποβάλλει αὐτὴν, οὔτ' ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι.) Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· ἐτύπεσθε τυπέσθω, ἐποιεῖσθε ποιείσθω, ἐχρυσοῦσθε χρυσούσθω, τέτυφθε τετύφθω, πεποίησθε πεποιήσθω. [i] Δυνατὸν δὲ καὶ ἀπὸ τοῦ ἐτέτυφθε καὶ ἐπεποίησθε ὑπερσυντελικοῦ γενέσθαι τὸ τετύφθω καὶ πεποιήσθω, κατὰ ἀποβολὴν τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, ἐτύψασθε τυψάσθω καὶ λάβεσθε λαβέσθω· οὕτως γὰρ ἐὰν κανονίσωμεν οὐκ ἀναγκαζόμεθα ἐν τῷ παρακειμένῳ συγκοπὴν ποιήσασθαι· ἀλλ' [j] οὔτε διὰ (δὲ) τὰ προστακτικὰ γ' πρόσωπα τοῦ παθητικοῦ α' ἀορίστου καὶ

[h] τυπείτω] τυπέτω Bar. [i] δυνατὸν δὲ] σὺν αὐτοῖς δὲ Bar.
[j] ὥστε δὲ τὰ Bar. qui inserit οὐ mox ante ἀντίκειται.

μέλλοντος [καὶ τοῦ παθητικοῦ β' ἀορίστου καὶ μέλλοντος] ἀντίκεινται, ἐτύφθητε γὰρ τυφθήτω καὶ ἐτύπητε τυπήτω. Ἰδοὺ καὐτὰ ὁμοίως τοῖς ἄλλοις γίνεται ἀπὸ τῶν ἰδίων β' προσώπων πληθυντικῶν ὁριστικῶν, τροπῇ τοῦ ε εἰς ω καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως. Δυνατὸν δέ ἐστιν καθολικώτερον ποιήσασθαι τὸν προλεχθέντα κανόνα, καὶ προσθεῖναι εἴτε ἐνεργητικὸν, οἷον πᾶν β' πρόσωπον πληθυντικὸν ὁριστικὸν εἴτε ἐνεργητικὸν εἴτε παθητικὸν εἴτε μέσον τροπῇ τοῦ ε εἰς ω προστακτικὸν τρίτον ἑνικὸν γίνεται ἐνεργητικὸν ἢ παθητικὸν ἢ μέσον δηλονότι, καὶ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως ἀποβαλλομένης, χωρὶς τοῦ παρακειμένου· καὶ ἐπὶ τῶν ἐνεργητικῶν ἁρμόζει ὁ αὐτὸς λόγος, οἷον ἐτύπτετε τυπτέτω, ἐγράφετε γραφέτω, ἐποιεῖτε ποιείτω, ἐβοᾶτε βοάτω, ἐχρυσοῦτε ἐχρυσούτω, ἐτύψατε τυψάτω, ἐποιήσατε ἐποιησάτω, ἐλάβετε λαβέτω, ἐτύπετε τυπέτω, ἐνύγετε νυγέτω. Δεῖ προσθεῖναι, χωρὶς τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ τοῦ μέσου, τετύφατε γὰρ καὶ τετύπατε τὸ ὁριστικὸν διὰ τοῦ α, τὸ δὲ προστακτικὸν τετυφέτω καὶ τετυπέτω διὰ τοῦ ε· ἀπὸ γὰρ τοῦ τέτυφε σὺ καὶ τέτυπε σὺ γεγόνασι ταῦτα προσθέσει τῆς τω.

"Δυϊκὰ τύπτεσθων τυπτέσθων."

Τὸ μὲν α' πρόσωπον ἐπιλέλοιπεν, ἐπειδὴ ὡς ἐμάθομεν ἐν τοῖς προστακτικοῖς καθόλου ὅτι τὸ α' πρόσωπον ἐπὶ παντὸς ἀριθμοῦ ἐπιλέλοιπε, καθὸ οὐδεὶς ἑαυτῷ προστάσσει· τὸ δὲ β' τῶν δυϊκῶν ἀπὸ τοῦ β' τῶν πληθυντικῶν γέγονε τροπῇ τοῦ ε εἰς ον, οἷον τύπτεσθε τύπτεσθον· τὸ δὲ γ' τῶν δυϊκῶν ἀπὸ τοῦ ἰδίου β' γέγονε τροπῇ τοῦ ο εἰς ω, οἷον τύπτεσθον τυπτέσθων, ποιεῖτον ποιείτων, τέτυφθον τετύφθων.

"Πληθυντικὰ, τύπτεσθε τυπτέσθωσαν." Ἰστέον ὅτι καὶ τὸ β' τῶν πληθυντικῶν καὶ τὸ γ' τῶν πληθυντικῶν ἐκ τοῦ γ' τῶν ἑνικῶν γέγονε, τὸ μὲν β' τῶν πληθυντικῶν τροπῇ τοῦ ω εἰς ε, οἷον τυπτέσθω τύπτεσθε, τὸ δὲ γ' τῶν πληθυντικῶν προσθήκῃ τῆς σαν, οἷον τυπτέσθω τυπτέσθωσαν.

"Παρακειμένου καὶ ὑπερσυντελικοῦ τέτυψο."

Ἐνταῦθα περὶ τοῦ προστακτικοῦ τοῦ παθητικοῦ παρακει-

μένου καὶ ὑπερσυντελικοῦ διαλαμβάνει, καὶ λέγει, ὅτι τὸ β′ 311 a πρόσωπον τοῦ παθητικοῦ ὑπερσυντελικοῦ, τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλὸν, τὸ προστακτικὸν ποιεῖ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, οἷον ἐτετύμμην ἐτέτυψο τέτυψο, ἐπεποιήμην ἐπεποίησο ἐπεποίητο, ἐνενοήμην ἐνενόησο νενόησο, ἐπεφιλήμην ἐπεφίλησο πεφίλησο, ἐλελέγμην ἐλέλεξο λέλεξο, ἐδεδέγμην ἐδέδεξο δέδεξο· τὸ γὰρ "[k] οὐ δέδεξο ἄποινα" ἀφαίρεσιν ἔπαθε τοῦ πρώτου ΔΕ, καθάπερ καὶ τὸ δεδέχθαι ἀπαρέμφατον ἀφαίρεσιν πέπονθε τοῦ πρώτου ΔΕ, καὶ γέγονε δέχθαι·

καὶ ἀγλαὰ δέχθαι ἄποινα.

Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν ὅτι ἡνίκα μὲν ὁ ὑπερσυντελικὸς οὐ συνάρχεται τῷ παρακειμένῳ ἀλλὰ προσλαμβάνει τὸ Ε ἔξωθεν κατὰ τὴν ἄρχουσαν, ἀποβάλλει τὴν ἐν ἀρχῇ αὐτοῦ κλιτικὴν ἔκτασιν καὶ ποιεῖ τὸ προστακτικὸν, οἷον πεποίημαι ἐπεποιήμην ἐπεποίησο πεποίησο, τέτυμμαι ἐτετύμμην ἐτέτυψο τέτυψο, λέλεγμαι ἐλελέγμην ἐλέλεξο λέλεξο· ἐπὶ τούτων γὰρ ὁ ὑπερσυντελικὸς οὐ συνάρχεται τῷ παρακειμένῳ· [ἡνίκα δὲ ὁ ὑπερσυντελικὸς συνάρχεται τῷ παρακειμένῳ] οὐκ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν καὶ ποιεῖ τὸ προστακτικὸν, ἀλλὰ φυλάττει αὐτὴν καὶ ἐν τῷ προστακτικῷ, οἷον ἔφθαρμαι ἐφθάρμην ἔφθαρσο, καὶ ἔφθαρσο τὸ προστακτικὸν, ἔσταλμαι ἐστάλμην ἔσταλσο, καὶ ἔσταλσο τὸ προστακτικὸν, ἠλέημαι ἠλεήμην ἠλέησο, καὶ ἠλέησο τὸ προστακτικόν. Τοῦτο δὲ γίνεται καὶ ἐπειδὴ ὁ παρακείμενος τὴν ἐν ἀρχῇ αὐτοῦ κλιτικὴν ἔκτασιν οὐδαμοῦ ἀποβάλλει, οὔτε γὰρ ἐν ταῖς μετοχαῖς ἀποβάλλει αὐτὴν, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν, οἷον τέτυφα τετυφὼς τετυφέναι, τέτυφε σὺ, τετύφοιμι, ἐὰν τετύφω, ἔσταλμαι ἔσταλκα ἐσταλκὼς ἐσταλκέναι ἔσταλκε σὺ, ἐστάλκοιμι, ἐὰν ἐστάλκω. Ἐὰν οὖν ἀποβάλλῃ ὁ ὑπερσυντελικὸς τὴν ἐν ἀρχῇ αὐτοῦ κλιτικὴν ἔκτασιν ἐν τῷ προστακτικῷ, ἡνίκα συνάρχεται τῷ παρακειμένῳ εὑρίσκεται ἡ ἐν ἀρχῇ κλιτικὴ ἔκτασις τοῦ παρακειμένου ἀποβαλ-

[k] Il. ω′. 555. σὺ δὲ δέξαι ἄποινα.

λομένη, ὅπερ ἐστὶν ἀδύνατον. Τούτου χάριν ὅτε ὁ ὑπερσυντελικὸς συνάρχεται τῷ παρακειμένῳ οὐκ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν ἐν τῷ προστακτικῷ.

“Τετύφθω.” Δεῖ γινώσκειν ὅτι τοῦτο δύναται καὶ ἀπὸ τοῦ τετυφέτω γενέσθαι καὶ ἐν συγκοπῇ τετύφθω, ὥσπερ καὶ ἀπὸ τοῦ πεποίηκε πεποιηκέτω πεποιηκέσθω καὶ ἐν συγκοπῇ πεποιήσθω· δύναται καὶ ἀπὸ τοῦ δευτέρου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ γενέσθαι, τροπῇ τοῦ ε εἰς ω, οἷον τέτυφθε τετύφθω, ὥσπερ καὶ ἀπὸ τοῦ πεποίησθε πεποιήσθω, τῷ κανόνι τῷ προλεχθέντι.

“Δυϊκὰ τέτυφθον τετύφθων. Πληθυντικὰ τέτυφθε τετύφθωσαν. Ἀορίστου παθητικοῦ α′ καὶ μέλλοντος τύφθητι.”

Ἐνταῦθα περὶ τοῦ προστακτικοῦ τοῦ α′ ἀορίστου καὶ μέλλοντος διαλαμβάνει. Καὶ δεῖ γινώσκειν ὅτι κανονίζεται τὸ προστακτικὸν τοῦ παθητικοῦ α′ ἀορίστου καὶ μέλλοντος καὶ τὸ προστακτικὸν τοῦ β′ ἀορίστου καὶ μέλλοντος τοῦτον τὸν τρόπον· οἱ δύο ἀόριστοι οἱ παθητικοί, φημὶ δὲ ὁ α′ καὶ 311 b ὁ β′, κατὰ τὸ γ′ ἑαυτῶν πρόσωπον προσλαμβάνοντες τὴν θι συλλαβὴν, ἀλλὰ καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλοντες, τὸ προστακτικὸν ποιοῦσιν ἑαυτῶν τε καὶ τῶν μελλόντων· ὁ α′ ἀόριστος τοῦ α′ ἀορίστου καὶ μέλλοντος α′, καὶ ὁ β′ ἀόριστος τοῦ β′ ἀορίστου καὶ μέλλοντος, οἷον ἐτύφθη τύφθηθι, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων κατὰ μετάθεσιν τοῦ θ εἰς τ, τύφθητι, ἐλέχθη λέχθηθι, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων κατὰ μετάθεσιν τοῦ θ εἰς τ λέχθητι, ἐνύγη νύγηθι, ἐστάλθη στάλθητι, ἐδάρη δάρηθι· εἰς θι δὲ ταῦτα ἔχουσι τὸ προστακτικὸν, ἐπειδὴ εἰς ς μετ᾽ ὀξείας τάσεως ἔχουσι τὴν μετοχὴν διὰ τοῦ ντ κλινομένην, οἷον τυφθεὶς τυφθέντος, δαρεὶς δαρέντος· τὰ δὲ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ᾽ ὀξείας τάσεως διὰ τοῦ ντ κλινομένην, οἷον ἱστὰς ἱστάντος ἵσταθι, διδοὺς διδόντος δίδοθι, ζευγνὺς ζευγνύντος ζεύγνυθι, πηγνὺς πηγνύντος πήγνυθι, στὰς στάντος στῆθι, βὰς βάντος βῆθι, γνοὺς γνόντος γνῶθι, οὕτως οὖν καὶ τυπεὶς τυπέντος τύπηθι, τυφθεὶς τυφθέντος τύφθηθι, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων τύφθητι κατὰ μετάθεσιν τοῦ θ

εἰς τ. Δεῖ δὲ γινώσκειν, ὅτι τότε τρέπεται τὸ θ εἰς τ ἐν τοῖς θι προστακτικοῖς ἡνίκα προηγεῖται ἕτερον θ, [οἷον τύφθηθι τύφθητι, λέχθηθι λέχθητι, νύχθηθι νύχθητι, ἡνίκα δὲ μὴ προηγεῖται ἕτερον θ], οὐ τρέπεται τὸ θ εἰς τ, οἷον, φᾶθι ἀντὶ τοῦ εἰπὲ, ὡς παρ' Ἀριστοφάνει ἐν Ἱππεῦσι [23.]

αὐτὸ φᾶθι.

Σεσημείωται ἐν τῷ κανόνι τῷ λέγοντι, ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην εἰς θι ποιοῦσι τὸ προστακτικὸν, τὸ δὸς, θὲς, ἓς, σημαίνει δὲ τὸ πέμψον, ἐξ οὗ ἐν συνθέσει τὸ ἄφες καὶ πρόες καὶ πάρες καὶ μέθες· ταῦτα γὰρ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, οἷον δοὺς δόντος, θεὶς θέντος, εἷς ἕντος, ἐξ οὗ καὶ τὸ ἀφεὶς ἀφέντος, οὐκ ἐγένετο εἰς θι ἐν τοῖς προστακτικοῖς, δὸς γὰρ καὶ θὲς καὶ ἓς τὰ προστακτικὰ, περὶ τούτων δὲ ἐν τοῖς εἰς μι, εἰ θεῷ φίλον, διαληψόμεθα ἐν τῇ διδασκαλίᾳ τοῦ ἔθην δευτέρου ἀορίστου ὁριστικοῦ ἐνεργητικοῦ. Πρόσκειται ἐν τῷ κανόνι, "μετ' ὀξείας τάσεως, οἷον τὰ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως διὰ τοῦ ντ κλινομένην," διὰ τὸ τύψας τύψαντος· αὕτη γὰρ εἰς ς λήγει, καὶ διὰ τοῦ ντ κλίνεται· καὶ ἐπειδὴ οὐκ ἔστιν ὀξυνομένη, οὐ ποιεῖ τὸ προστακτικὸν εἰς θι, τύψον γὰρ τὸ προστακτικόν. Πρόσκειται "διὰ τοῦ ντ κλινομένην" διὰ τὸ τετυφὼς τετυφότος· αὕτη γὰρ εἰς ς λήγει καὶ ὀξύτονος ἐστί· καὶ ἐπειδὴ οὐ κλίνεται διὰ τοῦ ντ, ἀλλὰ διὰ καθαροῦ τοῦ τος, οὐ ποιεῖ τὸ προστακτικὸν εἰς θι, τὸ γὰρ προστακτικὸν αὐτῆς τέτυφε ἐστί. Πρόσκειται "εἰς ς," διὰ τὸ λαβὼν λαβόντος· αὐτὴ γὰρ ἡ μετοχὴ καὶ ὀξύνεται καὶ διὰ τοῦ ντ κλίνεται· καὶ ἐπειδὴ οὐ λήγει εἰς ς, οὐ ποιεῖ τὸ προστακτικὸν εἰς θι, λάβε γὰρ τὸ προστακτικόν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι καθόλου τὰ εἰς θι προστακτικὰ παραλήγουσαν ἔχουσι τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, οἷον ἐτύφθημεν τύ-
312 a φθηθι καὶ τύφθητι, ἐτύπημεν τύπηθι, ἐδάρημεν δάρηθι, ἐνύγημεν νύγηθι, ἐτίθεμεν τίθεθι καὶ τίθετι, ἵσταμεν ἵσταθι,

δίδομεν δίδοθι, ζεύγνυμεν ζεύγνυθι, ἕστημεν στῆθι, ἔβημεν βῆθι, ἔτλημεν τλῆθι, ἔγνωμεν γνῶθι. Τούτων οὕτως ἐχόντων, φασί τινες ὡς οὐκ ὤφειλε τραπῆναι τὸ θ εἰς τὸ τ ἐν τῷ τύφθητι· οὐ γὰρ πάντως τρέπεται ὅτε ἀλλεπαλληλία τῶν δασέων ἐστίν· ἰδοὺ γάρ ἐστιν [Od. ε΄. 110.]

ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,

καὶ ὅμως οὐκ ἐτράπη τὸ θ εἰς τ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων. Ἔστιν οὖν εἰπεῖν, ὅτι ὥσπερ κακόν ἐστιν ἡ κλοπὴ καὶ ὅμως οἱ μὲν φεύγουσιν αὐτὴν, οἱ δὲ οὔ, οὕτως κακόφωνον μὲν ποιεῖ τὴν λέξιν ἡ ἀλλεπαλληλία τῶν δασέων, καὶ ὅμως τινὰ μὲν φεύγοντα αὐτὴν τρέπουσι τὸ θ εἰς τὸ τ, τινὰ δὲ μὴ φεύγοντα αὐτὴν οὐ τρέπουσι τὸ θ εἰς τ, ὡς τὸ ἀπέφθιθον.

“ Τυφθήτω.” Ἰστέον ὅτι τὰ εἰς θι προστακτικὰ τροπῇ τοῦ θι εἰς τω τὸ γ΄ πρόσωπον ποιοῦσιν, οἷον τύπηθι τυπείτω, δάρηθι δαρείτω, νύγηθι νυγήτω, δίδοθι διδότω, ἵσταθι ἱστάτω, ζεύγνυθι ζευγνύτω, τύφθητι τυφθήτω· τὸ γὰρ τ ἐνταῦθα δυνάμει θῆτα ἐστίν. [Τύφθηθι γὰρ, ὡς εἴρηται, καὶ νύχθηθι καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων, ἤγουν τοῦ θ, ἐτράπη τὸ θ εἰς τ.] [k]Ἀδύνατον δὲ καὶ ἀπὸ τοῦ ἐτύφθητε β΄ ἀορίστου προσώπου πληθυντικοῦ ὁριστικοῦ γενέσθαι τὸ τυφθήτω τροπῇ τοῦ ε εἰς ω καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται.

“ Δυϊκὰ τύφθητον τύφθητον, πληθυντικὰ τύφθητε τυφθήτωσαν. Εἴρηται. Ἀορίστου δευτέρου καὶ μέσου, Τύπηθι.”

Ἐνταῦθα περὶ τοῦ προστακτικοῦ παθητικοῦ δευτέρου ἀορίστου καὶ μέσου διαλαμβάνει. Καὶ ἰστέον ὅτι εἴρηται ἡ περὶ τούτων διδασκαλία ἐν τῇ διδασκαλίᾳ τοῦ α΄ ἀορίστου καὶ μέλλοντος παθητικοῦ. Φησὶ δὲ ὁ τεχνικὸς, ὅτι ἐπειδὴ ἐνταῦθα οὐκ ἔστιν ἀλλεπαλληλία τῶν δασέων, τούτου χάριν οὐκ ἐτράπη τὸ θ εἰς τ.

“ Τυπήτω. Δυϊκὰ, Τύπητον τυπήτων. Πληθυντικὰ,

[k] δύναται Bar.

τύπητε τυπήτωσαν. Μέσου ἀορίστου πρώτου καὶ μέλλοντος, τύψαι."

Ἐνταῦθα περὶ τοῦ προστακτικοῦ διαλαμβάνει τοῦ μέσου ἀορίστου πρώτου καὶ τοῦ μέλλοντος, καὶ κανονίζει αὐτὸν τοῦτον τὸν τρόπον· Πρῶτος ἀόριστος ὁ ἐνεργητικὸς ὁ ὁριστικὸς κατὰ τὸ α′ πρόσωπον τῶν ἑνικῶν, προσλαμβάνων τὸ ι καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλών, τὸ προστακτικὸν ποιεῖ τοῦ μέσου ἀορίστου καὶ μέλλοντος, διὸ καὶ διὰ τῆς αι διφθόγγου γράφεται, οἷον ἔτυψα τύψαι, ἔλουσα λοῦσαι, ἐποίησα ποίησαι, ἔδεξα, ἐξ οὗ τὸ ἐδεξάμην καὶ τὸ ἀπεδεξάμην καὶ τὸ κατεδεξάμην, δέξαι, ἔκτησα, ἐξ οὗ τὸ ἐκτησάμην, κτῆσαι, [ἐλόγισα, ἐξ οὗ τὸ ἐλογισάμην, λόγισαι, ἐβίασα, ἐξ οὗ τὸ ἐβιασάμην, βίασαι, ἐμίλλησα, ἐξ οὗ τὸ ἐμιλλησάμην μίλλησαι,] ἐθέασα, ἐξ οὗ τὸ ἐθεασάμην, θέασαι, [ἐκόμισα, ἐξ οὗ τὸ ἐκομισάμην, κόμισαι, ἤλειψα, ἐξ οὗ τὸ ἀλειψάμην, ἄλειψαι]. Ταῦτα μὲν ἐν τούτοις.

312 b Ἰστέον δὲ ὅτι ἐὰν τὸ προστακτικὸν τοῦ α′ μέσου ἀορίστου καὶ μέλλοντος παρέλθῃ τὰς δύο συλλαβὰς προπαροξύνεται, οἷον ποίησαι, λόγισαι, [κατάδεξαι, ἄσπασαι, προσποίησαι, περιποίησαι, μίλλησαι, βίασαι, θέασαι, κόμισαι, ἄλειψαι.] Δισύλλαβον δὲ ὄν, εἰ μὲν φύσει μακρᾷ παραλήγεται, προπερισπᾶται, οἷον κτῆσαι, λοῦσαι· εἰ δὲ μὴ παραλήγεται φύσει μακρᾷ, παροξύνεται, οἷον δέξαι. Ἰστέον δὲ ὅτι ἐπὶ τῶν δισυλλάβων ὁμοφωνία παρακολουθεῖ τῶν δισυλλάβων πρὸς τὰ ἀπαρέμφατα. Τὸ γὰρ λοῦσαι καὶ προστακτικὸν δύναται εἶναι καὶ ἀπαρέμφατον, ἀλλὰ προστακτικὸν μέν, α′ μέσου ἀορίστου καὶ μέλλοντος, ἀπαρέμφατον δέ, α′ ἀορίστου ἐνεργητικοῦ. Ἐκ δὲ τῆς συντάξεως διακρίνονται· ἐὰν γὰρ εἴπω λοῦσαι θέλω, ἀπαρέμφατον· εἰ δὲ λοῦσαι σύ, προστακτικόν. Ἐπὶ δὲ τῶν ὑπὲρ δύο συλλαβὰς φωνῇ μόνῃ συμπίπτουσιν, οὐκέτι δὲ καὶ τόνῳ· τὸ μὲν γὰρ προστακτικὸν παροξύνεται, οἷον κόμισαι, ποίησαι, τὸ δὲ ἀπαρέμφατον πρὸ μιᾶς ἔχει τὸν τόνον, οἷον ποιῆσαι, κομίσαι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ καὶ τοῦτο ὅτι ἡ αι δίφθογγος ἐπὶ μὲν τοῖς

ὁριστικοῖς καὶ ἀπαρεμφάτοις καὶ προστακτικοῖς καὶ ὑποτακτικοῖς τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς συλλαβῆς παραλαμβάνονται, οἷον τύπτομαι, τύπτεσθαι, ποίησαι, ἐὰν τύψωμαι. Ἰδοὺ γὰρ ταῦτα προπαροξύνονται, τῆς αι *διφθόγγου ἐπὶ τέλους οὔσης· τοῦτο δὲ οὐ παρηκολούθει, εἰ μὴ ὅτι ἀντὶ κοινῆς παραλαμβάνεται ἡ* αι *δίφθογγος ἐπὶ αὐτῶν. Ἐν δὲ τοῖς εὐκτικοῖς ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται, ποιήσαιμι ποιήσαις ποιήσαι. Ἰδοὺ ἐνταῦθα ἐν τῷ ποιήσαι εὐκτικῷ οὐ τίθεται προπερισπωμένη. ἐπειδὴ ἡ* αι *δίφθογγος ἐνταῦθα ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται. Οὐδέποτε δὲ πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον κήπου ὁμήρου ἀνθρώπου. Ἐν δὲ τῷ ποιῆσαι ἀπαρεμφάτῳ, οἷον ποιῆσαι θέλω, περισπωμένη τίθεται, ἐπειδὴ ἡ* αι *δίφθογγος ἀντὶ κοινῆς παραλαμβάνεται ἐν τοῖς ἀπαρεμφάτοις. καὶ τούτου χάριν τίθεται προπερισπωμένη,* [1]*ὡς ἐν τῷ βῆναι, Ἀθῆναι. Ταῦτα μὲν ἐν τούτοις.*

Ἄξιον δέ ἐστι ζητῆσαι καὶ τοῦτο· τί δήποτε ἡ αι *δίφθογγος ἐν μὲν τοῖς ὁριστικοῖς καὶ ἀπαρεμφάτοις καὶ προστακτικοῖς καὶ ὑποτακτικοῖς τονικῷ παραγγέλματι, ὡς εἴρηται, ἀντὶ κοινῆς παραλαμβάνεται, ἐν δὲ τοῖς εὐκτικοῖς ἀντὶ φύσει μακρᾶς; Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· ἐν τοῖς ἀπαρεμφάτοις, διὰ τοῦτο ἀντὶ κοινῆς παραλαμβάνεται ἡ* αι *δίφθογγος, ἐπειδὴ τὰ ἀπαρέμφατα δυνάμει πτωτικά εἰσιν, οἷον τὸ περιπατεῖν ὠφέλιμόν ἐστι, τοῦ περιπατεῖν ὠφελίμου ὄντος, τῷ περιπατεῖν ὠφελίμῳ ὄντι· ὀνόματα γάρ εἰσι τῶν πραγμάτων, ἀντὶ γὰρ τοῦ εἰπεῖν ὁ περίπατος, λέγω τὸ περιπατεῖν, καὶ ἀντὶ τοῦ εἰπεῖν ἡ φιλοσοφία, λέγω τὸ φιλοσοφεῖν. Ἡ δὲ* αι *δίφθογγος ἐν τοῖς πτωτικοῖς ἀντὶ κοινῆς εἴωθε παραλαμβάνεσθαι τῷ τονικῷ παραγγέλματι, οἷον*
313 a *ἅμαξαι, ἄελλαι, τράπεζαι· εἰκότως οὖν καὶ ἐν τοῖς ἀπαρεμφάτοις ἀντὶ κοινῆς παραλαμβάνεται. Ἐπειδὴ δὲ ἀμφιβάλλεται εἴτε τὴν ὁριστικὴν δεῖ προτάξαι εἴτε τὴν ἀπαρέμφατον, παρεχώρησε δὲ ἡ ἀπαρέμφατος τῇ ὁριστικῇ κατὰ τὴν τάξιν, εἰκότως καὶ κατὰ τὸ ἰδίωμα παρεχώρησεν αὐτῇ,*

[1] *ὡς θῆβαι* Bar.

καὶ τούτου χάριν ἐν τοῖς ὁριστικοῖς ἡ ΑΙ δίφθογγος ἀντὶ κοινῆς παραλαμβάνεται τονικῷ παραγγέλματι ὁμοίως τοῖς ἀπαρεμφάτοις. Ἐπειδὴ δὲ τὰ προστακτικὰ καὶ ὑποτακτικὰ σχεδὸν φωνὰς ἔχουσιν ὁριστικάς, οἷον ἔτυπτε τύπτε, τύπτω ἐὰν τύπτω, ἐποίει ποίει, ἐβόα βόα, ποιῶ ἐὰν ποιῶ, εἰκότως καὶ τὰ ἰδιώματα τῶν ὁριστικῶν ἐφύλαξαν, καὶ τούτου χάριν καὶ αὐτὰ τὴν ΑΙ δίφθογγον ἔχει ἀντὶ κοινῆς παραλαμβανομένην τῷ τονικῷ παραγγέλματι, ὥσπερ τὰ ὁριστικά, τὰ δὲ εὐκτικά, ἐπειδὴ οὐ ἐφύλαξαν τὰς φωνὰς τῶν ὁριστικῶν, εἰκότως οὐδὲ τὰ ἰδιώματα αὐτῶν ἐφύλαξαν, καὶ τούτου χάριν οὐκ ἔχουσι τὴν ΑΙ δίφθογγον ἀντὶ κοινῆς παραλαμβανομένην τῷ τονικῷ παραγγέλματι.

Πάλιν ἄξιον ἐστὶ ζητῆσαι τοῦτο, εἰ ἄρα, ὡς ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν, τὰ εἰς ΜΗΝ ἔχοντα τὸ Μ κλιτικόν, εἴτε παθητικὰ εἴτε μέσα, τοῦ ἰδίου δευτέρου προσώπου ἀποβάλλοντα τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν τὸ προστακτικὸν ποιοῦσιν, οἷον ἐτυπτόμην ἐτύπτου τύπτου, καὶ ἐπὶ τοῖς ὁμοίοις, διατί ὁ α′ μέσος ἀόριστος εἰς ΜΗΝ λήγων καὶ ἔχων τὸ Μ κλιτικόν, οὐκ ἀποβάλλει τοῦ ἰδίου δευτέρου προσώπου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν καὶ ποιεῖ τὸ προστακτικόν, οἷον ἐτυψάμην ἐτύψω, καὶ οὐ λέγομεν τὸ προστακτικὸν τύψω ἀλλὰ τύψαι, καὶ πάλιν ἐποιησάμην ἐποιήσω, καὶ οὐ λέγομεν τὸ προστακτικὸν ποιήσω, ἀλλὰ ποίησαι; Ἐν ταυτῷ δὲ ζητοῦμεν καὶ διὰ ποίαν αἰτίαν εἰς τὴν ΑΙ δίφθογγον λήγει τὸ προστακτικὸν τοῦ α′ μέσου ἀορίστου καὶ μέλλοντος, οἷον ποίησαι, λοῦσαι, κτῆσαι, ἄσπασαι, κατάδεξαι, [μίλλησαι, λόγισαι.] Καὶ λέγει ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν· ὅτι διὰ τοῦτο β′ πρόσωπον τοῦ μέσου ἀορίστου πρώτου καὶ μέλλοντος, ἀποβάλλων τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν, οὐ ποιεῖ τὸ προστακτικόν, οἷον ἐτυψάμην ἐτύψω οὐ γίνεται τύψω, ἐπειδὴ τὰ εἰς ΜΗΝ, ἔχοντα τὸ Μ κλιτικόν, τότε ἔχουσι τὰ ἴδια προστακτικὰ ὁμοιοκατάληκτα τοῖς ἰδίοις δευτέροις προσώποις, ἡνίκα καὶ τὸ προστακτικὸν τὸ ἐνεργητικὸν ἢ ὁμοιοκαταληκτεῖ τῷ ἰδίῳ ὁριστικῷ ἢ εἰς ΘΙ λήγει, οἷον ἔτυπτον ἔτυπτες ἔτυπτε τύπτε ὁμοιοκαταλήκτως, ἀλλὰ καὶ

ἐτυπτόμην ἐτύπτου τύπτου ὁμοιοκαταλήκτως. Πάλιν ἔστιν ἔτυπον ἔτυπες τύπε ὁμοιοκαταλήκτως, καὶ ἐτυπόμην ἐτύπου τύπου καὶ τυποῦ ['Αττικῶς] ὁμοιοκαταλήκτως. Πάλιν ἔστιν τέτυφα τέτυφας τέτυφε, καὶ τέτυφε σὺ τὸ προστακτικὸν ὁμοιοκαταλήκτως, ἀλλὰ καὶ ἐτετύμμην ἐτέτυψο τέτυψο ὁμοιοκαταλήκτως. Καὶ πάλιν ἐδίδων ἐδίδως ἐδίδω, καὶ τὸ προστακτικὸν δίδοθι εἰς ΘΙ λήγει, ἀλλὰ καὶ ἐδιδόμην ἐδίδοσο ὁμοιοκαταλήκτως. Καὶ πάλιν ἵστην ἵστης ἵστη καὶ τὸ προστακτικὸν ἵσταθι εἰς ΘΙ λήγει, καὶ ἱστάμην ἵστασο τὸ προστακτικὸν ὁμοιοκαταλήκτως. Καὶ πάλιν ἐπήγνυν ἐπήγνυς ἐπήγνυ καὶ τὸ προστακτικὸν πήγνυθι εἰς ΘΙ λήγει, ἀλλὰ καὶ ἐπηγνύμην ἐπήγνυσο πήγνυσο ὁμοιοκαταλήκτως. Εἰ οὖν τὸ προστακτικὸν τοῦ α' ἀορίστου ἐνεργητικοῦ οὔτε ὁμοιοκαταληκτεῖ τῷ ἰδίῳ ὁριστικῷ, οὔτε εἰς ΘΙ λήγει, ἔτυψε γὰρ τὸ ὁριστικὸν καὶ τύψον τὸ προστακτικόν, δηλονότι εἰκότως οὐ δύναται [m] τὸ προστακτικὸν τοῦ α' μέσου ἀορίστου ὁμοιοκαταληκτεῖν τῷ β' προσώπῳ τοῦ μέσου α' ἀορίστου ὁριστικοῦ. Διατί δὲ εἰς τὴν ΑΙ δίφθογγον λήγει τὸ προστακτικὸν τοῦ α' μέσου ἀορίστου, λέγει ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν· ἡ ΑΙ δίφθογγος εὑρίσκεται ἐν πάσαις ταῖς λοιπαῖς ἐγκλίσεσι· καὶ γὰρ ἐν τοῖς ἀπαρεμφάτοις εὑρίσκεται, οἷον τύψαι ποιῆσαι, καὶ ἐν τοῖς εὐκτικοῖς, οἷον ποιήσαιμι ποιήσαις ποιήσαι, καὶ ἐν τοῖς ὑποτακτικοῖς, οἷον ἐὰν τύπτωμαι, καὶ ἐν τοῖς ὁριστικοῖς, οἷον τύπτομαι. Ἐπειδὴ οὖν ἐν πάσαις ταῖς ἐγκλίσεσιν εὑρίσκεται ἡ ΑΙ δίφθογγος, εἰκότως καὶ τὸ προστακτικὸν τοῦ α' μέσου ἀορίστου εἰς τὴν ΑΙ δίφθογγον λήγει, οἷον ποίησαι κατάδεξαι ἄσπασαι, ἵνα εὑρεθῇ καὶ ἐν τοῖς προστακτικοῖς ἡ ΑΙ δίφθογγος.

"Τυψάσθω. Δυϊκά, τύψασθον τυψάσθων. Πληθυντικά, τύψασθε τυψάσθωσαν. Εἴρηται. Μέσου ἀορίστου δευτέρου καὶ μέλλοντος, τυποῦ." Ἐνταῦθα περὶ τοῦ προστακτικοῦ διαλαμβάνει τοῦ β' ἀορίστου καὶ μέλλοντος, καὶ κανονίζει αὐτὸν τοῦτον τὸν τρόπον· ὁ μέσος β' ἀόριστος τοῦ β' προσώπου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλων,

[m] οὔτε τὸ Bar.

τὸ προστακτικὸν ποιεῖ τοῦ β′ μέσου ἀορίστου καὶ μέλλοντος, οἷον ἐτυπόμην ἐτύπου τύπου, ἐνυγόμην ἐνύγου νύγου, ἐπυθόμην ἐπύθου πύθου, ἐλαβόμην ἐλάβου λάβου, ἐγενόμην ἐγένου γένου. Ταῦτα δὲ, φημὶ τὰ προστακτικὰ τοῦ β′ μέσου ἀορίστου, ὡς φησὶν ὁ τεχνικὸς, παραλόγως οἱ Ἀττικοὶ περισπῶσιν, οἷον τυποῦ, γενοῦ, νυγοῦ, πυθοῦ, λαβοῦ. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ ζητῆσαι διατὶ ὁ μετ᾽ ὀλίγον μέλλων οὐκ ἔχει προστακτικόν; Καὶ ἔστιν εἰπεῖν, ὅτι, ὡς δέδεικται, οἱ ἀόριστοι καὶ οἱ μέλλοντες ἐν τοῖς προστακτικοῖς συνεζευγμένοι εἰσὶν, καὶ οὐκ ἐκ τῶν ἀορίστων γίνεται τὰ προστακτικὰ τοῦ ἀορίστου καὶ μέλλοντος. Ἐπειδὴ οὖν οὐχ ὑπελείφθη ἄλλος ἀόριστος ὁ ὀφείλων [n] παραληφθῆναι μετὰ τοῦ μετ᾽ ὀλίγον μέλλοντος καὶ ἀποτελέσαι τὸ προστακτικὸν αὐτοῦ, τούτου χάριν οὐκ ἔσχε προστακτικόν.

"Τυπέσθω. Δυϊκὰ τύπεσθον τυπέσθων. Πληθυντικὰ τύπεσθε τυπέσθωσαν. Εἴρηται."

Περὶ εὐκτικῶν.

Ἐνταῦθα περὶ τῶν εὐκτικῶν διαλαμβάνει, καὶ εἰκότως προτάττονται τῶν ὑποτακτικῶν, εἴγε τὰ μὲν εὐκτικὰ τέλειον λόγον ἀποτελοῦσιν, τὰ δὲ ὑποτακτικὰ οὐ ποιοῦσι τέλειον
314 a λόγον. Ἐμάθομεν γὰρ ὅτι οὐδέποτε τέλειος λόγος γίνεται χωρὶς ἑνὸς τῶν τριῶν [o] τούτων, ὁριστικῶν φημὶ καὶ προστακτικῶν καὶ εὐκτικῶν, ἢ λεγομένου ἢ νοουμένου. Καὶ λεγομένου μὲν ὁριστικοῦ, οἷον

τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

λεγομένου δὲ προστακτικοῦ, οἷον

μῆνιν ἄειδε θεά·

καὶ

ἄνδρα μοι ἔννεπε μοῦσα·

λεγομένου δὲ εὐκτικοῦ, ὡς ἐπὶ τοῦ

τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσι·

[n] παραλειφθῆναι Par. περιλειφθῆναι Bar. [o] τούτων ῥημάτων, ὁριστικοῦ φ. προστακτικοῦ καὶ εὐκτικοῦ Bar.

καὶ πάλιν [Il. γ'. 407.]

μηδέ τι σοῖσι πόδεσσιν ὑποστρέψειας,

νοουμένου δὲ, ὡς ἐπὶ τοῦ

εἶς οἰωνὸς ἄριστος,

νοεῖται γὰρ τὸ ἐστί. Καὶ πάλιν

οὐκ ἀγαθὸν πολυκοιρανίη,

νοεῖται γὰρ τὸ ἐστί. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν, ὅτι φασί τινες ὡς οὐκ ὤφειλον τὰ εὐκτικὰ ἔχειν παρῳχημένους, οὐδεὶς γὰρ περὶ τῶν παρελθόντων εὔχεται, ἀλλ' ἢ περὶ τῶν ὄντων, ἵνα μένωσιν, ἢ περὶ τῶν μελλόντων, ἵνα γένωνται. Περὶ δὲ τῶν ἅπαξ παρελθόντων πῶς εὔχεταί τις, καὶ λέγει ὁ Ἀπολλώνιος πιθανῶς ἐπιχειρῶν, ὅτι ἔστι καὶ περὶ παρελθόντων εὐχὴ, [p] κατασκευάζων οὕτως· θῶμεν τινὰ εἶναι ἐν Ἀθήναις ἔχοντα υἱὸν ὅστις τῶν Ὀλυμπίων τελουμένων ἔπεμψε τὸν ἴδιον υἱὸν ἐν Ἤλιδι ὀφείλοντα ἀγωνίσασθαι· ὁ δὲ ἀπελθὼν καὶ ἀγωνισάμενος [q] νενίκηκεν, καὶ μετὰ τὸ αὐτὸν ἀγωνίσασθαι καὶ νικῆσαι ἀγνοῶν ὁ πατὴρ ὅτι ἐνίκησεν εὔχεται, λέγων, [r] νενικήκοι ὁ ἐμὸς παῖς, ἀντὶ τοῦ εἴθε ἀκούσαιμι ὅτι ὑπάρχει νενικηκὼς ὁ παῖς μου. Καὶ ἰδοὺ, φησὶν, ἤδη παρελθούσης τῆς πράξεως, ἤγουν τῆς νίκης, εὔχεται, λέγων [s] νενικήκοι παρακειμένου καὶ ὑπερσυντελικοῦ, ὅπερ ἤδη ἐπράχθη. Τοῦτο δὲ πιθανόν ἐστιν, ἀλλ' οὐ καταναγκαστικόν. Ἔστιν εἰπεῖν, ὅτι εἰ καὶ ἡ νίκη παρῆλθεν, ἀλλ' οὖν ὡς περὶ μέλλοντος ποιεῖται τὴν εὐχὴν, ἠγνόει γὰρ ὅτι ἦν νικήσας ὁ υἱὸς αὐτοῦ. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν, ὅτι μόνη ἡ ὁριστικὴ ἔγκλισις ἔχει τὴν σημασίαν τῶν χρόνων, ἐνεστῶτος φημὶ καὶ παρατατικοῦ καὶ παρακειμένου καὶ ὑπερσυντελικοῦ καὶ ἀορίστου καὶ μέλλοντος. [Ἐνεστῶτος μὲν, οἷον τύπτω, παρατατικοῦ δὲ, οἷον ἔτυπτον, παρακειμένου δὲ, οἷον τέτυφα, ὑπερσυντελικοῦ δὲ, οἷον ἐτετύφειν, ἀορίστου δὲ, οἷον ἔτυψα, μέλλοντος δὲ, οἷον τύψω.] Αἱ δὲ λοιπαὶ ἐγκλίσεις, λέγω δὲ ἡ ἀπαρέμφατος

[p] παρασκευάζων Bar. [q] ἐνίκησεν Bar. [r] ἐνίκοι Bar. νενικηκὼς Par.
[s] νενίκοι Bar.

καὶ ἡ προστακτικὴ καὶ ἡ εὐκτικὴ καὶ ἡ ὑποτακτικὴ, μέλλοντος καὶ μόνου ἔχουσι τὴν σημασίαν, καὶ οὔτε ἐνεστῶτος οὔτε παρῳχημένου. Ἐν γὰρ τῷ λέγειν θέλω τύπτειν, βούλομαι τετυφέναι, τὸ μήπω τέως γενόμενον εὔχομαι γενέσθαι· ὁμοίως τύπτοιμι εὐκτικοῦ μέλλοντος ἔχει σημασίαν, τὸ γὰρ μήπω γενόμενον εὔχομαι γίνεσθαι· ὡσαύτως τὸ τύπτε προστακτικὸν μέλλοντος ἔχει σημασίαν, τὸ γὰρ μήπω γενόμενον προστάσσομεν γενέσθαι. Τὸν αὐτὸν τρόπον καὶ τὸ ἐὰν τύπτω ὑποτακτικὸν μέλλοντος ἔχει σημασίαν· διστάζομεν γὰρ, εἰ δεῖ ποιῆσαι τὸ πρᾶγμα, ἢ [t] μὴ δεῖ. Δεῖ προσθεῖναι, χωρὶς εἰ μὴ ὑποτακτικὴ ἔγκλισις αἰτιολογίαν σημαίνει, ἐὰν γὰρ ὑποτακτικὴ ἔγκλισις αἰτιολογίαν σημαίνῃ, παρῳχημένου ἔχει τὴν σημασίαν, οἷον ἵνα πράξω ἐφθόνησας, καὶ πάλιν, ἵνα ἀναγνῶ ὠφελήθην, ἀντὶ τοῦ διατί ἀνέγνων ὠφελήθην, καὶ ὅτι ἔπραξα ἐφθόνησάς μοι. Καὶ ἀποροῦσι
314 b τινὲς, λέγοντες, εἰ ἄρα αἱ λοιπαὶ ἐγκλίσεις αἱ παρὰ τὴν ὁριστικὴν ὡς δέδεικται μέλλοντος καὶ μόνου ἔχουσι τὴν σημασίαν, καὶ οὔτε ἐνεστῶτος, οὔτε παρῳχημένου, πῶς εὑρίσκομεν ἐν αὐταῖς ἐνεστῶτα καὶ παρατατικὸν καὶ παρακείμενον καὶ ὑπερσυντελικὸν, οἷον τύπτειν τετυφέναι, τύπτοιμι τετύφοιμι, τύπτε τέτυφε σὺ, ἐὰν τύπτω ἐὰν τετύφω; Καὶ ἔστιν εἰπεῖν, ὅτι ἐν [u] ταύταις ταῖς ἐγκλίσεσι, λέγω δὴ τῇ ἀπαρεμφάτῳ, τῇ εὐκτικῇ, καὶ τῇ προστακτικῇ, καὶ τῇ ὑποτακτικῇ, οὐχ ὡς ἐχούσαις τὸ σημαινόμενον ἐνεστῶτος ἢ παρῳχημένου, ἤγουν ὡς ἐνισταμένης ἐν αὐταῖς ἢ παρῳχημένης τῆς πράξεως, οἱονεὶ παρελθούσης ἤδη τῆς πράξεως, λαμβάνεται δὲ ὁ ἐνεστὼς καὶ ὁ παρατατικὸς καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς, ὡς γὰρ εἴρηται, ὅτι μέλλοντος καὶ μόνου ἔχουσιν αὗται αἱ ἐγκλίσεις τὴν σημασίαν, ἀλλ' ἢ πρὸς παράτασιν ἢ πρὸς συμπλήρωσιν λαμβάνονται οὗτοι οἱ χρόνοι ἐν ταύταις ταῖς ἐγκλίσεσιν· οἷον ἐπὶ μὲν τῆς εὐκτικῆς ἐγκλίσεως, ἡνίκα εὐχόμεθα τὸ μέλλον γενέσθαι πρᾶγμα ἔχειν παράτασιν καὶ μὴ [x] πλήρωσιν, λέγομεν τύπτοιμι ἐνεστῶτος

[t] οὐ Bar. [u] πάσαις Par. αὐταῖς Bar. [x] πληρωθῆναι Bar. sed post corr.

καὶ παρατατικοῦ, οἱονεὶ μὴ πληρώσω τύπτων, ἀλλ' ἐχέτω τὸ πρᾶγμα παράτασιν, [τουτέστι μένοιμι τύπτων·] ἡνίκα δὲ θέλομεν καὶ εὐχόμεθα τὸ μέλλον γενέσθαι πρᾶγμα [y] συμπληρωθῆναι καὶ μὴ ἐπιμεῖναι παρατεινόμενον, λέγομεν τετύφοιμι παρακειμένου καὶ ὑπερσυντελικοῦ, οἱονεὶ μὴ ἐπιμένοιμι τύπτειν, ἀλλ' ἔχει τὸ πρᾶγμα συμπλήρωσιν. Ὁμοίως ἐπὶ τῆς προστακτικῆς ἐγκλίσεως, ἡνίκα θέλομεν τὸ μέλλον γενέσθαι πρᾶγμα ἔχειν παράτασιν καὶ μὴ πληρωθῆναι, λέγομεν καὶ προστάσσομεν τύπτε ἐνεστῶτος καὶ παρατατικοῦ, οἱονεὶ μὴ πληρώσῃς τύπτων, ἀλλ' ἐπίμεινον· ἡνίκα δὲ θέλομεν τὸ μέλλον γενέσθαι πρᾶγμα ἔχειν συμπλήρωσιν καὶ τελείωσιν, καὶ μὴ ἐπιμεῖναι παρατεινόμενον, λέγομεν καὶ προστάσσομεν τέτυφε σὺ παρακειμένου καὶ ὑπερσυντελικοῦ, οἱονεὶ μὴ ἐπιμείνῃς τύπτων, ἀλλ' ἐχέτω τὸ πρᾶγμα συμπλήρωσιν. Ὡσαύτως καὶ ἐπὶ τῆς ὑποτακτικῆς ἐγκλίσεως, ὅτε θέλομεν τὸ μέλλον γενέσθαι πρᾶγμα ἔχειν παράτασιν, λέγομεν ἐὰν τύπτω ἐνεστῶτος καὶ παρατατικοῦ, οἷον ἐὰν μὴ πληρώσω τύπτων, ἀλλ' ἐπιμείνω, καὶ ἔχει τὸ πρᾶγμα παράτασιν· ἡνίκα δὲ θέλομεν τὸ μέλλον γενέσθαι πρᾶγμα ἔχειν συμπλήρωσιν καὶ μὴ παρατείνεσθαι, λέγομεν ἐὰν τετύφω παρακειμένου καὶ ὑπερσυντελικοῦ, οἷον ἐὰν πληρώσω τύπτων καὶ μὴ [z] ἐπιμείνῃ τὸ πρᾶγμα παρατεινόμενον, ἀλλ' [a] ἔχει πλήρωσιν. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς ἀπαρεμφάτου ἐγκλίσεως, ὅτε θέλομεν τὸ μέλλον γενέσθαι πρᾶγμα ἔχειν παράτασιν, λαμβάνομεν προαιρετικὸν ῥῆμα τὸ ὁριστικὸν, λέγω δὴ τὸ θέλω ἢ τὸ βούλομαι ἤ τι τοιοῦτον, ἀναπληροῦν τὴν βούλησιν τῆς ψυχῆς· ἐπειδὴ τὰ ἀπαρέμφατα, ὡς ἔγνωμεν, οὐκ ἔχουσι βούλημα ψυχῆς, καὶ λέγομεν θέλω τύπτειν
315 a ἐνεστῶτος καὶ παρατατικοῦ, οἷον θέλω ἐπιμεῖναι τύπτων καὶ μὴ πληρῶσαι, ἀλλ' ἔχει τὸ πρᾶγμα παράτασιν· ἡνίκα δὲ θέλομεν τὸ πρᾶγμα τὸ μέλλον γενέσθαι ἔχειν συμπλήρωσιν, πάλιν λαμβάνομεν προαιρετικὸν ῥῆμα, καὶ λέγομεν θέλω τετυφέναι παρακειμένου καὶ ὑπερσυντελικοῦ, οἱονεὶ

[y] ἔχειν συμπλήρωσιν Bar. [z] ἐπιτείνῃ Bar. [a] ἔχειν συμπλήρωσιν Bar.

θέλω μὴ ἐπιμεῖναι τύπτων, ἀλλ' εἰς πέρας ἐλθεῖν τὸ πρᾶγμα καὶ πληρωθῆναι. Διὰ τοῦτο γὰρ οὐ δεῖ λέγειν ζήσειας· τοῦτο γὰρ ἀορίστου χρόνου ἐστὶν εὐκτικόν· ἔγνωμεν δὲ ὅτι καὶ ὁ ἀόριστος πεπληρωμένην καὶ παρῳχημένην ἔχει τὴν σημασίαν. Ἐὰν οὖν εἴπωμεν ζήσειας, δηλοῦμεν ὅτι μὴ ἐπιμείνῃς ζῶν, μηδὲ ἔχει τὸ πρᾶγμα παράτασιν, ἀλλ' εἰς πέρας καὶ συμπλήρωσιν τοῦ ζῆν ἔλθοις, ὅπερ ἐστὶν [b] ἀποθάνοις, ὥσπερ καὶ τὸ τύψειας δηλοῖ τὸ εἰς πέρας τοῦ τύψαι [c] ἔλθοις. Χρὴ δὲ λέγειν ζώοις, τοῦτο γὰρ ἐνεστῶτός ἐστι καὶ παρατατικοῦ, καὶ δηλοῦμεν δι' αὐτὸ τὸ ἐπιμείνῃς ζῶν, καὶ ἔχει τὸ πρᾶγμα παράτασιν. Δέδεικται οὖν ἡμῖν ὅτι ἐν ταῖς ἐγκλίσεσι [d] ταύταις μέλλοντος μόνου [e] ἔχοντος σημασίαν ἔστιν εὑρεῖν, λέγω δὲ ἐν τῇ ἀπαρεμφάτῳ καὶ προστακτικῇ καὶ εὐκτικῇ καὶ ὑποτακτικῇ, ἐν αἷς ὁ ἐνεστὼς καὶ ὁ παρατατικὸς καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς καὶ ὁ ἀόριστος δηλονότι, οὐχ ὡς παρελθούσης ἐν αὐταῖς τῆς πράξεως, ἢ ἐνισταμένης λαμβάνονται, ἀλλὰ πρὸς παράτασιν ἢ πρὸς συμπλήρωσιν.

"Ἐνεστὼς καὶ παρατατικὸς τύπτοιμι."

Ἰστέον ὅτι ὥσπερ ἐν τοῖς ἀπαρεμφάτοις, οὕτως καὶ ἐν τοῖς εὐκτικοῖς πῇ μὲν συνεζευγμένοι εἰσὶν οἱ χρόνοι, πῇ δὲ διακεχωρισμένοι. Ὁ μὲν γὰρ ἐνεστὼς καὶ ὁ παρατατικὸς ὁμοῦ εἰσι, καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς ὁμοίως ὁμοῦ, ὁ δὲ ἀόριστος καὶ ὁ μέλλων ἰδίᾳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι πολλὴν ὁμοιότητα ἔχουσι τὰ εὐκτικὰ πρὸς τὴν δοτικήν· ὥσπερ γὰρ τὸ ι χαρακτηριστικόν ἐστι τῆς δοτικῆς, οἷον τῷ καλῷ, τῷ Αἴαντι, τὸν αὐτὸν τρόπον τὸ ι χαρακτηριστικὸν ἐστὶ τῶν εὐκτικῶν, οἷον τύπτοιμι, τυπτοίμην, τυφθείην. Ἀλλ' ἐν μὲν τῇ δοτικῇ κατὰ τὸ τέλος εὑρίσκεται τὸ ι, οἷον τῷ σοφῷ· ἐν δὲ τοῖς εὐκτικοῖς κατὰ τὴν παραλήγουσαν, οἷον τύπτοιμι, τυπτοίμην, τυφθείην. Ἄλλως τε δὲ ἐν μὲν τῇ δοτικῇ οὐ πάντως εὑρίσκεται τὸ ι [ἐν διφθόγγῳ, οἷον Αἴαντι, βότρυϊ, ἐν δὲ τοῖς εὐκτικοῖς

[b] ἀποθανὼν Bar. [c] ἐλθεῖν Bar. [d] ταύταις Bar. ταῦτα Par.
[e] ἔχουσι Par. ἔχοντος Bar.

πάντως ἐν διφθόγγῳ εὑρίσκεται τὸ ι, οἷον τύπτοιμι, τυφθείη.] Πλησιάζουσι δὲ καὶ κατ' ἄλλο τὰ εὐκτικὰ τῇ δοτικῇ· ὥσπερ γὰρ ἐν ταῖς εἰς ω ληγούσαις δοτικαῖς οὐ προσγράφουσιν οἱ Αἰολεῖς τὸ ι, οἷον Ὁμήρῳ, ἀνθρώπῳ, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν εὐκτικῶν πολλάκις ἀποβάλλουσι τὸ ι. Ἔστι γὰρ λάχοιμι, λάχοις, λάχοι· τοῦτο γίνεται Ἀττικῶς λαχοίη, κατὰ πλεονασμὸν τοῦ η, καὶ προσθήκῃ τοῦ σ τὸ β' λαχοίης, καὶ τροπῇ τοῦ σ εἰς τὸ ν λαχοίην, ὥσπερ ἐτύφθη ἐτύφθης ἐτύφθην, καὶ ἀποβάλλουσιν οἱ Αἰολεῖς τὸ ι καὶ λέγουσι λαχόης. Δεῖ δὲ γινώσκειν ὅτι τὰ εὐκτικὰ ἢ εἰς μι λήγουσιν, ἢ εἰς μην, ἢ εἰς ην καθαρὸν, οἷον τύπτοιμι, τυπτοίμην, τυφθείην. Καὶ τὰ μὲν εἰς μι ἐνεργητικά εἰσιν ἢ μέσα, οὐδέποτε δὲ παθητικά· ἐνεργητικὰ μὲν, οἷον τύπτοιμι, βοῷμι,
315 b χρυσοῖμι, τετύφοιμι, μέσα δὲ, οἷον τετύποιμι, δεδούποιμι, πεποίθοιμι· τὰ δὲ εἰς μην παθητικά εἰσιν ἢ [[f] μέσα, οὐδέποτε δὲ ἐνεργητικὰ, παθητικὰ μὲν οἷον τυπτοίμην, λεγοίμην, χρυσοίμην, μέσα δὲ οἷον τυψαίμην λαβοίμην. Τὰ δὲ εἰς ην καθαρὰ ἢ παθητικά εἰσιν ἢ] ἐνεργητικὰ, οὐδέποτε δὲ μέσα· ἐνεργητικὰ μὲν, οἷον τιθείην, ἱσταίην, γνοίην, δοίην· παθητικὰ δὲ οἷον τυφθείην, δαρείην, νυγείην. Καὶ ἰστέον ὅτι ὅσα μὲν ἔχουσιν εἰς μενος τὴν μετοχὴν, εἰς μην ἔχουσι τὸ εὐκτικὸν, οἷον τυπτόμενος τυπτοίμην, τυφθησόμενος τυφθησοίμην, τυψάμενος τυψαίμην· ὅσα δὲ ἔχουσι τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, εἰς ην καθαρὸν ἔχουσι τὸ εὐκτικὸν, οἷον τυφθεὶς τυφθέντος τυφθείην, δαρεὶς δαρέντος δαρείην, ἱστὰς ἱστάντος ἱσταίην, δοὺς δόντος δοίην, γνοὺς γνόντος γνοίην. Τὰ δὲ μηδὲν τούτων ἔχοντα, [τουτέστι μήτε εἰς μενος ἔχοντα τὴν μετοχὴν, μήτε εἰς σ μετ' ὀξείας τάσεως, καὶ διὰ τοῦ ντ κλινομένην,] εἰς μι ἔχουσι τὸ εὐκτικὸν, οἷον τύπτων τύπτοντος τύπτοιμι, βοῶν βοῶντος βοῷμι, τετυφὼς τετυφότος, τετύφοιμι. [Τοῦτο γὰρ ἔχει τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως, ἀλλ' οὐκ ἔχει αὐτὴν διὰ τοῦ ντ κλινομένην, ἵνα ποιήσωμεν εἰς ην τὸ εὐκτικόν.] Δεῖ δὲ γινώσκειν ὅτι πολλάκις εὑρίσκομεν εἰς ην καθαρὸν

[f] [ ] om. Bar.

εὐκτικὰ, μὴ οὔσης τῆς μετοχῆς εἰς Σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένης, περιπατοίην, περιπατῶν γὰρ περιπατοῦντος ἐστὶν ἡ μετοχὴ, [διὰ τοῦ ΝΤ κλινομένη, μὴ οὔσης τῆς μετοχῆς, ἤγουν τῆς εὐθείας, εἰς Σ μετ' ὀξείας τάσεως.] Τοῦτο δὲ ὁ μὲν Ἀπολλώνιος σχηματίζει οὕτως, λέγων, ὅτι ἐστὶ περιπατοῖμι περιπατοῖς περιπατοῖ, καὶ Ἀττικῶς γίνεται περιπατοίη κατὰ πλεονασμὸν τοῦ Η· καὶ ἐπειδὴ πᾶν τρίτον πρόσωπον εἰς Η καταλῆγον προσθέσει τοῦ Σ ποιεῖ τὸ β' πρόσωπον, καὶ τροπῇ τοῦ Σ εἰς Ν ποιεῖ τὸ α', οἷον ἐτύφθη ἐτύφθης ἐτύφθην, ἐδάρη ἐδάρης ἐδάρην, ἐνύγη ἐνύγης ἐνύγην, τούτου χάριν ἐγένετο τὸ β' πρόσωπον προσθέσει τοῦ Σ περιπατοίης, καὶ τροπῇ τοῦ Σ εἰς τὸ Ν περιπατοίην τὸ πρῶτον· ὁ δὲ Ἡρωδιανὸς [g] ἀλλοίως σχηματίζει αὐτὸ, λέγων, ὅτι ἀπὸ τοῦ περιπατοῖμι τροπῇ τῆς ΜΙ εἰς ΗΝ, καὶ ἐκ τούτου τὸ β' πρόσωπον περιπατοίης τροπῇ τοῦ Ν εἰς Σ, καὶ τὸ γ' περιπατοίη ἀποβολῇ τοῦ Σ, ὥσπερ ἐτύφθην ἐτύφθης ἐτύφθη, ἐδάρην ἐδάρης ἐδάρη. Τούτων οὕτως ἐχόντων, δεῖ γινώσκειν ὅτι τὸ τρέφοιν, ὡς παρ' Εὐριπίδῃ [Fr. 152. Dind.]

ἄφρων ἂν εἴην εἰ τρέφοιν τὰ τῶν πέλας,

[h] γέγονε τοῦτον τὸν τρόπον· ἔστι τρέφοιμι τρέφοις τρέφοι, καὶ κατὰ πλεονασμὸν τοῦ Η γέγονε τρεφοίη Ἀττικῶς, ὡς περιπατοίη, καὶ προσθέσει τοῦ Σ τὸ β' τρεφοίης, καὶ τροπῇ τοῦ Σ εἰς τὸ Ν τὸ α' τρεφοίην, ὡς περιπατοίην, καὶ
16 a λοιπὸν ἀπὸ τοῦ τρεφοίην κατὰ συγκοπὴν τοῦ Η γέγονε τρέφοιν. Οὐδὲ γὰρ δύναται τὸ τρέφοιν ἀπὸ τοῦ τρέφοιμι λέγειν κατὰ ἀποκοπὴν τοῦ Ι καὶ τροπῇ τοῦ Μ εἰς τὸ Ν· ὡς γὰρ φησὶν ὁ Ἀπολλώνιος ἐν τῷ Περὶ προθέσεων, οὐδέποτε ἀποκοπὴ εἰς ἀνεκφώνητον τέλος γίνεται, ἤγουν εἰς ὃ οὐ δύναται καταλήγειν ἡ λέξις. Τὸ γὰρ Μ οὐκ ἔστι τελικὸν λέξεως, τὸ γὰρ Ἀδὰμ βάρβαρόν ἐστι, καὶ τὸ Ἀβραὰμ, καὶ δῆλον ὅτι οὐ δύναται γενέσθαι ἀποκοπή. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν ὅτι πάντα τὰ εὐκτικὰ, εἴτε εἰς ΜΙ λήγουσιν εἴτε εἰς ΜΗΝ εἴτε εἰς ΗΝ καθαρὸν, διφθόγγῳ θέλουσι

[g] ἄλλως Bar. [h] γέγονε δὲ Bar.

παραλήγεσθαι τῇ μετὰ τοῦ ι· *οἷον* [[i] *τύπτοιμι πεποιήμην, τυπτοίμην, τυψαίμην, τυφθησοίμην, τυφθείης, νυγοίην, γνοίην, δοίην.*] Καὶ *φυλάττουσι τὴν δίφθογγον καὶ ἐν τοῖς ἑνικοῖς καὶ ἐν τοῖς δυϊκοῖς καὶ ἐν τοῖς πληθυντικοῖς, οἷον τύπτοιμι, τύπτοις, τύπτοι.* Δ*υϊκά, τύπτοιτον, τυπτοίτην.* Π*ληθυντικά, τύπτοιμεν, τύπτοιτε, τύπτοιεν.* Τ*υπτοίμην, τύπτοιο, τύπτοιτο.* Δ*υϊκά, τυπτοίμεθον, τύπτοισθον, τυπτοίσθην.* Π*ληθυντικά, τυπτοίμεθα, τύπτοισθε, τύπτοιντο.* Τ*υφθείην, τυφθείης, τυφθείη.* Δ*υϊκά, τυφθείητον τυφθειήτην.* Π*ληθυντικά, τυφθείημεν, τυφθείητε, τυφθείησαν.* Δ*εῖ δὲ προσθεῖναι, χωρὶς τῆς δ′ συζυγίας τῶν εἰς* μι· *ταῦτα γὰρ οὐ παραλήγονται τῇ διφθόγγῳ· ζευγνύην γὰρ καὶ ὀμνύην χωρὶς τοῦ* ι. Καὶ *λέγει ὁ* Ἀ*πολλώνιος ταύτην τὴν ἀπολογίαν, ὅτι τὸ ζευγνύην, καὶ τὸ πηγνύην, καὶ τὸ ὀμνύην, προσθέσει τοῦ* μ [k] *παθητικὰ γίνεται, οἷον ζευγνύμην, πηγνύμην, ὀμνύμην.* Εἰ *εἶχον οὖν τὸ* ι *κατὰ τὴν παραλήγουσαν, ἤμελλον ἀποβάλλειν αὐτὸ ἐν τοῖς παθητικοῖς, ἐπειδὴ μετὰ τὴν* τι *δίφθογγον σύμφωνον οὐχ εὑρίσκεται ἐπιφερόμενον, οἷον ἅρπυια, μυῖα, υἱός· ὃ οὖν εἶχον ἀποβάλλειν ἐν τοῖς παθητικοῖς, προαπέβαλον ἐν τοῖς ἐνεργητικοῖς.* Τ*ούτου οὖν χάριν τὰ εὐκτικὰ ἐπὶ τῆς δ′ συζυγίας τῶν εἰς* μι *οὐ παραλήγεται διφθόγγῳ.* Τ*αῦτα μὲν ἐν τούτοις.*

Ἰ*στέον δὲ ὅτι κανονίζεται τὸ* [l] *α′ πρόσωπον τοῦ ἐνεστῶτος καὶ* [m] *παρακειμένου τοῦτον τὸν τρόπον· πᾶσα γενικὴ μετοχῆς διὰ τοῦ* τος *ἐκφερομένη εἴτε ἐνεργητικὴ εἴτε μέση τρέπουσα τὴν τελευταίαν συλλαβὴν εἰς* μι, *καὶ προσλαμβάνουσα κατὰ τὴν παραλήγουσαν τὸ* ι, *ἤγουν πρὸ τοῦ* ν *δεχομένη* [n] *τὸ* ι, *καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα συνεκφωνηθῆναι στοιχεῖα, τὸ εὐκτικὸν ποιεῖ, οἷον τύπτοντος, τύπτοιμι,* [*λέγοντος λέγοιμι, γράφοντος γράφοιμι, βοῶντος βοῷμι, τύψοντος τύψοιμι, τύψαντος τύψαιμι, γράψαντος γράψαιμι, λέξαντος λέξαιμι, λέξοντος λέξοιμι, γράψαντος γράψαιμι,*] *τυπόντος τυποῖμι,* [*λαβόντος λαβοῖμι.*] Ἰ*δοὺ*

[i] [ ] *βοῶμι χρυσῶμι δαρείην δοίην* Bar. nec plura. [k] *παθητικὰ* Bar. *παρατατικὸς* Par. [l] *εὐκτικὸν τὸ ἐνεργητικὸν τοῦ* Bar. [m] *παρατατικοῦ* Bar. [n] *τὸ* T Bar.

ἐπὶ τούτων ἐτράπη ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τῆς μετοχῆς εἰς ΜΙ, καὶ πρὸ τοῦ Μ προσῆλθε τὸ Ι, καὶ [o] ἐξεβλήθη
316 b τὸ Ν, καὶ ἐγένετο τὰ εὐκτικά. Τὸ δὲ Ν ἀπεβλήθη, ἐπειδὴ οὐδέποτε τὸ Ν εὑρίσκεται πρὸ τοῦ Μ. [Πάλιν ἐστὶ τετυφὼς τετυφότος τετύφοιμι, πεποιηκὼς πεποιηκότος πεποιήκοιμι, τετυπὼς τετυπότος τετύποιμι, δεδουπὼς δεδουπότος δεδούποιμι, πεποιθὼς πεποιθότος πεποίθοιμι. Ἰδοὺ καὶ ἐπὶ τούτων ἐτράπη ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τῆς μετοχῆς εἰς ΜΙ, καὶ πρὸ τοῦ ΜΙ προσῆλθε τὸ Ι, καὶ ἐγένοντο τὰ εὐκτικά. Ἐνταῦθα δὲ οὐκ ἀπεβλήθη σύμφωνον, ἐπειδὴ καθαριεύει ἡ γενικὴ τῆς μετοχῆς· οὐδὲ γὰρ ἔχει πρὸ τοῦ Τ σύμφωνον.] Δεῖ δὲ προσθεῖναι τῷ κανόνι, χωρὶς εἰ μὴ εἰς Σ ὀξύτονος ἡ μετοχὴ καὶ διὰ τοῦ ΝΤ κλινομένη· τότε γὰρ οὐ γίνεται εἰς ΜΙ τὸ εὐκτικὸν, ἀλλ' εἰς ΗΝ καθαρὸν, οἷον τιθεὶς τιθέντος τιθείην, [ἱστὰς ἱστάντος, ἱσταίην, γνοὺς γνόντος γνοίην.] Πρόσκειται "διὰ τοῦ ΝΤ κλινομένη," διὰ τὸ τετυφὼς τετυφότος· τοῦτο γὰρ καὶ εἰς Σ ὀξύτονον ἔχει τὴν μετοχήν· ἀλλ' οὖν ἐπειδὴ οὐ κλίνεται διὰ τοῦ ΝΤ, οὐ ποιεῖ εἰς ΗΝ καθαρὸν τὸ εὐκτικὸν ἀλλ' εἰς ΜΙ, οἷον τετύφοιμι. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, εἰ ἄρα ἐν τοῖς εὐκτικοῖς τὸ ἀποβαλλόμενον σύμφωνόν ἐστιν, οἷον τύπτοντος τύπτοιμι, λέγοντος λέγοιμι, τύψαντος τύψαιμι, τὸ γὰρ Ν ἀπεβλήθη ὅπερ σύμφωνόν ἐστι, διατί εἴρηται ἀπροσδιορίστως "καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα συνεκφωνηθῆναι στοιχεῖα," καὶ μὴ μᾶλλον ἐρρέθη τὰ μὴ δυνάμενα συνεκφωνηθῆναι σύμφωνα. Ἔστιν οὖν εἰπεῖν, ὅτι καλῶς εἴρηται ἀπροσδιορίστως στοιχεῖα καὶ οὐ σύμφωνα, ἐπειδὴ οὐ μόνον σύμφωνα ἀποβάλλονται ἐν τοῖς εὐκτικοῖς, ἀλλ' ἔστιν ὅτε καὶ φωνήεντα· καὶ δῆλον ἐντεῦθεν· ἔστιν ποιοῦντος καὶ χρυσοῦντος, καὶ τρέπεται ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τῆς μετοχῆς εἰς ΜΙ, καὶ ἀποβάλλεται τὸ [p] Ν, καὶ προσέρχεται κατὰ τὴν παραλήγουσαν τὸ Ι καὶ γίνεται τὸ εὐκτικὸν ποιούοιμι καὶ χρυσούοιμι, διὰ τοῦ Ο καὶ Τ καὶ Ι. Καὶ ἐπειδὴ τρία φωνήεντα οὐ

[o] ἀπεβλήθη Bar. [p] ΜΙ Bar.

δύνανται ἐν μιᾷ συλλαβῇ παραλαμβάνεσθαι, ἀνάγκη ἐξ αὐτῶν ἀποβληθῆναι ἕν· καὶ τὸ μὲν ο ἀποβληθῆναι οὐ δύναται, ἐπειδὴ οὐδέποτε μετὰ τὴν τι δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, ὡς προείρηται· ἐὰν οὖν ἀποβληθῇ τὸ ο, μέλλει εἶναι ἡ τι δίφθογγος συμφώνου ἐπιφερομένου τοῦ μ, ὅπερ ἐστὶν ἀδύνατον· τὸ δὲ ι ἀποβληθῆναι οὐ δύναται, ἐπειδὴ τὰ εἰς μι εὐκτικὰ καὶ τὰ εἰς μην καὶ τὰ εἰς ην καθαρὸν διφθόγγῳ θέλουσι παραλήγεσθαι τῇ μετὰ τοῦ ι, οἷον [λέγοιμι,] βοῷμι, [τυποίμην, λεγοίμην,] τυφθείην, [δαρείην,] παρὰ (περὶ) γὰρ τῶν εὐκτικῶν τῆς δ' συζυγίας τῶν εἰς μι εἰρήκαμεν. Ἐξ ἀνάγκης οὖν ἀποβάλλεται τὸ τ καὶ γίνεται
317 a ποιοῖμι διὰ τῆς οι διφθόγγου. Δέδεικται οὖν ὅτι καὶ φωνήεντα πολλάκις ἀποβάλλονται ἐν τοῖς εὐκτικοῖς.

"Τύπτοις." Ἰστέον ὅτι τὰ εἰς μι λήγοντα ῥήματα, εἴτε ὁριστικὰ εἴτε εὐκτικά, τροπῇ τῆς μι εἰς σ τὸ δεύτερον ποιεῖ πρόσωπον, οἷον τίθημι τίθης, [ἵστημι ἵστης, δίδωμι δίδως, ζεύγνυμι ζεύγνυς, τύπτοιμι τύπτοις, τετύφοιμι τετύφοις, τύψαιμι τύψαις, λέξαιμι λέξαις, τύψοιμι τύψοις, ποιοῖμι ποιοῖς, βοῷμι βοῷς,] χρυσοῖμι χρυσοῖς.

"Τύπτοι." Εἴρηται ὅτι πᾶν β' πρόσωπον εἰς σ λῆγον, ἀποβολῇ τοῦ σ τὸ γ' ποιεῖ, [οἷον τύπτοις τύπτοι, λέγοις λέγοι·] χωρὶς τοῦ παρακειμένου καὶ τοῦ α' ἀορίστου καὶ τοῦ ἐνεστῶτος τοῦ ἀπὸ τῶν εἰς μι.

"Δυϊκά, τύπτοιτον τυπτοίτην." Ἰστέον ὅτι τὸ μὲν α' πρόσωπον τῶν δυϊκῶν ἐπιλιμπάνει ἐνταῦθα, ἐπειδὴ τὸ α' τῶν πληθυντικῶν ἔχει τὸ μ ἐπὶ τῆς τελευταίας συλλαβῆς· τύπτοιμεν γάρ ἐστι τὸ πρῶτον τῶν πληθυντικῶν πρόσωπον· τὸ δὲ β' τῶν δυϊκῶν ἀπὸ τοῦ β' γέγονε τῶν πληθυντικῶν τροπῇ τοῦ ε εἰς ο, τὸ δὲ γ' τῶν δυϊκῶν ἀπὸ τοῦ ἰδίου δευτέρου γέγονεν τροπῇ τοῦ ο εἰς η, οἷον τύπτοιτον τυπτοίτην· καθόλου γὰρ ἐν τοῖς εὐκτικοῖς τὰ γ' τῶν δυϊκῶν εἰς ην λήγουσιν, οἷον τυπτοίτην, τυψοίτην, τυψοίσθην, τυψαίσθην· οὐχ ὁμοφωνοῦσι γὰρ τοῖς ἰδίοις δευτέροις, ἐπειδὴ [τὸ γ' τῶν πληθυντικῶν,] οὔτε εἰς σι λήγουσιν οὔτε εἰς ται τῶν πληθυντικῶν τὰ γ.

"Πληθυντικά. Τύπτοιμεν." Ἰστέον ὅτι τὰ εἰς μι εὐκτικὰ τροπῇ τῆς μι εἰς μεν τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιοῦσιν, οἷον τύπτοιμι τύπτοιμεν, τετύφοιμι τετύφοιμεν, τύψαιμι τύψαιμεν, τύψοιμι τύψοιμεν.

"Τύπτοιτε." Ἰστέον ὅτι τὰ εἰς μεν εὐκτικὰ τροπῇ τοῦ μεν εἰς τε τὸ β′ τῶν πληθυντικῶν ποιοῦσι μετὰ τοῦ φυλάττειν τὴν παραλήγουσαν. Τὰ γὰρ εὐκτικὰ οὐδέποτε τρέπουσιν τὴν παραλήγουσαν [οἷον τύπτοιμεν τύπτοιτε, λέγοιμεν λέγοιτε, βοῷμεν βοῷτε, τετύφοιμεν τετύφοιτε, τύψαιμεν τύψαιτε, τυφθείημεν τυφθείητε, δαρείημεν δαρείητε, νυγείημεν νυγείητε.]

"Τύπτοιεν." Ἰστέον ὅτι τὰ εἰς μεν εὐκτικά, εἰ μὲν διφθόγγῳ παραλήγεται, ἀποβολῇ τοῦ μ τὸ γ′ πρόσωπον τῶν πληθυντικῶν ποιοῦσιν, οἷον τύπτοιμεν τύπτοιεν, λέγοιμεν λέγοιεν, τύψαιμεν τύψαιεν, τύψοιμεν τύψοιεν, τετύφοιμεν τετύφοιεν, ποιοῖμεν ποιοῖεν, βοῷμεν βοῷεν, γελῷμεν γελῷεν, τρυγῷμεν τρυγῷεν, χρυσοῖμεν χρυσοῖεν. Εἰ δὲ ἐνὶ φωνήεντι παραλήγεται, τροπῇ τῆς μεν εἰς σαν τὸ γ′ πρόσωπον τῶν πληθυντικῶν ποιοῦσιν, οἷον τυφθείημεν τυφθείησαν, δαρείημεν δαρείησαν, νυγείημεν νυγείησαν. Ἀμέλει ἀπὸ τοῦ δοίημεν καὶ τὸ γ′ πρόσωπον τῶν πληθυντικῶν δοίησαν γίνεται, ἐπειδὴ ἐνὶ φωνήεντι παραλήγεται· ἡνίκα δὲ γένηται κατὰ συγκοπὴν τοῦ η [Il. ν′. 378.]

δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην,

τότε τὸ γ′ τῶν πληθυντικῶν δοῖεν γίνεται κατὰ ἀποβολὴν τοῦ μ, ἐπειδὴ διφθόγγῳ παραλήγεται, οἷον,

ὑμῖν μὲν θεοὶ δοῖεν.

"Περὶ παρακειμένου καὶ ὑπερσυντελικοῦ. Τετύφοιμι."

Ἰστέον ὅτι κανονίζεται τὸ εὐκτικὸν τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, καὶ τοῦ μέσου παρακει-
17 b μένου καὶ ὑπερσυντελικοῦ, τοῦτον τὸν τρόπον· ἡ γενικὴ τῆς μετοχῆς τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, καὶ ἡ γενικὴ τῆς μετοχῆς τοῦ μέσου παρακειμένου καὶ ὑπερσυντελικοῦ, τρέπουσαι τὴν τελευταίαν συλλαβὴν εἰς μι, καὶ

πρὸ τοῦ μι δεχομένη τὸ ι, τὸ εὐκτικὸν ποιοῦσιν, ἡ ἐνεργητικὴ τὸ ἐνεργητικὸν, καὶ ἡ μέση τὸ μέσον· οἷον τετυφότος τετύφοιμι, πεποιηκότος πεποιήκοιμι, τετυπότος τετύποιμι, δεδουπότος δεδούποιμι, πεποιθότος πεποίθοιμι. Ἰστέον δὲ ὅτι ταῦτα, εἰ καὶ ἔχουσι τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως, ἀλλ' οὖν οὐκ ἔχουσιν αὐτὴν διὰ τοῦ ντ κλινομένην, οἷον τετυφὼς τετυφότος, πεποιθὼς πεποιθότος, καὶ τούτου χάριν οὐκ ἔχουσιν εἰς ην καθαρὸν τὸ εὐκτικόν· ἐκεῖνα γὰρ εἰς ην καθαρὸν ἔχουσι τὸ εὐκτικὸν, ὅσα ἔχουσι μετ' ὀξείας τάσεως τὴν μετοχὴν εἰς ς καὶ διὰ τοῦ ντ κλινομένην, οἷον τυφθεὶς τυφθέντος τυφθείην, δαρεὶς δαρέντος δαρείην, νυγεὶς νυγέντος νυγείην, γνοὺς γνόντος γνοίην. Σεσημείωται τὸ εἰδείην, τοῦτο γὰρ εἰ καὶ ἔχει τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως, οἷον εἰδὼς εἰδότος, ἀλλ' οὐκ ἔχει αὐτὴν διὰ τοῦ ντ κλινομένην, καὶ [οὐκ] ὤφειλεν εἰς ην καθαρὸν ἔχειν τὸ εὐκτικόν. Ἀλλ' ἔστιν εἰπεῖν ὅτι ὥσπερ ἀπὸ τοῦ περιπατοῖμι γέγονε περιπατοίην Ἀττικῶς κατὰ τροπὴν τῆς μι εἰς ην, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ εἰδὼς εἰδότος γέγονεν εἴδοιμι, ὥσπερ τετυφὼς τετυφότος τετύφοιμι, καὶ ἀπὸ τοῦ εἴδοιμι γέγονεν εἰδοίην, καὶ κατὰ τροπὴν Ἀττικὴν τῆς μι εἰς ην, καὶ κατὰ τροπὴν τοῦ ο εἰς τὸ ε, εἰδείην.

" Τετύφοις τετύφοι. Δυϊκὰ, τετύφοιτον, τετυφοίτην. Πληθυντικὰ, τετύφοιμεν, τετύφοιτε, τετύφοιεν. Εἴρηται. Μέσου παρακειμένου καὶ ὑπερσυντελικοῦ. Τετύποιμι, τετύποις, τετύποι. Δυϊκὰ, τετύποιτον, τετυποίτην. Πληθυντικὰ, τετύποιμεν, τετύποιτε, τετύποιεν." Εἴρηται καὶ ἡ περὶ τούτων διδασκαλία.

" Ἀορίστου πρώτου. Τύψαιμι." Ἰστέον ὅτι τύψαντος ἐστὶν ἡ γενικὴ τῆς μετοχῆς, καὶ λοιπὸν τρέπουσα τὴν τελευταίαν συλλαβὴν εἰς μι, καὶ πρὸ τοῦ μ δεχομένη τὸ ι, καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα συνεκφωνηθῆναι στοιχεῖα, φημὶ δὲ τὸ ν, τὸ εὐκτικὸν ποιεῖ, οἷον τύψαιμι· εἰ γὰρ καὶ εἶχε τὴν μετοχὴν τούτου εἰς ς, καὶ διὰ τοῦ ντ κλινομένην, ἀλλ' οὐκ ἔχει αὐτὴν ὀξύτονον, καὶ τούτου χάριν οὐκ ἔχει εἰς ην καθαρὸν τὸ εὐκτικόν. Δεῖ δὲ γινώσκειν ὅτι τὰ εὐκτικὰ

τοῦ α′ ἀορίστου ἐνεργητικοῦ οἱ Αἰολεῖς διὰ τοῦ ΕΙΑ προφέρονται, οἷον τύψαιμι τύψεια, ὑποστρέψαιμι ὑποστρέψεια. Καὶ τῷ μὲν α′ προσώπῳ οἱ Αἰολεῖς μόνοι κέχρηνται, τῷ δὲ δευτέρῳ καὶ τρίτῳ καὶ οἱ Ἀθηναῖοι, οἷον τύψειας τύψειε, καὶ τύψειαν τὸ γ′ τῶν πληθυντικῶν. [Τίσειας τίσειε,] καὶ τίσειαν [τὸ γ′ τῶν πληθυντικῶν, ὡς παρὰ τῷ ποιητῇ,

τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσι.]

καὶ πάλιν ὑποστρέψειας

318 a [μηδέτι σοῖσι πόδεσσι ὑποστρέψειας]

καὶ ὑποστρέψειαν τὸ πληθυντικόν. Ἰστέον δὲ ὅτι τὰ τοιαῦτα εὐκτικὰ εὐχὴν δηλοῦσι πράγματος ὀφείλοντος πληρωθῆναι· ὁ γὰρ λέγων γράψειας εὔχεται ἵνα εἰς πέρας ἔλθῃ τοῦ γράψαι, [καὶ ὁ λέγων ποιήσειας εὔχεται ἵνα εἰς πέρας ἔλθῃ τῷ ποιῆσαι.] Ὅθεν οὐ δεῖ λέγειν τινὶ ζήσειας, ἐπειδὴ εὑρίσκῃ εὐχόμενος ἵνα εἰς τὸ πέρας ἔλθῃ τῆς ζωῆς, ἤγουν ἵνα ἀποθάνῃ, καὶ λοιπὸν εὑρίσκεται καταρώμενος αὐτῷ.

“ Τύψαις, τύψαι. Δυϊκὰ, τύψαιτον, τυψαίτην. Πληθυντικὰ, τύψαιμεν, τύψαιτε, τύψαιεν. Εἴρηται. Ἀορίστου δευτέρου, τύποιμι.”

Ἰστέον ὅτι ἐστὶ τυπὼν τυπόντος ἡ γενικὴ τῆς μετοχῆς, καὶ λοιπὸν τρέπουσα τὴν τελευταίαν συλλαβὴν εἰς ΜΙ, καὶ πρὸ τοῦ ΜΙ δεχομένη τὸ Ι, καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα συνεκφωνηθῆναι στοιχεῖα, φημὶ δὲ τὸ Ν, ποιεῖ τὸ εὐκτικὸν, οἷον τύποιμι· εἰ γὰρ καὶ ἔχει τοῦτο τὴν μετοχὴν ὀξύτονον καὶ διὰ τοῦ ΝΤ κλινομένην, ἀλλ᾽ οὖν οὐκ ἔχει αὐτὴν εἰς Σ, καὶ τούτου χάριν οὐκ ἔχει εἰς ΗΝ καθαρὸν τὸ εὐκτικόν.

“ Τύποις, τύποι. Δυϊκὰ, τύποιτον, τύποιτην. Πληθυντικὰ, τύποιμεν, τύποιτε, τύποιεν. Εἴρηται. Ὁ μέλλων α′, τύψοιμι.”

Ἰστέον ὅτι ἐστὶ τύψων τύψοντος ἡ γενικὴ τῆς μετοχῆς, καὶ λοιπὸν τρέπουσα τὴν τελευταίαν συλλαβὴν εἰς ΜΙ, καὶ πρὸ τοῦ Μ δεχομένη τὸ Ι, καὶ ἀποβάλλουσα [τὰ μὴ δυνάμενα συνακουσθῆναι στοιχεῖα, φημὶ δὲ τὸ Ν, ποιεῖ τὸ εὐκτικὸν, οἷον τύψοιμι, τύψοις, τύψοι. Δυϊκὰ, τύψοιτον, τυψοίτην. Πληθυντικὰ, τύψοιμεν, τύψοιτε, τύψοιεν.]

“Μέλλοντος β′. Τυποῖμι.” Ἰστέον ὅτι ἔστιν ἡ μετοχὴ τοῦ β′ μέλλοντος τυπῶν τυποῦντος, καὶ λοιπὸν τρέπουσα τὴν τελευταίαν συλλαβὴν εἰς μι, καὶ πρὸ τοῦ μ δεχομένη τὸ ι, καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα σὺν αὐτῇ ἐκφωνηθῆναι στοιχεῖα, φημὶ δὲ τὸ ν, ποιῆσαι τὸ εὐκτικὸν ὀφείλει τυπούιμι διὰ τοῦ ο καὶ υ καὶ ι· ἀλλ' ἐπειδὴ τρία φωνήεντα οὐ δύνανται ἐν μιᾷ συλλαβῇ παραλαμβάνεσθαι, ἀνάγκη ἓν ἐξ αὐτῶν ἀποβληθῆναι, καὶ ἐπειδὴ οὔτε τὸ ο ἠδύνατο ἀποβληθῆναι οὔτε τὸ ι διὰ τὴν προλεχθεῖσαν αἰτίαν, τούτου χάριν ἀπεβλήθη τὸ υ, καὶ γέγονε τυποῖμι τὸ εὐκτικὸν διὰ τῆς οι διφθόγγου. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ εὐκτικὸν τοῦ β′ ἀορίστου τοῦ ἐνεργητικοῦ καὶ τοῦ β′ μέλλοντος, εἰ καὶ τῇ φωνῇ συνέπεσον, ἀλλ' οὖν τῷ τόνῳ διαστέλλονται, καὶ γὰρ τὸ μὲν εὐκτικὸν τοῦ β′ ἀορίστου προπαροξύνεται, οἷον τύποιμι, τὸ δὲ εὐκτικὸν τοῦ β′ μέλλοντος προπερισπᾶται, οἷον τυποῖμι, τυποῖς, τυποῖ.

“Δυϊκά, τυποῖτον, τυποίτην. Πληθυντικά, τυποῖμεν, τυποῖτε, τυποῖεν. Εἴρηται. Περὶ εὐκτικοῦ παθητικοῦ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. Τυπτοίμην.”

318 b Ἐνταῦθα τὸ εὐκτικὸν τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ τῶν παθητικῶν κανονίζει. Ἔστι δὲ εἰπεῖν καθολικὸν κανόνα τοιοῦτον· πᾶν ὁριστικὸν παθητικὸν ἐνεργητικὸν ἢ μέσον ἔχον τὸ μ κλιτικόν, τρέπον τὴν ἐσχάτην εἰς μην, ἐὰν μὴ ἔχῃ αὐτὴν εἰς μην, εἰ δὲ ἔχῃ αὐτὴν εἰς μην, φυλάττον αὐτὴν καὶ ἀποβάλλον τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, δηλονότι χωρὶς τοῦ παρακειμένου, οὗτος γάρ, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται, οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς κλιτικὴν αὐτοῦ ἔκτασιν, καὶ πρὸ τοῦ μ δεχόμενον τὸ ι χωρὶς τῶν τῆς δ′ συζυγίας τῶν εἰς μι, τὸ εὐκτικὸν ποιεῖ, οἷον τύπτομαι τυπτοίμην, λέγομαι λεγοίμην, βοῶμαι βοώμην, γελῶμαι γελώμην, τίθεμαι τιθείμην, ἵσταμαι ἱσταίμην, δίδομαι διδοίμην, πεποίημαι πεποιήμην, νενόημαι νενοήμην, ἐτυψάμην τυψαίμην, τέθειμαι τεθείην, δέδομαι δεδοίμην, ἐτυπτόμην τυπτοίμην, τυφθήσομαι τυφθησοίμην, τύψομαι τυψοίμην, τετύ-

ψομαι τετυψοίμην. Τούτων οὕτως ἐχόντων, ἀπὸ τοῦ τυποῦμαι καὶ ποιοῦμαι καὶ χρυσοῦμαι ὤφειλε τὸ εὐκτικὸν γενέσθαι ποιούἱμην καὶ τυπούἱμην καὶ χρυσούἱμην διὰ τοῦ Ο καὶ Τ καὶ Ι, τῆς ἐσχάτης τραπείσης εἰς ΜΗΝ καὶ πρὸ Μ τοῦ Ι προσελθόντος. Ἀλλ' ἐπειδὴ γ' φωνήεντα οὐ δύνανται ἐν μιᾷ συλλαβῇ παραλαμβάνεσθαι, ἀνάγκη ἓν ἐξ αὐτῶν ἀποβληθῆναι. Καὶ ἐπειδὴ οὔτε τὸ Ο ἠδύνατο ἀποβληθῆναι οὔτε τὸ Ι διὰ τὴν προενεχθεῖσαν αἰτίαν ἐν τῇ περὶ τοῦ ποιοῖμι καὶ χρυσοῖμι διδασκαλίᾳ, τούτου χάριν ἀπεβλήθη τὸ Τ, καὶ γέγονε τυποῖμι καὶ χρυσοῖμι διὰ τῆς ΟΙ διφθόγγου. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐὰν εὑρεθῇ ἐν τῷ παθητικῷ παρακειμένῳ πρὸ τοῦ Μ ἕτερον σύμφωνον, τότε τὸ εὐκτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος, οἷον τέτυμμαι τετυμμένος εἴην, περὶ ὧν ἐκεῖσε γενόμενοι μαθησόμεθα. Πρόσκειται τῷ κανόνι "χωρὶς τῶν τῆς δ' συζυγίας τῶν εἰς ΜΙ," ἐπειδὴ τὰ εὐκτικὰ τούτων οὐκ ἔχουσι τὸ Ι πρὸ τοῦ Μ· ζευγνύμην γὰρ καὶ ὀμνύμην καὶ ὀλλύμην χωρὶς τοῦ Ι. Οὐκ ἔχουσι δὲ ταῦτα τὸ Ι κατὰ τὴν παραλήγουσαν, ἐπειδὴ οὐδέποτε μετὰ τὴν ΤΙ δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον υἱὸς, υἱωνὸς, ἅρπυια, μυῖα, αἴθυια. Πρόσκειται ἐν τῷ κανόνι "ἔχον τὸ Μ κλιτικὸν," διὰ τὸ ἐδάμην· τούτου γὰρ τὸ εὐκτικὸν οὐκ ἔστιν εἰς ΜΗΝ, ἀλλ' εἰς ΗΝ καθαρὸν, οἷον δαμείην. [Ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔχει τὸ Μ κλιτικὸν ἀλλὰ θεματικὸν, ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· δάμνω γάρ ἐστιν ὁ ἐνεστὼς, καὶ ἔχει τὸ Μ.] Πρόσκειται ἐν τῷ κανόνι "παθητικὸν ἢ μέσον," διὰ τὸ τρέμω, τοῦτο γὰρ οὐκ ἔχει εἰς ΜΗΝ τὸ εὐκτικὸν ἀλλ' εἰς ΜΙ· τρέ-
19 a μοιμι γὰρ ὡς τύπτοιμι, ἀλλ' ἐνεργητικόν ἐστιν. Ἄλλως τε δὲ οὐδὲ ἔχει τὸ Μ κλιτικὸν ἀλλὰ θεματικόν. Θέμα γάρ ἐστι τὸ τρέμω, καὶ ἔχει τὸ Μ.

"Τύπτοιο." Ἰστέον δὲ ὅτι πᾶν τρίτον εὐκτικὸν ἑνικὸν εἰς ΤΟ λῆγον ἀποβολῇ τοῦ Τ τὸ β' πρόσωπον ποιεῖ, οἷον τύπτοιτο τύπτοιο, λέγοιτο λέγοιο, ποιοῖτο ποιοῖο, βοῷτο βοῷο, τύψαιτο τύψαιο, λάβοιτο λάβοιο, τυφθήσοιτο τυ-

φθήσοιο, χρυσοῖτο χρυσοῖο· οὐ συναιροῦνται δὲ τὰ φωνήεντα ἐνταῦθα, ἐπειδὴ τὸ ι κωλύει, μέσου γὰρ ὄντος τοῦ ι οὐδέποτε συναίρεσις γίνεται τῶν φωνηέντων· ἀμέλει ἐν τῷ ἐμῷ πρῶτον ἀποβάλλεται τὸ ι τοῦ τῷ ἄρθρου, καὶ οὕτως γίνεται ἡ [q]κράσις, καὶ γίνεται τὤμῶ. Εἰ δέ τις εἴποι, διὰ τί μὴ καὶ ἐν τοῖς δευτέροις προσώποις ἀποβάλλεται τὸ ι καὶ κράσις γίνεται τῶν φωνηέντων; Λέγομεν, ὅτι οὐ δύναται ἀποβληθῆναι τὸ ι, ἐπειδὴ τῶν εὐκτικῶν χαρακτηριστικόν ἐστι τὸ ι, οἷον τύπτοιμι τύπτοις τύπτοι, τυφθείην τυφθείης τυφθείη. Περὶ δὲ τοῦ εἰπεῖν τὸν τεχνικὸν ἐν τῷ κανόνι, "ὅσα τῶν εὐκτικῶν ἐν τῷ γ′ προσώπῳ ἔχει κλιτικὸν τὸ τ," λέγομεν, ὅτι οὐ πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων ἐγκλίσεων εἶπε τοῦτο, ἀλλ' αὐτὸ τὸ ὄν· καὶ γὰρ καὶ ἐπὶ τῶν ὁριστικῶν πολλάκις ἀποβάλλει τὸ γ′ πρόσωπον τὸ τ, καὶ οὕτως ἀποτελεῖ τὸ β′, οἷον τύπτεται τύπτεαι, ἐτύπτετο ἐτύπτεο. Μήποτε δέ ἐστιν εἰπεῖν ὅτι πρὸς ἀντιδιαστολὴν τῶν ὁριστικῶν εἶπε "τῶν εὐκτικῶν πάντως ἀποβολῇ τοῦ τ·" ἐπειδὴ ἐπὶ μὲν τῶν εὐκτικῶν πάντως ἀποβολῇ τοῦ τ ἐκ τοῦ γ′ γίνεται τὸ β′, [ὡς ἐδήλωσαν τὰ προλεχθέντα παραδείγματα,] ἐπὶ δὲ τῶν ὁριστικῶν οὐ πάντως ἀποβολῇ τοῦ τ, ἀλλ' ἔστιν ὅτε καὶ τροπῇ τοῦ τ εἰς σ, [ὡς ἐν τῇ περὶ τῶν ὁριστικῶν διδασκαλίᾳ ἐγνώσθη ἡμῖν.] Πρόσκειται "ἡνίκα ἔχει κλιτικὸν τὸ τ," διὰ τὸ τύπτοι. Τοῦτο γὰρ οὐ ποιεῖ τὸ β′ πρόσωπον ἀποβολῇ τοῦ τ, οὐδὲ γὰρ λέγομεν τὸ β′ πρόσωπον τύπτοι ἀλλὰ τύπτοις· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔχει τὸ τ κλιτικὸν, ἀλλὰ θεματικόν. Τύπτω γάρ ἐστιν ὁ ἐνεστὼς καὶ ἔχει τὸ τ.

"Τύπτοιτο." Ἰστέον ὅτι τὰ εἰς ΜΗΝ εὐκτικὰ τροπῇ τῆς ΜΗΝ εἰς ΤΟ τὸ τρίτον ποιοῦσι, καὶ φυλάττουσι τὴν παραλήγουσαν, οἷον τυπτοίμην τύπτοιτο, λεγοίμην λέγοιτο, ποιοίμην ποιοῖτο, βοῴμην βοῷτο, χρυσοίμην χρυσοῖτο, τυψαίμην τύψαιτο, τυψοίμην τύψοιτο.

"Δυϊκά. Τυπτοίμεθον τύπτοισθον τυπτοίσθην."

Ἰστέον ὅτι τὸ μὲν α′ τῶν δυϊκῶν οὐκ ἐπιλιμπάνει ἐνταῦθα,

[q] κλίσις Bar.

ἐπειδὴ [r]τὸ α′ πρόσωπον τῶν πληθυντικῶν ἔχει τὸ Μ ἐπὶ τῆς τελευταίας συλλαβῆς· [s]τυπτοίμεθα γάρ ἐστι τὸ α′ πρόσωπον τῶν πληθυντικῶν, τροπῇ τῆς ΘΑ εἰς ΘΟΝ, οἷον τυπτοίμεθα τυπτοίμεθον. Τὸ δὲ γ′ τῶν δυϊκῶν ἐκ τοῦ ἰδίου β′ γέγονεν τροπῇ τοῦ Ο εἰς Η. Καθόλου γὰρ ἐν τοῖς εὐκτικοῖς οὔτε εἰς ΣΙ λήγει, οὔτε εἰς ΤΑΙ τὸ γ′ τῶν πληθυντικῶν οἷον τυ . . .

19 b “ Πληθυντικά. Τυπτοίμεθα.” Εἴρηται ἐν τοῖς ὁριστικοῖς ὅτι πᾶν πρῶτον πρόσωπον ἑνικὸν ἔχον τὸ Μ κλιτικὸν μετὰ μακρᾶς τροπῇ τῆς ἐσχάτης εἰς ΜΕΘΑ τὸ πληθυντικὸν ποιεῖ, οἷον τύπτομαι τυπτόμεθα, πεποίημαι πεποιήμεθα, ἐτυψάμην ἐτυψάμεθα, οὕτως καὶ τυπτοίμην τυπτοίμεθα, καὶ τυψαίμην τυψαίμεθα.

“Τύπτοισθε.” Ἰστέον ὅτι πᾶν τρίτον ἑνικὸν ἔχον τὸ Τ κλιτικὸν τρέπον τὴν τελευταίαν συλλαβὴν εἰς ΘΕ τὸ β′ τῶν πληθυντικῶν ποιεῖ. Καὶ εἰ μὲν καθαριεύει τὸ Τ, καὶ τὸ Σ προσλαμβάνει τὸ β′ τῶν πληθυντικῶν, οἷον τύπτεται τύπτεσθε, πεποίηται πεποίησθε, ἐτύψατο ἐτύψασθε· εἰ δὲ σύμφωνον ἔχει, φυλάττει αὐτὸ, οἷον κέκαρται κέκαρθε, τέτιλται τέτιλθε, πλὴν εἰ μήπω ψιλὸν διὰ ἀσυνταξίαν τραπῇ εἰς τὸ δασὺ, οἷον νένυκται νένυχθε, τέτυπται τέτυφθε. Ψιλὰ γὰρ ψιλῶν ἡγοῦνται καὶ δασέα δασέων καὶ μέσα μέσων κατὰ σύλληψιν οἷον, πτῶσις, φθόνος, χθὼν, ἑβδομὰς, ἐρίγδουπος. Οὕτως καὶ ἀπὸ τοῦ τύπτοιτο γίνεται τὸ β′ πρόσωπον τῶν πληθυντικῶν τροπῇ τῆς τελευταίας συλλαβῆς εἰς ΘΕ καὶ τοῦ Σ προσελθόντος διὰ τὸ καθαριεύειν τὸ Τ. Ἰστέον δὲ ὅτι οἱ λοιποὶ προσδιορισμοὶ τοῦ κανόνος τούτου οὐχ ἁρμόζουσι

[r] Sic Bar.: ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν οὐκ ἔχει τὸ Μ ἐπὶ τῆς τελευταίας συλλαβῆς· τυπτοίμεθον γάρ ἐστι. Κανονίζεται δὲ ἐκ τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν τροπῇ τῆς ΘΑ εἰς ΘΟΝ, οἷον, τυπτοίμεθα τυπτοίμεθον. Τὸ β′ τῶν δυϊκῶν ἐκ τοῦ β′ τῶν πληθυντικῶν γέγονε, τροπῇ τοῦ Ε εἰς ΟΝ. Τὸ δὲ γ′ τῶν δυϊκῶν ἐκ τοῦ ἰδίου δευτέρου γέγονε τροπῇ τοῦ Ο εἰς Η. Καθόλου γὰρ ἐν τοῖς εὐκτικοῖς ὡς εἴρηται τὰ γ′ τῶν δυϊκῶν εἰς ΗΝ λήγουσιν. Οὐχ ὁμοφωνεῖ γὰρ τὸ γ′ τῶν δυϊκῶν τῷ β′. Ἐπειδὴ τὸ γ′ τῶν πληθυντικῶν οὔτε εἰς Ι λήγει οὔτε εἰς ΤΑΙ.

[s] τυπτοίμεθον Bar.

τοῖς εὐκτικοῖς, τὸ γὰρ "εἰ δὲ ψιλῷ παραλήγεται εἰς δασὺ αὐτὸ τρέπει," οὐχ ἁρμόζει τοῖς εὐκτικοῖς, οὐδὲ γὰρ ἔχουσι τὰ εὐκτικὰ ἐν τῷ γ′ προσώπῳ τῶν ἑνικῶν πρὸ τοῦ τ ψιλὸν, ἢ ὅλως δύο σύμφωνα, οἷον τύπτοιτο τύψοιτο λάβοιτο. Ἀλλ' ἔστιν εἰπεῖν, ὅτι ἐν τοῖς ὁριστικοῖς εὑρίσκεται πολλάκις ἐν τῷ τρίτῳ προσώπῳ τῶν ἑνικῶν πρὸ τοῦ τ ψιλὸν, οἷον τύπτεται, νένυκται, ὅπου καὶ ἐν α′ ἐλέχθη ὁ κανὼν οὕτως. Ἐνταῦθα οὖν ἐκείνου τοῦ κανόνος μνημονεύει τοῦ [s]προλεχθέντος καθόλου, καὶ οὐκ ἠδύνατο παραλιπεῖν τὸν προσδιορισμὸν τοῦτον, εἰ καὶ μὴ ἔστιν ἐν τοῖς εὐκτικοῖς πρὸ τοῦ τ ψιλὸν, [t]ἐπειδὴ μερικὸν ἐποίει τὸν κανόνα καὶ οὐκ ἔτι εὑρίσκεται ὁ λέγων τὸν κανόνα τὸν εἰρημένον ἀνωτέρω.

"Τύπτοιντο." Εἴρηται ὅτι πᾶν γ′ ἑνικὸν ἔχον τὸ τ κλιτικὸν πρὸ τοῦ τ λαμβάνον τὸ ν, καὶ τὴν παραλήγουσαν φυλάττον τοῦ ἰδίου α′ προσώπου τῶν ἑνικῶν, τὸ γ′ τῶν πληθυντικῶν ποιεῖ, οἷον τύπτεται τύπτονται ὅτι τύπτομαι, πεποίηται πεποίηνται ὅτι πεποίημαι. Οὕτως καὶ τύπτοιτο τύπτοιντο ὅτι τυπτοίμην.

"Παρακειμένου καὶ ὑπερσυντελικοῦ. Τετυμμένος εἴην."

Ἰστέον ὅτι καὶ ἡνίκα ὁ παθητικὸς παρακείμενος καὶ ὑπερσυντελικὸς, ὁ ὁριστικὸς, οὐκ ἔχει πρὸ τοῦ μ σύμφωνον, τότε τῷ κοινῷ κανόνι γίνεται τὸ εὐκτικὸν, τουτέστι τρέπον τὴν ἐσχάτην εἰς ΜΗΝ, καὶ πρὸ τοῦ μ δεχόμενον τὸ ι, οἷον τίθεμαι τεθείμην, κέκλειμαι κεκλείμην, πεποίημαι πεποιήμην, νενόημαι νενοήμην, τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως φυλαττομένης, ἐπειδὴ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, ὁ παρακείμενος οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν 320 a ἔκτασιν. Ἡνίκα δὲ ὁ παθητικὸς παρακείμενος ὁ ὁριστικὸς ἔχει πρὸ τοῦ μ σύμφωνον ἢ τὸ τ φωνῆεν, τότε τὸ εὐκτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος· σύμφωνον μὲν πρὸ τοῦ μ, οἷον τέτυμμαι τετυμμένος εἴην, [κέκαρμαι κεκαρμένος εἴην, λέλεγμαι λελεγμένος εἴην· τὸ δὲ τ πρὸ τοῦ μ, οἷον τέθυμαι τεθυμένος εἴην, λέλυμαι λελυμένος

[s] προσελθόντος καθολικοῦ Bar.

[t] ἐπιμερικὸν Bar.

εἴην, πεπαίδευμαι πεπαιδευμένος εἴην, λέλουμαι λελουμένος εἴην,] διὰ τοῦτο δὲ γίνεται, ἐπειδὴ τὰ εἰς ΜΗΝ εὐκτικὰ θέλουσι πρὸ τοῦ Μ δίφθογγον ἔχειν τὴν μετὰ τοῦ Ι, οἷον τυπτοίμην, τυψαίμην· ἐὰν οὖν, ἡνίκα εὑρεθῇ πρὸ τοῦ Μ τὸ Τ, γένηται εὐκτικὸν κατὰ τὴν ἀναλογίαν τοῦ Ι πρὸ τοῦ Μ προσερχομένου, μέλλει εἶναι τὸ εὐκτικὸν τεθυίμην καὶ λελυίμην, ὅπερ ἐστὶν ἀδύνατον· ὡς γὰρ πολλάκις ἐμάθομεν, οὐδέποτε μετὰ τὴν ΤΙ δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον μυῖα καὶ τὰ λοιπά· ἀλλὰ καὶ ἡνίκα εὑρεθῇ πρὸ τοῦ [u]Μ σύμφωνον, ἐὰν γένηται τὸ εὐκτικὸν κατὰ ἀναλογίαν, μέλλει τοῦ Ι πρὸ τοῦ Μ προσερχομένου εἶναι τὸ εὐκτικὸν τετυμίμην καὶ ἐφθαρίμην καὶ λελεγίμην καὶ ἐσπαρίμην, καὶ οὐκέτι εὑρίσκεται πρὸ τοῦ Μ τὸ Ι ἐν διφθόγγῳ, ὅπερ ἐστιν ἄτοπον· ὡς γὰρ εἴρηται, τὰ εἰς ΜΗΝ εὐκτικὰ θέλουσι πρὸ τοῦ Μ δίφθογγον ἔχειν τὴν μετὰ τοῦ Ι, οἷον τυπτοίμην, τυψαίμην, τυφθησοίμην. Τούτου οὖν χάριν, ἡνίκα εὑρεθῇ πρὸ τοῦ Μ σύμφωνον ἢ τὸ Τ ἐν τῷ παθητικῷ παρακειμένῳ τῷ ὁριστικῷ, τὸ εὐκτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος. Εἰ δέ τις εἴποι καὶ [γενέσθαι] κατὰ ὑπερβιβασμὸν τοῦ Ι, ἵνα εὑρεθῇ ἐν διφθόγγῳ τὸ Ι, οἷον τετυΐμμην, λελεΐγμην, [x]ἐσπερίμην, λέγομεν ὅτι πρῶτον μὲν ἐν τῷ τετυΐμμην εὑρεθήσεται μετὰ τὴν ΤΙ δίφθογγον σύμφωνον ἐπιφερόμενον, ὅπερ ἀδύνατον, ἄλλως τε δὲ ἐν τῷ ἐλελεΐγμην καὶ ἐσπερίμην οὐχ εὑρεθήσεται τὸ Ι πρὸ τοῦ Μ, καὶ ἐν διφθόγγῳ, ἀλλὰ πρὸ τοῦ ἑτέρου συμφώνου, ὅπερ ἐστὶν ἀδύνατον. Ὡς γὰρ εἴρηται, τὰ εἰς ΜΗΝ εὐκτικὰ πρὸ τοῦ Μ θέλουσιν ἔχειν τὴν μετὰ τοῦ Ι δίφθογγον, [οἷον τυπτοίμην, τυψαίμην.] Εἰ δέ τις εἴποι [y]πάλιν ἀποβάλλεσθαι τὸ πρὸ τοῦ Μ σύμφωνον, καὶ λοιπὸν εὑρίσκεται πρὸ τοῦ Μ τὸ Ι ἐν διφθόγγῳ, οἷον [z]λελυίμην, ἐσπαρυίμην, λέγομεν ὅτι ἐὰν ἀποβληθῇ τὸ ἓν σύμφωνον, ἀσήμαντος μένει ἡ λέξις.

“ Τετυμμένος εἴης, τετυμμένος εἴη, τετυμμένω εἴητον εἰ-

[u] Μ Bar. Α Par. [x] ἐπαίρμην Bar. et sic infra. [y] καὶ Bar.
[z] λελείμην ἐσπαίμην Bar.

ήτην, τετυμμένοι εἴημεν εἴητε εἴησαν. Ἀορίστου α' παθητικοῦ. Τυφθείην."

Ἰστέον ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην, εἰς ΗΝ καθαρὸν ἔχουσι τὸ εὐκτικὸν, οἷον τυφθεὶς τυφθέντος τυφθείην, λεχθεὶς λεχθέντος λεχθείην, δαρεὶς δαρέντος δαρείην. Πρόσκειται "εἰς Σ" διὰ τὸ λαβὼν λαβόντος λάβοιμι· [ἰδοὺ γὰρ τοῦτο ἔχει τὴν μετοχὴν ἐν ὀξείᾳ τάσει, καὶ διὰ τοῦ ΝΤ κλινομένην, ἀλλ' οὐκ ἔχει τὸ εὐκτικὸν εἰς ΗΝ καθαρὸν, ἀλλ' εἰς ΜΙ, ἀλλ' οὐκ ἔχει
320 b τὴν μετοχὴν εἰς Σ.] Πρόσκειται "μετ' ὀξείας τάσεως," διὰ τὸ τύψας τύψαντος τύψαιμι. [[a]Ἰδοὺ γὰρ τοῦτο ἔχει τὴν μετοχὴν εἰς Σ καὶ διὰ τοῦ ΝΤ κλινομένην, καὶ οὐκ ἔχει τὸ εὐκτικὸν εἰς ΗΝ καθαρὸν, ἀλλ' εἰς ΜΙ, οἷον τύψαιμι, ἀλλ' οὐκ ἔχει τὴν μετοχὴν μετ' ὀξείας τάσεως.] Πρόσκειται "καὶ διὰ τοῦ ΝΤ κλινομένη," διὰ τὸ τετυφὼς τετυφότος τετύφοιμι, [[b]ἰδοὺ γὰρ τοῦτο ἔχει τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως, καὶ ὅμως οὐκ ἔχει τὸ εὐκτικὸν εἰς ΗΝ καθαρὸν ἀλλ' εἰς ΜΙ, ἀλλ' οὐκ ἔχει τὴν μετοχὴν διὰ τοῦ ΝΤ κλινομένην. Ταῦτα μὲν ἐν τούτοις.]

Κανονίζεται δὲ ταῦτα, φημὶ δὲ τὸ τυφθείην καὶ δαρείην καὶ τὰ ὅμοια, τοῦτον τὸν τρόπον· πᾶσα μετοχὴ εἰς Σ λήγουσα μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένη, τρέπουσα τὸ τέλος τῆς γενικῆς εἰς ΗΝ, καὶ προσλαμβάνουσα κατὰ τὴν παραλήγουσαν τὸ Ι, καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα συνεκφωνηθῆναι στοιχεῖα, τὸ εὐκτικὸν ποιεῖ, οἷον τυφθεὶς τυφθέντος τυφθείην, νυγεὶς νυγέντος νυγείην, δαρεὶς δαρέντος δαρείην, τιθεὶς τιθέντος τιθείην, στὰς στάντος σταίην, δοὺς δόντος δοίην, γνοὺς γνόντος γνοίην. Περὶ γὰρ τῶν εὐκτικῶν τῆς δ' συζυγίας τῶν εἰς ΜΙ, ὅτι ταῦτα οὐ παραλήγονται διφθόγγῳ, ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν ζευγνύην καὶ πηγνύην καὶ ὀμνύην χωρὶς τοῦ Ι.

"Τυφθείης τυφθείη."

a [ ] τοῦτο γὰρ βαρύτονόν ἐστι Bar. b [ ] τοῦτο γὰρ καὶ εἰς Σ ἐστι, καὶ ὀξύτονον, ἀλλ' οὐ κλίνεται διὰ τοῦ ΝΤ.

"Δυϊκά. Τυφθείητον τυφθειήτην. Πληθυντικὰ τυφθείημεν, τυφθείητε, τυφθείησαν. Ἀορίστου β', τυπείην τυπείης τυπείη. Δυϊκὰ τυπείητον τυπειήτην. Πληθυντικὰ τυπείημεν τυπείητε τυπείησαν." [c]Εἴρηται καὶ ὁ περὶ αὐτοῦ λόγος ἐν τῇ διδασκαλίᾳ....

"Μέσου ἀορίστου πρώτου. Τυψαίμην" ἀπὸ τοῦ ἐτυψάμην γέγονεν ἀποβολῇ τῆς κλιτικῆς ἐν ἀρχῇ [d]ἐκτάσεως, καὶ πρὸ τοῦ Μ τοῦ Ι προσελθόντος. "Τύψαιο, τύψαιτο." Δυϊκὰ, τυψαίμεθον, τύψαισθον, τυψαίσθην. Πληθυντικὰ, τυψαίμεθα, τύψαισθε, τύψαιντο. Μέσου ἀορίστου β'. Τυποίμην."

Ἀπὸ τοῦ ἐτυπόμην γέγονεν τυποίμην, ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως καὶ πρὸ τοῦ Μ τοῦ Ι προσελθόντος.

"Τύποιο, τύποιτο. Δυϊκὰ, τυποίμεθον, τύποισθον, τυποίσθην. Πληθυντικὰ, τυποίμεθα, τύποισθε, τύποιντο." Μέλλοντος α' παθητικοῦ, "τυφθησοίμην" ἀπὸ τοῦ τυφθήσομαι γέγονε τροπῇ τῆς ἐσχάτης εἰς ΜΗΝ καὶ πρὸ τοῦ Μ τοῦ Ι προσελθόντος. "Τυφθήσοιο, τυφθήσοιτο. Δυϊκὰ, τυφθησοίμεθον τυφθήσοισθον τυφθησοίσθην. Πληθυντικὰ, τυφθησοίμεθα τυφθήσοισθε τυφθήσοιντο. Μέλλοντος β' παθητικοῦ. Τυπησοίμην, ἀπὸ τοῦ τυπήσομαι γέγονε τροπῇ τῆς ἐσχάτης εἰς ΜΗΝ καὶ τοῦ Ι προσελθόντος. Τυπήσοιο, τυπήσοιτο. Δυϊκὰ, τυπησοίμεθον τυπήσοισθον τυπησοίσθην. Πληθυντικὰ, τυπησοίμεθα, τυπήσοισθε τυπήσοιντο. Μέσου μέλλοντος α'. Τυψοίμην ἀπὸ τοῦ τύψομαι γέγονεν τροπῇ τῆς ἐσχάτης εἰς ΜΗΝ καὶ πρὸ τοῦ Μ τοῦ Ι προσελθόντος. Τύψοιο, τύψοιτο. Δυϊκὰ, τυψοίμεθον τύψοισθον τυψοίσθην. Πληθυντικὰ, τυψοίμεθα τύψοισθε τύψοιντο. Μέσου μέλλοντος β'. Τυποίμην." Ἰστέον ὅτι ἀπὸ τοῦ τυποῦμαι, τροπῇ τῆς ἐσχάτης εἰς ΜΗΝ, καὶ πρὸ τοῦ Μ τοῦ Ι προσερχομένου, ἔδει εἶναι τὸ εὐκτικὸν τυπουΐμην, διὰ τοῦ Ο καὶ Υ καὶ Ι, ἀλλ' ἐπειδὴ τρία φωνήεντα οὐ δύνανται ἐν μιᾷ συλλαβῇ

[c] πρόδηλος ἡ κλίσις Bar.

[d] αὐξήσεως Bar.

παραλαμβάνεσθαι, ἀνάγκη ἓν ἐξ αὐτῶν ἀποβληθῆναι· καὶ ἐπειδὴ οὔτε τὸ ο ἠδύνατο ἀποβληθῆναι οὔτε τὸ ι διὰ τὴν προλεχθεῖσαν αἰτίαν ἐν τῇ περὶ τοῦ ποιοῖμι καὶ χρυσοῖμι διδασκαλίᾳ, τούτου χάριν ἀπεβλήθη τὸ υ καὶ γέγονε τυποίμην διὰ τῆς οι διφθόγγου τὸ εὐκτικόν. Ταῦτα μὲν ἐν τούτοις. Ἰστέον δὲ ὅτι καὶ τὸ εὐκτικὸν τοῦ β' ἀορίστου τοῦ μέσου τυποίμην ἐστὶν, καὶ τὸ εὐκτικὸν τοῦ β' μέλλοντος ὁμοίως ποιοίμην, διακρίνονται δὲ ταῦτα κατὰ τὸ β' καὶ γ' πρόσωπον τῷ τόνῳ. Τὸ μὲν γὰρ β' καὶ γ' πρόσωπον τὸ εὐκτικὸν τοῦ β' ἀορίστου προπαροξύνεται, οἷον τύποιο τύποιτο· τὸ δὲ β' καὶ γ' πρόσωπον τὸ εὐκτικὸν τοῦ β' μέσου μέλλοντος προπερισπᾶται, οἷον τυποῖο τυποῖτο.

"Τυποίμεθον τυποῖσθον τυποίσθην. Πληθυντικὰ τυποίμεθα τυποῖσθε τυποῖντο. Εἴρηται. Μετ' ὀλίγον μέλλων τετυψοίμην" ἀπὸ τοῦ τετύψομαι γέγονεν, τροπῇ τῆς ἐσχάτης εἰς ΜΗΝ, καὶ πρὸ τοῦ Μ τοῦ Ι προσελθόντος. Διὰ τοῦτο δὲ οὐκ ἀποβάλλει ὁ μετ' ὀλίγον μέλλων τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν, ἐπειδὴ τὴν ἄρχουσαν τοῦ παρακειμένου ἔχει, οἷον τέτυψαι· ὁ δὲ παρακείμενος, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται, οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν, οὔτε γὰρ ἐν ταῖς μετοχαῖς ἀποβάλλει αὐτὴν, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν. Εἰ ἀπεβλήθη οὖν ἡ ἄρχουσα τοῦ μετ' ὀλίγον μέλλοντος, ηὑρίσκετο ἡ ἄρχουσα τοῦ παρακειμένου ἀποβαλλομένη. ἅτε δὲ ἡ αὐτὴ οὖσα, ὅπερ ἐστὶν ἀδύνατον.

Τετύψοιο, τετύψοιτο. Δυϊκὰ, τετυψοίμεθα, τετύψοισθε, τετύψοιντο.

Περὶ ὑποτακτικῶν.

Λέγει ὁ τεχνικὸς ὅτι αἱ ἄλλαι τῶν ἐγκλίσεων μοναδικὴν ἔχουσαι τὴν σημασίαν ἐξ αὐτῆς ὀνομάζονται, οἷον ἡ ὁριστικὴ ἐκ τοῦ μόνως ὁρίζειν, ἡ προστακτικὴ ἐκ τοῦ προστάσσειν, ἡ εὐκτικὴ ἀπὸ τοῦ εὔχεσθαι, ἡ ἀπαρέμφατος ἐκ τοῦ μὴ παρεμφαίνειν, ἤγουν εἰς τὸ μήτε πρόσωπα σημαίνειν μήτε ἀριθμοὺς μήτε θέλημα ψυχῆς, ἡ μέντοι ὑποτακτικὴ ποικίλας ἔχουσα

321 b σημασίας, ὡς δειχθήσεται, οὐκ ἠδυνήθη ἀπὸ μιᾶς τούτων ὀνομασθῆναι, ἀλλ' ἀπὸ τῆς συντάξεως ἔλαβε τὴν ὀνομασίαν, καὶ λέγεται ὑποτακτικὴ ἐκ τοῦ ὑποτάσσεσθαι ἑνὶ τούτων τῶν συνδέσμων, φημὶ δὲ τῷ ἵνα, τῷ ὄφρα, τῷ ὅπως, τῷ ἐάν, καὶ τῷ ὅταν δὲ ὑποτακτικοῖς [συντάσσεται.] Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι τὰ ὑποτακτικὰ ἓξ ἔχουσιν ὀνομασίας, τρεῖς ἀπὸ τῆς σημασίας, καὶ δύο ἀπὸ τῆς συντάξεως, καὶ μίαν ἀπὸ τῆς φωνῆς. Καὶ ἀπὸ μὲν τῆς σημασίας λέγεται ἀποτελεστικά, αἰτιολογικά, διστατικά. Καὶ ἀποτελεστικὰ μέν, οἷον "δός μοι τὸ βιβλίον ἵνα ἀναγνῶ" τουτέστιν ἵνα ἀποτελέσω. Αἰτιολογικὰ δὲ οἷον "ἵνα τιμηθῶ ἐλυπήθη," αἰτίαν γὰρ σημαίνει. Διστατικὰ δέ, οἷον "ἂν λούσωμαι ὑγιαίνω," δισταγμὸν γὰρ σημαίνει· οὐ πάντως γὰρ ἐὰν λούσηται ὑγιαίνει. Ἀπὸ δὲ τῆς συντάξεως ὑποτακτικὰ καὶ ἐπιζευκτικὰ καλοῦνται. Καὶ ὑποτακτικὰ μὲν λέγεται, καθότι ὑποτέτακται τούτοις τοῖς συνδέσμοις, φημὶ δὲ τῷ ἵνα, ὄφρα, ὅπως, ἐάν· ἐπιζευκτικὰ δέ, ὅτι ἐπιζεύγνυνται τούτοις τοῖς συνδέσμοις. Ἀπὸ δὲ φωνῆς λέγονται ἐπηρμένα. Ἐπηρμένα δὲ λέγεται, καθὸ [e] τὸ φωνῆεν τῶν ὁριστικῶν εἰς μεῖζον φωνῆεν ἐπαίρουσιν, καὶ γὰρ τὸ ο φωνῆεν ἐπηρμένον ἔχουσιν εἰς μεῖζον φωνῆεν, τουτέστιν εἰς ω, οἷον τύπτομαι διὰ τοῦ ο ἐστίν, τὸ δὲ ἐὰν τύπτωμαι διὰ τοῦ ω μεγάλου.

Τούτων οὕτως ἐχόντων, ἄξιον ἐστὶ ζητῆσαι, τί δήποτε τῶν ὑποτακτικῶν ἓξ ὀνομασίας ἐχόντων, ὡς δέδεικται, γ' ἀπὸ τῆς σημασίας, δύο δὲ ἀπὸ τῆς συντάξεως, καὶ μίαν ἀπὸ τῆς φωνῆς, ἡ ἀπὸ τῆς συντάξεως ὀνομασία ἐπεκράτησε καὶ πάντα κοινῶς ὑποτακτικὰ λέγονται; Ἔστιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι ἐκ τοῦ κοινῶς πᾶσιν ἁρμόζοντος ὀνομάζονται. Ἁρμόζει γὰρ πᾶσι τοῖς καλουμένοις ὑποτακτικοῖς τὸ ὑποτάσσεσθαι τούτοις τοῖς συνδέσμοις, φημὶ δὲ τῷ ἵνα, τῷ ὄφρα, τῷ ὅπως, τῷ ἐάν· καὶ γὰρ οὔτε ἐκ τῆς φωνῆς οὔτε ἐκ τῆς σημασίας ἠδύναντο λαβεῖν τὴν ὀνομασίαν, ἐπειδὴ οὐχ

[e] τῶν φωνηέντων ὁριστικῶν Bar.

ἁρμόζουσιν πᾶσιν αἱ σημασίαι· οὔτε γὰρ πάντα εἰσὶ αἰτιο-
λογικὰ, οὔτε πάντα διστατικὰ, οὔτε πάντα ἀποτελεστικά.
Τὸ γὰρ "δός μοι τὸ βιβλίον ἵνα ἀναγνῶ" ἀποτελεστικὸν
μόνον ἐστὶ, καὶ οὔτε διστατικὸν, οὔτε αἰτιολογικόν. Καὶ
πάλιν τὸ "ἵνα τιμηθῶ ἐλυπήθης" αἰτιολογικὸν μόνον ἐστὶ,
καὶ οὔτε διστατικὸν, οὔτε ἀποτελεστικόν. Καὶ πάλιν τὸ
"ἐὰν λούσωμαι ὑγιαίνω," διστατικὸν μόνον ἐστὶ, καὶ οὔτε
αἰτιολογικὸν οὔτε ἀποτελεστικόν. Ἐπειδὴ οὖν οὐχ ἁρμό-
ζουσι πᾶσιν αἱ σημασίαι, εἰκότως οὐκ ἔλαβον ἐκ τῆς σημασίας
τὴν ὀνομασίαν. Ἐκ τῆς φωνῆς δὲ οὐκ ἔλαβον τὴν ὀνομα-
322 a σίαν, ἐπειδὴ οὐχ ἁρμόζει πᾶσιν ἡ ἀπὸ τῆς φωνῆς σημασία.
Οὔτε γάρ εἰσι πάντα ἐπηρμένα· τὸ γὰρ ἐὰν τύπτω καὶ ἐὰν
τύψω οὐκ ἔχουσιν ἐπηρμένον τὸ φωνῆεν, ἀλλὰ τὸ φωνῆεν
τῶν ὁριστικῶν ἐφύλαξαν, καὶ τὰ ὁριστικὰ γὰρ αὐτῶν διὰ
τοῦ ω εἰσὶν, οἷον τύπτω καὶ τύψω. Ἐπειδὴ οὖν οὐχ ἁρμόζει
ἡ ἀπὸ τῆς φωνῆς ὀνομασία, εἰκότως οὐκ ἔλαβον ἐκ τῆς φωνῆς
τὴν ὀνομασίαν. Ἐξ ἀνάγκης οὖν ἡ ὀνομασία ἡ ἀπὸ τῆς συν-
τάξεως ἐπεκράτησεν· αὕτη γὰρ, ὡς εἴρηται, πᾶσιν ἁρμόζει·
ἁρμόζει γὰρ πᾶσι τοῖς καλουμένοις ὑποτακτικοῖς τὸ ὑποτάσ-
σεσθαι τούτοις τοῖς συνδέσμοις, φημὶ δὲ τῷ ἵνα, τῷ ὄφρα,
τῷ ὅπως, τῷ ἐάν. Τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ τῶν συνδέσμων εὑ-
ρίσκομεν. Ὅσοι μὲν γὰρ αὐτῶν πρὸς μίαν ἔσχον σημασίαν,
ἐξ αὐτῆς ὠνομάσθησαν, οἷον συμπλεκτικοὶ λέγονται ἀπὸ τοῦ
συμπλέκειν τὰς φράσεις καὶ τὰ πράγματα, ὡς τὸ "καὶ λέγω
καὶ γράφω·" διαζευκτικοὶ δὲ, ἀπὸ τοῦ διαζευγνύειν καὶ δια-
χωρίζειν ἀλλήλων τὰ πράγματα, οἷον "ἢ νύξ ἐστιν ἢ ἡμέρα·"
αἰτιολογικοὶ δὲ, ἀπὸ τοῦ αἰτίαν σημαίνειν, οἷον "ἵνα τιμηθῶ
ἐλυπήθης." Οἱ μέντοι παραπληρωματικοὶ διαφόρους ἔχοντες
σημασίας, (σημαίνουσι γὰρ καὶ μείωσιν, ὡς ὁ ΓΕ [f]ἐν τῷ,
"τοῦτό ΓΕ χαρίζομαι," τουτέστι κἂν τοῦτο· καὶ [g]ἐναντίωσιν
σημαίνουσιν, ὡς ὁ ΠΕΡ, [Il. α'. 131.]

μὴ δ' οὕτως, ἀγαθός περ ἐὼν, θεοείκελ' Ἀχιλλεῦ
κλέπτε νόῳ.

[f] ἐν τούτῳ χαρίσαιμι. Τουτέστι κἂν τούτῳ τῷ μικρῷ Bar.
[g] ἐναντίων Bar.

ἐναντίον γὰρ τῷ ἀγαθῷ τὸ παραλογίζεσθαι· καὶ μετάβασιν σημαίνουσιν, ὡς ὁ δη, ὡς παρ' Ἀριστοφάνει [Plut. 8.]

καὶ ταῦτα μὲν δὴ ταῦτα· τῷ δὲ Λοξίᾳ

μετέβη γὰρ ἐφ' ἕτερον πρᾶγμα·) καὶ μὴ δυνάμενοι ἀπὸ μιᾶς αὐτῶν κληθῆναι διὰ τὸ μὴ ἁρμόζειν αὐτὴν ἅπασιν, [παραπληρωματικοὶ] ἀπὸ τοῦ κοινῶς παρεπομένου πᾶσιν αὐτοῖς, φημὶ δὴ τοῦ παραπληροῦν, παραπληροῦσι γὰρ τὰς φράσεις, παραπληρωματικοὶ ὠνομάσθησαν. Τοῦτον οὖν τὸν τρόπον καὶ ἡ ὑποτακτικὴ ἔγκλισις διάφορα ἔχουσα σημαινόμενα, καὶ μὴ δυναμένη, ὡς εἴρηται, ἀπὸ τοῦ ἑνὸς αὐτῶν ὀνομασθῆναι διὰ τὸ μὴ ἁρμόζειν αὐτὴν πᾶσιν, ἀπὸ τῆς συντάξεως ὠνομάσθη, καὶ ἐκλήθη ὑποτακτική· ἁρμόζει γὰρ πᾶσι τοῖς καλουμένοις ὑποτακτικοῖς τὸ ὑποτάσσεσθαι τούτοις τοῖς συνδέσμοις, φημὶ δὲ τῷ ἵνα, τῷ ὄφρα, τῷ ὅπως, τῷ ἐάν. Ἐὰν δέ τις εἴποι, καὶ εἰ ἄρα ἡ ὀνομασία ἡ ἀπὸ τῆς συντάξεως ἐπεκράτησε, διὰ τί μὴ λέγονται ἐπιζευκτικά, καὶ γὰρ αὕτη ἡ ὀνομασία, ὡς προείρηται, ἀπὸ τῆς συντάξεώς ἐστί; Λέγομεν, ὅτι ἡ ἐπιζευκτικὴ φωνὴ ἀτριβὴς μᾶλλον ἐστὶ καὶ ἀσυνήθης· ἡ δὲ τῶν ὑποτακτικῶν, κοινοτέρα καὶ συνήθης. Εἰκότως οὖν ἐκ τῆς κοινοτέρας καὶ συνηθεστέρας ἔλαβον τὴν ὀνομασίαν.

Ἀποροῦσι δέ τινες, λέγοντες, διατί μὴ καὶ τὰς ἄλλας ἐγκλίσεις ὑποτακτικὰς καλοῦμεν, πολλάκις γὰρ καὶ αὗται ὑποτάσσονται τοῖς συνδέσμοις, οἷον "καὶ τύπτε καὶ λέγε, καὶ περιπατῶ καὶ γράφω, εἰ λέγοιμι, εἰ γράφοιμι, καὶ γράφειν καὶ ἀναγινώσκειν;" Καὶ λέγομεν ὅτι οὐκ ἔστιν ὅμοιος ὁ τρόπος. Τὰ μὲν γὰρ ἄλλα ῥήματα δύνανται καὶ χωρὶς
22 b συνδέσμων δηλῶσαι τινὰ λόγον, οἷον τύπτω τύπτε τύπτοιμι· ἡ δὲ ὑποτακτικὴ ἔγκλισις ἄνευ συνδέσμου τὸ σημαινόμενον οὐ δύναται δηλῶσαι. Τὸ γὰρ "ἵνα τιμηθῶ ἐλυπήθης" ἐὰν εἴπω ἄνευ συνδέσμου, οἷον "τιμηθῶ ἐλυπήθης," οὐκ ἔτι σώζει τὸ σημαινόμενον. Ἄλλως τε δὲ αἱ μὲν ἄλλαι ἐγκλίσεις, ὡς εἴρηται, ἐκ τοῦ σημαινομένου ἔλαβον τὴν ὀνομασίαν, ἡ δὲ ὑποτακτικὴ ἔγκλισις διάφορα σημαινόμενα ἔχουσα, μὴ δυνηθεῖσα ἐκ τοῦ σημαινομένου λαβεῖν τὴν ὀνομασίαν, ἐξ ἀνάγκης ἐκ τῆς συντάξεως ἔλαβεν αὐτήν. Δηλοῦσι δὲ τὰ

πράγματα ἢ γινόμενα, ἅ ἐστιν ἐνεστῶτος, ἢ γενησόμενα, ἅ ἐστι μέλλοντος. Βούλεται δὲ ἐνταῦθα ὁ τεχνικὸς αἰτίαν εἰπεῖν δι' ἣν τὰ ὑποτακτικὰ εἰς ω λήγουσιν ἢ εἰς ΜΑΙ, οἷον ἐὰν τύπτω, ἐὰν τύπτωμαι· καὶ λέγει, ὅτι τὰ ὑποτακτικὰ ἢ γινόμενα πράγματα δηλοῦσι, οἷον ἐστὶν ἴδιον ἐνεστῶτος χρόνου, οἷον ἐὰν πράττω ὠφελοῦμαι, ἢ γενησόμενα πράγματα δηλοῦσιν, οἷον ἐστὶν ἴδιον μέλλοντος, οἷον "ἐὰν λούσωμαι ὑγιαίνω." Ἐπειδὴ οὖν τὰ ὑποτακτικὰ τὸ σημαινόμενον τοῦ ἐνεστῶτος καὶ τοῦ μέλλοντος ἔχουσι, τούτου χάριν τὰς μὲν καταλήξεις τῶν παρῳχημένων ἀπηρνήσαντο, ἀνεδέξαντο δὲ τὰς καταλήξεις τῶν ἐνεστώτων καὶ μελλόντων, οἷον τύπτω τύψω, τύπτομαι τύψομαι. Ταῦτα μὲν ὁ τεχνικός.

Ἰστέον δὲ ὅτι [h]κακῶς λέγει, πρῶτον μὲν γὰρ ἡνίκα αἰτιολογίαν σημαίνουσι τὰ ὑποτακτικά, γενόμενα ἤδη πράγματα δηλοῦσιν, ἅπερ ἐστὶ παρῳχημένου, οἷον ἵνα πράξω ἐφθόνησάς μοι, καὶ πάλιν, ἵνα ἀναγνῶ ὠφελήθην, ἀντὶ τοῦ διότι ἀνέγνων ὠφελήθην. Δεύτερον δέ, ὅτι οὐ δηλοῦσι τὰ ὑποτακτικὰ γινόμενα πράγματα, ἅπερ ἐστὶν ἐνεστῶτος, ἀλλ' ἀεὶ γενησόμενα, ἅπερ ἐστι μέλλοντος· ἐν γὰρ τῷ λέγειν ἐὰν πράττω [ὠφελοῦμαι,] περὶ μέλλοντος γενέσθαι πράγματος διστάζει τίς· καὶ πάλιν ἐν τῷ λέγειν ἵνα πράττω ἦλθον, μέλλοντος δηλῶ σημασίαν, ἵνα γὰρ πράττω τὸ μήπω γενόμενον λέγω ἐλθεῖν· ὡς γὰρ ἐν τοῖς εὐκτικοῖς ἐμάθομεν, αἱ λοιπαὶ ἐγκλίσεις αἱ παρὰ τὴν ὁριστικὴν μέλλοντος μόνου ἔχουσι τὴν σημασίαν, καὶ οὔτε ἐνεστῶτος οὔτε παρῳχημένου. Ἔτι δὲ εἰ καὶ ὑποθώμεθα τὴν ὑποτακτικὴν ἔγκλισιν διὰ τὸ ἔχειν σημασίαν ἐνεστῶτος καὶ μέλλοντος, ὥς φησὶν ὁ τεχνικός, διὰ [i]τοῦτο ἢ εἰς ω λήγειν ἢ εἰς ΜΑΙ, καὶ μὴ ἔχειν κατάληξιν παρῳχημένου διὰ τὸ μηδὲ σημασίαν αὐτοῦ ἔχειν, ὤφειλον μηδὲ αἱ λοιπαὶ ἐγκλίσεις αἱ παρὰ τὴν ὁριστικὴν ἔχειν κατάληξιν παρῳχημένου, ἐπειδὴ καὶ αὗται μέλλοντος καὶ μόνου ἔχουσι σημασίαν, ὡς ἐν τοῖς εὐκτικοῖς μεμαθήκαμεν, [k]ὅπερ οὐκ ἐφυλάχθη ἐπὶ ἐκείνων. Ἰδοὺ γὰρ τὸ μὲν προστακτικὸν

[h] καλῶς Bar. [i] τοῦτο Bar. τὸ Par. [k] ὥσπερ Bar.

τοῦ α' ἀορίστου καὶ τοῦ μέλλοντος τοῦ ἐνεργητικοῦ, τύψον
323 a ἐστι· τὸ δὲ προστακτικὸν τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ τύπτε, εἰς ον καὶ εἰς ε, [l]ἅπερ παρῳχημένου ἐστὶ καταλήξεις, ἔτυπτον γὰρ καὶ ἔτυπτε. [m]Οὐκ ἄρα καλῶς εἶπεν ὁ τεχνικὸς ὅτι διὰ τοῦτο τὰ ὑποτακτικὰ ἢ εἰς ω ἢ εἰς μαι λήγει, ἐπειδὴ ἐνεστῶτος καὶ μέλλοντος ἔχουσι σημασίαν, καὶ οὐ παρῳχημένου. Κρεῖττον οὖν ἐστι λέγειν, ὅτι αὗται αἱ καταλήξεις χαρακτηριστικαί εἰσι τῶν ὑποτακτικῶν, τουτέστιν εἰς ω καὶ εἰς μαι, καὶ μὴ ἀποδιδόναι αἰτίαν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τινὲς ἕκτην ἐβούλοντο εἰσάγειν τὴν ὑποθετικὴν διὰ τὰ τοιαῦτα,

ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδωμαι.
Ἀλλ' ἄνδρας κτείνωμεν.
Ἐξείπω καὶ πάντα διίξομαι.

λάβωμεν, φάγωμεν, δράμωμεν, ποιήσωμεν. Ὑποθετικὰ δὲ λέγονται, ἐπειδὴ ὑποτίθεταί τις καὶ συμβουλεύει τὸ πρακτέον. Ταῦτα δὲ τὰ ὑποθετικὰ οὐ λέγομεν ἄλλην ἔγκλισιν εἶναι, ἐπειδὴ οὐκ ἔχουσιν ἰδίας φωνάς· αἱ γὰρ φωναὶ αὐτῶν ὑποτακτικαί εἰσιν, ὡς ἐδήλωσε τὰ προλεχθέντα παραδείγματα. Περὶ τούτων δὲ πλατύτερον ἐν τοῖς προστακτικοῖς διελάβομεν.

"Ὑποτακτικὰ ἐνεργητικά, χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ, ἐὰν τύπτω."

Ἰστέον ὅτι ὥσπερ ἐν τοῖς προστακτικοῖς οὕτως καὶ ἐν τοῖς ὑποτακτικοῖς ὅλοι οἱ χρόνοι συνεζευγμένοι εἰσί, καὶ γὰρ ἐνεστῶτος καὶ παρατατικοῦ ὁμοῦ φαμέν, καὶ παρακειμένου καὶ ὑπερσυντελικοῦ πάλιν ὁμοίως, καὶ ἀορίστου καὶ μέλλοντος [πάλιν ὁμοίως ὁμοῦ.] Κανονίζει δὲ ὁ τεχνικὸς τὰ ἐνεργητικὰ ὑποτακτικὰ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ, καὶ τὰ τοῦ ἐνεργητικοῦ καὶ τὰ τοῦ μέσου παρακειμένου τοῦτον τὸν τρόπον· Οἱ τρεῖς παρῳχημένοι, ὁ παρατατικός φημι καὶ ὁ παρακείμενος, ὅ τε ἐνεργητικὸς ὅ τε μέσος δηλονότι, καὶ ἀόριστος ὅ τε πρῶτος καὶ ὁ δεύτερος, τὴν τελευταίαν τρέποντες εἰς ω,

[l] ὑπὲρ παρῳχημένων εἰσι Bar. [m] καὶ οὐκ Bar.

καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλοντες, τὸ ὑποτακτικὸν ποιοῦσιν, οἷον ἔτυπτον ἐὰν τύπτω, ἔγραφον ἐὰν γράφω, τέτυφα ἐὰν τετύφω, πεποίηκα ἐὰν πεποιήκω, τέτυπα ἐὰν τετύπω, ἔτυψα ἐὰν τύψω, ἔγραψα ἐὰν γράψω, ἔτυπον ἐὰν τύπω, ἔλαβον ἐὰν λάβω. Ἐμάθομεν δὲ ἐν τοῖς προλαβοῦσιν ὅτι ὁ παρακείμενος οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν. Μηδεὶς δὲ οἰέσθω τρεῖς μόνον παρῳχημένους εἶναι [n] παρὰ τὸ εἰπεῖν τὸν τεχνικὸν "οἱ τρεῖς παρῳχημένοι·" τέσσαρες γάρ εἰσι παρῳχημένοι, [παρατατικός, παρακείμενος, ὑπερσυντελικός, ἀόριστος·] ἀλλ' ἐπειδὴ οἱ τρεῖς οὗτοι παρῳχημένοι, λέγω δὴ ὁ παρατατικός, ὁ παρακείμενος, καὶ ὁ ἀόριστος, κανονίζουσι καὶ ποιοῦσι τὰ προλεχθέντα ὑποτακτικά, τούτου χάριν καὶ τῶν τριῶν μόνων τούτων παρῳχημένων ἐμνημόνευσε. Ταῦτα μὲν ἐν τούτοις.

Ἔστι δὲ εἰπεῖν καθολικὸν κανόνα περὶ τῶν ὑποτακτικῶν μὴ ἐχόντων τὸ μ κλιτικὸν τοιοῦτον· πᾶν ἐνεργητικὸν ἢ μέσον ἢ παθητικόν, μὴ ἔχον τὸ μ κλιτικὸν τοῦ ἰδίου ὁριστικοῦ παρῳχημένου, τοῦτον τὸν τρόπον κανονίζεται· πᾶς παρῳχημένος ὁριστικός, εἴτε ἐνεργητικὸς εἴτε μέσος εἴτε παθητικός, μὴ ἔχων τὸ μ κλιτικόν, τρέπων τὴν τελευταίαν συλ-
323 b λαβὴν εἰς ω μετὰ τοῦ ἀποβάλλειν τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν, τὸ ὑποτακτικὸν ποιεῖ, οἷον ἔτυπτον ἐὰν τύπτω, ἔλεγον ἐὰν λέγω, ἔγραφον ἐὰν γράφω, ἐποίουν ἐὰν ποιῶ, ἐβόων ἐὰν βοῶ, ἐχρύσουν ἐὰν χρυσῶ, ἔμαθον ἐὰν μάθω, ἔλαβον ἐὰν λάβω, ἔτυπον ἐὰν τύπω, ἔφαγον ἐὰν φάγω, ἔτυψα ἐὰν τύψω, ἐποίησα ἐὰν ποιήσω, ἐνόησα ἐὰν νοήσω, ἐλάλησα ἐὰν λαλήσω, ἐτετύφειν ἐὰν τετύφω, ἐπεποιήκειν ἐὰν πεποιήκω, ἐτετύπειν ἐὰν τετύπω, ἐδεδούπειν ἐὰν δεδούπω, ἐστάλκειν ἐὰν ἐστάλκω, ἐφθάρκειν ἐὰν ἐφθάρκω· ἐπὶ τούτων δέ, φημὶ δὴ ἐπὶ τοῦ ἐὰν ἐστάλκω καὶ ἐὰν ἐφθάρκω, ἐφυλάχθη ἡ ἐν ἀρχῇ κλιτικὴ ἔκτασις, ἐπειδὴ ἡ ἄρχουσά ἐστι τοῦ παρακειμένου [ἔφθαρκα καὶ ἔσταλκα]. Ὁ δὲ παρακείμενος, ὡς πολλάκις εἴρηται, οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς

[n] περὶ Bar.

αὐτοῦ κλιτικὴν ἔκτασιν. Εἰ οὖν ἀπεβλήθη ἐπὶ τούτων ἡ ἐν ἀρχῇ κλιτικὴ ἔκτασις, ηὑρίσκετο ἡ ἄρχουσα τοῦ παρακειμένου ἀποβαλλομένη, ὅπερ ἐστὶν ἀδύνατον. Πάλιν ἐτύφθην ἐὰν τυφθῶ, ἐτύπην ἐὰν τυπῶ, ἐνύγην ἐὰν νυγῶ, ἐδάμην ἐὰν δαμῶ· τοῦτο γὰρ οὐκ ἔχει τὸ μ κλιτικὸν, ἀλλὰ θεματικόν· περισπῶνται δὲ ταῦτα, ἐπειδὴ ἔχουσι τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, οἷον ὁ τυφθεὶς τοῦ τυφθέντος, τυπεὶς τυπέντος, νυγεὶς νυγέντος, δαρεὶς δαρέντος, δαμεὶς δαμέντος. Τὰ γὰρ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην μετὰ περισπωμένου τόνου ποιοῦσι τὸ ὑποτακτικὸν, ὃ μετ' ὀλίγον εἰσόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι καὶ τὰ εἰς μι ὁμοίως τοῖς εἰς ω [o] γίνονται ἀπὸ τῶν ἰδίων παρῳχημένων τροπῇ τῆς τελευταίας συλλαβῆς εἰς ω καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, οἷον ἐτίθην ἐὰν τιθῶ, ἵστην ἐὰν ἱστῶ. Περισπῶνται δὲ ταῦτα, ἐπειδὴ ἔχουσι τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, οἷον τιθεὶς τιθέντος, ἱστὰς ἱστάντος, διδοὺς διδόντος.

Τούτων οὕτως ἐχόντων, ἰστέον ὅτι ἡ δ' συζυγία τῶν εἰς μι οὐκ ἔχει ὑποτακτικὰ διὰ τοιαύτην αἰτίαν. Τὰ ὑποτακτικὰ
24 a τῶν εἰς μι θέλουσιν ὁμοφωνεῖν τοῖς πρωτοτύποις τῶν εἰς μι, οἷον τιθῶ τίθημι ἐὰν τιθῶ, ἱστῶ ἵστημι ἐὰν ἱστῶ, διδῶ δίδωμι ἐὰν διδῶ. Κατὰ τοῦτον οὖν τὸν κανόνα καὶ τὰ ὑποτακτικὰ τῆς δ' συζυγίας τῶν εἰς μι ἀναγκάζονται ὁμοφωνεῖν τοῖς πρωτοτύποις τῶν εἰς μι, οἷον ζευγνύω ζεύγνυμι ἐὰν ζευγνύω, ὀλλῶ ὄλλυμι ἐὰν ὀλλῶ, πηγνύω πήγνυμι ἐὰν πηγνύω. Ἀλλὰ μὴν οὕτως οὐκ ἠδύνατο εἶναι, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶς παρῳχημένος ὁριστικὸς, μὴ ἔχων τὸ μ κλιτικὸν, τρέπων τὴν τελευταίαν συλλαβὴν εἰς ω, καὶ ἀποβάλλων τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, τὸ ὑποτακτικὸν ποιεῖ· οἷον ἔτυπτον ἐὰν τύπτω, ἔμαθον ἐὰν μάθω. Καὶ περισπῶνται τὰ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, οἷον ἐτύφθην τυφθεὶς τυφθέντος ἐὰν τυφθῶ, ἐτύπην

[o] λήγοντα Bar.

τυπεὶς τυπέντος ἐὰν τυπῶ, ἐνύγην νυγεὶς νυγέντος ἐὰν νυγῶ, ἐδάρην δαρεὶς δαρέντος ἐὰν δαρῶ, ἐτίθην τιθεὶς τιθέντος ἐὰν τιθῶ, ἵστην ἱστὰς ἱστάντος ἐὰν ἱστῶ, ἐδίδων διδοὺς διδόντος ἐὰν διδῶ. Οὕτως οὖν καὶ ἀπὸ τοῦ παρατατικοῦ τοῦ ἐπήγνυν καὶ ἐζεύγνυν καὶ [p] ὤλλυν τροπῇ τῆς ἐσχάτης εἰς Ω, καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως ἐὰν πηγῶ, καὶ ἐὰν ὀλλῶ, καὶ ἐὰν ζευγνῶ, καὶ ἀναγκάζεται γενέσθαι περισπωμένως, ἐπειδὴ καὶ ταῦτα ἔχουσι τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην, οἷον πηγνὺς πηγνύντος, ὀλλὺς ὀλλύντος, ζευγνὺς ζευγνύντος, ὀμνὺς ὀμνύντος. Τῶν οὖν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος αὐτὰ ὁμοφωνεῖν τοῖς πρωτοτύποις τῶν εἰς ΜΙ, τοῦ δὲ ἑτέρου τὴν εἰς Ω μετὰ περισπωμένου τόνου κατάληξιν, οἷον ἐὰν πηγνῶ, ἐὰν ζευγνῶ, ἐὰν ὀμνῶ, ἐξ ἀνάγκης ἐπιλιμπάνουσι τὰ ὑποτακτικὰ τῆς δ' συζυγίας τῶν εἰς ΜΙ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς Ω ὑποτακτικὰ τότε περισπῶνται, ἡνίκα ἢ ὦσιν ἐνεστῶτος ἢ παρατατικοῦ, τοῦ οὖν ἐνεστῶτος περισπωμένου ὄντος, οἷον ποιῶ ἐποίουν ἐὰν ποιῶ, βοῶ ἐβόων ἐὰν βοῶ, χρυσῶ ἐχρύσουν ἐὰν χρυσῶ, ἡνίκα δὲ ἔχουσι τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην, [οἷον τυφθεὶς τυφθέντος ἐὰν τυφθῶ, τυπεὶς τυπέντος ἐὰν τυπῶ, νυγεὶς νυγέντος ἐὰν νυγῶ, δαρεὶς δαρέντος ἐὰν δαρῶ, σταλεὶς σταλέντος ἐὰν σταλῶ, σπαρεὶς σπαρέντος ἐὰν σπαρῶ, φθαρεὶς φθαρέντος ἐὰν φθαρῶ.] Τὰ δὲ μηδὲν ἐκ τούτων ἔχοντα βαρυτονοῦνται, οἷον ἔτυπτον ἐὰν τύπτω, ἔλεγον ἐὰν λέγω, ἔλαβον ἐὰν λάβω, ἔμαθον ἐὰν μάθω, ἔπαθον ἐὰν πάθω, εἶπον ἐὰν εἴπω, ἴδω ἐὰν ἴδω, τέτυφα ἐὰν τετύφω, τέτυπα ἐὰν τετύπω, πέποιθα ἐὰν πεποίθω· ταῦτα γάρ, εἰ καὶ [q] ἔχουσι
324 b τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως, ἀλλ' οὐκ ἔχουσιν αὐτὴν διὰ τοῦ ΝΤ κλινομένην, τετυφὼς γὰρ τετυφότος, καὶ τετυπὼς τετυπότος, καὶ πεποιθὼς πεποιθότος. Σεσημείωται τὸ ἐὰν εἰδῶ περισπώμενον, οἷον "ὄφρα εὖ εἰδῶ," τουτέστιν

[p] ὀλλ Par. ὤλυν Bar. [q] βαρύνοντα Bar.

οἷον ἵνα καλῶς γνῶ. Τοῦτο γὰρ οὔτε ἐνεστῶτος καὶ παρατατικοῦ ἐστι δηλοῖ τοῦ ἐνεστῶτος περισπωμένου ὄντος· παρακειμένου γάρ ἐστι τὸ οἶδα· ἀλλ᾽ οὔτε ἔχει τὴν μετοχὴν εἰς Σ μετ᾽ ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην, εἰδὼς γὰρ εἰδότος ἡ μετοχὴ εἰς Σ μὲν καὶ ὀξύτονος, ἀλλ᾽ οὐ διὰ τοῦ ΝΤ κλινομένη, καὶ δῆλον ὅτι οὐκ ὤφειλεν περισπᾶσθαι· ἀλλ᾽ ἔστιν εἰπεῖν ὅτι ἐπειδὴ τοῦτο εἰς ΗΝ καθαρὸν ἔχει τὸ εὐκτικὸν, εἰδείην γάρ ἐστι τὸ εὐκτικὸν, τὰ δὲ εἰς ΗΝ καθαρὸν ἔχοντα τὸ εὐκτικὸν εἰς Ω μετὰ περισπωμένου τόνου ἔχουσι τὸ ὑποτακτικὸν, οἷον τυφθείην ἐὰν τυφθῶ, δαρείην ἐὰν δαρῶ, νυγείην ἐὰν νυγῶ, σταλείην ἐὰν σταλῶ, φθαρείην ἐὰν φθαρῶ, τούτου οὖν χάριν ἐὰν εἰδῶ γέγονε τὸ ὑποτακτικόν. Εἰ δέ τις εἴποι, ἀλλ᾽ ἐκεῖνα ἔχουσιν εἰς ΗΝ καθαρὸν τὸ εὐκτικὸν ὅσα ἔχουσι τὴν μετοχὴν εἰς Σ μετ᾽ ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην, οἷον τυφθεὶς τυφθέντος τυφθείην, δαρεὶς δαρέντος δαρείην, νυγεὶς νυγέντος νυγείην, τούτου δὲ ἡ μετοχὴ εἰς Σ μετ᾽ ὀξείας τάσεως λήγει, ἀλλ᾽ οὖν οὐ κλίνεται διὰ τοῦ ΝΤ, εἰδὼς γὰρ εἰδότος ἐστὶν, καὶ οὐκ ὤφειλεν ἔχειν τὸ εὐκτικὸν εἰς ΗΝ καθαρὸν, οἷον εἰδείην, ἀλλ᾽ εἴδοιμι, ὡς τετύφοιμι. Ἔστιν εἰπεῖν ὅτι ἀπὸ τοῦ περιπατοῖμι γέγονεν περιπατοίη κατὰ τροπὴν τῆς ΜΙ εἰς ΗΝ, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ εἴδοιμι γέγονεν εἰδοίην κατὰ τροπὴν τοῦ ΜΙ εἰς ΗΝ, καὶ εἰδείην κατὰ τροπὴν τοῦ Ο εἰς Ε. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες, λέγοντες, ὅτι εἰ ἄρα ἐὰν εἰδῶ λέγομεν περισπωμένως ἐπὶ τοῦ ἐὰν μάθω, (πρόσκειται "ἐπὶ τοῦ ἐὰν μάθω" ἐπειδὴ ἐπὶ τοῦ θεωρῆσαι ἴδομεν λέγομεν βαρυτόνως καὶ διὰ τοῦ Ι,) καὶ ἐν τοῖς πληθυντικοῖς δὲ ἐὰν εἰδῶμεν καὶ ἐὰν εἰδῆτε καὶ ἐὰν εἰδῶσι φαμὲν (προ)περισπωμένως ἐπὶ τοῦ γνῶναι καὶ μαθεῖν, πῶς ὁ ποιητὴς

ἵνα εἴδωμεν (εἴδομεν) ἄμφω

εἶπε προπαροξυτόνως, ἐπὶ τοῦ ἵνα μάθωμεν; Ἔστιν οὖν εἰπεῖν, ὅτι ἐπειδὴ διὰ τὸ μέτρον συνέστειλεν τὸ Ω εἰς τὸ Ο, τούτου χάριν καὶ τὸν τόνον ἀνεβίβασεν.

Τούτων οὕτως ἐχόντων, δεῖ γινώσκειν ὅτι ἐὰν σχῶ, ἐὰν ὦ, καὶ ἐὰν σπῶ, τὸ λέγω καὶ ἀκολουθῶ, παράλογά εἰσι περισπώμενα, οὔτε γὰρ ἔχουσι τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην, σχὼν γὰρ σχόντος, καὶ ὢν ὄντος, καὶ σπὼν σπόντος ὀξυτόνως, ὀξύνονται μὲν γὰρ καὶ διὰ τοῦ ΝΤ κλίνονται, ἀλλ' οὐ λήγουσιν εἰς Σ, ἀλλ' οὐδὲ ἐνεστῶτος καὶ παρατατικοῦ εἰσὶν, τοῦ ἐνεστῶτος περισπωμένου ὄντος, β' γὰρ ἀορίστου εἰσὶ [[r] ταῦτα τοῦ   σπον, ὡς δηλοῦσιν αἱ μετοχαὶ σχὼν καὶ ὢν καὶ σπὼν ὀξυτόνως· αἱ γὰρ εἰς ΩΝ ὀξύτονοι μετοχαὶ β' ἀορίστου εἰσὶν,] οἷον λαβὼν,
325 a φαγὼν, [δραμὼν, μαθὼν, δακὼν, πιὼν, παθὼν, λαχών·] οὕτως οὖν καὶ ἐὼν, καὶ κατὰ ἀφαίρεσιν τοῦ Ε ὢν, καὶ σπών· τὸ γὰρ σπῶν σπῶντος, ὃ σημαίνει τὸ ἀνασπῶν, δευτέρας ἐστὶ συζυγίας τῶν περισπωμένων, ἐνεστῶτος χρόνου καὶ παρατατικοῦ. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἐὰν σχῶ καὶ ἐὰν ὦ καὶ ἐὰν σπῶ ἐξ ἀνάγκης περισπῶνται, βαρύνεσθαι μὲν γὰρ οὐκ ἠδύναντο, ἐπειδὴ μονοσύλλαβα εἰσίν· οὐδέποτε δὲ μονοσύλλαβος λέξις βαρύνεται, ἀλλ' ἢ ὀξύνεται, οἷον τίς, [s] τὶ, πούς, Ζεύς, Φρὺξ, Κρὴς, νὺξ, Θρᾷξ, ἢ περισπᾶται, οἷον βοῦς, νοῦς, ῥοῦς. Ὀξύνεσθαι [δὲ] οὐκ ἠδύναντο, ἐπειδὴ τὰ ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον τύπτω, γράφω, βοῶ, χρυσῶ, ποιῶ, χωρὶς ὧν ἐσημειωσάμεθα ἐν τοῖς προλαβοῦσιν· λοιπὸν οὖν ἐξ ἀνάγκης περισπῶνται, [t] οἷον ὦ, ἐὰν σχῶ, καὶ ἐὰν σπῶ, συντιθέμενα καὶ ὑπερβαίνοντα τὴν μονοσυλλαβίαν βαρύνονται, οἷον ἐὰν κατάσχω, καὶ ἐὰν παράσχω, [[u] ἐὰν μετασχῶ, ἐὰν προέσχω, ἐὰν ἐνίσπω,] ἐὰν ἐπίσπω· τὸ δὲ ἐὰν ὦ ἐν συνθέσει τὸν αὐτὸν τόνον φυλάσσει, οἷον ἐὰν συνῶ, ἐὰν παρῶ, ἐπειδὴ ἡ συναίρεσις ἐστὶν ἡ αἰτία, ἀπὸ γὰρ τοῦ ἐὰν συνέω καὶ ἐὰν παρέω γεγόνασι κατὰ κρᾶσιν τοῦ Ε καὶ Ω εἰς τὸ Ω· ἡ δὲ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον νοέω νοῶ, ποιέω ποιῶ, Πηλέϊ Πηλεῖ, ταχέϊ ταχεῖ, πάϊς παῖς, Ἡρακλέης Ἡρακλῆς, Σοφοκλέης Σοφοκλῆς, Ἀνδροκλέης Ἀνδροκλῆς.

[r] [ ] om. Bar. [s] τέως Bar. [t] ἀμελεὶ τὸ ἐὰν σχῶ Bar. [u] [ ] ἐὰν ἐπίσχω Bar.

“Ἐὰν τύπῃς.” Ἰστέον ὅτι καθόλου τὰ εἰς Ω ὑποτακτικὰ, ἀπὸ τῶν εἰς Ω ῥημάτων ὄντα, εἰς ΗΣ διὰ τοῦ Η καὶ Ι τὸ β′ πρόσωπον ποιοῦσι, πλὴν τῆς δευτέρας καὶ γ′ συζυγίας τῶν περισπωμένων, οἷον ἐὰν τύπτω ἐὰν τύπτῃς, ἐὰν τετύφω ἐὰν τετύφῃς, ἐὰν τετύπω ἐὰν τετύπῃς, ἐὰν τύψω ἐὰν τύψῃς, ἐὰν λάβω ἐὰν λάβῃς, ἐὰν τυφθῶ ἐὰν τυφθῇς, ἐὰν δαρῶ ἐὰν δαρῇς, ἐὰν ποιῶ ἐὰν ποιῇς, ἐὰν νοῶ ἐὰν νοῇς, ἐὰν τελῶ ἐὰν τελῇς· τὸ δὲ Ι προσγεγραμμένον ἔχουσι, ἐπειδὴ τὰ εἰς Ω λήγοντα ῥήματα θέλουσιν ἔχειν ἐν τῷ β′ καὶ γ′ προσώπῳ δίφθογγον τὴν μετὰ τοῦ Ι, οἷον τύπτω τύπτεις τύπτει, λέγω λέγεις λέγει, ποιῶ ποιεῖς ποιεῖ, βοῶ βοᾷς βοᾷ, χρυσῶ χρυσοῖς χρυσοῖ. Πρόσκειται τῷ κανόνι “πλὴν τῆς β′ καὶ γ′ συζυγίας τῶν περισπωμένων,” ἐπειδὴ ἡ β′ καὶ γ′ συζυγία τῶν περισπωμένων τὰ β′ καὶ γ′ πρόσωπα τῶν ὑποτακτικῶν ἔχει ὁμόφωνα τοῖς ἰδίοις ὁριστικοῖς, οἷον βοῶ βοᾷς βοᾷ, ἐὰν βοᾷς ἐὰν βοᾷ, ὁρῶ ὁρᾷς ὁρᾷ, ἐὰν ὁρᾷς ἐὰν ὁρᾷ, γελῶ γελᾷς γελᾷ, ἐὰν γελᾷς ἐὰν γελᾷ, χρυσῶ χρυσοῖς χρυσοῖ, ἐὰν χρυσῶ ἐὰν χρυσοῖς ἐὰν χρυσοῖ, στεφανῶ στεφανοῖς στεφανοῖ, ἐὰν στεφανῶ ἐὰν στεφανοῖς ἐὰν στεφανοῖ, ὀρθῶ ὀρθοῖς ὀρθοῖ, ἐὰν ὀρθῶ ἐὰν ὀρθοῖς ἐὰν ὀρθοῖ. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὰ μὲν ὑποτακτικὰ τῆς β′ καὶ γ′ συζυγίας τῶν
25 b περισπωμένων διὰ τοῦ Η καὶ Ι ἐκφέρονται κατὰ τὸ β′ καὶ γ′ πρόσωπον ὁμοίως τοῖς βαρυτόνοις, οἷον ἐὰν ποιῶ ἐὰν ποιῇς ἐὰν ποιῇ, ὥσπερ ἐὰν τύπτω ἐὰν τύπτῃς ἐὰν τύπτῃ, τὰ δὲ ὑποτακτικὰ τῆς β′ καὶ γ′ συζυγίας τῶν περισπωμένων οὐκ ἐκφέρονται κατὰ τὸ β′ καὶ γ′ πρόσωπον διὰ τοῦ Η καὶ Ι, ἀλλ᾽ ὁμοφωνοῦσι τοῖς ἰδίοις ὁριστικοῖς, οἷον βοῶ βοᾷς βοᾷ, ἐὰν βοῶ ἐὰν βοᾷς ἐὰν βοᾷ, χρυσῶ χρυσοῖς χρυσοῖ, ἐὰν χρυσῶ ἐὰν χρυσοῖς ἐὰν χρυσοῖ. Ἔστιν οὖν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· εἰ ἐγένετο τὰ ὑποτακτικὰ τῶν γ′ συζυγιῶν τῶν περισπωμένων κατὰ τὸ β′ καὶ γ′ πρόσωπον διὰ τοῦ Η καὶ Ι ὁμοίως τοῖς βαρυτόνοις, [οἷον ἐὰν ποιῶ ἐὰν ποιῇς ἐὰν ποιῇ, ἐὰν βοῶ ἐὰν βοῇς ἐὰν βοῇ, ἐὰν χρυσῶ ἐὰν χρυσῇς ἐὰν χρυσῇ, ὥσπερ ἐὰν τύπτω ἐὰν τύπτῃς ἐὰν τύπτῃ,] σύγχυσις ἤμελλεν εἶναι καὶ οὐδεμία διάκρισις τῶν συζυγιῶν ἐν τοῖς

ὑποτακτικοῖς. [[x] Ἐπειδὴ ἡ α′ συζυγία τῶν περισπωμένων κατὰ τὸ β′ καὶ γ′ πρόσωπον ἐν τοῖς ὁριστικοῖς καὶ ἐν τῇ συναιρέσει ὁμοίως τοῖς βαρυτόνοις διὰ τῆς ει διφθόγγου ἐκφέρεται, οἷον ποιῶ ποιεῖς ποιεῖ, ὥσπερ τύπτω τύπτεις τύπτει, τούτου χάριν καὶ ἐν τοῖς ὑποτακτικοῖς κατὰ τὸ β′ καὶ γ′ πρόσωπον διὰ τοῦ η καὶ ι ἐκφέρονται ὁμοίως τοῖς βαρυτόνοις, οἷον ἐὰν ποιῶ ἐὰν ποιῇς ἐὰν ποιῇ, ὥσπερ ἐὰν τύπτω, ἐὰν τύπτῃς, ἐὰν τύπτῃ· ἡ δὲ β′ καὶ γ′ συζυγία τῶν περισπωμένων οὐκ ἐκφέρεται] κατὰ τὸ β′ καὶ γ′ πρόσωπον [ἐν τοῖς ὁριστικοῖς] ὁμοίως τοῖς βαρυτόνοις ἐν τῇ συναιρέσει. [Ἡ μὲν γὰρ διὰ τῆς α διφθόγγου ἐκφέρεται· ἡ δὲ διὰ τῆς οι διφθόγγου, οἷον βοῶ βοᾷς βοᾷ, χρυσῶ χρυσοῖς χρυσοῖ.] Τούτου χάριν οὐδὲ ἐν τοῖς ὑποτακτικοῖς κατὰ τὸ β′ καὶ γ′ πρόσωπον ὁμοίως τοῖς βαρυτόνοις διὰ τοῦ η καὶ ι ἐκφέρεται, ἀλλ' ὁμοφωνεῖ τοῖς ἰδίοις ὁριστικοῖς. [Κλινομένη λοιπὸν ἐκ τῶν ὁριστικῶν τοῖς συνδέσμοις, οἷον βοῶ βοᾷς βοᾷ, ἐὰν βοῶ ἐὰν βοᾷς ἐὰν βοᾷ, χρυσῶ χρυσοῖς χρυσοῖ, ἐὰν χρυσῶ ἐὰν χρυσοῖς ἐὰν χρυσοῖ.] Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐν μὲν τοῖς ὁριστικοῖς κατὰ τὸ β′ καὶ γ′ πρόσωπον τῶν [y] ἑνικῶν τὸ ι ἐκφωνεῖται, [οἷον τύπτω τύπτεις τύπτει, ποιῶ ποιεῖς ποιεῖ, χρυσῶ χρυσοῖς χρυσοῖ,] χωρὶς τῆς β′ συζυγίας τῶν περισπωμένων· αὕτη γὰρ τὸ ι ἀνεκφώνητον ἔχει κατὰ τὸ β′ καὶ γ′ πρόσωπον, οἷον βοῶ βοᾷς βοᾷ· ἐν δὲ τοῖς ὑποτακτικοῖς κατὰ τὸ β′ καὶ γ′ πρόσωπον ἀνεκφώνητον τὸ ι ἐστὶν, [οἷον ἐὰν τύπτω ἐὰν τύπτῃς ἐὰν τύπτῃ, ἐὰν ποιῶ ἐὰν ποιῇς ἐὰν ποιῇ, ἐὰν βοῶ ἐὰν βοᾷς ἐὰν βοᾷ] χωρὶς τῆς γ′ συζυγίας τῶν περισπωμένων· αὕτη γὰρ τὸ ι ἐκφωνεῖ κατὰ τὸ β′ καὶ γ′ πρόσωπον, οἷον ἐὰν χρυσῶ ἐὰν χρυσοῖς ἐὰν χρυσοῖ. Ὥστε οὖν ἡ μὲν α′ συζυγία τῶν περισπωμένων ἐν μὲν τοῖς ὁριστικοῖς παράλογός ἐστιν, ὡς ἔχουσα τὸ ι ἀνεκφώνητον, ἐν δὲ τοῖς ὑποτακτικοῖς ἀνάλογος· ἡ δὲ γ′ συζυγία τῶν περισπωμένων ἐν μὲν τοῖς ὁριστικοῖς ἀνάλογός
326 a ἐστιν, ὡς ἔχουσα τὸ ι ἐκφωνούμενον, ἐν δὲ τοῖς ὑποτακτικοῖς

[x] [ ] om. Bar. [y] ἐνεργητικῶν Bar.

παράλογός ἐστιν, ὡς ἔχουσα τὸ ι ἐκφωνούμενον. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται δὲ ἀνωτέρω ἐν τῷ κανόνι "ἀπὸ τῶν εἰς ω ῥημάτων ὄντα," διὰ τὰ ἀπὸ τῶν εἰς μι· τὰ γὰρ εἰς μι ἐν τοῖς ὑποτακτικοῖς κατὰ τὸν ἐνεστῶτα καὶ τὸν παρατατικὸν καὶ τὸν β' ἀόριστον τὸν ἐνεργητικόν, ἐπὶ μὲν τῆς α' συζυγίας τῶν περισπωμένων, διὰ τοῦ η καὶ ι ἐκφέρονται κατὰ τὸ β' καὶ γ' πρόσωπον, οἷον τιθῶ ἐὰν τιθῇς ἐὰν τιθῇ, ἐὰν θῶ ἐὰν θῇς ἐὰν θῇ· ἐπὶ δὲ τῆς β' συζυγίας, κατὰ τὸν ἐνεστῶτα καὶ παρατατικὸν διὰ τῆς ει διφθόγγου ἐκφέρεται τὸ β' καὶ γ' πρόσωπον προσγραφομένου τοῦ ι, μὴ συνεκφωνουμένου δέ· οἷον, ἐὰν ἱστῶ ἐὰν ἱστᾷς ἐὰν ἱστᾷ· κατὰ δὲ τὸν β' ἀόριστον τὸν ἐνεργητικὸν διὰ τοῦ η καὶ ι ἐκφέρεται κατὰ τὸ β' καὶ γ' πρόσωπον, οἷον ἐὰν στῶ ἐὰν στῇς ἐὰν στῇ· ἐπὶ δὲ τῆς γ' συζυγίας τῶν εἰς μι, καὶ κατὰ τὸν ἐνεστῶτα καὶ τὸν παρατατικὸν καὶ τὸν β' ἀόριστον τὸν ἐνεργητικὸν διὰ τοῦ ωι διφθόγγου ἐκφέρεται τὸ β' καὶ γ' πρόσωπον, οἷον [ἐὰν διδῶ ἐὰν διδῷς ἐὰν διδῷ. διδῷ] ἐὰν δῷ ἐὰν δῷς ἐὰν δῷ, ἐὰν γνῷ ἐὰν γνῷς ἐὰν γνῷ·

γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων·

ἐὰν βιῶ [ἐὰν βιῷς ἐὰν βιῷ,] ἐὰν ἁλῷ ἐὰν ἁλῷς ἐὰν ἁλῷ. Καὶ ἀποροῦσι τινὲς, λέγοντες, εἰ ἄρα, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται, ὅτι οὐδέποτε τρίτον πρώτῳ ὁμοφωνεῖ κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ κατὰ τὴν αὐτὴν διάλεκτον, πῶς λέγομεν ἐὰν γνῷ ἐγώ, ἐὰν γνῷ ἐκεῖνος; Ἰδοὺ γὰρ τὸ τρίτον πρώτῳ ὁμοφωνεῖ κατὰ τὸν αὐτὸν ἀριθμόν, ἀμφότερα γὰρ ἑνικά εἰσι, καὶ κατὰ τὴν αὐτὴν διάλεκτον, ἀμφότερα γὰρ κοινά εἰσι; Πρὸς τοὺς οὕτως ἀποροῦντας ἔστιν εἰπεῖν, ὅτι οὐκ ἔστιν ἐνταῦθα τρίτον πρώτῳ ὁμοφωνεῖν· τὸ μὲν γὰρ τρίτον πρόσωπον προσγεγραμμένον ἔχει τὸ ι, τὸ δὲ πρῶτον οὐκ ἔχει προσγεγραμμένον τὸ ι. Τὸ μὲν α' οὐκ ἔχει προσγεγραμμένον τὸ ι, ἐπειδὴ τὰ εἰς ω λήγοντα ῥήματα, πρώτου προσώπου ὄντα, οὐ θέλουσιν ἔχειν ἐν τῇ τελευταίᾳ συλλαβῇ τί ποτε ἀνεκφώνητον, οἷον τύπτω, γράφω, λέγω, βοῶ, χρυσῶ· τὸ δὲ γ' πρόσωπον ἔχει προσγεγραμμένον τὸ ι,

ἐπειδὴ τὰ εἰς Ω λήγοντα θέλουσιν ἔχειν κατὰ τὸ β′ πρόσωπον καὶ τρίτον δίφθογγον τὴν μετὰ τοῦ Ι, [οἷον τύπτω τύπτεις τύπτει, ποιῶ ποιεῖς ποιεῖ, βοῶ βοᾷς βοᾷ, χρυσῶ χρυσοῖς χρυσοῖ, ἐὰν τύπτω ἐὰν τύπτῃς ἐὰν τύπτῃ·] οὕτως οὖν καὶ ἐὰν γνῶ ἐὰν γνῷς ἐὰν γνῷ, τὸ β′ καὶ γ′ πρόσωπον διὰ διφθόγγου [z] τῆς μετὰ τοῦ Η καὶ Ι.

“Ἐὰν τύπτῃ.” Εἴρηται ὅτι πᾶν β′ πρόσωπον εἰς Σ λῆγον ἀποβολῇ τοῦ Σ τὸ γ′ ποιεῖ, [οἷον ποιεῖς ποιεῖ, τύπτεις τύπτει, ἔτυπτες ἔτυπτε·] περὶ γὰρ τοῦ παρακειμένου καὶ τοῦ α′ ἀορίστου ὅτι τροπὴ παρηκολούθησε τοῦ Α εἰς Ε μεμαθήκαμεν, οἷον τέτυφας τέτυφε, ἔτυψας ἔτυψεν. Ὡσαύτως δὲ καὶ περὶ τοῦ ἐνεστῶτος τοῦ ἀπὸ τῶν εἰς ΜΙ ὅτι πρὸς οἷς οὐκ ἀποβάλλουσι τὸ Σ ταῦτα ἀλλὰ καὶ τὸ Ι προσλαμβάνουσιν [οἷον τίθης τίθησι, ἵστης ἵστησι, δίδως δίδωσι.]

326 b “Ἐὰν τύπτητον, ἐὰν τύπτητον.” Ἰστέον ὅτι τὸ μὲν πρῶτον πρόσωπον τῶν δυϊκῶν ἐπιλιμπάνει ἐνταῦθα, ἐπειδὴ τὸ α′ πρόσωπον τῶν πληθυντικῶν τὸ Μ ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχει· ἐὰν τύπτωμεν γὰρ τὸ α′ πρόσωπον τῶν πληθυντικῶν. Τὸ β′ τῶν δυϊκῶν ἀπὸ τοῦ β′ τῶν πληθυντικῶν γέγονε τροπῇ τοῦ Ε εἰς ΟΝ, οἷον ἐὰν τύπτητε, ἐὰν τύπτητον. Τὸ γ′ τῶν δυϊκῶν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ γ′ τῶν πληθυντικῶν εἰς ΣΙ λήγει, ἐὰν τύπτωσι γάρ· καθόλου δὲ ἐν τοῖς ὑποτακτικοῖς τὸ γ′ τῶν δυϊκῶν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ γ′ τῶν πληθυντικῶν εἰς ΣΙ λήγει [ἢ εἰς ΤΑΙ.]

“Πληθυντικά· ἐὰν τύπτωμεν.” Ἰστέον ὅτι πᾶν ὑποτακτικὸν εἰς Ω λῆγον προσθήκῃ τῆς ΜΕΝ τὸ α′ πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, καὶ φυλάττει τὸ Ω, [οἷον ἐὰν τύπτω ἐὰν τύπτωμεν, ἐὰν τετύφω ἐὰν τετύφωμεν, ἐὰν τύψω ἐὰν τύψωμεν, ἐὰν τυφθῶ ἐὰν τυφθῶμεν, ἐὰν βοῶ ἐὰν βοῶμεν, ἐὰν χρυσῶ ἐὰν χρυσῶμεν].

“Ἐὰν τύπτητε.” Ἰστέον ὅτι τὰ εἰς ΜΕΝ ὑποτακτικὰ τροπῇ τῆς ΜΕΝ εἰς ΤΕ καὶ τοῦ παραλήγοντος Ω εἰς Η τὸ β′ πρόσωπον τῶν πληθυντικῶν ποιοῦσιν, [οἷον ἐὰν τύπτωμεν

[z] τῆς μετὰ τοῦ Ι, οἷον τύπτῃ· εἴρηται Bar.

ἐὰν τύπτητε, ἐὰν τετύφωμεν ἐὰν τετύφητε, ἐὰν τύψωμεν ἐὰν τύψητε, ἐὰν τυφθῶμεν ἐὰν τυφθῆτε, ἐὰν τυπῶμεν ἐὰν τυπῆτε, ἐὰν ποιῶμεν ἐὰν ποιῆτε, ἐὰν νοῶμεν ἐὰν νοῆτε,] ἐὰν [τε]λῶμεν ἐὰν [τε]λῆτε. Δεῖ προσθεῖναι, χωρὶς τῆς β′ καὶ γ′ συζυγίας τῶν περισπωμένων· καὶ χωρὶς μὲν τῆς β′, ἐπειδὴ ἐπὶ ταύτης τὸ β′ τῶν πληθυντικῶν ὁμόφωνόν ἐστι τῷ ἰδίῳ ὁριστικῷ, οἷον βοῶμεν βοᾶτε, ἐὰν βοῶμεν ἐὰν βοᾶτε, [ἐὰν γελῶμεν ἐὰν γελᾶτε, περῶμεν περᾶτε, ἐὰν περῶμεν ἐὰν περᾶτε·] "χωρὶς δὲ τῆς γ′ συζυγίας τῶν περισπωμένων" [πρόσκειται,] ἐπειδὴ ἐπὶ ταύτης φυλάττεται τὸ ω κατὰ τὸ β′ πρόσωπον τῶν πληθυντικῶν, οἷον ἐὰν χρυσῶμεν ἐὰν χρυσῶτε, [ἐὰν στεφανῶμεν ἐὰν στεφανῶτε.] Οὐ δυνάμεθα δὲ λέγειν, ἐὰν χρυσοῦτε, ἐὰν στεφανοῦτε, ἐπειδὴ τὰ εἰς ΜΕΝ καὶ τὰ εἰς ΤΕ τὰ ἴσα φωνήεντα θέλουσι φυλάττειν ἐν τῇ παραληγούσῃ, οἷον τύπτομεν τύπτετε, [λέγομεν λέγετε,] βοῶμεν βοᾶτε, [ποιοῦμεν ποιεῖτε.] Εἰ οὖν ἐὰν χρυσῶμεν [καὶ ἐὰν στεφανῶμεν] φαμὲν δι' ἑνὸς φωνήεντος δηλονότι, καὶ ἐὰν χρυσῶτε [καὶ ἐὰν στεφανῶτε δεῖ λέγειν] δι' ἑνὸς φωνήεντος, [καὶ οὐχὶ ἐὰν χρυσοῦτε καὶ ἐὰν στεφανοῦτε διὰ δύο φωνηέντων. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ΜΙ κατὰ τὸν ἐνεστῶτα καὶ παρατατικὸν καὶ τὸν β′ ἀόριστον τὸν ἐνεργητικὸν, ἐπὶ μὲν τῆς α′ συζυγίας τὸ ω εἰς Η τρέπουσι κατὰ τὸ β′ καὶ γ′ πρόσωπον τῶν πληθυντικῶν, οἷον ἐὰν τιθῶμεν ἐὰν τιθῆτε, [ἐὰν θῶμεν ἐὰν θῆτε.] Ἐπὶ δὲ τῆς β′ συζυγίας κατὰ μὲν τὸν β′ ἀόριστον ὡσαύτως τὸ ω εἰς Η τρέπεται ἐν τῷ β′ προσώπῳ τῶν πληθυντικῶν, οἷον ἐὰν στῶμεν ἐὰν στῆτε, ἐὰν [a] βῶμεν ἐὰν βῆτε· κατὰ δὲ τὸν ἐνεστῶτα καὶ παρατατικὸν ὁμόφωνον γίνεται
27 a τὸ β′ τῶν πληθυντικῶν τῷ ἰδίῳ ὁριστικῷ, οἷον ἱστῶμεν ἱστᾶτε, [ἐὰν ἱστῶμεν ἐὰν ἱστᾶτε.] Ἐπὶ δὲ τῆς γ′ συζυγίας τῶν εἰς ΜΙ καὶ κατὰ τὸν ἐνεστῶτα καὶ παρατατικὸν καὶ κατὰ τὸν ἀόριστον τὸν ἐνεργητικὸν φυλάττεται τὸ ω ἐν τῷ β′ προσώπῳ τῶν πληθυντικῶν, οἷον ἐὰν δίδωμεν, ἐὰν δίδωτε,

[a] βοῶμεν et mox βοῆτε Bar.

ἐὰν δῶμεν ἐὰν δῶτε, ἐὰν γνῶμεν ἐὰν γνῶτε, ἐὰν [b] *βιῶμεν ἐὰν βιῶτε, ἐὰν ἁλῶμεν ἐὰν ἁλῶτε. Ταῦτα μὲν ἐν τούτοις.*

Ἰστέον δὲ ὅτι εὐλόγως ἐν τοῖς ὑποτακτικοῖς τρεπόμενον τὸ Ω *ἐν τῷ β′ προσώπῳ τῶν πληθυντικῶν εἰς* Η *τρέπεται, ἐπειδὴ τὰ εἰς* ΜΕΝ *καὶ τὰ εἰς* ΤΕ *ἰσοχρονεῖν θέλουσι κατὰ τὴν παραλήγουσαν, οἷον τύπτομεν τύπτετε, καὶ ἀμφοτέρων ἡ παραλήγουσα βραχεῖά ἐστιν. [Ὁμοίως λέγομεν λέγετε, ποιοῦμεν ποιεῖτε, ἀμφοτέρων ἡ παραλήγουσα μακρά ἐστιν, ὁμοίως βοῶμεν βοᾶτε, χρυσοῦμεν χρυσοῦτε.] Εἰ οὖν τὸ ἐὰν τύπτωμεν μακρὰν ἔχει τὴν παραλήγουσαν, δηλονότι καὶ τὸ ἐὰν τύπτητε μακρὰν ἀναγκάζεται ἔχειν τὴν παραλήγουσαν, καὶ εὐλόγως εἰς τὸ* Η *ἐγένετο ἡ τροπὴ τοῦ* Ω.

" *Ἐὰν τύπτωσι.*" *Ἰστέον ὅτι καθόλου ἐν τοῖς ὑποτακτικοῖς τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τροπῇ τῆς* ΜΕΝ *εἰς* ΣΙ *τὸ γ′ τῶν πληθυντικῶν ποιεῖ, καὶ φυλάττει τὴν παραλήγουσαν, [οἷον ἐὰν τύπτωμεν ἐὰν τύπτωσιν,] ἐὰν τετύφωμεν ἐὰν τετύφωσιν, ἐὰν τύψωμεν ἐὰν τύψωσιν, ἐὰν τυφθῶμεν ἐὰν τυφθῶσιν, ἐὰν τυπῶμεν ἐὰν τυπῶσιν, ἐὰν βοῶμεν ἐὰν βοῶσιν, ἐὰν χρυσῶμεν ἐὰν χρυσῶσιν.]*

" *Παρακειμένου καὶ ὑπερσυντελικοῦ. Ἐὰν τετύφω.*"

Ἀπὸ τοῦ τέτυφα γέγονε τροπῇ τοῦ Α *εἰς* Ω, *ἐφυλάχθη δὲ ἡ ἐν ἀρχαῖς κλιτικὴ ἔκτασις· ὡς γὰρ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, ὅτι ὁ παρακείμενος οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν. [Οὔτε γὰρ ἐν ταῖς μετοχαῖς ἀποβάλλει αὐτήν, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν.]*

" *Ἐὰν τετύφῃς ἐὰν τετύφῃ, ἐὰν τετύφητον ἐὰν τετύφητον, ἐὰν τετύφωμεν ἐὰν τετύφητε ἐὰν τετύφωσιν, εἴρηται. Μέσου παρακειμένου καὶ ὑπερσυντελικοῦ. [*[c] *Ἐὰν τετύπω, ἐὰν τετύπῃς, ἐὰν τετύπῃ, ἐὰν τετύπητον ἐὰν τετύπητον, ἐὰν τετύπωμεν ἐὰν τετύπητε ἐὰν τετύπωσιν.] Ἀορίστου α′ καὶ μέσου. Ἐὰν τύψω.*"

Ἰστέον ὅτι τὰ ὑποτακτικὰ τοῦ ἀορίστου καὶ μέλλοντος κανονίζονται ἐκ τοῦ ἀορίστου καὶ οὐκ ἐκ τοῦ μέλλοντος. Καὶ

[b] *βοῶμεν* et *βοῶτε* Bar. [c] *πρόδηλος ἡ διδασκαλία* Bar.

τοῦτο δείκνυμεν διὰ τριῶν αἰτιῶν. Καὶ πρώτη μὲν αἰτία ἐστιν, ἡ ἀπὸ τῆς ε′ συζυγίας τῶν βαρυτόνων. Δεῖ γὰρ γινώσκειν ὅτι τοῦ κείρω καὶ σπείρω ὁ μὲν μέλλων κερῶ καὶ σπερῶ ἐστι περισπωμένως καὶ διὰ τοῦ ε, ὁ δὲ ἀόριστος ἔσπειρα ἐστὶ βαρυτόνως καὶ διὰ τῆς ει διφθόγγου. Εἰ οὖν τὸ ὑποτακτικὸν ἐὰν κείρω καὶ ἐὰν σπείρω φαμὲν, καὶ οὐκ ἐὰν κερῶ καὶ ἐὰν σπερῶ, δηλονότι ἐκ τοῦ ἔκειρα καὶ ἔσπειρα ἀορίστου γέγονε, καὶ οὐκ ἐκ τοῦ κερῶ καὶ σπερῶ περισπωμένου μέλλοντος. Δευτέρα δὲ αἰτία ἐστὶν αὕτη, ἡ ἐκ τῶν Ἀττικῶν. Οἱ γὰρ Ἀθηναῖοι ἐπὶ τῶν διὰ τοῦ ιζω ῥημάτων, τῶν διὰ τοῦ ι γραφομένων τῶν ὑπὲρ δύο συλλαβὰς, ἔθος
327 b ἔχουσιν ἀποβάλλειν τὸ ι κατὰ τὸν μέλλοντα καὶ περισπᾶν, οἷον λακτίζω λακτίσω λακτιῶ, [συρίζω συρίσω συριῶ.] Εἰ ἄρα οὖν τὸ ὑποτακτικὸν ἐὰν λακτίσω [καὶ ἐὰν συρίσω] λέγουσι, καὶ οὐκ ἐὰν λακτιῶ, καὶ ἐὰν συριῶ, δηλονότι ἐκ τοῦ ἐλάκτισα [καὶ ἐσύρισα] ἀορίστου γέγονε, καὶ οὐκ ἐκ τοῦ λακτιῶ [καὶ συριῶ] μέλλοντος. Ἡ τρίτη δὲ αἰτία ἐστὶν, ἡ ἀπὸ τῶν Δωριέων· οἱ γὰρ Δωριεῖς πάντας τοὺς ὁριστικοὺς μέλλοντας περισπῶσι· ποιησῶ γὰρ καὶ τυψῶ λέγουσι περισπωμένως· εἰ ἄρα οὖν τὸ ὑποτακτικὸν ἐὰν τύψω καὶ ἐὰν ποιήσω λέγουσι βαρυτόνως, καὶ οὐκ ἐὰν τυψῶ καὶ ἐὰν ποιησῶ περισπωμένως, δηλονότι ἐκ τοῦ ἔτυψα καὶ ἐποίησα ἀορίστου γέγονε, [καὶ οὐκ ἐκ τοῦ τυψῶ καὶ ποιησῶ μέλλοντος.]

"Ἐὰν τύψῃς ἐὰν τύψῃ, ἐὰν τύψητον ἐὰν τύψητον, ἐὰν τύψωμεν ἐὰν τύψητε ἐὰν τύψωσιν. Εἴρηται. Ἀορίστου δευτέρου καὶ μέλλοντος." Ἐὰν τύπω ἀπὸ τοῦ ἀορίστου γέγονεν, ἐὰν τύπω, ὥσπερ καὶ ἀπὸ τοῦ ἔλαβον ἐὰν λάβω, [καὶ ἀπὸ τοῦ ἔμαθον ἐὰν μάθω.] "Ἐὰν τύπῃς ἐὰν τύπῃ, ἐὰν τύπητον, ἐὰν τύπωμεν ἐὰν τύπητε ἐὰν τύπωσιν. Εἴρηται."

Ὑποτακτικὰ παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ, ἐὰν τύπτωμαι."

Ἰστέον ὅτι κανονίζει ὁ τεχνικὸς τὸ ὑποτακτικὸν παθητικὸν τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ τοῦτον τὸν τρόπον· ὁ ἐνεργητικὸς ἐνεστὼς τῶν ὑποτακτικῶν προσθήκῃ τῆς ΜΑΙ

παθητικὸς γίνεται καὶ φυλάττει τὸ ω, οἷον [ἐὰν τύπτω ἐὰν τύπτωμαι, ἐὰν λέγω ἐὰν λέγωμαι, ἐὰν ποιῶ ἐὰν ποιῶμαι,] ἐὰν βοῶ ἐὰν βοῶμαι, [ἐὰν χρυσῶ ἐὰν χρυσῶμαι.] Ἔστι δὲ εἰπεῖν καθολικὸν κανόνα τοιοῦτον περὶ τῶν ὑποτακτικῶν τῶν ἐχόντων τὸ μ κλιτικόν· Πᾶς παρῳχημένος ὁριστικὸς ἔχων τὸ μ κλιτικὸν, εἴτε παθητικὸς εἴτε μέσος, τρέπων τὴν τελευταίαν συλλαβὴν εἰς μαι, καὶ τὸ παραλῆγον φωνῆεν εἰς ω μετὰ τὸ ἀποβαλεῖν τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, δηλονότι χωρὶς τοῦ παρακειμένου, οὗτος γὰρ, ὡς εἴρηται, οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν, [οὔτε ἐν ταῖς μετοχαῖς οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι,] τὸ ὑποτακτικὸν ποιεῖ· οἷον ἐτυπτόμην ἐὰν τύπτωμαι, ἐλεγόμην ἐὰν λέγωμαι, ἐποιούμην ἐὰν ποιῶμαι, [ἐβοώμην ἐὰν βοῶμαι, ἐχρυσούμην ἐὰν χρυσῶμαι,] ἐτυψάμην ἐὰν τύψωμαι, [ἐποιησάμην ἐὰν ποιήσωμαι,] ἐτυπόμην ἐὰν τύπωμαι, [ἐλαβόμην ἐὰν λάβωμαι], ἐτιθέμην ἐὰν τίθωμαι, ἱστάμην ἐὰν ἵστωμαι, ἐδιδόμην ἐὰν δίδωμαι, ἐδυνάμην ἐὰν δύνωμαι, ἐκρεμάμην ἐὰν κρέμωμαι, ἐπιστάμην ἐὰν ἐπίστωμαι, [ἐπεποιήμην ἐὰν πεποιῶμαι,] ἐκεκτήμην ἐὰν κεκτῶμαι, ἐμεμνήμην ἐὰν μεμνῶμαι. Ἐὰν δὲ εὑρεθῇ ἐν τῷ παθητικῷ παρακειμένῳ πρὸ τοῦ μ ἕτερον σύμφωνον, τότε τὸ ὑποτακτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος, οἷον [τέτυμμαι, ἐὰν τετυμ-
328 a μένος ὦ, λέλεγμαι, ἐὰν λελεγμένος ὦ,] ἔσπαρμαι, ἐὰν ἐσπαρμένος ὦ, [ἔφθαρμαι, ἐὰν ἐφθαρμένος ὦ.] Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἀεὶ ὁ παρακείμενος ὁ παθητικὸς ἐν τοῖς ὑποτακτικοῖς πρὸ μιᾶς συλλαβῆς ἔχει τὸν τόνον, ἤγουν προπερισπᾶται, οἷον ἐὰν κεχρυσῶμαι, ἐὰν πεποιῶμαι, ἐὰν μεμνῶμαι, ἐὰν κεκτῶμαι. Καὶ τὰ εἰς μι δὲ κατὰ τὸν ἐνεστῶτα καὶ παρατατικὸν τῶν ὑποτακτικῶν τῶν παθητικῶν προπερισπῶνται, οἷον ἐὰν τιθῶμαι, ἐὰν ἱστῶμαι, ἐὰν διδῶμαι· χωρὶς εἰ μήπω εὑρεθῇ τὸ ἐνεργητικὸν ὁριστικὸν ἐν χρήσει, τότε παθητικὸν τὸ ὑποτακτικὸν προπαροξύνεται, οἷον ἐὰν δύνωμαι, ἐὰν κρέμωμαι, ἐὰν ἐπίστωμαι, ὃ σημαίνει τὸ γινώσκω· οὐκ ἔστι γὰρ τὸ δύνημι ἐν χρήσει, ἢ τὸ κρέμημι, ἢ τὸ ἐπίστημι.

Τούτων οὕτως ἐχόντων, δεῖ γινώσκειν ὅτι πρόσκειται ἐν τῷ κανόνι "ἔχον τὸ μ κλιτικὸν" διὰ τὸ ἐδάμην. Τούτου γὰρ τὸ ὑποτακτικὸν οὐκ ἔστιν εἰς μαι, ἀλλ' εἰς ω, οἷον δαμῶ, ἀλλ' οὐκ ἔχει τὸ μ κλιτικὸν [ἀλλὰ θεματικὸν,] ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· δάμνω γάρ ἐστιν ὁ ἐνεστὼς καὶ ἔχει τὸ μ κλιτικόν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὡς συγκέχυται ἡ λέξις, ἤγουν τὸ κείμενον τοῦ τεχνικοῦ. Ἔδει γὰρ ἐν τῷ περὶ β' καὶ γ' [d]προσώπου λόγῳ μνησθῆναι τῶν β' καὶ γ' προσώπων τῆς β' καὶ γ' συζυγίας τῶν περισπωμένων. Ὁ δὲ οὐκ ἐκεῖ τούτων ἐμνήσθη, ἀλλ' ἐνταῦθα ἐν τῷ κανόνι τοῦ α' προσώπου [e]λέγει· ὥσπερ γὰρ ἐν τοῖς ἐνεργητικοῖς τὰ β' καὶ γ' πρόσωπα τῆς β' καὶ γ' συζυγίας τῶν περισπωμένων [f]οὐ διενηνόχασιν ὡς πρὸς τὰ ὁριστικὰ, οὕτω καὶ ἐν τοῖς παθητικοῖς· τὰ [δὲ] β' καὶ γ' πρόσωπα τοῖς ὁριστικοῖς [ὡμοφώνησαν.] Τὸ δὲ λεγόμενον τοῦτο ἐστι· Καθάπερ τὰ β' καὶ γ' πρόσωπα τῆς β' καὶ γ' συζυγίας τῶν περισπωμένων τῶν ὑποτακτικῶν ἐνεργητικῶν, τουτέστι τὸ ἐὰν βοᾷς ἐὰν βοᾷ, ἐὰν χρυσοῖς ἐὰν χρυσοῖ, οὐ διενηνόχασιν ὡς πρὸς τὰ τῆς ὁριστικῆς [g]ἐγκλίσεως τὰ β' καὶ γ' πρόσωπα τῆς β' καὶ γ' συζυγίας τῶν περισπωμένων τοῦ βοᾷς βοᾷ, καὶ χρυσοῖς χρυσοῖ, ἀλλ' ὁμοφωνοῦσιν ἀλλήλοις, οὕτω καὶ ἐν τοῖς ὑποτακτικοῖς παθητικοῖς ὁμοφωνοῦσι τὰ β' καὶ γ' πρόσωπα τῆς β' καὶ γ' συζυγίας τῶν περισπωμένων τοῖς β' καὶ γ' προσώποις τοῖς παθητικοῖς τῆς ὁριστικῆς ἐγκλίσεως. Ὥσπερ γὰρ βοᾷ βοᾶται, χρυσοῖ χρυσοῦται, οὕτως καὶ ἐὰν βοᾷ ἐὰν βοᾶται, καὶ ἐὰν χρυσοῖ ἐὰν χρυσοῦται. Ἰδοὺ ὡμοφώνησαν καὶ τὰ ὑποτακτικὰ παθητικὰ τοῖς παθητικοῖς ὁριστικοῖς, ὥσπερ καὶ τὰ ὑποτακτικὰ ἐνεργητικὰ τοῖς ὁριστικοῖς ἐνεργητικοῖς.

"Ἐὰν τύπτῃ." Ἰστέον ὅτι καθόλου τὰ γ' πρόσωπα τῶν ὑποτακτικῶν τῶν ἐνεργητικῶν δεύτερα γίνονται παθητικὰ ἢ μέσα, οἷον ἐὰν τύπτῃ ἐκεῖνος, ἐὰν τύπτῃ σὺ, [ἐὰν λέγῃ ἐκεῖνος, καὶ ἐὰν λέγωμαι ἐὰν λέγῃ σὺ,] ἐὰν τύψῃ

[d] προσώπῳ λόγῳ] συζυγίας Bar. [e] ἐν οἷς λέγει Bar. [f] οὐ διεν. Bar. οὐ om. Par. [g] πρῶτα Bar.

ἐκεῖνος [καὶ ἐὰν τύψωμαι] ἐὰν τύψῃ σύ, [ἐὰν ποιήσῃ ἐκεῖνος, καὶ ἐὰν ποιήσωμαι ἐὰν ποιήσῃ σύ,] ἐὰν τυπῇ ἐκεῖνος, καὶ [ἐὰν τυπῶμαι] ἐὰν τυπῇ σύ, ἐὰν λάβῃ ἐκεῖνος, καὶ ἐὰν
328 b λάβωμαι ἐὰν λάβῃ σύ, ἐὰν ποιῇ ἐκεῖνος, ἐὰν ποιῶμαι ἐὰν ποιῇ σύ, ἐὰν βοᾷ ἐκεῖνος, ἐὰν βοῶμαι ἐὰν βοᾷ σύ, ἐὰν χρυσοῖ ἐκεῖνος ἐὰν χρυσῶμαι ἐὰν χρυσοῖ σύ, ἐὰν τιθῇ ἐκεῖνος [ἐὰν τιθῶμαι] ἐὰν τιθῇ σύ, ἐὰν θῇ ἐκεῖνος [ἐὰν θῶμαι] ἐὰν θῇ σύ, ἐὰν ἱστᾷ ἐκεῖνος [ἐὰν ἱστῶμαι] ἐὰν ἱστᾷ σύ· [καὶ ἐὰν στῇ ἐκεῖνος καὶ ἐὰν στῶμαι ἐὰν στῇ σύ, ἐὰν διδῷ ἐκεῖνος, ἐὰν διδῶμαι ἐὰν διδῷ σύ, ἐὰν δῷ ἐκεῖνος καὶ ἐὰν δῶμαι ἐὰν δῷ σύ.] Ἐπὶ δὲ τοῦ παθητικοῦ παρακειμένου καὶ συγκοπὴ παρακολουθεῖ, οἷον ἐὰν πεποιήκῃ ἐκεῖνος, καὶ ἐὰν πεποιῶμαι ἐὰν πεποιῇ σύ, [οὐχὶ ἐὰν πεποιήκῃ σύ.] Ὡς γὰρ ἐν τοῖς ὁριστικοῖς ἐμάθομεν, ὁ παθητικὸς παρακείμενος συγκοπὴν ἔπαθε, συγκοπὴν δὲ παθὼν ἔνδεια γέγονε συλλαβῆς.

"Ἐὰν τύπτηται." Ἰστέον ὅτι τὸ γʹ πρόσωπον τῶν ἑνικῶν κανονίζει ἐκ τοῦ ἰδίου βʹ, τοῦτον τὸν τρόπον· τὸ βʹ πρόσωπον προσλαβὸν τὴν ΤΑΙ τρίτον γίνεται, μετὰ τοῦ ἀποβαλεῖν δηλονότι τὸ Ι· οἷον ἐὰν τύπτῃ ἐὰν τύπτηται, [ἐὰν λάβῃ ἐὰν λάβηται, ἐὰν τύψῃ ἐὰν τύψηται, ἐὰν ποιῇ ἐὰν ποιῆται, ἐὰν βοᾷ ἐὰν βοᾶται, ἐὰν γελᾷ ἐὰν γελᾶται, ἐὰν ὁρᾷ ἐὰν ὁρᾶται, ἐὰν τιθῇ ἐὰν τιθῆται,] ἐὰν ἱστᾷ ἐὰν ἱστᾶται, ἐὰν διδῷ ἐὰν διδῶται. Δεῖ προσθεῖναι, χωρὶς τῆς γʹ συζυγίας τῶν περισπωμένων. Ἡ γὰρ γʹ συζυγία τῶν περισπωμένων οὐκ ἔχει τὸ γʹ πρόσωπον τῶν ἑνικῶν κανονιζόμενον ἐν τοῖς παθητικοῖς ὑποτακτικοῖς ἐκ τοῦ ἰδίου βʹ προσθήκῃ τῆς ΤΑΙ, ἀλλ' ὁμόφωνον αὐτὸ ἔχει, ὥς φησιν ὁ τεχνικός, τῷ ἰδίῳ ὁριστικῷ, οἷον οὐ λέγομεν ἐὰν χρυσοῖ ἐὰν χρυσοῖται [καὶ ἐὰν στεφανοῖ ἐὰν στεφανοῖται,] ἀλλ' ἐὰν χρυσοῦται [καὶ ἐὰν στεφανοῦται,] ὁμοφώνως τῷ ἰδίῳ ὁριστικῷ, φημὶ δὲ τὸ χρυσοῦται, [καὶ στεφανοῦται.]

Ἰστέον δὲ ὅτι Εἰρηναῖος, ὁ περὶ Ἀττικῆς συνηθείας γράψας, φησὶ τοὺς Ἀττικοὺς τὰ γʹ πρόσωπα τῆς γʹ συζυγίας τῶν περισπωμένων διὰ τοῦ Ω λέγειν ἐν τοῖς ὑποτακτικοῖς παθητικοῖς, οἷον χρυσῶται, [ἐὰν στεφανῶται.] Καὶ ἰστέον

ὅτι ἀναλογώτερα ἐστὶ διὰ τοῦ ω λεγόμενα [h]παρὰ Ἀττικοῖς. Καὶ γὰρ τὰ εἰς ΜΑΙ καὶ τὰ εἰς ΤΑΙ τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν κατὰ τὴν παραλήγουσαν, οἷον τύπτομαι τύπτεται, [λέγομαι λέγεται,] βοῶμαι βοᾶται, [ποιοῦμαι ποιεῖται, χρυσοῦμαι χρυσοῦται.] Εἰ οὖν ἐὰν [i]χρυσῶμαι καὶ ἐὰν στεφανῶμαι, δι' ἑνὸς φωνήεντος δηλονότι, καὶ ἐὰν χρυσῶται καὶ ἐὰν στεφανῶται δεῖ λέγειν δι' ἑνὸς φωνήεντος, [καὶ οὐχὶ ἐὰν χρυσοῦται καὶ ἐὰν στεφανοῦται διὰ δύο φωνηέντων. Ταῦτα μὲν ἐν τούτοις.]

Ἰστέον δὲ ὅτι τὸ ι διὰ τοῦτο ἀποβάλλεται ἐν τῷ γ' προσώπῳ τῶν ἑνικῶν, οἷον ἐὰν τύπτῃ ἐὰν τύπτηται, ἐπειδὴ ὡς εἴρηται τὰ εἰς ΜΑΙ καὶ τὰ εἰς ΤΑΙ τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν ἐν τῇ παραληγούσῃ, οἷον τύπτομαι τύπτεται, ποιοῦμαι ποιεῖται. Εἰ ἄρα οὖν τὸ ἐὰν τύπτωμαι ἓν φωνῆεν ἔχει κατὰ τὴν παραλήγουσαν, δηλονότι καὶ τὸ ἐὰν τύπτηται
29 a ἓν φωνῆεν ἔχειν ἀναγκάζεται κατὰ τὴν παραλήγουσαν. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν ὅτι δυνατόν ἐστι κανονίσαι τὸ γ' πρόσωπον τῶν ἑνικῶν καὶ ἀπὸ τοῦ α' προσώπου τοῦτον τὸν τρόπον. Τὰ εἰς ΜΑΙ ὑποτακτικὰ τροπῇ τῆς ΜΑΙ εἰς ΤΑΙ τὸ γ' πρόσωπον τῶν ἑνικῶν ποιοῦσι, καὶ τρέπουσι τὴν παραλήγουσαν εἰς Η, οἷον ἐὰν τύπτωμαι ἐὰν τύπτηται, [ἐὰν λέγωμαι ἐὰν λέγηται, ἐὰν πλῶμαι ἐὰν πλῆται, ἐὰν τύψωμαι ἐὰν τύψηται, ἐὰν λάβωμαι ἐὰν λάβηται,] ἐὰν τιθῶμαι ἐὰν τιθῆται. Δεῖ προσθεῖναι, χωρὶς τῆς β' καὶ γ' συζυγίας τῶν περισπωμένων· καὶ χωρὶς μὲν τῆς β', ἐπειδὴ ἐπὶ ταύτης τὸ γ' τῶν ἑνικῶν ὁμοφωνεῖ τῷ ἰδίῳ ὁριστικῷ, οἷον βοᾶται, ἐὰν βοῶμαι ἐὰν βοᾶται, [γελᾶται ἐὰν γελῶμαι ἐὰν γελᾶται, ὁρᾶται, ἐὰν ὁρῶμαι ἐὰν ὁρᾶται, καὶ ἐπὶ τῶν εἰς ΜΙ ὁμοίως, οἷον ἐὰν ἵστωμαι ἐὰν ἵσταται·] χωρὶς δὲ τῆς γ' συζυγίας τῶν περισπωμένων, ἐπειδὴ ἐπὶ ταύτης φυλάττεται τὸ ω [κατὰ τὸ γ' πρόσωπον τῶν πληθυντικῶν,] ἐὰν χρυσῶμαι ἐὰν χρυσῶται, [ἐὰν στεφανῶμαι ἐὰν στεφανῶται.] Ὡσαύτως δὲ ἐπὶ

[h] περὶ τῆς Ἀττικῆς Bar. [i] χρυσῶμεν et mox στεφανῶμεν Bar.

τῆς γ′ συζυγίας τῶν εἰς ΜΙ φυλάττεται τὸ Ω κατὰ τὸ γ′ πρόσωπον τῶν ἑνικῶν, οἷον, ἐὰν διδῷ, ἐὰν διδῶται.

“ Ἐὰν τυπτώμεθον, ἐὰν τύπτησθον.” Ἰστέον ὅτι τὸ μὲν α′ πρόσωπον τῶν δυϊκῶν οὐκ ἐπιλιμπάνει ἐνταῦθα, ἐπειδὴ τὸ α′ τῶν πληθυντικῶν οὐκ ἔχει τὸ Μ ἐπὶ τῆς τελευταίας συλλαβῆς, ἐὰν τυπτώμεθα γάρ· γέγονε δὲ τὸ β′ τῶν δυϊκῶν ἀπὸ τοῦ α′ τῶν πληθυντικῶν, τροπῇ τοῦ ΘΑ εἰς ΘΟΝ, τὸ β′ ἀπὸ τοῦ β′ τῶν πληθυντικῶν τροπῇ τοῦ Ε εἰς ΟΝ ἐὰν τύπτησθε, ἐὰν τύπτησθον· τὸ δὲ γ′ τῶν δυϊκῶν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ γ′ τῶν πληθυντικῶν εἰς ΤΑΙ λήγει, οἷον ἐὰν τύπτωνται.

“ Ἐὰν τυπτώμεθα.” Εἴρηται ἐν τοῖς προλαβοῦσιν ὅτι πᾶν α′ πρόσωπον ἑνικὸν ἔχον τὸ Μ κλιτικὸν μετὰ μακρᾶς τροπῇ τῆς ἐσχάτης εἰς ΜΕΘΑ τὸ πληθυντικὸν ποιεῖ.

“ Ἐὰν τύπτησθε.” Εἴρηται ὅτι πᾶν [k] γ′ ἑνικὸν ἔχον τὸ Τ κλιτικὸν τρέπον τὴν τελευταίαν συλλαβὴν εἰς ΘΕ, τὸ β′ τῶν πληθυντικῶν ποιεῖ. Καὶ εἰ μὲν καθαριεύει τὸ Τ καὶ τὸ Σ προσλαμβάνει τὸ β′ τῶν πληθυντικῶν· εἰ δὲ συμφώνῳ παραλήγοιτο τηρεῖ αὐτὸ, πλὴν εἰ μήπω ψιλὸν ὂν διὰ τὴν ἀσυνταξίαν εἰς δασὺ τράπῃ.

“ Ἐὰν τύπτωνται.” Εἴρηται ὅτι πᾶν γ′ ἑνικὸν ἔχον τὸ Τ κλιτικὸν, πρὸ τοῦ Τ λαμβάνον τὸ Ν καὶ τὴν παραλήγουσαν φυλάττον τοῦ ἰδίου πρώτου προσώπου ἑνικοῦ, τὸ γ′ τῶν πληθυντικῶν ποιεῖ.

“Παρακειμένου καὶ ὑπερσυντελικοῦ· ἐὰν τετυμμένος ὦ ᾖς ᾖ.” Ἰστέον ὅτι ἡνίκα ὁ παθητικὸς παρακείμενος ὁ ὁριστικὸς οὐκ ἔχει πρὸ τοῦ Μ σύμφωνον, τότε τῷ κοινῷ κανόνι ποιεῖ τὸ ὑποτακτικὸν, τουτέστι πρὸ τοῦ Μ δεχόμενος τὸ Ω, ἤγουν τρέπων ὁ παρακείμενος τὸ φωνῆεν τὸ πρὸ τοῦ Μ εἰς τὸ Ω, οἷον πεποίημαι ἐὰν πεποιῶμαι, κέκτημαι ἐὰν κεκτῶμαι, [μέμνημαι ἐὰν μεμνῶμαι] προπερισπωμένως, καὶ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως φυλαττομένης. Ἐπειδὴ [ὡς ἐν τοῖς προ-
329 b λαβοῦσιν ἐμάθομεν] ὁ παρακείμενος οὐδαμοῦ ἀποβάλλει τὴν

[k] πρῶτον Bar.

[[1]ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν, οὔτε γὰρ ἐν ταῖς μετοχαῖς ἀποβάλλει αὐτήν, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν,] ἡνίκα δὲ ὁ παθητικὸς παρακείμενος ὁ ὁριστικὸς ἔχει πρὸ τοῦ μ σύμφωνον, τότε τὸ ὑποτακτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος, [οἷον τέτυμμαι, ἐὰν τετυμμένος ὦ, ἔφθαρμαι, ἐὰν ἐφθαρμένος ὦ, ἔσπαρμαι, ἐὰν ἐσπαρμένος ὦ.] Διὰ τοῦτο δὲ τοῦτο γίνεται, τουτέστι, διὰ τοῦτο ἡνίκα ὁ παθητικὸς ὁ ὁριστικὸς ὅτε ἔχει πρὸ τοῦ μ σύμφωνον, τότε τὸ ὑποτακτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος, ἐπειδὴ τὰ εἰς μαι ὑποτακτικὰ θέλουσιν ἔχειν πρὸ τοῦ μ τὸ ω, [οἷον τύπτωμαι ἐὰν τύψωμαι, ἐὰν λάβωμαι, ἐὰν ποιῶμαι.] Ἐὰν οὖν ἡνίκα εὑρεθῇ πρὸ τοῦ μ σύμφωνον γένηται ὑποτακτικὸν κατὰ ἀναλογίαν, μέλλει [m]τοῦ ω πρὸ τοῦ μ [n]προσερχομένου εἶναι ὑποτακτικὸν ἐὰν τετύμωμαι [καὶ ἐὰν ἐφθάρωμαι, καὶ ἐὰν ἐσπάρωμαι, καὶ ἐὰν λελέγωμαι,] καὶ λοιπὸν [o]γίνεται τὸ ὑποτακτικὸν περιττοσυλλαβοῦν τοῦ ἰδίου ὁριστικοῦ, ὅπερ ἐστὶν ἄτοπον. Τούτου χάριν ἡνίκα εὑρεθῇ πρὸ τοῦ μ σύμφωνον, τὸ ὑποτακτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος.

Ἰστέον δὲ ὅτι φησὶν ὁ Ἡρωδιανὸς ἐν τῷ Μονοβίβλῳ, ἐν ᾧ διαλαμβάνει περὶ τοῦ μὴ πάντα τὰ ῥήματα κλίνεσθαι εἰς πάντας τοὺς χρόνους, ὅτι καὶ ἐὰν εὑρεθῇ ἐν τῷ παθητικῷ παρακειμένῳ τῷ ὁριστικῷ πρὸ τοῦ μ δίφθογγος ἢ διὰ τοῦ τ, τὸ ὑποτακτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος· πεπαίδευμαι ἐὰν πεπαιδευμένος ὦ, λέλουμαι ἐὰν λελουμένος ὦ.

"Ἐὰν τετυμμένω ἦτον ἦτον. Πληθυντικῶς, ἐὰν τετυμμένοι ὦμεν, ἦτε, ὦσιν. Εἴρηται."

"Ἀορίστου παθητικοῦ α καὶ μέλλοντος. Ἐὰν τυφθῶ." Ἰστέον ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην εἰς ω μετὰ περισπωμένου τόνου ἔχουσι τὸ ὑποτακτικόν, οἷον τιθεὶς τιθέντος ἐὰν τιθῶ, [ἱστὰς
39 b ἱστάντος ἐὰν ἱστῶ, διδοὺς διδόντος ἐὰν διδῶ, τυφθεὶς τυφθέν-

[1] Pro [ ] habet Bar. ἄρχουσαν. [m] τὸ Bar. [n] προσέρχεσθαι καὶ εἶναι τὸ Bar. [o] εὑρίσκεται Bar.

τος ἐὰν τυφθῶ, νυγεὶς νυγέντος ἐὰν νυγῶ, σταλεὶς σταλέντος ἐὰν σταλῶ, δαρεὶς δαρέντος ἐὰν δαρῶ, σπαρεὶς σπαρέντος ἐὰν σπαρῶ, φθαρεὶς φθαρέντος ἐὰν φθαρῶ.] Ὁ δὲ τεχνικὸς οὕτως κανονίζει, λέγων, ὅτι πᾶσα μετοχὴ εἰς Σ λήγουσα καὶ διὰ τοῦ ΝΤ κλινομένη, τρέπουσα τὴν ἐσχάτην εἰς Ω μετὰ περισπωμένου τόνου τὸ ὑποτακτικὸν ποιεῖ, οἷον τιθεὶς τιθέντος ἐὰν τιθῶ, [τυφθεὶς τυφθέντος ἐὰν τυφθῶ, τυπεὶς τυπέντος ἐὰν τυπῶ, δαρεὶς δαρέντος ἐὰν δαρῶ.] Πρόσκειται ἐν τῷ κανόνι "εἰς Σ λήγουσα," διὰ τὸ λαβὼν λαβόντος ἐὰν λάβω, ἰδοὺ γὰρ αὕτη ἡ μετοχὴ μετ' ὀξείας τάσεως ἐστὶ καὶ διὰ τοῦ ΝΤ κλινομένη, καὶ ὅμως οὐκ ἔχει τὸ ὑποτακτικὸν
330 a μετὰ περισπωμένου τόνου· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐ λήγει εἰς Σ. Πρόσκειται "μετ' ὀξείας τάσεως," διὰ τὸ τύψας τύψαντος ἐὰν τύψω, ἰδοὺ γὰρ αὕτη ἡ μετοχὴ εἰς Σ λήγει, καὶ διὰ τοῦ ΝΤ κλίνεται, καὶ ὅμως οὐκ ἔχει τὸ ὑποτακτικὸν μετὰ περισπωμένου τόνου· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ὀξύνεται. Πρόσκειται "καὶ διὰ τοῦ ΝΤ κλινομένη," διὰ τὸ τετυφὼς τετυφότος ἐὰν τετύφω, ἰδοὺ γὰρ αὕτη ἡ μετοχὴ εἰς Σ λήγει μετ' ὀξείας τάσεως, καὶ ὅμως οὐκ ἔχει τὸ ὑποτακτικὸν μετὰ περισπωμένου τόνου, ἀλλ' οὐ κλίνεται διὰ τοῦ ΝΤ.

"Ἐὰν τυφθῇς, ἐὰν τυφθῇ, ἐὰν τυφθῆτον, ἐὰν τυφθῆτον, ἐὰν τυφθῶμεν, ἐὰν τυφθῆτε, ἐὰν τυφθῶσιν. Εἴρηται. Ἀορίστου παθητικοῦ δευτέρου καὶ μέλλοντος, ἐὰν τυπῶ, ὁμοίως καὶ οὗτος τῷ πρώτῳ γίνεται ἀπὸ τῆς τυπεὶς τυπέντος μετοχῆς, ἐὰν τυπῇς, ἐὰν τυπῇ. Δυϊκὰ, ἐὰν τυπῆτον, ἐὰν τυπῆτον. Πληθυντικὰ ἐὰν τυπῶμεν, ἐὰν τυπῆτε, ἐὰν τυπῶσι· εἴρηται."

"Μέσου ἀορίστου α' καὶ μέσου, ἐὰν τύψω."

Ἰστέον ὅτι τὸ ὑποτακτικὸν τοῦ α' μέσου ἀορίστου καὶ μέλλοντος δύναται καὶ ἀπὸ τοῦ α' μέσου ἀορίστου ὁριστικοῦ κανονισθῆναι τροπῇ τῆς ἐσχάτης εἰς ΜΑΙ, καὶ τοῦ ἐν τῇ παραληγούσῃ φωνήεντος τραπέντος εἰς Ω, καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, οἷον ἐτυψάμην, ἐὰν τύψωμαι, [ἐποιησάμην, ἐὰν ποιήσωμαι, ἐγραψάμην, ἐὰν γράψωμαι,]

δύναται καὶ ἀπὸ τοῦ ὑποτακτικοῦ γενέσθαι τοῦ πρώτου ἀορίστου καὶ μέλλοντος ἐνεργητικοῦ, προσθήκῃ τῆς ΜΑΙ καὶ τοῦ ω δηλονότι φυλαττομένου, οἷον ἐὰν [p] τύψω, ἐὰν τύψωμαι, [ἐὰν γράψω, ἐὰν γράψωμαι, ἐὰν ποιήσω, ἐὰν ποιήσωμαι, ἐὰν τύψῃ, ἐὰν τύψηται, ἐὰν τυψώμεθον, ἐὰν τύψησθον, ἐὰν τύψησθον, ἐὰν τυψώμεθα, ἐὰν τύψησθε, ἐὰν τύψωνται. "Μέσου ἀορίστου β′ καὶ μέλλοντος, ἐὰν τύπωμαι." Ἰστέον ὅτι τὸ ὑποτακτικὸν τοῦ β′ ἀορίστου καὶ μέσου δύναται καὶ ἀπὸ τοῦ β′ μέσου ἀορίστου κανονισθῆναι τροπῇ τῆς ἐσχάτης εἰς ΜΑΙ, καὶ τοῦ ἐν τῇ παραληγούσῃ φωνήεντος εἰς ω, καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, οἷον ἐτυπόμην, ἐὰν τύπωμαι, ἐλαβόμην, ἐὰν λάβωμαι· δύναται καὶ ἀπὸ τοῦ ὑποτακτικοῦ γενέσθαι τοῦ β′ ἀορίστου καὶ μέλλοντος τοῦ ἐνεργητικοῦ, προσθήκῃ τῆς ΜΑΙ καὶ τοῦ ω δηλονότι φυλαττομένου, οἷον, ἐὰν τύπω, ἐὰν τύπωμαι, ἐὰν λάβω, ἐὰν λάβωμαι,] ἐὰν τύπῃ, ἐὰν τύπηται, ἐὰν τυπώμεθον, ἐὰν τύπησθον, ἐὰν τύπησθον, ἐὰν τυπώμεθα, ἐὰν τύπησθε, ἐὰν τύπωνται.

"Μετ᾽ ὀλίγον μέλλων. Ἐὰν τύψωμαι." Ἰστέον ὅτι κακῶς παρέθετο τὸ ὑποτακτικὸν τοῦ μετ᾽ ὀλίγον μέλλοντος, ὁ γὰρ μετ᾽ ὀλίγον μέλλων οὐκ ἔχει ὑποτακτικὸν, ἐπειδὴ, ὡς δέδεικται, οἱ ἀόριστοι καὶ οἱ μέλλοντες ἐν τοῖς ὑποτακτικοῖς συνεζευγμένοι εἰσὶ, καὶ ἐκ τῶν ἀορίστων γίνονται τὰ ὑποτακτικὰ
30 b τοῦ ἀορίστου καὶ μέλλοντος· εἰ ἄρα οὖν οὐχ ὑπελείφθη ἄλλος ἀόριστος ὁ ὀφείλων παραληφθῆναι μετὰ τοῦ μετ᾽ ὀλίγον μέλλοντος καὶ ἀποτελέσαι τὸ ὑποτακτικὸν αὐτοῦ, δηλονότι οὐκ ἔχει ὑποτακτικόν.

Πεπλήρωται σὺν θεῷ ἡ τῶν εἰς ω ῥημάτων διδασκαλία εὐτυχῶς.

Περὶ μετοχῶν ἐνεργητικῶν.

Πληρώσας ὁ τεχνικὸς τὰ εἰς ω λήγοντα ῥήματα, ἔρχεται ἀκολούθως καὶ διαλαμβάνει περὶ τῶν μετοχῶν τῶν εἰς ω ληγόντων ῥημάτων· περὶ γὰρ τῶν εἰς ΜΙ ὕστερον διαλαμβάνει εὐτυχῶς. Ἰστέον δὲ ὅτι ἡ μετοχὴ τρίτην ἐπέχει

p τυπῶ τυπῶμαι Bar. qui om. [ ].

τάξιν, ἤγουν μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα ἐστὶν, ἐπειδὴ ἡ μετοχὴ οὐδὲν ἄλλο ἐστὶν, εἰ μὴ ὄνομα καὶ ῥῆμα· ἃ γὰρ ἔχει, ἢ ἀπὸ τοῦ ὀνόματος ἔχει ἢ ἀπὸ τοῦ [ἐν ἀλλαγαῖς] ῥήματος· γένη μὲν γὰρ καὶ πτώσεις ἀπὸ τοῦ ὀνόματος ἔχει, ἐνέργειαν δὲ καὶ πάθος καὶ μεσότητα καὶ διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς, ἤγουν ἐν ἰδίαις ἐναλλαγαῖς τῶν φωνῶν, ἔχει ἀπὸ τοῦ ῥήματος. Ἐπειδὴ οὖν οὐδὲν ἕτερον ἐστὶν ἡ μετοχὴ εἰ μὴ ὄνομα καὶ ῥῆμα, τούτου χάριν καὶ μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα τέτακται, καὶ διὰ τοῦτο τρίτην ἐπέχει τάξιν· μετοχὴ δὲ λέγεται, ἐπειδὴ μετέχει τῆς τῶν ὀνομάτων καὶ τῆς τῶν ῥημάτων ἰδιότητος χωρὶς προσώπων τε καὶ ἐγκλίσεων· οὐκ ἔχουσι γὰρ οὔτε πρόσωπα αἱ μετοχαὶ, οὔτε θέλημα ψυχῆς, ὅπερ ἐστὶν ἴδιον ἐγκλίσεως· ἔγκλισις γάρ ἐστι ψυχικὴ προαίρεσις· καὶ τῶν μὲν ὀνομάτων μετέχει ἡ μετοχὴ, καθότι ἔχει πτώσεις καὶ γένη ὁμοίως τοῖς ὀνόμασιν, οἷον ὁ τύπτων, τύπτοντος, τύπτοντι, τύπτοντα, ὦ τύπτον, ἡ τύπτουσα, τὸ τύπτον, τῶν δὲ ῥημάτων μετέχει, καθότι ἔχει ἐνέργειαν, πάθος, μεσότητα, οἷον τύπτων, τετυπὼς, τυπτόμενος· ἔχει διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς ἢ ἐν ἰδίαις ἐναλλαγαῖς τῶν φωνῶν, οἷον τύπτων, τετυφὼς, τετυπὼς, τύψας, τυπὼν, τύψων, τυπῶν ὁμοίως τοῖς ῥήμασιν, οὐκ [q]ἐνηλλάγη γὰρ ἐν τούτοις τοῖς χρόνοις τελείως ἡ φωνὴ, ἀλλ' ἕκαστος τούτων τῶν χρόνων μετέχει τοῦ ἑτέρου κατὰ τὴν φωνήν· καὶ ὥσπερ ἐν μεταιχμίῳ μεταξὺ δύο στρατευμάτων ἰσοσθενούντων ἕλκεταί τι ἐκ τῶν . . . μερῶν καὶ οὐδὲ [ἑτέροις] προσχωρεῖ ἀλλὰ μέσος μένει· οὕτως καὶ ἡ μετοχὴ κωλυομένη ἐκ τῶν ῥηματικῶν κανόνων εἶναι μετὰ τῶν ὀνομάτων, φημὶ δὲ ἐκ τοῦ ἔχειν ἐνέργειαν, πάθος, μεσότητα, καὶ διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς, ἤγουν ἐν ἰδίαις ἐναλλαγαῖς τῶν φωνῶν· ταῦτα γὰρ [r]ἀλλότριά εἰσι τῶν ὀνομάτων· καὶ πάλιν ἐκ τῶν ὀνοματικῶν κανόνων εἶναι μετὰ τῶν ῥημάτων κωλυομένη, φημὶ δὲ ἐκ τοῦ ἔχειν γένη καὶ πτώσεις· ταῦτα γὰρ [s]ἀλλότριά εἰσι τῶν ῥημάτων· μέση

[q] ἐναλλαγὴ Bar. qui mox τῇ φωνῇ. [r] ἀναλω^τρ Bar. [s] ἀναλογω^τρ Bar.

μένει, καὶ ἰδίᾳ μέρος λόγου παραλαμβάνεται. Λέγει δὲ ὁ γραμματικὸς Ἰωάννης, ὅτι ὥσπερ ἀπὸ τοῦ ἀνθρώπου τίκτεται
331 a ἄνθρωπος, καὶ ἀπὸ τοῦ λέοντος λέων, καὶ ἀπὸ τοῦ ἵππου καὶ ὄνου ἕτερον τί ποτε τίκτεται, λέγω δὲ ἡμίονος, τὸν αὐτὸν τρόπον καὶ ἡ μετοχὴ ἀπὸ τοῦ ὀνόματος καὶ ῥήματος τικτομένη, ἕτερον τί ποτε ἐστὶ παρὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα, δηλονότι ἰδίᾳ μέρος λόγου ἐστί. Ταῦτα μὲν ἐν τούτοις.

Ἔλθωμεν δὲ καὶ ζητήσωμεν, διὰ τί ἐπενοήθη ἡ μετοχή; Διὰ δύο αἰτίας· καὶ πρώτη μέν ἐστιν αὕτη· δύο ὀνόματα πολλάκις εὑρίσκομεν χωρὶς συνδέσμου παραλαμβανόμενα, οἷον καλὸς ἵππος, ταχὺς κύων, σώφρων ἄνθρωπος, δίκαιος ἄνθρωπος, ἐπὶ δὲ τῶν ῥημάτων οὐδὲν τοιοῦτον εὑρίσκομεν, οὐδέποτε γὰρ δύο ῥήματα ὁριστικὰ καθ' ἑνὸς ὑποκειμένου χωρὶς συνδέσμου δύνανται παραλαμβάνεσθαι, εἰ μή πω ἀπολυτὰ ὦσιν, οἷον οὐ δυνάμεθα λέγειν, Ἀγαμέμνων ἐβασίλευσεν, ἐπολέμησεν, ἀλλὰ μετὰ συνδέσμου Ἀγαμέμνων ἐβασίλευσε καὶ ἐπολέμησε. Πρόσκειται "καθ' ἑνὸς ὑποκειμένου," ἐπειδὴ κατὰ ἄλλου καὶ ἄλλου ὑποκειμένου δύνανται παραλαμβάνεσθαι χωρὶς συνδέσμου δύο ῥήματα ὁριστικά· λέγομεν γὰρ ὁ Σωκράτης γράφει, ὁ Πλάτων ἀναγινώσκει. Πρόσκειται "εἰ μή πω ἀπολυτὰ ὦσιν," ἐπειδὴ ἀπολύτως δύνανται παραλαμβάνεσθαι [t]διάφορα ῥήματα ὁριστικά, οἷον λέγω, γράφω, περιπατῶ, ἀναγινώσκω· ἐπειδὴ δὲ [u]πρὸ τοῦ συνδέσμου ἄδηλον ἤμελλε γίνεσθαι ποῖον προτερεύει, εἰ ἄρα τὸ ἐβασίλευσεν, εἰ ἄρα τὸ ἐπολέμησε, οἱ γὰρ σύνδεσμοι οἱ συμπλεκτικοὶ τάξιν οὐκ ἐπαγγέλλονται, οἷον [Od. μ'. 134.]

τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε πότνια μήτηρ

τεκοῦσα καὶ θρέψασα· πρῶτον γάρ τις τίκτει καὶ οὕτως τρέφει, καὶ πάλιν [Od. π'. 41.]

[x]αὐτὰρ ὅτ' εἴσω ἴεν καὶ ὑπέρβη λάϊνον οὐδόν,

ἀντὶ τοῦ ὑπερέβη λάϊνον οὐδὸν καὶ εἴσω ἴεν· πρῶτον γάρ τις ὑπερβαίνει τὸν οὐδὸν, εἶτα εἰσέρχεται· τούτου χάριν, ἵνα ὥσπερ δύο ὀνόματα χωρὶς συνδέσμου εὑρίσκονται παραλαμβανόμενα καὶ δύο ῥήματα εὑρεθῶσι χωρὶς συνδέσμου παρα-

[t] δύο Bar. [u] προσερχομένου Bar. [x] αὐτὰ οὐχ εἴσω ἦεν Bar.

λαμβανόμενα, ἐνταῦθα δὲ ἵνα καὶ ἡ τάξις φυλαχθῇ, παραλαμβάνομεν τὸ ἓν ῥῆμα τὸ πρωτεῦον εἰς μετοχὴν, καὶ λοιπὸν δηλοῦται καὶ ποῖον προτερεύει καὶ χωρὶς συνδέσμου τὰ τῆς συντάξεως παραλαμβάνεται, καὶ εἰ μὲν τὸ ἐπολέμησε προτερεύει, αὐτὸ παραλαμβάνεται εἰς μετοχὴν, καὶ γίνεται Ἀγαμέμνων πολεμήσας βασίλευσεν· εἰ δὲ τὸ ἐβασίλευσε προτερεύει, αὐτὸ παραλαμβάνεται εἰς μετοχὴν, καὶ γίνεται Ἀγαμέμνων βασιλεύσας ἐπολέμησε, ὅπερ καὶ ἀληθεύει, πρῶτον γὰρ ἐβασίλευσε, καὶ οὕτως ἐπολέμησε· τούτου οὖν χάριν ἐπενοήθη ἡ μετοχή. Δευτέρα δὲ αἰτία τοῦ ἐπινοηθῆναι τὴν μετοχὴν ἐστὶν αὕτη· τὸ ὄνομα οὐσίαν σημαίνει, οἷον ἄνθρωπος, ἵππος, Ὅμηρος, Πλάτων, τὸ δὲ ῥῆμα πρᾶγμα σημαίνει, οἷον τύπτω, γράφω, λέγω· τὰ οὖν ῥήματα, ἅτε δὴ πράγματα ὄντα, θέλουσι συνεῖναι ταῖς οὐσίαις, ἤγουν τοῖς ὀνόμασι, καὶ ἐπειδὴ κλινομένης τῆς οὐσίας, ἤγουν τοῦ ὀνόματος, τὰ ῥήματα οὐ δύνανται κλίνεσθαι, [y]τὰ ὀνόματα, ἅτε δὴ μὴ ἔχοντα πτώσεις, εὐθεῖαι γάρ εἰσι τὰ ῥήματα, οἷον Σωκράτης γράφει λέγομεν, [z]Σωκράτους δὲ γράφει οὐ λέγομεν, εἰ μή πω ἐπὶ ἑτέρας αὐτὸ σημασίας λάβωμεν, οἷον
331 b Σωκράτους φίλος γράφει, τούτου χάριν ἐπενοήθη ἡ μετοχὴ, ἵνα συντεθῇ τῷ ὀνόματι ἀντὶ τοῦ ῥήματος, καὶ τὸ λεῖπον [a]τῷ ῥήματι ἀναπληρώσῃ· καὶ λοιπὸν λέγομεν, Σωκράτης γράφων, Σωκράτους γράφοντος, Σωκράτει γράφοντι, Σωκράτην γράφοντα, Σώκρατες γράφων, καὶ τὰ ἑξῆς.

Καὶ ἀποροῦσί τινες, λέγοντες, εἰ ἄρα ὡς εἴρηται διὰ τοῦτο ἐπενοήθη ἡ μετοχὴ, ἵνα τὸ λεῖπον τῷ ῥήματι ἀναπληρώσῃ καὶ συγκλιθῇ τῷ ὀνόματι ἀντὶ τοῦ ῥήματος, δύναται δὲ τὸ ῥῆμα συντάττεσθαι ὀνόματι ἀντὶ εὐθείας, οἷον [b]Σωκράτης γράφει, διὰ τί ἔχουσιν καὶ αἱ μετοχαὶ εὐθεῖαν; Ἔστιν οὖν εἰπεῖν, ὅτι ἄτοπον ἦν πλαγίους αὐτὰς ἔχειν μὴ οὔσης εὐθείας· μήτηρ γὰρ τῶν πτώσεων ἡ εὐθεῖα· περὶ γὰρ τῆς ἐμαυτοῦ διὰ τί οὐκ ἔχει εὐθεῖαν, ἐν τῷ Ῥηματικῷ Ἀπολλωνίου, εἰ θεῷ φίλον, μαθησόμεθα· ἔτι δὲ περὶ τοῦ ἀλλήλων

[y] τῷ ὀνόματι Bar. [z] Σωκράτης δὲ γράφειν Bar. [a] τοῦ ῥήματος Bar. [b] Σωκράτους Bar.

διότι οὐκ ἔχει εὐθεῖαν ἐν τῷ Περὶ συντάξεως Ἀπολλωνίου, εἰ θεῷ φίλον, μαθησόμεθα· ἄλλως τε δὲ ὀλίγα εἰσὶ ταῦτα, καὶ οὐκ εἰσὶν ἱκανὰ ἀποτελέσαι ἀπολογίαν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι αἱ μετοχαὶ οὔτε πρόσωπα ἔχουσιν οὔτε ἐγκλίσεις· καὶ πρόσωπα μὲν οὐκ ἔχουσιν αἱ μετοχαὶ, ἐπειδὴ ἐκ τῶν ῥημάτων ἐξέπεσον· ἐκπεσοῦσαι δὲ ἐκ τῶν ῥημάτων καὶ ἀπὸ τῶν προσώπων ἐξέπεσον, προσώπου δὲ μὴ ὄντος, οὔτε ἔγκλισις δύναται εἶναι· ἔγκλισις γάρ ἐστι τὸ θέλημα τῆς ψυχῆς, τουτέστι καθ' ἣν ἐγκλίνεται ἡ ψυχή· πῶς δὲ δύναται εἶναι θέλημα ψυχῆς χωρὶς προσώπου; Δεῖ δὲ τοῦτο γινώσκειν, ὅτι πᾶσα μετοχὴ τριγενής ἐστιν, οἷον ὁ τύπτων, ἡ τύπτουσα, τὸ τύπτον, ὁ τυπτόμενος, ἡ τυπτομένη, τὸ τυπτόμενον· διὰ τοῦτο δὲ αἱ μετοχαὶ τριγενεῖς εἰσιν, ἐπειδὴ καὶ τὰ ῥήματα κατὰ τῶν τριῶν γενῶν παραλαμβάνονται· τὸ γὰρ τύπτω ἠδύνατο λέγειν καὶ ὁ ἄρρην καὶ ἡ θήλεια καὶ τὸ οὐδέτερον τὸ παιδίον. Ἐπειδὴ οὖν τὰ ῥήματα ἁρμόζουσι καὶ ἄρσενι καὶ θηλείᾳ καὶ οὐδετέρῳ, εἰκότως καὶ αἱ μετοχαὶ τριγενεῖς εἰσι. Δεῖ προσθεῖναι, χωρὶς εἰ μὴ τὸ σημαινόμενον κωλύει, ὡς ἐπὶ τοῦ ἐκτροῦσα (ἐκτρώσασα)· τούτου γὰρ τὸ ἀρσενικὸν οὐχ εὑρίσκεται, ἐπειδὴ τὸ σημαινόμενον κωλύει· οὐδὲ γὰρ παρέπεται τοῖς ἀνδράσι τὸ ἐκτροῦν (sic)· αὕτη γὰρ ἡ φύσις κωλύει. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν ὅτι αἱ μετοχαὶ ἢ ἁπλαῖ εἰσιν ἢ παρασύνθετοι, οὐδέποτε δὲ σύνθετοι· ἢ γὰρ ἀπὸ ἁπλῶν ῥημάτων παράγονται καί εἰσιν ἁπλαῖ, οἷον τύπτω, τύπτων, [λέγω, λέγων,] ἢ ἀπὸ συνθέτων ῥημάτων παράγονται καί εἰσι παρασύνθετοι, οἷον καταγράφω, καταγράφων, ἀναγινώσκω, ἀναγινώσκων. Δεῖ προσθεῖναι, χωρὶς τῆς ἀέκων μετοχῆς· αὕτη γὰρ σύνθετός ἐστιν· ἀπὸ γὰρ τῆς ἑκὼν γέγονεν ἐν συνθέσει ἀέκων, ἥτις κατὰ κρᾶσιν τοῦ ΑΕ εἰς Α μακρὸν γίνεται ἄκων· οὐδὲ γὰρ ἔχει ῥῆμα προϋπάρχον ἐν συνθέσει, ἵνα παρασύνθετον αὐτὴν εἴπωμεν, ἀλλ' ἐν τῇ μετοχῇ ἐγένετο ἡ σύνθεσις. Ταῦτα μὲν ἐν τούτοις.

332 a Ἰστέον ὅτι αἱ μετοχαὶ συντιθέμεναι οὐκ ἀναβιβάζουσι τὸν τόνον, οἷον ἐλθὼν κατελθὼν, βὰς [ἀναβὰς, στὰς κατα-

στὰς, πτὰς ἀποπτὰς, δοὺς ἀναδούς·] ἐὰν [c]δὲ ἀναβιβάσουσι (sic) τοὺς τόνους, οὐκέτι μένουσι μετοχαὶ, ἀλλὰ γίνονται ὀνόματα, οἷον βὰς Ἄβας, φὰς Περίφας, τλὰς Ἄτλας, Πολύτλας. Δεῖ προσθεῖναι χωρὶς τῆς . . . . . . αὕτη γὰρ ἀνεβίβασε τὸν τόνον καὶ ἔμεινε μετοχή. Δεῖ δὲ γινώσκειν, ὅτι χάριν σαφηνείας λέγομεν, ὅτι αἱ μετοχαὶ συντιθέμεναι οὐκ ἀναβιβάζουσι τοὺς τόνους, ἐπειδὴ κατὰ τὴν ἀκρίβειαν (οὐκ) [d]ἐστὶν εἰπεῖν οὕτως· οὐ γάρ εἰσιν αἱ μετοχαὶ σύνθετοι, ἀλλ' ἢ ἁπλαῖ εἰσιν, ὡς εἴρηται, ἢ παρασύνθετοι· πῶς δὲ δεῖ λέγειν ἐν τοῖς ἀπαρεμφάτοις πλατύτερον εἰρήκαμεν. Πᾶσαι δὲ αἱ μετοχαὶ παραγωγοί εἰσι, πᾶσαι γὰρ ἐκ τῶν ῥημάτων παράγονται· ἀπὸ γὰρ τοῦ τύπτω γίνεται τύπτων, καὶ ἀπὸ τοῦ ἔτυψα, τύψας. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα αἱ μετοχαὶ συντιθέμεναι οὐκ ἀναβιβάζουσι τοὺς τόνους, ὡς εἴρηται, πῶς ἡ ἑκὼν μετοχὴ ἐν τῷ ἀέκων ἀνεβίβασε τὸν τόνον; Καὶ ἔστιν εἰπεῖν διαφόρους λύσεις, ὧν πρώτη ἐστὶν αὕτη· αἱ μετοχαὶ, ὡς εἴρηται, ἢ ἁπλαῖ εἰσιν ἢ παρασύνθετοι, οὐδέποτε δὲ σύνθετοι· ἐπειδὴ οὖν ἡ ἀέκων σύνθετός ἐστιν, οὐδὲ γὰρ ἔχει ῥῆμα προϋπάρχον ἐν συνθέσει ἵνα παρασύνθετον αὐτὴν εἴπωμεν, ἀλλ' ἐν τῇ μετοχῇ ἐγένετο ἡ σύνθεσις, οἷον ἑκὼν, ἀέκων· τούτου χάριν ἐν τῇ συνθέσει ἀνεβίβασε τὸν τόνον, ἵνα δείξῃ ὅτι σύνθετός ἐστι καὶ οὐ παρασύνθετος, ὡς ἄλλαι μετοχαί· δευτέρα δὲ αἰτία ἐστὶν αὕτη· τὸ εἴκω διάφορα σημαίνει· σημαίνει γὰρ τὸ ὁμοιῶ, [ἐξ οὗ τὸ εἰκών· σημαίνει] τὸ ὑποχωρῶ, [ἐξ οὗ τὸ [Il. ν'. 321.]

ἀνδρεία δ' (Ἀνδρὶ δέ κ') οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας]

σημαίνει κατὰ περίφρασιν, ἤγουν ἐκ τοῦ παρεπομένου, καὶ τὸ θέλω· παρέπεται γὰρ πολλάκις τοῖς ὑποχωροῦσι τὸ θέλειν· τὸ γὰρ [Il. ι'. 594.]

[e]εἴξας τῷ θυμῷ

οὐδὲν ἄλλο σημαίνει εἰ μὴ τὸ θελήσει [f]ὑποχωρήσας [καὶ τί βουληθείς·] ἐκ τούτου οὖν [g]τοῦ σημαίνοντος κατὰ περί-

[c] γὰρ ἐκβιβάζουσι Bar. [d] οὐ δεῖ λέγειν Bar. [e] εἰξάσθω θυμῷ Bar. [f] ὑποχωρῆσαι Bar. qui om. [ ]. [g] τοῦ ἔκω Bar.

φρασιν καὶ ἐκ τοῦ παρεπομένου τὸ θέλειν γέγονεν ἡ ἑκὼν σημαίνουσα τὸ θέλον (sic) κατὰ πάθος, τουτέστι κατὰ ἀποβολὴν τοῦ ι, καὶ ἐπειδὴ τὸ εἴκω ῥῆμα συνέστειλε τὴν παραλήγουσαν [ἐν τῇ ἑκὼν μετοχῇ·] τούτου χάριν [ἡ ἑκὼν] ὠξύνθη, ὁμοίως ταῖς ἄλλαις μετοχαῖς ταῖς βραχείᾳ παραληγομέναις, φημὶ δὴ ταῖς τοῦ δευτέρου ἀορίστου, [οἷον, ὡς περιλαβών, δακών, λαθών, πιών,] ἀλλ' ἐπειδὴ ἡ ἑκὼν οὐκ ἔστι δευτέρου ἀορίστου, ἀλλ' ἐνεστῶτος καὶ παρατατικοῦ, τὸ γὰρ θέλω δηλοῖ, δηλονότι οὐκ ὤφειλεν ὀξύνεσθαι ὁμοίως ἐκείναις. Ἐπειδὴ οὖν παραλόγως συνέδραμεν ἐκείναις καὶ ὠξύνθη ἡ ἑκὼν μετοχή, τούτου χάριν ἐν τῇ συνθέσει, φημὶ δὴ ἐν τῇ ἄεκων, ἐβαρύνθη, ἵνα τὴν [h]παράλογον τάσιν τοῦ ἁπλοῦ ἐκφύγῃ, φημὶ δὴ τὴν ὀξεῖαν. Τρίτη δὲ ἐστὶν αἰτία αὕτη· αἱ εἰς ΩΝ [i]ὀξύτονοι μετοχαὶ ἔχουσαι ῥήματα προϋπάρχοντα εἰς ΟΝ λήγοντα δευτέρου ἀορίστου τὰ κωλύοντα αὐτὰς βαρυνθῆναι, οἷον φυγὼν ἔφυγον, [λαβὼν ἔλαβον, δραμὼν ἔδραμον,
332 b δακὼν ἔδακον·] ἐπειδὴ οὖν ἡ ἄεκων μετοχὴ οὐκ ἔχει ῥήματα προϋπάρχοντα· ἐν γὰρ τῇ μετοχῇ ἐγένετο ἡ σύνθεσις, οἷον ἑκὼν ἄεκων· τούτου χάριν ὡς μὴ ἔχουσα ῥῆμα προϋπάρχον τὸ ὀφεῖλον αὐτὴν ἀναγκάζεται ὀξυνθῆναι οὐκ ἐκωλύθη βαρυνθῆναι. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι διὰ τί ἡ ἑκὼν μετοχὴ ἐν τῇ ἄεκων ἀναβιβάσασα τὸν τόνον ἔμεινε μετοχή, καὶ οὐκ ἐγένετο ὄνομα; Καὶ ἔστιν εἰπεῖν ὅτι ἐκ τῆς Α στερήσεως συντιθεμένη καὶ φυλάττουσα τὸ τέλος, φυλάττει καὶ τὸ αὐτὸ μέρος τοῦ λόγου, οἷον δοῦλος ἄδουλος, [φίλος ἄφιλος, σεμνὸς ἄσεμνος, κακὸς ἄκακος,] ψευδὴς ἀψευδής, [σαφὴς ἀσαφής·] τὸ γὰρ τλὰς Ἄτλας, καὶ τὸ βὰς Ἄβας φυλάξαντα τὸ τέλος καὶ μὴ φυλάξαντα τὸ αὐτὸ μέρος τοῦ λόγου, ἀλλὰ γενόμενα ὀνόματα, οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔχουσι τὴν Α στέρησιν, ἀλλὰ τὴν πρώτην ἐπίτασιν, οἱονεὶ ὁ πάνυ καρτερῶν, πάνυ βοῶν· ἐπειδὴ οὖν ἡ ἄεκων ἐφύλαξε τὸ τέλος τῆς ἑκών, τούτου χάριν καὶ τὸ αὐτὸ μέρος τοῦ λόγου ἐφύλαξε, καὶ ἔμεινε μετοχή. Πρόσκειται "φυλάττουσα τὸ τέλος" διὰ τὸ σέβω

[h] παραλήγουσαν Bar. [i] Sic Bar. om. Par., qui in marg. δισύλλαβοι.

ἀσεβής· ἰδοὺ ἐνταῦθα προσελθοῦσα ἡ α στέρησις οὐκ ἐφύλαξε τὸ αὐτὸ μέρος τοῦ λόγου· τὸ μὲν γὰρ σέβω ῥῆμά ἐστι, τὸ δὲ ἀσεβὴς ὄνομα, [ἀλλ' οὐκ ἐφύλαξε τὸ τέλος·] τὸ ἄκμων ἀπὸ τοῦ α καὶ τῆς καμὼν μετοχῆς γενόμενον καὶ μὴ φυλάξαν τὸ αὐτὸ μέρος τοῦ λόγου, ἀλλὰ γενόμενον ὄνομα, οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ τὸ α οὐ μόνον στερητικὸν δύναται εἶναι ἐνταῦθα, ἀλλὰ καὶ ἐπιτατικόν, ἄκμων γὰρ λέγεται ἢ παρὰ τὸ μὴ κάμνειν, ἢ παρὰ τὸ πάνυ κάμνειν· ἄλλως τε δὴ καὶ τοῦ κάμνω συνέκοψε φωνήν, οἷον ἀκάμων, καὶ ἄκμων, καὶ τούτου χάριν οὐκ ἔμεινε μετοχή.

"Μετοχαὶ ἐνεργητικαὶ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ τύπτων."

Ἰστέον ὅτι ἐν ταῖς μετοχαῖς ὁ ἐνεστὼς καὶ ὁ παρατατικὸς ὁμοῦ εἰσιν, οἷον ὁ τύπτων, καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς ὁμοίως ὁμοῦ, οἷον τετυφώς, ὁ δὲ ἀόριστος ἰδίᾳ, καὶ ὁ μέλλων ἰδίᾳ· ἀορίστου γὰρ πρώτου τύψας φαμέν, καὶ μέλλων α' τύψων, καὶ πάλιν ἀορίστου πρώτου τυπών, ὀξυτόνως, καὶ μέλλων β' τυπῶν περισπωμένως· ταῦτα δέ, φημὶ δὲ ἡ μετοχὴ τοῦ δευτέρου ἀορίστου καὶ τοῦ β' μέλλοντος, τῇ μὲν φωνῇ συνέπεσον, τῷ δὲ τόνῳ διεστάλησαν· ἡ μὲν γὰρ τοῦ β' ἀορίστου μετοχὴ τυπὼν ὀξυτόνως, ἡ δὲ τοῦ β' μέλλοντος τυπῶν περισπωμένως· καὶ πάλιν ἡ μὲν τοῦ δευτέρου ἀορίστου μετοχὴ τυπὼν τυπόντος κλίνεται διὰ τοῦ ο μικροῦ· ἡ δὲ τοῦ δευτέρου μέλλοντος μετοχὴ τυπῶν τυποῦντος διὰ τῆς ου διφθόγγου. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί ἐν ταῖς μετοχαῖς ὁ μὲν ἐνεστὼς καὶ ὁ παρατατικὸς συνεζευγμένοι εἰσὶ, καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς ὁμοίως, ὁ δὲ ἀόριστος ἰδίᾳ καὶ ὁ μέλλων ἰδίᾳ; Καὶ λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν ἀπολογίαν, ὅτι συγγένειαν ἔχουσιν αἱ μετοχαὶ πρὸς τὰ ἀπαρέμ-
333 a φατα· ὥσπερ γὰρ τὰ ἀπαρέμφατα οὐκ ἔχουσιν οὔτε πρόσωπα οὔτε θέλημα ψυχῆς, οὕτως καὶ ἡ μετοχὴ οὐκ ἔχει οὔτε πρόσωπα οὔτε θέλημα ψυχῆς· ἄλλως τε δέ, ὥσπερ ἡ μετοχὴ πτωτική ἐστιν, οὕτω καὶ τὰ ἀπαρέμφατα δυνάμει πτωτικά εἰσι· λέγομεν γὰρ τὸ περιπατεῖν ὠφέλιμόν ἐστι, τοῦ παρι-

πατεῖν ὠφελίμου ὄντος, [τῷ περιπατεῖν ὠφελίμῳ ὄντι·] ἐπειδὴ οὖν συγγένειαν ἔχουσιν αἱ μετοχαὶ πρὸς τὰ ἀπαρέμφατα, εἰκότως τὴν [i]τάξιν τῶν ἀπαρεμφάτων φυλάττουσι κατὰ τοὺς χρόνους, [καὶ ὥσπερ ἐν τοῖς ἀπαρεμφάτοις συνεζευγμένοι εἰσὶν ὁ ἐνεστὼς καὶ ὁ παρατατικὸς, καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς, ὁ δὲ ἀόριστος καὶ ὁ μέλλων διακεχωρισμένοι εἰσὶ, τὸν αὐτὸν τρόπον καὶ ἐν ταῖς μετοχαῖς ὁ ἐνεστὼς καὶ ὁ παρακείμενος συνεζευγμένοι εἰσὶ, καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς ὁμοίως, ὁ δὲ ἀόριστος καὶ ὁ μέλλων διακεχωρισμένοι. Ταῦτα μὲν ἐν τούτοις.]

Ἰστέον δὲ ὅτι [δύο] τελικὰ σύμφωνά εἰσι τῶν μετοχῶν, τὸ Ν καὶ τὸ Σ, οἷον τύπτων, τύψας, καὶ τοῦτο εὐλόγως, ἐπειδὴ καὶ δύο τελικὰ σύμφωνα τῶν ῥημάτων εἰσὶ, τὸ Ν καὶ τὸ Σ, οἷον ἔτυπτον, ἔτυψας. Καὶ ἰστέον ὅτι πᾶσα μετοχὴ ἀρσενικὴ εἰς Ν λήγουσα [πάντως] ἓν φωνῆεν ἔχει πρὸ τοῦ Ν, τουτέστι τὸ Ω, οἷον τύπτων, [τύψων, λαβὼν,] αἱ δὲ εἰς Σ λήγουσαι μετοχαὶ διάφορα φωνήεντα ἔχουσι πρὸ τοῦ Σ· πῆ μὲν γὰρ ἔχουσι τὴν ΕΙ δίφθογγον, οἷον τυφθεὶς, τιθεὶς, πῆ δὲ τὸ Α ἐκτεταμένον, οἷον [k]τύψας, ἱστὰς, πῆ δὲ τὸ Ω, οἷον τετυφὼς, τετυπὼς, πῆ δὲ τὴν ΟΥ δίφθογγον, οἷον διδοὺς, [βιοὺς,] πῆ δὲ τὸ Υ ἐκτεταμένον, οἷον ζευγνὺς [[l]πηγνύς·] ἄλλο φωνῆεν οὐκ ἔχουσι πρὸ τοῦ Σ. Τούτων οὕτως ἐχόντων, ἰστέον ὅτι πᾶσα μετοχὴ ἀρσενικὴ μακροκαταληκτεῖν θέλει, πλὴν τῶν εἰς ΜΕΝΟΣ, [οἷον τύπτων, τύψων, τύψας, τυπὼν, λαβὼν, τετυφὼς, τετυπὼς, τυφθεὶς, τιθεὶς, ἱστὰς, διδοὺς, ζευγνὺς, πηγνύς. Πρόσκειται χωρὶς τῶν εἰς ΜΕΝΟΣ, ἐπειδὴ αὗται βραχυκαταληκτοῦσι, οἷον τυπτόμενος, τετυμμένος, τυψάμενος. Πρόσκειται δὲ "ἀρσενικὴ" διὰ τὸ τύπτουσα, τυποῦσα, καὶ τὸ τύπτον· αὗται γὰρ αἱ μετοχαὶ βραχυκαταληκτοῦσιν, ἀλλ' οὐκ εἰσὶν ἀρσενικαί· ἀλλ' αἱ μὲν θηλυκαὶ, ἡ δὲ οὐδετέρα. Ἰστέον δὲ καὶ τοῦτο, πᾶσα μετοχὴ ἀρσενικὴ περιττοσυλλάβως κλίνεται χωρὶς τῶν εἰς ΜΕΝΟΣ, οἷον τύπτων τύπτοντος, τετυφὼς τετυφότος, τύψων τύψοντος, τυφθεὶς τυφθέντος, νυγεὶς νυγέντος, διδοὺς διδόντος, ἱστὰς

[i] ἀκολουθίαν Bar. [k] στὰς στάντος Bar. [l] πῆ δὲ τὸ Ῑ Bar.

ἱστάντος. Πρόσκειται "*χωρὶς τῶν εἰς* ΜΕΝΟΣ," *ἐπειδὴ αὗται ἰσοσυλλάβως κλίνονται, οἷον τυπτόμενος τυπτομένου, τυψάμενος τυψαμένου, τετυμμένος τετυμμένου.*] *Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι πᾶσα μετοχὴ περιττοσυλλάβως κλινομένη καὶ διὰ τοῦ* ΝΤ *κλίνεται χωρὶς τῶν εἰς* ΩΣ *μετοχῶν τοῦ παρακειμένου,* [*οἷον τύπτων τύπτοντος, τύψων τύψοντος, τύψας τύψαντος, τυπὼν τυπόντος, τυπῶν τυποῦντος, τυφθεὶς τυφθέντος, νυγεὶς νυγέντος, διδοὺς διδόντος, ἱστὰς ἱστάντος,*
333 b *ζευγνὺς ζευγνύντος.* Πρόσκειται "*χωρὶς τῶν εἰς* ΩΣ *μετοχῶν,*" *ἐπειδὴ αὗται διὰ καθαροῦ τοῦ* ΤΟΣ *κλίνονται, οἷον τετυφὼς τετυφότος, τετυπὼς τετυπότος, δεδουπὼς δεδουπότος, πεποιθὼς πεποιθότος,*] *καὶ ἡ αἰτία ἐν τῇ περὶ τῆς μετοχῆς τοῦ παρακειμένου διδασκαλίᾳ, εἰ θεῷ φίλον, λεχθήσεται.*

Ἰστέον δὲ ὅτι πᾶσα μετοχὴ περιττοσυλλάβως κλινομένη συστέλλει τὸ φωνῆεν τῆς εὐθείας καὶ ἐν τῇ γενικῇ, χωρὶς εἰ μὴ ᾖ ἀπὸ περισπωμένης εὐθείας ἢ ἀπὸ κράσεως, [*οἷον τύπτων τύπτοντος, τύψων τύψοντος, τυπὼν τυπόντος, λαβὼν λαβόντος, τετυφὼς τετυφότος, τετυπὼς τετυπότος, τύψας τύψαντος, τυφθεὶς τυφθέντος, τυπεὶς τυπέντος, διδοὺς διδόντος, τιθεὶς τιθέντος, βιοὺς βιόντος, ἁλοὺς ἁλόντος, ἱστὰς ἱστάντος, ζευγνὺς ζευγνύντος, πηγνὺς πηγνύντος*

Πρόσκειται "*χωρὶς εἰ μὴ ᾖ ἀπὸ περισπωμένης εὐθείας*" *διὰ τὸ ποιῶν ποιοῦντος,* [*καὶ βοῶν βοῶντος, καὶ χρυσῶν χρυσοῦντος* *μιανῶν μιανοῦντος,*] *τυπῶν τυποῦντος·* [*ταῦτα γὰρ φύσει μακρᾷ παραλήγεται κατὰ τὴν γενικήν, ἀλλὰ ἀπὸ περισπωμένης εὐθείας εἰσί.* Πρόσκειται δὲ "*ἢ ἀπὸ κράσεως*"] *διὰ τὸ ἑστὼς ἑστῶτος, βεβὼς βεβῶτος, γεγὼς γεγῶτος, τεθνεὼς τεθνεῶτος· ταῦτα γὰρ ἀπὸ κράσεως ἔχουσι τὴν μακράν· ἀπὸ γὰρ τοῦ ἑσταότος καὶ βεβαότος καὶ γεγαότος καὶ τεθνεότος γεγόνασι κατὰ κράσιν τοῦ* Α *καὶ* Ο *εἰς* Ω [*ἑστῶτος καὶ βεβῶτος, καὶ γεγῶτος καὶ τεθνῶτος.*] Καὶ *ἀποροῦσί τινες, λέγοντες, εἰ ἄρα καὶ τὰ ἀπὸ περισπωμένης εὐθείας καὶ τὰ ἀπὸ κράσεως εἰσίν·* [[m] *ἀπὸ γὰρ τοῦ*

[m] [ ] *ἰδοὺ γὰρ τὰ περισπώμενα τοῦ μέλλοντος οὐκ εἰσὶν ἀπὸ κράσεως* Bar.

ποιέων ποιέοντος γέγονε ποιῶν ποιοῦντος, καὶ ἀπὸ τοῦ βοάων βοάοντος γέγονε βοῶν βοῶντος, καὶ ἀπὸ τοῦ χρυσόων χρυσόοντος γέγονε χρυσῶν χρυσοῦντος, διὰ τί εἰρήκατε καὶ τὰ ἀπὸ περισπωμένης εὐθείας· καὶ ταῦτα γὰρ ἀπὸ κράσεως εἰσίν. Ἔστιν οὖν εἰπεῖν, ὅτι διὰ τοῦτο τὰ (sic) κατὰ εἰρήκαμεν, τουτέστι καὶ τὸ ἀπὸ περισπωμένης καὶ τὸ ἀπὸ κράσεως, ἐπειδὴ οὐ πάντως τὰ ἀπὸ περισπωμένης εὐθείας καὶ ἀπὸ κράσεως εἰσίν·] ἀπὸ κράσεως, οἷον εὐφρανῶν εὐφρανοῦντος, [μιανῶν μιανοῦντος, τυπῶν τυποῦντος,] οὐδὲ γὰρ ἔχουσι ταῦτα ἐντέλειαν ἵνα εἴπωμεν κατὰ κρᾶσιν ἐγένοντο.

Ἰστέον δὲ ὅτι αἱ εἰς ΩΝ περισπώμεναι μετοχαὶ, μέλλοντος μὲν οὖσαι, τῇ ΟΥ διφθόγγῳ παραλήγουσι [κατὰ τὴν γενικὴν,] οἷον [εὐφρανῶν] εὐφρανοῦντος, [μιανῶν] [n] μιανοῦντος [περῶν περοῦντος, τυπῶν τυποῦντος·] ἐνεστῶτος δὲ οὖσαι, πρὸς τὴν συναίρεσιν ποιοῦνται τὴν παραλήγουσαν, οἷον νοέων νόεοντος, καὶ κατὰ κρᾶσιν τοῦ Ε καὶ Ο εἰς τὴν ΟΥ δίφθογγον νοοῦντος, ὥσπερ χάλκεος χαλκοῦς, καὶ πάλιν βοάων βοάοντος καὶ κατὰ κρᾶσιν τοῦ Α καὶ Ο εἰς τὸ Ω βοῶντος, ὥσπερ
334 a ἐλούσαο ἐλούσω, καὶ πάλιν χρυσόων χρυσόοντος, καὶ κατὰ κρᾶσιν τῶν δύο ΟΟ εἰς τὴν ΟΥ δίφθογγον χρυσοῦντος, ὥσπερ νόος νοῦς. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι κανονίζει τὴν μετοχὴν τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ τοῦτον τὸν τρόπον· πᾶν ῥῆμα εἰς Ω λῆγον, εἴτε ἐνεστῶτος εἴτε μέλλοντος δηλονότι, προσθέσει τοῦ Ν τὴν μετοχὴν ποιεῖ, οἷον τύπτω τύπτων, [γράφω γράφων, ποιῶ ποιῶν, βοῶ βοῶν, χρυσῶ χρυσῶν, τύψω τύψων, λέξω λέξων, ποιήσω ποιήσων, βοήσω βοήσων, χρυσώσω χρυσώσων,] κερῶ κερῶν, [στεφανῶ στεφανῶν, μιανῶ μιανῶν, τυπῶ τυπῶν.] Δύναται δὲ καὶ ἀπὸ τοῦ παρατατικοῦ κανονίσαι τὴν μετοχὴν τοῦ ἐνεστῶτος τοῦτον τὸν τρόπον· πᾶς παρατατικὸς ἀπὸ τῶν εἰς Ω ῥημάτων τρέπων τὴν ἐσχάτην εἰς ΩΝ, καὶ ἀποβάλλων τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, τὴν μετοχὴν ποιεῖ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ, οἷον [ἔτυπτον τύπτων, ἔγραφον γράφων, ἔλεγον λέγων,] ἐποίουν ποιῶν, ἐχρύσουν

[n] μιμνοῦντος Bar.

χρυσῶν,] ἐβόων βοῶν. Πρόσκειται "ἀπὸ τῶν εἰς ω ῥημάτων," διὰ τὸ ἐτίθην· τούτου γὰρ οὐκ ἔστιν ἡ μετοχὴ εἰς ΩΝ, ἀλλ' εἰς Σ μετ' ὀξείας τάσεως, οἷον τιθεὶς, [ἀλλ' οὐκ ἔστιν ἀπὸ τῶν εἰς ω ῥημάτων, ἀλλ' ἀπὸ τῶν εἰς ΜΙ·] περὶ δὲ τῶν εἰς ΜΙ ἐν τοῖς ἐφεξῆς, εἰ θεῷ φίλον, μαθησόμεθα.

Τούτων οὕτως ἐχόντων, δεῖ γινώσκειν ὅτι αἱ εἰς ΩΝ λήγουσαι μετοχαὶ ἢ ὀξύνονται ἢ βαρύνονται ἢ περισπῶνται. Καὶ βαρύνονται μὲν, ἡνίκα τὸ ῥῆμα βαρύνεται, οἷον λέγω λέγων, [τύπτω τύπτων, γράφω γράφων, λέξω λέξων, τύψω τύψων, γράψω γράψων·] περισπῶνται δὲ, ἡνίκα ὁμοίως τὸ ῥῆμα περισπᾶται, οἷον [ποιῶ ποιῶν, βοῶ βοῶν, χρυσῶ χρυσῶν, κερῶ κερῶν,] εὐφρανῶ εὐφρανῶν, [μιανῶ μιανῶν·] ὀξύνονται δὲ, ἡνίκα ὦσιν β' ἀορίστου, οἷον [ἔτυπον τυπὼν, ἔλαβον λαβὼν, ἔμαθον μαθὼν,] ἔφαγον φαγών. Καθόλου γὰρ αἱ εἰς ΩΝ μετοχαὶ τοῦ β' ἀορίστου ὀξύνονται, [[o] λαβὼν, φαγὼν,] χωρὶς τοῦ πέφνων, ὅπερ βαρύνεται ὁμοίως τῷ τέμνων καὶ κάμνων.

"Ὦ τύπτων." Ἰστέον ὅτι πᾶσα μετοχὴ περιττοσυλλάβως κλινομένη τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν, [οἷον ὁ τύπτων ὦ τύπτων.] ὁ τετυφὼς ὦ τετυφὼς, [ὁ τετυπὼς ὦ τετυπὼς, ὁ τύψας ὦ τύψας, ὁ τυπὼν ὦ τυπὼν, ὁ τύψων ὦ τύψων, ὁ τυφθεὶς ὦ τυφθεὶς, ὁ ἱστὰς ὦ ἱστὰς, ὁ τιθεὶς ὦ τιθεὶς.] ὁ διδοὺς ὦ διδοὺς, [ὁ ζευγνὺς ὦ ζευγνύς.] Πρόσκειται "περιττοσύλλαβως κλινομένη" διὰ τὰς εἰς ΜΕΝΟΣ, [αὗται γὰρ οὐκ ἔχουσι τὴν αὐτὴν ὀρθὴν καὶ κλιτικὴν, καὶ οὐ κλίνονται περιττοσυλλάβως, ἀλλ' ἰσοσυλλάβως, οἷον ὁ τυπτόμενος τοῦ τυπτομένου ὦ τυπτόμενε, ὁ τυψάμενος τοῦ τυψαμένου ὦ τυψάμενε, ὁ τετυμμένος τοῦ τετυμμένου ὦ τετυμμένε.]

334 b "Τύπτουσα." Ἰστέον ὅτι πᾶσα μετοχὴ διὰ τοῦ ΝΤ κλινομένη, τρέπουσα τὸ τέλος τῆς γενικῆς εἰς Α, καὶ τὴν παραλήγουσαν φύσει μακρὰν ποιοῦσα, καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα [p] σὺν αὐτῇ ἀκουσθῆναι στοιχεῖα, τὸ θηλυκὸν ποιεῖ, οἷον τύπτοντος τύπτουσα, [λέγοντος λέγουσα, γρά-

[o] [ ] ἐνεγκὼν εὑρὼν Bar. [p] συνεκφωνηθῆναι Bar.

φοντος γράφουσα, τύψοντος τύψουσα,] [q] λέξοντος λέξουσα, τοῦ ν ἀποβληθέντος διὰ τὴν ἀσυνταξίαν καὶ τοῦ τ προσελθόντος· τὸ γὰρ ο διὰ τῆς προσθήκης τοῦ τ πέφυκε μεγεθύνεσθαι, οἷον λέοντος λέουσι, [γέροντος γέρουσι·] πάλιν τυφθέντος τυφθεῖσα, [δαρέντος δαρεῖσα, νυγέντος νυγεῖσα, τιθέντος τιθεῖσα,] τοῦ ν ἀποβληθέντος διὰ τὴν ἀσυνταξίαν καὶ τοῦ ι προσελθόντος· τὸ γὰρ ε διὰ τῆς προσθήκης τοῦ ι πέφυκε μεγεθύνεσθαι, οἷον χαρίεντος χαρίεισι, [τιμήεντος τιμήεισι·] πάλιν τύψαντος τύψασα, [ἱστάντος ἱστᾶσα, κιχράντος κιχρᾶσα,] ζευγνύντος ζευγνῦσα, τοῦ ν ἀποβληθέντος, καὶ τοῦ τ διχρόνου εἰς ἑαυτὸ μεγεθυνθέντος, τουτέστι φύσει μακροῦ γενομένου· αἱ μέντοι ἀπὸ περισπωμένων μετοχαὶ, ἐπειδὴ καὶ ἐν τῇ γενικῇ τοῦ ἀρσενικοῦ φύσει μακρᾷ παραλήγονται, οὐδὲν προσλαμβάνουσιν ἐν τῷ θηλυκῷ, οἷον ποιοῦντος ποιοῦσα, [γελῶντος γελῶσα, χρυσοῦντος χρυσοῦσα,] ἀμέλει καὶ ἐν τῇ [r] ἐντελείᾳ οὐ παραλήγουσαι φύσει μακρᾷ [s] προσλαμβάνουσι κατὰ τὸν θηλυκὸν χρόνον, οἷον ποιέοντος ποιέουσα, γελάοντος γελάουσα, χρυσόοντος χρυσόουσα. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι αἱ εἰς α λήγουσαι θηλυκαὶ μετοχαὶ φύσει μακρᾷ θέλουσι παραλήγεσθαι, οἷον τύπτουσα, [λέγουσα, γράφουσα, τυφθεῖσα, δαρεῖσα, νυγεῖσα, τύψασα, γράψασα, λέξασα, ἱστᾶσα,] κιχρᾶσα, [ζευγνῦσα, ὀμνῦσα, πηγνῦσα, ποιοῦσα,] βοῶσα, [[t] χρυσοῦσα μακρᾷ παραλήγεται,] Πρόσκειται δὲ "αἱ εἰς α λήγουσαι," διὰ τὸ [[u] τυπτόμενος καὶ τυψάμενος· ἐπὶ τούτων γὰρ οὐκ ἔστι μακρὰ ἡ παραλήγουσα, ἀλλ' οὐ λήγουσιν αὗται αἱ μετοχαὶ εἰς α, ἀλλ' εἰς η.]

"Τύπτον." Ἰστέον ὅτι πᾶσα γενικὴ μετοχῆς διὰ τοῦ ντ κλινομένη ἀποβολῇ τῆς τος τὸ οὐδέτερον ποιεῖ, οἷον [τύπτοντος τύπτον, λέγοντος λέγον, ποιοῦντος ποιοῦν, βοῶντος βοῶν, χρυσοῦντος χρυσοῦν, τύψαντος τύψαν, τύ-

[q] λέξαντος λέξασα Bar. [r] τελείᾳ, ἐπειδὴ οὐ παραλογίζονται φύσει Bar. [s] παραλ. Bar. [t] [ ] πηγνῦσα· χωρὶς τῶν κατὰ διάλεκτον. Ἔστι γὰρ ἑκοῦσα μετοχὴ καὶ γίνεται παρὰ τοῖς Αἰολεῦσιν . . . ασα Bar. [u] [ ] τυπτομένη Bar.

ψοντος τύψον,] τυποῦντος τυποῦν, [δαρέντος δαρὲν, τιθέντος τιθὲν, ἱστάντος ἱστὰν,] ζευγνῦντος ζευγνῦν, διδόντος διδόν. Ἰστέον ὅτι ἡ οὐδετέρου μετοχὴ ὁμοίως τῇ ἀρσενικῇ μετοχῇ κλίνεται· ἐμάθομεν γὰρ ἐν τοῖς οὐδετέροις ὀνόμασιν, ὅτι πᾶν οὐδέτερον ἀπὸ ἀρσενικοῦ παρεσχηματισμένον ὁμοίως τῷ ἀρσενικῷ κλίνεται, οἷον ὁ σοφὸς τοῦ σοφοῦ, τὸ σοφὸν τοῦ
335 a *σοφοῦ, [ὁ ἀλλότριος τοῦ ἀλλοτρίου, ὁ σώφρων τοῦ σώφρονος τὸ σῶφρον τοῦ σώφρονος, ὁ ἄρσην τοῦ ἄρσενος τὸ ἄρσεν τοῦ ἄρσενος·] οὕτως οὖν καὶ ὁ τύπτων τοῦ τύπτοντος, τὸ τύπτον τοῦ τύπτοντος, [καὶ ὁ τύψων τοῦ τύψοντος, καὶ τὸ τύψον τοῦ τύψοντος.]*

" *Παρακείμενος καὶ ὑπερσυντελικὸς τετυφώς.*" Κ*ανονίζει ὁ τεχνικὸς τὴν μετοχὴν τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ καὶ τοῦ μέσου παρακειμένου καὶ ὑπερσυντελικοῦ τοῦτον τὸν τρόπον· ἐνεργητικός τε καὶ μέσος παρακείμενος τρέποντες τὸ* Α *εἰς* ΩΣ, *μετ' ὀξείας τάσεως δηλονότι, τὴν μετοχὴν ποιοῦσιν ἑαυτῶν τε καὶ τῶν ὑπερσυντελικῶν, [οἷον τέτυφα τετυφὼς, τέτυπα τετυπὼς, πεποίηκα πεποιηκὼς, δέδουπα δεδουπώς.]* Τ*αῦτα μὲν ἐν τούτοις.*

Ἄ*ξιον δέ ἐστι ζητῆσαι διὰ τί ἡ μετοχὴ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ εἰς* ΩΣ *λήγει, [οἷον τετυφὼς, τετυπὼς,] οὔτε γὰρ ὁ παρακείμενος ἔχει τὸ* [x] Ω, *[τέτυφα γάρ ἐστι καὶ τέτυπα διὰ τοῦ* Α, *ἀλλ' οὔτε δὲ ὁ ὑπερσυντελικός ἐστι διὰ τοῦ* Ω *ἔχει ἐτετύφειν γὰρ καὶ ἐτετύπειν διὰ τῆς* ΕΙ *διφθόγγου.]* Ἔ*στιν οὖν εἰπεῖν, ὅτι* [y] *ἀνάγκην ἔχει ἡ μετοχὴ τῶν δύο χρόνων τούτων, φημὶ δὲ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, συνεζευγμένοι εἶναι, ἐπειδὴ καὶ τὸ ἀπαρέμφατον συνεζευγμένον ἐστὶ τοῦ παρακειμένου [καὶ ὑπερσυντελικοῦ.]* Τ*ούτων οὕτως ἐχόντων, εἰ ἐγένετο ἀπὸ τοῦ παρακειμένου [ἡ μετοχὴ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ] ἤμελλε τέτυφας εἶναι διὰ τοῦ* Α, *τέτυφα γὰρ διὰ τοῦ* Α *ἔστιν ὁ παρακείμενος· καὶ λοιπὸν οὐδεμία ἔμφασις γίνεται τοῦ ὑπερσυντελικοῦ, [ὁ γὰρ ὑπερσυντελικὸς τὴν* ΕΙ *δίφθογγον ἔχει,*

x M Bar. y *ἀνάγκη ἔχειν τὴν* Bar.

ἐτετύφειν γάρ ἐστίν·] εἰ δὲ [πάλιν] ἀπὸ τοῦ ὑπερσυντελικοῦ ἐγίνετο ἡ μετοχή, τετυφεὶς ἤμελλεν εἶναι ὀξυτόνως [διὰ τῆς ει διφθόγγου, ἐπειδὴ καὶ ὁ ὑπερσυντελικὸς τὴν ει δίφθογγον ἔχει, ἐτετύφειν γάρ ἐστι,] καὶ λοιπὸν οὐδεμία ἔμφασις ἐγίνετο τοῦ παρακειμένου, [ὁ γὰρ παρακείμενος εἰς α λήγει, τέτυφε γάρ ἐστι·] τούτου οὖν χάριν ἀπὸ τοῦ παρακειμένου καὶ τοῦ ὑπερσυντελικοῦ τοῦ ἐὰν τετύφω ἐγένετο ἡ μετοχὴ προσθέσει τοῦ σ, τετυφώς· οὐδὲν γὰρ ἄλλο εἰσὶ τὰ ὑποτακτικά, εἰ μὴ ὁριστικὰ τῇ φωνῇ μετὰ τοῦ προσλαμβάνειν τὸ ἐάν, ἢ τὸ ὄφρα, ἢ τὸ ὅπως, ἢ τὸ ἵνα, οἷον τύπτω, ἐὰν τύπτω, ὄφρα τύπτω, [ὅπως τύπτω, ἵνα τύπτω.] ἄλλως τε δὲ τὸ ἐὰν τετύφω [z] ἐν μιᾷ φωνῇ δηλοῖ τὸν παρακείμενον καὶ ὑπερσυντελικόν, εἰκότως ἐξ αὐτοῦ γίνεται ἡ μετοχὴ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ· τὸ δὲ τετυφὼς εἰς σ λήγει καὶ ὀξύνεται, [φημὶ δὲ ἡ μετοχὴ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ,] ἐπειδή, ὡς ἐν τοῖς ἐφεξῆς, εἰ θεῷ φίλον, μαθησόμεθα, πᾶν ῥῆμα ὁριστικὸν εἰς ω λῆγον μετὰ φυσικῆς μακρᾶς μὴ ἔχον τὸ μ κλιτικὸν εἰς σ μετ' ὀξείας τάσεως [ἔχει τὴν μετοχήν, οἷον ἐτύφθην τυφθείς, ἐτύπην τυπείς, ἐδάρην δαρείς, ἐνύγην νυγείς, ἐτίθην τιθείς, ἵστην ἱστάς, ἐδίδων διδούς, ἐζεύγνυν ζευγνύς, οὕτως οὖν καὶ ἐτετύφειν τετυφώς, καὶ πεποίθειν πεποιθὼς εἰς σ μετ' ὀξείας τάσεως·] ὅθεν δῆλον ὅτι τῷ ὑπερσυντελικῷ μᾶλλον ἀκολουθεῖ ἤπερ τῷ παρακειμένῳ. Ταῦτα μὲν ἐν τούτοις.

335 b Ἐζήτηται δὲ εἰ ἄρα πᾶσα μετοχὴ περιττοσυλλάβως κλινομένη διὰ τοῦ ντ κλίνεται, οἷον τύπτων [τύπτοντος, τύψων τύψοντος, τύψας τύψαντος, τυφθεὶς τυφθέντος, διδοὺς διδόντος, ζευγνὺς ζευγνῦντος,] διὰ ποίαν αἰτίαν αἱ εἰς ως μετοχαὶ τοῦ παρακειμένου διὰ καθαροῦ τοῦ τος κλίνονται, καὶ οὐ διὰ τοῦ ντ, οἷον [τετυφὼς τετυφότος, πεποιηκὼς πεποιηκότος, τετυπὼς τετυπότος,] πεποιθὼς πεποιθότος· καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ἣν ἔφη ὁ τεχνικός, ἐπειδὴ ἡ μετοχὴ τοῦ παρακειμένου ὀνοματικὴν ἔσχε κατάληξιν, τούτου

[z] ἐὰν Bar.

χάριν καὶ κλίσιν ὀνοματικὴν ἀνεδέξατο. Ἐπειδὴ γὰρ εἰς ΩΣ *λήγει, τὰ δὲ εἰς* ΩΣ *ὀνόματα οὐδέποτε κλίνονται διὰ τοῦ* ΝΤ, *διὰ δὲ καθαροῦ τοῦ* ΤΟΣ *πολλάκις, οἷον ὁ ἱδρὼς τοῦ ἱδρῶτος, τούτου χάριν οὔτε ἡ εἰς* ΩΣ *μετοχὴ τοῦ παρακειμένου διὰ τοῦ* ΝΤ *κλίνεται, ἀλλὰ διὰ καθαροῦ τοῦ* ΤΟΣ, *οἷον τετυφὼς τετυφότος, [τετυπὼς τετυπότος, δεδουπὼς δεδουπότος. Καὶ] ἀποροῦσί τινες, λέγοντες, εἰ ἄρα ἡ εἰς* ΩΣ *μετοχὴ τοῦ παρακειμένου τὴν κλίσιν τῶν εἰς* ΩΣ *ὀνομάτων ἀνεδέξατο, τὰ δὲ εἰς* ΩΣ *ὀνόματα διὰ καθαροῦ τοῦ* ΤΟΣ *κλινόμενα φυλάττουσι τὸ* Ω *καὶ ἐν τῇ γενικῇ, οἷον ἱδρὼς ἱδρῶτος, ἀπτὼς [ἀπτῶτος, ἀγνὼς ἀγνῶτος,] διὰ ποίαν αἰτίαν αἱ εἰς* ΩΣ *μετοχαὶ τοῦ παρακειμένου οὐ φυλάττουσι τὸ* Ω *κατὰ τὴν γενικήν, ἀλλὰ τρέπουσιν αὐτὸ εἰς τὸ* Ο, *[οἷον τετυφὼς τετυφότος, δεδουπὼς δεδουπότος, πεποιηκὼς πεποιηκότος, πεποιθὼς πεποιθότος·] τὸ γὰρ ἑστὼς ἑστῶτος, βεβὼς βεβῶτος, καὶ τεθνὼς τεθνῶτος, καὶ γεγὼς γεγῶτος ἀπὸ κράσεως ἔχουσι τὸ* Ω, *[ἀπὸ γὰρ τοῦ ἑσταὼς ἑσταώτος* (sic) *καὶ βεβαὼς βεβαότος, καὶ γεγαὼς γεγαότος γεγόνασι κατὰ κράσιν τοῦ* Α *καὶ* Ο *εἰς* Ω, *ὥσπερ ἐποιήσαο ἐποιήσω, ἐλούσαο ἐλούσω.] Ἐστὶν οὖν εἰπεῖν ὅτι κατὰ μὲν τὸ σύμφωνον τοῖς εἰς* ΩΣ *ὀνόμασι ἠκολούθησε, φημὶ δὲ διὰ τοῦ κλίνεσθαι διὰ καθαροῦ τοῦ* ΤΟΣ, *καὶ [οὐ] διὰ τοῦ* ΝΤ, *κατὰ δὲ τὸ φωνῆεν ταῖς μετοχαῖς [τούτου χάριν ἐν τῇ γενικῇ] ὡς γὰρ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, πᾶσα μετοχὴ περιττοσυλλάβως κλινομένη συστέλλει τὸ* Ω *ἐν τῇ γενικῇ, [τὸ φωνῆεν τῆς εὐθείας ἐν τῇ γενικῇ χωρὶς εἰ μὴ ἀπὸ περισπωμένης εὐθείας, ἢ ἀπὸ οἷον τύπτων τύπτοντος, τύψων τύψοντος, λαβὼν λαβόντος, τυφθεὶς τυφθέντος, νυγεὶς νυγέντος, ἁλοὺς ἁλόντος, οὕτως οὖν καὶ τετυφὼς τετυφότος, καὶ πεποιηκὼς πεποιηκότος, καὶ τετυπὼς τετυπότος, καὶ δεδουπὼς δεδουπότος διὰ τοῦ* Ο· *διὰ τί δὲ πρόσκειται "χωρὶς εἰ μὴ ἢ ἀπὸ περισπωμένης εὐθείας ἢ ἀπὸ κράσεως" ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν.]*

Ἰστέον δὲ ὅτι αἱ εἰς ΩΣ *μετοχαὶ τοῦ παρακειμένου, εἴτε ἐνεργητικαὶ εἴσιν εἴτε μέσαι, ἐντελεῖς μὲν οὖσαι, ἤγουν ἀπαθεῖς, τουτέστι μὴ οὖσαι κατὰ κράσιν, διὰ τοῦ* Ο *κλίνονται,*

336 a κατὰ συγκοπὴν δὲ οὖσαι πάλιν ὁμοίως ταῖς ἐντελέσι μετοχαῖς διὰ τοῦ ο κλίνονται, οἷον πεφυζότος, [Il. χ'. 1.]

ὡς οἱ μὲν κατὰ ἄστυ πεφυζότες ἠΰτε νεβροὶ,

ἀπὸ γὰρ τοῦ πεφύζηκα γέγονε πεφυζηκὼς, καὶ κατὰ συγκοπὴν [καὶ τροπῇ] τοῦ ο καὶ τοῦ η πεφυζόως, ὁμοίως καὶ τὸ λελιχμότος, ἀπὸ γὰρ τοῦ λελιχμηκότος γέγονε, κατὰ κρᾶσιν δὲ οὖσαι διὰ τοῦ ω κλίνονται, οἷον ἀπὸ τοῦ βέβηκα καὶ ἕστηκα καὶ γέγηκα καὶ τέθνηκα παρακειμένων ὁριστικῶν γίνονται, καὶ εἰ μὴ εὕρηται γὰρ τὸ γεγηκὼς, ἀλλ' οὖν ὡς ἀπ' αὐτοῦ λέγομεν εἶναι τὸ γεγὼς, καὶ λοιπὸν κατὰ Ἴωνας ἀποβάλλεται τὸ κ καὶ γίνεται ἑστηὼς, γεγηὼς, βεβαὼς, τεθνηώς· καὶ πάλιν κατὰ τοὺς αὐτοὺς Ἴωνας συστολὴ παρακολουθεῖ τοῦ η εἰς α, καὶ γίνεται ἑσταὼς, [Il. θ'. 565.]

ἑσταότες παρ' ὄχεσφι,

καὶ λοιπὸν κατὰ κρᾶσιν ἐν μὲν τῇ εὐθείᾳ τοῦ α καὶ ω εἰς ω, ἑστὼς, βεβὼς, γεγὼς, τεθνὼς, ὥσπερ βοάω βοῶ, ἐν δὲ τῇ γενικῇ τοῦ αο εἰς ω, ἑστῶτος, βεβῶτος, γεγῶτος, τεθνῶτος. Εἰ δέ τις εἴποι, εἰ ἄρα αἱ εἰς ωσ μετοχαὶ μὴ οὖσαι κατὰ κρᾶσιν διὰ τοῦ ο κλίνονται, οἷον τετυφὼς τετυφότος, πῶς εὑρίσκομεν ἐν τῇ χρήσει τὸ ἑσταῶτες καὶ βεβαῶτες διὰ τοῦ ω; Ἔστιν οὖν εἰπεῖν, ὅτι ταῦτα κατὰ πλεονασμὸν τοῦ α γεγόνασιν, ἀπὸ τοῦ βεβῶτος καὶ γεγῶτος γεγόνασι κατὰ πλεονασμὸν τοῦ α, καὶ ἐφύλαξε τὸ ω.

Ἄξιον δὲ τὸ ἐμπεφυῶτες ζητῆσαι, ὅτι πῶς διὰ τοῦ ω κλίνεται, οὐ γάρ ἐστι κατὰ κρᾶσιν, ἀλλ' ἐκ τοῦ ἐμπέφυκα παρακειμένου ἐνεργητικοῦ γέγονεν ἡ μετοχὴ ἐμπεφυκὼς, καὶ κατὰ ἀποβολὴν τοῦ κ ἐμπεφυὼς, καὶ ὤφειλε διὰ τοῦ ο κλίνεσθαι, ὥσπερ ἐμπεφυκότες, καὶ πάλιν εἴτε ἐκ τοῦ ἐμπέφυα μέσου παρακειμένου γέγονεν ἡ μετοχὴ ἐμπεφυὼς, ὤφειλεν τὸ ἐντελὲς διὰ τοῦ ο κλίνεσθαι ἐμπεφυότες, ὥσπερ τὸ τετυπότες. Ἔστιν οὕτως ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ καὶ εἰπεῖν, ὅτι ὑπέρθεσις γέγονεν ἐν τῷ ἐμπεφυότες· τὰ γὰρ πέφυκα καὶ ἐμπέφυκα μακρὸν ἔχει τὸ υ, διὰ δὲ τοῦ ο τὴν παραλήγουσαν τῆς γενικῆς, οἷον πεφυκότες, οἷον πεφυκὼς πεφυκότες, ὑπερβιβασμὸς τοῦ χρόνου γέγονεν ἐν τῷ ἐμπεφυῶτες διὰ

τοῦ Ω, καὶ τὸ μὲν τ συνεστάλη, τὸ δὲ ο ἐξετάθη εἰς τὸ Ω, οἷον [Od. ε΄. 477.]

ἐξομόθεν πεφυῶτας·

πολλάκις γὰρ παρὰ τοῖς ποιηταῖς ὑπερβιβασμοὶ γίνονται χρόνων· ἰδοὺ γάρ ἐστι Κρονίων Κρονίωνος διὰ τοῦ Ω, ὥσπερ Πηλείων Πηλείωνος, καὶ Ἀτρείων Ἀτρείωνος, οἷον [Il. α΄. 405.]

ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων,

καὶ ὅμως (ὁμοίως) ἐν τῷ [Il. ξ΄. 247.]

Ζηνὸς δ' οὐκ ἂν ἔγωγε Κρονίονος ἄσσον ἱκοίμην

ὑπερβιβασμὸς ἐγένετο χρόνου, καὶ τὸ μὲν ι ἐξετάθη, τὸ δὲ Ω συνεστάλη εἰς τὸ ο. Σεσημείωται τὸ "τετριγῶτες" παρὰ τῷ ποιητῇ διὰ τοῦ Ω ἔχον τὴν παραλήγουσαν, ὅτι μὴ ὂν κατὰ κρᾶσιν διὰ τοῦ Ω ἐγένετο· ἀπὸ γὰρ τοῦ τρίζω ἐνεστῶτος γέγονεν ὁ παρακείμενος τέτριγα, καὶ ἡ μετοχὴ τετριγὼς τετριγότος διὰ τοῦ ο, ἀλλ' ὁ ποιητὴς διὰ τὸ μέτρον ἐξέτεινε τὸ ο εἰς τὸ Ω, καὶ εἶπε τετριγῶτας διὰ τοῦ Ω.

336 b "Τετυφυῖα." Λέγει ὁ τεχνικὸς, ὅτι δύο ζητοῦμεν ἐν τῇ θηλυκῇ μετοχῇ τοῦ παρακειμένου ζητήματα, διὰ τί καθαρὸν ἔχει τὸ Α, καὶ διὰ τί τῇ ΤΙ διφθόγγῳ παραλήγεται· καὶ λέγει ὁ τεχνικὸς, ὅτι διὰ τοῦτο καθαρὸν ἔχει τὸ Α ἡ θηλυκὴ μετοχὴ τοῦ παρακειμένου, ἐπειδὴ αἱ θηλυκαὶ μετοχαὶ ἥττονα ἔχουσι σύμφωνα ἐπὶ τῆς ἐσχάτης τῶν παραληγόντων τῇ γενικῇ τοῦ ἀρσενικοῦ, οἷον ἡ λέγοντος γενικὴ δύο ἔχει, ἀλλ' ἡ λέγουσα ἕν. Ἐπεὶ οὖν ἡ γενικὴ τοῦ παρακειμένου ἓν ἔχει Τ, οἷον τετυφότος, ἀναγκαίως καὶ ἡ θηλυκὴ οὐδὲ ἓν ἔσχεν, ἀλλὰ διὰ καθαροῦ τοῦ Α ἐξηνέχθη. Οὐ καλῶς δέ φησιν ὁ τεχνικός· οὐδὲ γὰρ πάντως ἐλάττονα θέλει ἔχειν σύμφωνα ἡ θηλυκὴ μετοχὴ ἐπὶ τῆς ἐσχάτης συλλαβῆς τῶν παραληγόντων συμφώνων ἐν τῇ γενικῇ τῆς ἀρσενικῆς μετοχῆς· ἰδοὺ γὰρ ἡ ἑστῶτος καὶ τεθνῶτος καὶ ἡ βεβῶτος καὶ ἡ γεγῶτος γενικὴ τῆς ἀρσενικῆς μετοχῆς ἓν σύμφωνον ἔχει, καὶ ὅμως ἡ θηλυκὴ μετοχὴ διὰ καθαροῦ τοῦ Α ἐκφέρεται, ἀλλὰ καὶ αὐτὴ δι' ἑνὸς συμφώνου ἐκφέρεται, βεβῶσα καὶ τεθνῶσα καὶ γεγῶσα καὶ ἑστῶσα διὰ τοῦ Σ, καὶ ἰδοὺ οὐκ ἐποιήσατο ἀποβολὴν τοῦ συμφώνου ἵνα σχῇ ἥττονα σύμφωνα τῆς γενικῆς τοῦ ἀρσε-

νικοῦ. Κρεῖττον οὖν ἐστιν οὕτως εἰπεῖν περὶ τοῦ τὴν θηλυκὴν μετοχὴν τοῦ παρακειμένου καθαρὸν ἔχειν τὸ α· τὰ προσλαμβάνοντα χρόνον ἐν τῇ θηλυκῇ μετοχῇ ἀποβολὴν πάντως ποιοῦνται συμφώνου, οἷον λέγοντος λέγουσα· ἰδοὺ ἐνταῦθα, ἐπειδὴ προσήχθη χρόνος ἐν τῇ θηλυκῇ μετοχῇ, τούτου χάριν ἀπεβλήθη σύμφωνον, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος· οὐ γὰρ τὰ μὴ προσλαμβάνοντα χρόνον ἐν τῇ θηλυκῇ μετοχῇ ἤδη που [z] καὶ ἀποβάλλουσι τὸ ἕν, ἀλλὰ καὶ αὐτὰ διατηρηθῶσιν ἔχοντα δύο σύμφωνα πάντως ἀποβάλλουσι τὸ ἓν διὰ τὴν ἀσυνταξίαν, οἷον ποιοῦντος ποιοῦσα· τὸ γὰρ βεβῶτος βεβῶσα, καὶ ἑστῶτος ἑστῶσα, καὶ τεθνῶτος τεθνῶσα, καὶ γεγῶτος γεγῶσα, ὡς μὴ προλαμβάνοντα χρόνον, καὶ ὡς μὴ ἔχοντα δύο σύμφωνα, οὐ ποιοῦνται ἀποβολὴν συμφώνων ἐν τῇ θηλυκῇ μετοχῇ. Δῆλον ὅτι τούτων οὕτως ἐχόντων, ὁ παρακείμενος ὁ ἐνεργητικός τε καὶ ὁ μέσος, ἐπειδὴ οὐκ ἔχουσι τὴν γενικὴν τῆς μετοχῆς κλινομένην διὰ τοῦ ντ, ἀλλὰ διὰ τοῦ τ μόνου, οἷον τετυφὼς, τετυφότος, οὐδὲ τὴν παραλήγουσαν φύσει μακρὰν, τούτου χάριν ἀνάγκην ἔχουσιν ἀποβολὴν συμφώνου ποιήσασθαι· χρόνον δὲ προσλαμβάνουσιν ἐν τῇ θηλυκῇ μετοχῇ, ἐπειδὴ, ὡς ἐμάθομεν, αἱ εἰς α λήγουσαι θηλυκαὶ μετοχαὶ φύσει μακρᾷ θέλουσι παραλήγεσθαι, οἷον τύπτουσα, ὀμνῦσα· τοῦ δὲ συμφώνου ἀποβαλλομένου ἀνάγκη γίνεσθαι διὰ καθαροῦ τοῦ α, οἷον τετυφότος τετυφυῖα· τὸ γὰρ ο διὰ τῆς προσθήκης τοῦ τ πέφυκε μεγεθύνεσθαι, οἷον λέγοντος λέγουσα, καθαροῦ δὲ τοῦ α ὑπάρχοντος θέλει ἐν τῇ παραληγούσῃ εἶναι τὸ ι· τὰ γὰρ εἰς α καθαρὸν θηλυκὰ διφθόγγῳ παραληγόμενα τὸ ι θέλουσιν ἔχειν, οἷον παντοῖα,
337 a ἀλλοῖα, ταχεῖα. Πρόσκειται "εἰς α καθαρὸν" διὰ τὸ μοῦσα· τοῦτο γὰρ διφθόγγῳ παραλήγεται, ἀλλ' οὐκ ἔστι καθαρὸν τὸ α. Πρόσκειται "διφθόγγῳ παραληγόμενα" διὰ τὸ ἀθρόα, ταῦτα γὰρ οὐκ ἔχουσι πρὸ τοῦ α τὸ ι, ἀλλ' οὐ παραλήγονται διφθόγγῳ. Ὁ οὖν παρακείμενος ὁ εἰς α καθαρὸν λήγων κατὰ τὴν θηλυκὴν μετοχὴν καὶ διφθόγγῳ παραληγόμενος ἀνάγκην ἔχει τῷ ι παραλήγεσθαι καὶ γενέσθαι διὰ τῆς

[z] καὶ οὐκ Bar.

ου διφθόγγου καὶ τοῦ ι, τετυφυῖα, καὶ ἐπειδὴ τρία φωνήεντα οὐ δυνατόν ἐστιν ἐν μιᾷ συλλαβῇ παραλαμβάνεσθαι, ἀνάγκη ἓν ἐκ τούτων ἀποβληθῆναι, καὶ τὸ μὲν ι οὐ δύναται ἀποβληθῆναι, ὅτι τὰ εἰς α καθαρὸν θηλυκὰ διφθόγγῳ παραληγόμενα τὸ ι θέλουσιν ἔχειν πρὸ τοῦ α· τὸ δὲ υ οὐκ ἀποβάλλεται ἵνα μὴ παράσχῃ ἔμφασιν, ὅτι τὸ ο διὰ τῆς προσθήκης τοῦ ι μεγεθύνεται· [τὸ γὰρ ο διὰ τῆς προσθήκης τοῦ υ μεγεθύνεσθαι πέφυκεν·] ἐξ ἀνάγκης οὖν ἀποβάλλεται τὸ ο, καὶ διὰ τὸ μεῖναι τὸ υ δείκνυται, ὅτι προϋπῆρχε τὸ ο· τὸ γὰρ ο, ὡς εἴρηται, διὰ τῆς προσθήκης τοῦ υ μεγεθύνεται, οἷον δόντος, δοῦσα· τούτου χάριν ὁ ἐνεργητικὸς παρακείμενος καὶ ὁ μέσος κατὰ τὴν μετοχὴν διὰ καθαροῦ τοῦ α ἐκφέρονται καὶ τῇ υι διφθόγγῳ παραλήγονται. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐν τῷ τετυφυῖα καὶ ἐν τοις ὁμοίοις ἡ υι ἐν διφθόγγῳ ἐστι, καὶ οὐκ ἐν διαστάσει τὸ υ καὶ τὸ ι, καὶ γὰρ τὰ εἰς α λήγοντα θηλυκὰ παρεσχηματισμένα ἀρσενικοῖς θέλουσι πάντως ἰσοσυλλαβεῖν τῇ γενικῇ τοῦ ἀρσενικοῦ, οἷον Βυζάντιος Βυζαντία, τάλανος τάλαινα· εἰ οὖν ἡ τετυφότος καὶ γεγραφότος γενικὴ τετρασυλλαβεῖ, δηλονότι καὶ τὸ τετυφυῖα θηλυκὸν ἀναγκάζεται τετρασυλλαβεῖν· ἄλλως τε δὲ ὅτι ἐν διφθόγγῳ ἐστὶ τὸ τετυφυῖα καὶ γεγραφυῖα, δηλοῦσιν οἱ Ἀθηναῖοι τετυφυῖα λέγοντες· οἱ δὲ Ἀθηναῖοι τὸ ι τὸ ἐν διφθόγγῳ ἀποβάλλειν πεφύκασιν, οἷον κλαίω κλάω, ποιῶ ποῶ. Δεῖ δὲ γινώσκειν ὅτι Ἴωνες τὸ τετυφυῖα καὶ τὰ ὅμοια λέγουσι διὰ τῆς οι διφθόγγου καὶ [a] οὐ διὰ τῆς υι.

"Τετυφός." Λέγει ὁ τεχνικὸς, ὅτι τοῦτο ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ γέγονε, φημὶ δὲ τῆς τετυφότος, ἀποβολῇ τῆς τος· καὶ ἐπειδὴ ἀποβαλλομένης τῆς τος συλλαβῆς εἰς ο λήγειν ἔμελλεν, ὅπερ ἀδύνατόν ἐστι, τὸ γὰρ ο οὐκ ἔστι τελικὸν τῶν οὐδετέρων· (περὶ γὰρ τοῦ ἄλλο καὶ τοιοῦτο καὶ τοσοῦτο καὶ τῶν ὁμοίων ἐμάθομεν ἐν τοῖς ὀνόμασιν ἐν τῇ τῶν οὐδετέρων διδασκαλίᾳ·) τούτου χάριν προσλαμβάνει τὸ ς καὶ γίνεται τετυφός· τὸ γὰρ ν, φησὶν, οὐ προσέλαβεν,

[a] οὐ om. Bar.

ἐπειδὴ οὐκ ἔστι διὰ τοῦ ΝΤ ἡ κλίσις τοῦ ἀρσενικοῦ, τετυφότος γάρ ἐστι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐζήτηται διὰ τί μόνη ἡ μετοχὴ τοῦ παρακειμένου ἡ οὐδετέρα εἰς Σ λήγει, οἷον τετυφὸς, τετυφότος· καὶ λέγει ταύτην τὴν ἀπολογίαν· τὰ εἰς Σ λήγοντα ἀρσενικὰ ἔχοντα οὐδετέρου παρασχηματισμὸν τετραχῶς ποιοῦσι τὸ οὐδέτερον· ἢ γὰρ τρέπουσι τὸ Σ εἰς τὸ Ν, καὶ ποιοῦσι τὸ οὐδέτερον, οἷον καλὸς καλὸν, ἢ συστέλλουσι τὴν παραλήγουσαν, καὶ τρέπουσι τὸ Σ εἰς Ν, καὶ ποιοῦσι τὸ οὐδέτερον,
337 b οἷον χαρίεις χαρίεν, ἢ συστέλλουσι μόνην τὴν [b] λήγουσαν, καὶ ποιοῦσι τὸ οὐδέτερον, οἷον εὐσεβὴς εὐσεβὲς, ἢ ἀποβάλλουσι τὸ Σ, καὶ ποιοῦσι τὸ οὐδέτερον, οἷον ταχὺς ταχύ. Ἡ οὖν μετοχὴ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ οὐκ ἠδύνατο οὔτε τρέψαι τὸ Σ εἰς Ν, καὶ ποιῆσαι τὸ οὐδέτερον, οἷον τετυφὼς τετυφὼν διὰ τοῦ Ω, ἐπειδὴ πρῶτον μὲν τὸ Ω οὐκ ἔχει κατάληξιν οὐδετέραν· [c] τὸ γὰρ νικῶν καὶ βοῶν καὶ εὔγηρων ἀπὸ κράσεως ἔχουσι τὸ Ω, ἀπὸ γὰρ τοῦ νικάον καὶ βοάον καὶ εὐγήραον γεγόνασι κατὰ κρᾶσιν τοῦ Α καὶ Ο εἰς Ω· καὶ τὸ ἀξιόχρεων ἀπὸ τοῦ ἀξιόχρεον γέγονε, κατὰ ἔκτασιν Ἀττικὴν τοῦ Ο εἰς Ω. Δευτέρα δὲ, ὅτι ἡ μετοχὴ ἡ ἀρσενικὴ οὐ κλίνεται διὰ τοῦ ΝΤ, ἵνα εἰς Ν ποιήσῃ τὸ οὐδέτερον· καθόλου γὰρ αἱ μετοχαὶ, αἱ μὴ ἔχουσαι τὸ Μ κλιτικὸν, ἔχουσαι εἰς τὸ Ν τὸ οὐδέτερον, πάντως ἔχουσι τὴν γενικὴν διὰ τοῦ ΝΤ κλινόμενον, οἷον τύπτων τύπτοντος τὸ τύπτον, διδοὺς διδόντος τὸ διδόν· εἰ ἄρα οὖν ἡ μετοχὴ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ οὐ κλίνεται διὰ τοῦ ΝΤ, οἷον τετυφὼς τετυφότος, δηλονότι οὐ δύναται ποιῆσαι εἰς Ν τὸ οὐδέτερον. Πρόσκειται "αἱ μὴ ἔχουσαι τὸ Μ κλιτικὸν" διὰ τὸ ὁ τυπτόμενος· ἰδοὺ γὰρ ἐνταῦθα εἰς Ν ἐστὶ τὸ οὐδέτερον τὸ τυπτόμενον, καὶ οὐ κλίνεται ἡ γενικὴ διὰ τοῦ ΝΤ. Ἐμάθομεν ὅτι οὐκ ἠδύνατο ἡ μετοχὴ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ τρέψαι τὸ Σ εἰς Ν καὶ ποιῆσαι τὸ οὐδέτερον, οἷον ὁ τετυφὼς τὸ τετυφὸν, ἀλλ' οὔτε δὲ τὸ Σ τρέψαι εἰς τὸ Ν

[b] παραλήγουσαν Bar. [c] καὶ γὰρ Bar.

ἠδύνατο, καὶ συστεῖλαι τὴν παραλήγουσαν, ἵνα ᾖ ὁ τετυφὼς τὸ τετυφὸν διὰ τοῦ ο, *ἐπειδὴ γάρ, ὡς ἐμάθομεν, ἡ γενικὴ οὐ κλίνεται διὰ τοῦ* ΝΤ, *τῆς δὲ γενικῆς κλινομένης διὰ τοῦ* ΝΤ, *οὐ δύναται τὸ οὐδέτερον καταλήγειν εἰς* Ν· *ἐμάθομεν γὰρ ὅτι αἱ μετοχαὶ, αἱ μὴ ἔχουσαι τὸ* Μ *κλιτικὸν, ἔχουσαι εἰς* Ν *τὸ οὐδέτερον, πάντως ἔχουσι τὴν γενικὴν διὰ τοῦ* ΝΤ *κλινομένην, οἷον τύπτων τύπτοντος τὸ τύπτον, ἀλλ' οὔτε δὲ κατὰ ἀποβολὴν τοῦ* Σ *ἠδύνατο ποιῆσαι τὸ οὐδέτερον, οἷον τετυφὼς* [d]*τετυφὸς, διὰ τοῦ* ο *κατὰ* [e]*συστολὴν τῆς ληγούσης. Ἰστέον δὲ ὅτι τὸ ἑστὼς καὶ βεβὼς καὶ τεθνὼς καὶ γεγὼς διὰ τοῦ* ω *γράφονται, δῆλον ὅτι* [f]*κατὰ τὰ οὐδέτερα. Δεῖ δὴ καὶ τοῦτο γινώσκειν, ὅτι εἰ μὴ καὶ ἡ ἑνικὴ εὐθεῖα* [g]*τὸ οὐδέτερον καὶ αἱ ὁμοφωνοῦσαι αὐτῇ, τουτέστιν ἡ αἰτιατικὴ καὶ ἡ κλητικὴ τῶν ἑνικῶν διφοροῦνται, ἤγουν καὶ διὰ τοῦ* ω *γράφονται καὶ διὰ τοῦ* ο, *ἀλλ' οὖν αἱ λοιπαὶ πλάγιαι αἱ ὁμοφωνοῦσαι τῇ ἑνικῇ εὐθείᾳ, λέγω δὴ ἡ γενικὴ καὶ δοτικὴ τῶν ἑνικῶν καὶ τὰ δυϊκὰ καὶ τὰ πληθυντικὰ μόνως διὰ τοῦ* ω *γράφονται, τούτου δὲ αἰτία ἐστὶν ἡ κρᾶσις.*

“ *Μέσος παρακείμενος καὶ ὑπερσυντελικὸς τετυπὼς, τετυπυῖα, τετυπός.*” *Πρόδηλος ἡ τεχνολογία.*

“ *Ἀόριστος πρῶτος, τύψας.*” *Ἰστέον ὅτι ὁ εἰς* Α *λήγων ἀόριστος προσθέσει τοῦ* Σ *καὶ συστολῇ τῆς κατ' ἀρχὴν κλιτικῆς ἐκτάσεως τὴν μετοχὴν ποιεῖ μετὰ τοῦ ἐκτείνειν καὶ τὸ* Α, *οἷον ἔτυψα τύψας· αἱ γὰρ εἰς* ΑΣ *μετοχαὶ μακρὸν ἔχουσι τὸ* Α, *στὰς, κιχρὰς, φάς.*

Ἰστέον ὅτι οὐκ ἔστι συνεζευγμένη ἡ τοῦ ἀορίστου μετοχὴ καὶ τοῦ μέλλοντος, ἐπειδὴ οὔτε τὸ ἀπαρέμφατον τοῦ ἀορίστου καὶ τοῦ μέλλοντος συνεζευγμένον ἐστὶν, ἀλλὰ δια-
338 a *κεχωρισμένον.*

“ *Τύψασα τύψαν. Εἴρηται. Ἀορίστου δευτέρου τυπών.*” *Ἰστέον ὅτι ὁ εἰς* ΟΝ *δεύτερος ἀόριστος τρέπων τὸ* ο *εἰς* ω, *καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλων τὴν μετοχὴν ποιεῖ ἐν ὀξείᾳ τάσει, οἷον ἔτυπον τυπών· καθόλου γὰρ αἱ εἰς*

[d] *τετυφότος* Bar. [e] *ἀποβολὴν* Bar. [f] *καὶ τὰ* Bar. [g] *τὸ οὐδέτερον*] *λέγεται δὴ* Bar.

ΩΝ μετοχαὶ τοῦ δευτέρου ἀορίστου ὀξύνονται, οἷον λαχὼν, χωρὶς τοῦ πέφνων, τοῦτο γὰρ βαρύνεται, ὁμοίως τῷ τέμνων καὶ κάμνων. Ἰστέον δὲ ὅτι ἡ μετοχὴ τοῦ δευτέρου ἀορίστου διὰ τοῦτο τρέπει τὸ ο εἰς τὸ ω, ἐπειδὴ τὰ εἰς Ν λήγοντα, εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ, οὐ θέλουσιν ἔχειν πρὸ τοῦ Ν τὸ ο, οἷον ὁ Πλάτων, ἡ εἰκών. Πρόσκειται "εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ" διὰ τὰ οὐδέτερα, οἷον τὸ ξύλον.

"Τυποῦσα, τυπόν. Εἴρηται. Μέλλοντος πρώτου τύψων." Ἰστέον ὅτι ἀπὸ τοῦ τύψω μέλλοντος γέγονε προσθέσει τοῦ Ν ἡ τύψων μετοχή.

"Τύψουσα, τύψον. Εἴρηται. Μέλλοντος δευτέρου τυπῶν." Ἰστέον ὅτι ἀπὸ τοῦ τυπῶ δευτέρου μέλλοντος γέγονεν ἡ μετοχὴ προσθέσει τοῦ Ν, τυπῶν. Δεῖ δὲ γινώσκειν, ὅτι ἡ μετοχὴ τοῦ δευτέρου μέλλοντος ὁμοφωνεῖ μὲν τῇ μετοχῇ τοῦ δευτέρου ἀορίστου, οὐ μὴν δὲ (καὶ) ὁμοτονεῖ· ἡ μὲν γὰρ τοῦ δευτέρου ἀορίστου μετοχὴ ὀξύνεται, ἡ δὲ τοῦ δευτέρου μέλλοντος περισπᾶται, οἷον τυπῶν· καὶ πάλιν ἡ μὲν τοῦ δευτέρου ἀορίστου διὰ τοῦ ο κλίνεται, ἡ δὲ τοῦ δευτέρου μέλλοντος διὰ τῆς ΟΥ διφθόγγου, οἷον τυποῦντος, ὡς ποιοῦντος, καὶ πάλιν ἡ μὲν τοῦ δευτέρου ἀορίστου ἔχει τὸ οὐδέτερον εἰς ΟΝ, οἷον τυπὸν, ὥσπερ τὸ λαβόν· ἡ δὲ τοῦ δευτέρου μέλλοντος εἰς ΟΥΝ, ὥσπερ τυποῦν. Ἰστέον δὲ ὅτι αἱ εἰς ΩΝ μετοχαὶ περισπώμεναι, μέλλοντος μὲν οὖσαι, τῇ ΟΥ διφθόγγῳ παραλήγονται κατὰ τὴν γενικὴν, οἷον εὐφρανῶν, εὐφρανοῦντος· ἐνεστῶτος δὲ οὖσαι πρὸς τὴν συναίρεσιν ποιοῦνται τὴν παραλήγουσαν, οἷον ποιέων ποιέοντος, καὶ κατὰ κρᾶσιν τοῦ Ε καὶ Ο ποιοῦντος, ὥσπερ χάλκεος χαλκοῦς, βοάων βοάοντος, καὶ κατὰ κρᾶσιν τοῦ Α καὶ Ο εἰς Ω, βοῶντος, ὥσπερ ἐλούσαο ἐλούσω, χρυσόων χρυσόοντος, καὶ κατὰ κρᾶσιν τῶν δύο ΟΟ εἰς τὴν ΟΥ δίφθογγον, χρυσοῦντος, ὡς νόος νοῦς.

"Τυποῦσα, τυποῦν. Εἴρηται. Μετοχαὶ παθητικοῦ χρόνου, ἐνεστῶτος καὶ παρατατικοῦ τυπτόμενος." Ἰστέον ὅτι πᾶν ῥῆμα ὁριστικὸν, εἴτε παθητικὸν εἴτε μέσον, ἔχον τὸ Μ κλιτικὸν, τροπῇ τῆς ἐσχάτης εἰς ΜΕΝΟΣ ποιεῖ τὴν μετοχὴν, μετὰ τοῦ ἀποβάλλειν τὴν ἐν ἀρχαῖς κλιτικὴν

ἔκτασιν, οἷον τύπτομαι τυπτόμενος, ἐτυψάμην τυψάμενος, ἐτυπόμην τυπούμενος, τυφθήσομαι τυφθησόμενος, τυπήσομαι τυπησόμενος, χωρὶς τοῦ παρακειμένου δηλονότι· οὗτος γὰρ οὐδαμῶς ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν, οἷον ἔσταλμαι ἐσταλμένος. Πρόσκειται ἐν τῷ κανόνι "ὁριστικὸν" διὰ τὸ τυπτοίμην εὐκτικόν· πρόσκειται "ἔχον τὸ μ κλιτικόν," διὰ τὸ ἐδάμην. Ἰστέον δὲ ὅτι διὰ τοῦτο τὰ ἔχοντα τὸ μ κλιτικὸν τροπῇ τῆς ΜΑΙ συλλαβῆς εἰς δύο συλλαβὰς ἐποίησαν τὴν μετοχήν, ἤγουν τῆς ἐσχάτης εἰς ΜΕΝΟΣ, ἐπειδή, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, πᾶσα μετοχὴ ἀρσενικὴ μακροκαταληκτεῖν θέλει, χωρὶς τῶν εἰς ΜΕΝΟΣ, οἷον τύπτων τύψας. Ἐπειδὴ οὖν αὗται βραχυκαταληκτοῦσι,
338 b φημὶ δὲ αἱ εἰς ΜΕΝΟΣ μετοχαί, εἰκότως ἔτρεψαν τὴν μίαν συλλαβὴν εἰς δύο συλλαβάς, ἵνα τὸν κεχρεωστημένον χρόνον διὰ τῆς ἑτέρας συλλαβῆς ἀναδέξωνται. Ἰστέον δὲ ὅτι πᾶσαι αἱ εἰς ΜΕΝΟΣ μετοχαὶ προπαροξύνονται, χωρὶς τοῦ παρακειμένου. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί πασῶν τῶν εἰς ΜΕΝΟΣ μετοχῶν προπαροξυνομένων, μόνη ἡ τοῦ παρακειμένου μετοχὴ ἀεὶ παροξύνεται; Ἔστιν οὖν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· ὁ παρακείμενος οὐκ ἠδύνατο ἔχειν τὴν ἰδίαν μετοχὴν προπαροξυνομένην, ἐπειδὴ πᾶν παθητικὸν ἢ μέσον, ἔχον τὸ μ κλιτικόν, πάντως περιττοσυλλαβεῖ τοῦ ἰδίου ἐνεργητικοῦ, οἷον τύπτω τύπτομαι, ἔτυπτον ἐτυπτόμην, χωρὶς τῶν εἰς ΜΙ δηλονότι· τὰ γὰρ εἰς ΜΙ, ὡς τῇ ΜΙ συλλαβῇ περιττεύοντα, ἰσοσυλλαβοῦσι τῷ ἐνεστῶτι τῶν παθητικῶν, οἷον τίθημι τίθεμαι· ἐπειδὴ οὖν ὁ παρακείμενος ὁ παθητικὸς συγκοπὴν ἔπαθεν ἐν τῷ ῥήματι, καὶ οὐ περιττοσυλλαβεῖ τοῦ ἰδίου ἐνεργητικοῦ, (δι' ὃν δὲ λόγον εἰρήκαμεν ἐν τῇ περὶ τοῦ ὁριστικοῦ παθητικοῦ παραληγομένου διδασκαλίᾳ,) τούτου χάριν οὐκ ἠδύνατο ἔχειν τὴν ἰδίαν μετοχὴν προπαροξυνομένην, ἵνα μὴ παράσχῃ ἔμφασιν, ὅτι ἐν τῇ μετοχῇ ἐγένετο ἡ συγκοπή, καὶ οὐκ ἐν τῷ ῥήματι· αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους, οἷον ὀπίσωθεν ὄπισθεν, ἐξαίρετος ἔξαιτος, ὁμόπατρος ὄπατρος. Δεῖ δὲ προσθεῖναι, εἰ μὴ χαρακτὴρ δισυλλαβίας κωλύσει· τοῦτο δὲ εἴρηται διὰ τὸ πατέρος πατρός, καὶ

ἀνέρος ἀνδρός· ἐνταῦθα γὰρ κατεβίβασε τὸν τόνον ἡ συγκοπὴ, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶσα γενικὴ εἰς ΟΣ λήγουσα δισύλλαβος ἐπὶ ὀνομάτων ὀξύνεσθαι θέλει, οἷον μηνὸς, χηνὸς, γραός· πρόσκειται "δισύλλαβος," διὰ τὸ Αἴαντος καὶ τὰ ὅμοια· πρόσκειται "ἐπὶ ὀνομάτων" διὰ τὴν στάντος καὶ θέντος μετοχὴν, αὗται γὰρ βαρύνονται· τούτου οὖν χάριν αἱ εἰς ΜΕΝΟΣ μετοχαὶ [τοῦ παρακειμένου παροξύνονται· δεῖ προσθεῖναι, χωρὶς εἰ μὴ πάθωσιν· ἂν γὰρ πάθωσιν αἱ εἰς ΜΕΝΟΣ μετοχαὶ] τοῦ παρακειμένου, μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβὰς, ἀναβιβάζουσι τὸν τόνον, τουτέστι προπαροξύνονται, οἷον ὄρω, τὸ [h] διεγείρομαι, ὤρων ὦρκα ὤρμενος, διὰ τοῦ Ω, καὶ ὄρμενος, διὰ τοῦ Ο· καὶ πάλιν ἐστὶν ἥδω, τὸ εὐφραίνομαι, ἐξ οὗ τὸ ἥδομαι, ἥσω, ἧκα, ἥσμενος καὶ ἄσμενος, καὶ πάλιν δεδεγμένος καὶ [i] δέγμενος. Πρόσκειται "μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβὰς," ἐπειδὴ ἐὰν ὦσιν ὑπὲρ τρεῖς συλλαβὰς καὶ πάθωσιν, τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον ἀκαχῶ ἀκαχήσω ἠκάχηκα ἠκάχημαι ἠκαχημένος, καὶ

ἀκαχμένος ὀξέϊ χαλκῷ.

τὸ οὐτάμενος καὶ ἐληλάμενος ὁ Ἡρωδιανὸς ἐν [k] τῇ Καθόλου οὐ δοξάζει κατὰ πάθος ἀπὸ τοῦ οὐτασμένος καὶ ἐληλασμένος, ἐπειδὴ ὡς ὄντα ὑπὲρ τρεῖς συλλαβὰς ὤφειλον τὸν αὐτὸν τόνον φυλάξαι, ἀλλ' ἀπὸ τῶν εἰς ΜΙ λέγει αὐτὰ εἶναι, ὡς ἀπὸ τοῦ οὔτημι καὶ ἐλήλημι, ἵνα ὦσιν ἐνεστῶτος καὶ παρατατικοῦ, ὥσπερ ἵστημι, ἵσταμαι, ἱστάμενος.

"Τυπτομένη." Ἰστέον ὅτι ὁμοίως τοῖς εἰς ΝΟΣ ὀνόμασι
339 a ποιοῦνται τὸν παρασχηματισμὸν τῶν γενῶν καὶ τὴν κλίσιν, ὡς γὰρ δερμάτινος δερματίνη δερμάτινον, οὕτω καὶ τυπτόμενος τυπτομένη τυπτόμενον. Αὕτη οὖν ἡ θηλυκὴ μετοχὴ ἀπὸ τοῦ ἀρσενικοῦ [l] σχηματίζεται, ἤγουν γίνεται τροπῇ τοῦ ἐν τῷ τέλει ΟΣ εἰς Η, οἷον τυπτόμενος τυπτομένη· πᾶν γὰρ εἰς ΟΣ λῆγον ποιοῦν κατ' ἰδίαν θηλυκὸν, ἤγουν μὴ ὂν κοινὸν τῷ γένει, τὸ ὁ ἀθάνατος [καὶ ἡ ἀθάνατος,] εἰ μὲν ἔχει τὸ Ρ πρὸ τοῦ ΟΣ, εἰς Α ποιεῖ τὸ θηλυκὸν, οἷον φοβερὸς φοβερὰ,

[h] διεγείρω Bar. [i] δεδέγμενος Bar. [k] τῷ Bar.
[l] κανονίζεται Bar.

χλιαρὸς χλιαρά· εἰ δὲ ἕτερον σύμφωνον ἔχει πρὸ τοῦ ΟΣ, εἰς Η ποιεῖ τὸ θηλυκόν, οἷον σοφὸς σοφή. Ἔστιν οὖν τυπτόμενος ἡ ἀρσενικὴ μετοχὴ εἰς ΟΣ, μὴ ἔχουσα πρὸ τοῦ ΟΣ τὸ Ρ ἀλλὰ τὸ Ν, καὶ λοιπὸν εἰς Η ποιεῖ τὸ θηλυκόν.

"Τυπτομένη, τυπτόμενον." Ἰστέον ὅτι πᾶν ἀρσενικὸν ἰσοσυλλάβως κλινόμενον, ἡνίκα ποιεῖ [m]οὐδέτερον παρασχηματισμένον, ὁμόφωνον αὐτὸ ποιεῖ τῇ ἰδίᾳ αἰτιατικῇ, ὁ εὔγηρως, τοῦ εὔγηρω, τὸν εὔγηρων καὶ τὸ εὔγηρων· οὕτως οὖν καὶ τὸ τυπτόμενον ὁμοφώνως τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ. Σεσημείωται ἐν τῷ κανόνι τούτῳ τὸ ἄλλο οὐδέτερον, ὅτι ἀπὸ τοῦ ὁ ἄλλος ἀρσενικοῦ ὀνόματος ἰσοσυλλάβως κλινομένου ἐστὶ, καὶ οὐχ ὁμοφωνεῖ τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ [n]τῷ ἄλλον· ἐν [o]οὖν τῇ συνθέσει μετὰ τοῦ Ν γίνεται, οἷον ἔξαλλον, ἀλλοπρόσαλλον, ἄνταλλον· ἔτι σεσημείωται [[p]καὶ τὸ τοιοῦτο καὶ τοσοῦτο καὶ τὸ τηλικοῦτον· ἡ γὰρ αἰτιατική ἐστὶ μετὰ τοῦ Ν· περὶ ὧν ἐστιν εἰπεῖν, ὅτι ταῦτα οὐ μόνον εἰς Ο λήγουσιν, ἀλλὰ καὶ εἰς Ν, οἷον τὸ τηλικοῦτον,] καὶ τὸ τοιοῦτον, καὶ τὸ τοσοῦτον· ἄλλως τε δὲ καὶ ταῦτα καὶ τὸ ἄλλος ἐνομίσθησαν ἀντωνυμίαι εἶναι, καὶ ἐπειδὴ ἔχομεν ἐν ταῖς ἀντωνυμίαις τὸ Ο τελικὸν τῶν οὐδετέρων, ὡς ἐν τῷ ἐκεῖνο καὶ τοῦτο καὶ αὐτό· τούτου χάριν καὶ τὰ οὐδέτερα τούτων ἐγένοντο εἰς τὸ Ο, οἷον ἄλλο, [q]τηλικοῦτο, τοιοῦτο, τοσοῦτο. Ἔτι σεσημείωται καὶ ἡ ἐκεῖνο ἀντωνυμία, καὶ ἡ τοῦτο, ὅτι [r]ἀπὸ ἀρσενικοῦ ἰσοσυλλάβως κλινόμενα εἰσὶν, οἷον [ἐκεῖνο ἐκείνου,] ἐκεῖνος ἐκείνου, οὗτος τούτου, καὶ οὐχ ὁμοφωνοῦσι τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ· αἱ γὰρ αἰτιατικαὶ τοῦ ἀρσενικοῦ ἐκεῖνον καὶ τοῦτον εἰσὶ μετὰ τοῦ Ν, ἔχουσι δὲ ἀπολογίαν χωρὶς τοῦ Ν λέγεσθαι τὰ οὐδέτερα ταῦτα, φημὶ δὲ τὸ ἐκεῖνο καὶ τοῦτο. Ταῦτα ἐπὶ τῶν οὐδετέρων τῶν [s]παρασχηματισμένων ἀρσενικῶν καὶ ὁμοφωνούντων τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ· τὸ ἄρθρον ἐστὶ τὸ διακρίνον τὴν αἰτιατικὴν τοῦ ἀρσενικοῦ, καὶ τὴν εὐθεῖαν τοῦ οὐδετέρου, οἷόν ἐστι

[m] *οὐδετέρου παρασχηματισμὸν* Bar. [n] *τὸ* mss. [o] *ἐν οὖν*] *ἀλλ'* Bar. [p] [ ] om. Bar. [q] *τηλικοῦτον, τοιοῦτον, τοσοῦτον* Bar. [r] *ἀπὸ* om. Bar. [s] *παρασχηματιζομένων* Bar.

σοφόν· τοῦτο ἄδηλόν ἐστιν, εἴτε αἰτιατικὴ τοῦ ἀρσενικοῦ ἐστιν, εἴτε εὐθεῖα οὐδετέρου· προσερχόμενον δὲ τὸ ἄρθρον τὴν διάκρισιν ποιεῖται· ἐὰν μὲν γὰρ εἴπω τὸν σοφὸν, αἰτιατικὴ τοῦ ἀρσενικοῦ ἐστιν· εἰ δὲ εἴπω, τὸ σοφὸν, εὐθεῖα τοῦ οὐδετέρου ἐστίν· ἐπειδὴ οὖν ἡ ἐκεῖνος καὶ οὗτος οὐ δέχονται
339 b ἄρθρα ὀφείλοντα τὴν διάκρισιν ποιήσασθαι τῆς αἰτιατικῆς τοῦ ἀρσενικοῦ καὶ τῆς εὐθείας τοῦ οὐδετέρου· (αἱ γὰρ ἀντωνυμίαι οὐ δέχονται ἄρθρα, ὑπεσταλμένης τῆς αὐτός·) τούτου χάριν, ὡς μὴ δεχομένη ἄρθρα ἡ ἐκεῖνος καὶ οὗτος ὀφείλοντα τὴν διάκρισιν ποιήσασθαι τῆς αἰτιατικῆς τοῦ ἀρσενικοῦ καὶ τῆς εὐθείας τοῦ οὐδετέρου, ἀποβάλλουσι τὸ ν κατὰ τὸ οὐδέτερον, ἵνα διὰ τῆς ἀποβολῆς τοῦ ν διάκρισις γένηται τῆς αἰτιατικῆς τοῦ ἀρσενικοῦ, καὶ τῆς εὐθείας τοῦ οὐδετέρου. Διὰ τοῦτο γὰρ καὶ τὸ το οὐδέτερον ἄρθρον ὀφεῖλον μετὰ τοῦ ν λέγεσθαι ὁμοίως τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ, τον γάρ ἐστιν ἡ αἰτιατικὴ τοῦ ἀρσενικοῦ, ἐπειδὴ οὐκ ἦν τι τὸ ὀφεῖλον τὴν αἰτιατικὴν τοῦ ἀρσενικοῦ καὶ τὴν εὐθεῖαν τοῦ οὐδετέρου διαστεῖλαι, χωρὶς τοῦ ν λέγεται τὸ οὐδέτερον, ἵνα διὰ τῆς ἀποβολῆς τοῦ ν γνῶμεν ποίου γένους ἐστὶ, καὶ ποίας πτώσεως· ἡ αὐτὸ οὐδετέρα ἀντωνυμία ἀπὸ τῆς αὐτὸς ἀρσενικῆς γενομένη κατὰ παρασχηματισμὸν, καὶ ὀφείλουσα μετὰ τοῦ ν λέγεσθαι, ἵνα ὁμοφωνήσῃ τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ, αὐτὸν γάρ ἐστιν ἡ αἰτιατικὴ τοῦ ἀρσενικοῦ, καὶ ἐπιδεχομένη ἄρθρον τὸ ὀφεῖλον τὴν διάκρισιν ποιήσασθαι τῆς αἰτιατικῆς τοῦ ἀρσενικοῦ, καὶ τῆς εὐθείας τοῦ οὐδετέρου· ἡ γὰρ αὐτὸς, ὡς ἐν τῷ περὶ ἀντωνυμιῶν, εἰ θεῷ φίλον, μαθησόμεθα, ἄρθρον ἐπιδέχεται, ὁμοίως ἀποβολὴν ἐποιήσατο τοῦ ν κατὰ τὸ οὐδέτερον κατὰ [t]συνεκδρομὴν τοῦ ἐκείνου καὶ τούτου· ἄλλως τε δὲ οἱ Ἀττικοὶ τὸ ὀφειλόμενον ἀνεπλήρωσαν, ταυτὸν μετὰ τοῦ ν λέγοντες, καὶ κράσιν ποιούμενοι τοῦ ἄρθρου μετὰ τῆς ἀντωνυμίας. Ἰστέον δὲ ὅτι οὐκ ἀεὶ μετὰ τοῦ ν οἱ Ἀττικοί φασι ταυτὸν, ἀλλ' ἔστιν ὅτε καὶ χωρὶς τοῦ ν ταυτὸ λέγουσι· τὸ δὲ μετὰ τοῦ ν μᾶλλον ἀνάλογον· τὸ δὲ ἐντελῶς λεγόμενον. ἤγουν ἄνευ κράσεως, οὐδέποτε μετὰ τοῦ ν λέγουσιν,

[t] συνδρομὴν Bar.

ἀλλ' ἀεὶ χωρὶς τοῦ ν, [u]οἷον τὸ αὐτὸ κατὰ συνεκδρομήν, ὡς εἴρηται, τοῦ ἐκείνου καὶ τοῦτο. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι αἱ εἰς ΜΕΝΟΣ μετοχαὶ οὐκ ἔχουσι τὴν αὐτὴν ὀρθὴν καὶ κλητικήν, ἀλλ' εἰς Ε· τὰ γὰρ εἰς ΟΣ ἀρσενικὰ καὶ θηλυκὰ εἰς Ε ἔχουσι τὴν κλητικήν.

"Παρακειμένου καὶ ὑπερσυντελικοῦ τετυμμένος, τετυμμένη, τετυμμένον. Εἴρηται. Ἀορίστου πρώτου, τυφθείς."

Ἰστέον ὅτι οἱ δύο ἀόριστοι οἱ παθητικοί, φημὶ δὲ ὁ πρῶτος καὶ ὁ δεύτερος, ἑτέρῳ κανόνι ὑποπίπτουσιν, οὐδὲ γὰρ ἔχουσι τὸ Μ κλιτικόν· κανονίζονται δὲ οὕτως· πᾶν ῥῆμα ὁριστικὸν εἰς Ν λῆγον μετὰ φυσικῆς μακρᾶς μὴ ἔχον τὸ Μ κλιτικὸν εἰς Σ μετ' ὀξείας τάσεως ἔχει τὴν μετοχήν, ἀποβάλλει δὲ καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, οἷον [x]ἐτετύφθην τετυφώς, ἐτίθην τιθείς, ἐδίδων διδούς, ἐζεύγνυν ζευγνύς, ἐδάρην δαρείς, ἵστην ἱστάς· πρόσκειται "μετὰ φυσικῆς μακρᾶς" διὰ τοὺς ἀπὸ περισπωμένων παρατατικούς, οἷον διὰ τὸ ἐποίουν, καὶ ἐβόων, καὶ ἐχρύσουν· οὗτοι γὰρ εἰς Ν λήγουσι μετὰ μακρᾶς, ἀλλ' οὐκ ἔχουσι τὸ Μ κλιτικόν, καὶ ὅμως οὐ ποιοῦσι τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως· ἀλλ' οὐκ ἔστιν ἐπὶ τούτων φυσικὴ μακρά· ἀπὸ γὰρ συναιρέσεως
340 a ἐστὶν ἡ αὐτῶν μακρά· ἀπὸ γὰρ τοῦ ἐποίεον γέγονε τὸ ἐποίουν κατὰ κρᾶσιν τοῦ ΕΟ εἰς τὴν ΟΥ δίφθογγον, ὥσπερ χάλκεος χαλκοῦς, καὶ ἀπὸ τοῦ ἐβόαον τὸ ἐβόων, καὶ ἀπὸ τοῦ ἐχρύσοον τὸ ἐχρύσουν· πρόσκειται "ἔχον τὸ Μ κλιτικὸν" διὰ τὸ ἐτυπτόμην· τοῦτο γὰρ εἰς Ν λῆγον μετὰ φυσικῆς μακρᾶς ὅμως οὐκ ἔχει τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως· τυπτόμενος γάρ ἐστιν ἡ μετοχή.

Ἰστέον δὲ ὅτι ἡ μετοχὴ τοῦ πρώτου ἀορίστου τοῦ παθητικοῦ καὶ τοῦ δευτέρου ἀορίστου ὁμοίως τοῦ παθητικοῦ διὰ τῆς ΕΙ διφθόγγου ἐκφέρονται, οἷον τυφθείς, τυπείς, δαρείς, οὐδὲ γὰρ ἠδύνατο φυλάξαι τὸ Η τοῦ ῥήματος, φημὶ δὴ τὸ ἐτύφθην, ἐτύπην, καὶ γενέσθαι εἰς ΗΣ διὰ τοῦ Η, ἐπειδὴ αἱ μετοχαὶ θέλουσιν ἔχειν κατάληξιν ἁρμόζουσαν τριγενέσι, καὶ κλίσιν τὴν διὰ τοῦ ΝΤ· εἰς ΗΣ δὲ οὐκ ἔχομεν ὀνόματα, φημὶ

[u] ἤγουν Bar.   [x] ἐτύφθην Bar.

διὰ τοῦ Η κλινόμενα διὰ τοῦ ΝΤ, καὶ ποιοῦντα τριγένειαν, ἀλλὰ καὶ αὐτὰ τὰ διὰ τοῦ ΤΟΣ κλινόμενα οὐκ ἔχουσι τριγένειαν, οἷον τάπης τάπητος· τὰ γὰρ εἰς ΗΣ διὰ τοῦ ΕΟΣ κλινόμενα ἔχουσι τοιγένειαν, οἷον ὁ εὐσεβὴς, ἡ εὐσεβὴς, τὸ εὐσεβὲς, [οὐκ] ἔχουσι δὲ κλίσιν ἁρμόζουσαν μετοχαῖς, φημὶ δὴ τὴν διὰ τοῦ ΝΤ· τὸ φθογγῆς φθογγῆντος, καὶ τιμῆς τιμῆντος, οὐκ ἀντικεῖται ἡμῖν κλινόμενα διὰ τοῦ ΝΤ, ἐπειδὴ πεπονθότα εἰσίν· ἀπὸ γὰρ τοῦ φθογγήεις φθογγήεντος καὶ τιμήεις τιμήεντος γεγόνασι· εἰκότως οὖν οὐκ ἔχουσι διὰ τοῦ Η τὴν μετοχὴν οἱ ἀόριστοι, ἀλλὰ διὰ τῆς ΕΙ διφθόγγου· καὶ γὰρ εἰς ΕΙΣ διὰ τῆς ΕΙ διφθόγγου ἔχομεν ὀνόματα ποιοῦντα τριγένειαν, οἷον χαρίεις, χαρίεντος, χαρίεσσα.

Ἔλθωμεν δὲ καὶ εἴπωμεν ποῖα φωνήεντα ἔχουσι πρὸ τοῦ Σ αἱ εἰς Σ ὀξύτονοι μετοχαί. Ἰστέον αἱ εἰς Σ ὀξύτονοι μετοχαὶ παρακειμένου καὶ ὑπερσυντελικοῦ οὖσαι πρὸ τοῦ Σ τὸ Ω ἔχουσιν, οἷον τετυφὼς, πεποιθώς· ἀορίστου δὲ παθητικοῦ οὖσαι πρώτου [y] καὶ δευτέρου, εἴτε ἀπὸ τῶν εἰς Ω εἰσὶν, εἴτε ἀπὸ τῶν εἰς ΜΙ, τὴν ΕΙ δίφθογγον ἔχουσι πρὸ τοῦ Σ· ἀπὸ μὲν τοῦ εἰς Ω, τυφθεὶς, δαρεὶς, νυγεὶς, ἀπὸ δὲ τῶν εἰς ΜΙ, τεθεὶς, σταθεὶς, δαρεὶς, ἐνεστῶτος δὲ καὶ παρατατικοῦ οὖσαι ἐνεργητικοῦ· ἐνεργητικοῦ τε ὁμοίως δευτέρου ἀορίστου, εἰ μὲν πρώτης ὦσι συζυγίας τῶν εἰς ΜΙ, τὴν ΕΙ δίφθογγον ἔχουσι πρὸ τοῦ Σ, οἷον ἐτίθην τιθεὶς, ἔθην θεὶς, ἵην, τὸ ἔπεμπον, ἱεὶς καὶ ἀφιεὶς, ἧν ἐπὶ τοῦ αὐτοῦ σημαινομένου, εἷς καὶ ἀφείς· εἰ δὲ δευτέρας ὦσι συζυγίας τῶν εἰς ΜΙ, τὸ Α ἐκτεταμένον ἔχουσι πρὸ τοῦ Σ, οἷον ἵστην ἱστὰς, ἐκίχρην κιχρὰς, ἔστην στὰς, ἔπτην πτὰς καὶ ἀποπτὰς, ἔβην βάς· εἰ δὲ τρίτης ὦσι συζυγίας τῶν εἰς ΜΙ, τὴν ΟΥ δίφθογγον ἔχουσι πρὸ τοῦ Σ, ἐδίδων διδοὺς, ἐβίων βιοὺς, ἥλων ἁλοὺς, ἔγνων γνούς· εἰ δὲ δʹ συζυγίας τῶν εἰς ΜΙ, ἐκεῖνο τὸ φωνῆεν ἔχουσι πρὸ τοῦ Σ, ὅπερ ἔχει πρὸ τοῦ Ν τὸ ὁριστικὸν, οἷον τὸ Υ ἐκτεταμένον, οἷον ἐζεύγνυν ζευγνὺς, ἐπήγνυν πηγνὺς, ὤμνυν ὀμνὺς, ἔφυν φὺς, ἔδυν δὺς, καὶ ἀποδύς. Εἴρηται.

“ Τυφθεῖσα, τυφθὲν, εἴρηται· ἀορίστου δευτέρου τυπεὶς,

[y] ἢ Bar.

340 b τυπεῖσα, τυπὲν, εἴρηται. Μέσου ἀορίστου πρώτου, τυψάμενος, τυψαμένη, τυψάμενον, εἴρηται. Μέσου ἀορίστου δευτέρου, τυπόμενος, τυπομένη, τυπόμενον· εἴρηται. Μέλλοντος παθητικοῦ πρώτου τυφθησόμενος, τυφθησομένη, τυφθησόμενον· μέλλοντος παθητικοῦ δευτέρου τυπησόμενος, τυπησομένη, τυπησόμενον, εἴρηται. Μέλλοντος πρώτου τυψόμενος, τυψομένη, τυψόμενον, εἴρηται. Μέλλοντος δευτέρου τυπούμενος, τυπουμένη, τυπούμενον. Μετ' ὀλίγου μέλλοντος τοῦ Ἀττικοῦ, τετυψόμενος, τετυψομένη, τετυψόμενον. Εἴρηται."

Πρόδηλός ἐστι πάντων ἡ κλίσις καὶ ὁ κανών· πάντες γὰρ ἑνὶ κανόνι ὑποπίπτουσι τῷ ῥηθέντι ἐν τῇ μετοχῇ τοῦ παθητικοῦ ἐνεστῶτος καὶ παρατατικοῦ. Ἰστέον δὲ ὅτι οὐκ ἀποβάλλει ὁ μετ' ὀλίγον μέλλων τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, ἐπειδὴ τὴν ἄρχουσαν τοῦ παρακειμένου ἔχει, οἷον τετύψομαι, τέτυψαι, τετύψεσθαι, ὁ δὲ παρακείμενος, ὡς εἴρηται, οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν· εἰ οὖν ἀπεβάλλετο ἡ ἄρχουσα τοῦ μετ' ὀλίγον μέλλοντος, [z] εὑρήσεται ἡ ἄρχουσα τοῦ παρακειμένου ἀποβαλλομένη, ὅπερ ἀδύνατον.

" Περὶ τῶν εἰς μι.

Χρόνου ἐνεστῶτος τίθημι."

Πληρώσας ὁ τεχνικὸς τὴν τῶν εἰς ω ῥημάτων διδασκαλίαν, ἔτι δὲ καὶ περὶ τῶν μετοχῶν αὐτῶν διαλαβὼν, ἔρχεται νῦν ἀκολούθως καὶ διαλαμβάνει περὶ τῶν εἰς μι. Καὶ ἰστέον ὅτι τὰ εἰς μι ὑπέλαβον τινὲς Αἰολικὰ εἶναι, ἐπειδὴ πολλὰ παρ' αὐτῶν εὑρίσκονται εἰς μι, τὸ γὰρ γελῶ γέλαιμι λέγουσι, καὶ τὸ δοκιμῶ δοκιμῶμι· ἐπειδὴ γὰρ οἱ Αἰολεῖς βαρυντικοί εἰσι, (τὸ γὰρ Ἀτρεὺς Ἄτρευς λέγουσι,) τὰ δὲ εἰς μι ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, εἶμι ὃ σημαίνει τὸ πορεύομαι, χωρὶς τοῦ εἰμὶ, τοῦ σημαίνοντος τὸ ὑπάρχω, καὶ τοῦ φημὶ καὶ τοῦ ἠμὶ, τοῦ σημαίνοντος τὸ λέγω, ὅπερ ἀπὸ τοῦ φημὶ γέγονε κατὰ ἀποβολὴν τοῦ φ· τούτου χάριν οἱ Αἰολεῖς τὰ εἰς ω περισπώμενα μεταποιοῦσιν εἰς μι, ἵνα μεταδιώξωσι χαρα-

[z] εὑρίσκεται Bar.

κτῆρα ἀποστρεφόμενον τὴν ὀξεῖαν τάσιν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐλέγχονται ἀπὸ πλείστων μὴ ὄντα Αἰολικά· καὶ γὰρ ἀπὸ τόνου, καὶ ἀπὸ κλίσεως, καὶ ἀπὸ γραφῆς, καὶ ἀπὸ πνεύματος, καὶ ἀπὸ ποσότητος συλλαβῶν, καὶ ἀπὸ τῶν πρωτοτύπων. Καὶ ἀπὸ μὲν τοῦ τόνου, ὅτι πᾶσαν λέξιν ὑπὲρ μίαν συλλαβὴν παρ' ἡμῖν ὀξυτόνως (ὀξύτονον) βαρύνουσι, χωρὶς τῶν προθέσεων καὶ τῶν συνδέσμων, οἷον Ἀχιλλεὺς, σοφός· (Ἀχίλλευς, σόφος·) τὸ δὲ ἡμὶ καὶ τὸ φημὶ ὀξύνονται, δῆλον οὖν ὅτι οὐκ εἰσὶν Αἰολικά. Πρόσκειται "χωρὶς τῶν προθέσεων καὶ τῶν συνδέσμων," ἐπειδὴ ἐπὶ τούτων οἱ Αἰολεῖς φυλάττουσι τὴν ὀξεῖαν τάσιν, οἷον ἀνὰ, κατὰ, ἀτὰρ, αὐτάρ. Ἀπὸ δὲ κλίσεως δείκνυται μὴ ὄντα Αἰολικὰ τὰ εἰς ΜΙ, ὅτι τὰ εἰς ΜΙ ἐν τῷ δευτέρῳ προσώπῳ παρ' ἡμῖν προσλαμβάνοντα τὸ Ι τὸ τρίτον ποιοῦσιν, οἷον τίθημι τίθης τίθησι· τὰ δὲ Αἰολικὰ ἀποβολῇ τοῦ Σ ποιοῦσι τὰ τρίτα, οἷον γέλαιμι γέλαις γέλαι· δῆλον οὖν ὅτι οὐκ εἰσὶν Αἰολικά. Ἀπὸ γραφῆς δὲ, ὅτι τὰ
341 a εἰς ΜΙ οὐ θέλουσι παρ' ἡμῖν διφθόγγῳ παραλήγεσθαι, οἷον τίθημι, δίδωμι· σεσημειωμένου τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω, καὶ τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι· παρὰ δὲ τοῖς Αἰολεῦσι πολλὰ εὑρίσκονται διφθόγγῳ παραληγόμενα, οἷον ἵσταιμι, κίχραιμι, γέλαιμι, διὰ τῆς ΑΙ διφθόγγου· δῆλον οὖν ὅτι οὐκ εἰσὶν Αἰολικά. Ἀπὸ πνεύματος δὲ, ὅτι οἱ Αἰολεῖς ψιλωτικοί εἰσιν, οἷον ὔμμες, ἄμμιν· τὸ δὲ ἵημι καὶ ἵστημι δασύνονται· ἄρα οὐκ εἰσὶ τὰ εἰς ΜΙ Αἰολικά. Ἀπὸ ποσότητος δὲ συλλαβῶν, ὅτι οὐδέποτε παρ' ἡμῖν τὰ εἰς ΜΙ ἁπλᾶ ὄντα ὑπερβαίνουσι τὰς τρεῖς συλλαβὰς, οἷον τίθημι, δίδωμι, ὄμνυμι, χωρὶς τοῦ ὀρέγνυμι καὶ κορέννυμι καὶ πετάννυμι καὶ ὀμόργνυμι καὶ ὀνίνημι, ὃ σημαίνει τὸ ὠφελῶ· παρὰ δὲ τοῖς Αἰολεῦσι πολλάκις εὑρίσκονται εἰς ΜΙ ὑπερβαίνοντα τὰς τρεῖς συλλαβὰς, οἷον ἐλευθερῶμι, δοκιμῶμι· δῆλον οὖν οὐκ εἰσὶν Αἰολικὰ τὰ εἰς ΜΙ. Πρόσκειται "ἁπλᾶ ὄντα" διὰ τὸ ἀποδίδωμι καὶ συνίστημι καὶ ἀποτίθημι· ταῦτα γὰρ ὑπερβαίνουσι τὰς τρεῖς συλλαβὰς, ἀλλ' οὐκ εἰσὶν ἁπλᾶ. Ἀπὸ τῶν πρωτοτύπων δείκνυνται, ὅτι οὐδέποτε παρὰ τοῖς Αἰολεῦσιν

ἀπὸ βαρυτόνων γίνονται τὰ εἰς μι, *ἀλλ' ἀπὸ τῶν περισπωμένων, οἷον ἐλευθερῶ ἐλευθερῶμι, δοκιμῶ δοκιμῶμι, γελῶ γελαῖμι· καὶ ἡ αἰτία δήλη ἐστίν· ἐπειδὴ γάρ, ὡς προείρηται, οἱ Αἰολεῖς βαρυντικοί εἰσι, τὰ δὲ εἰς* μι *ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, χωρὶς τοῦ φημὶ καὶ ἡμὶ καὶ εἰμὶ τὸ ὑπάρχω· τούτου χάριν τὰ εἰς* ω *περισπώμενα μεταποιοῦσιν εἰς* μι, *ἵνα μεταδιώξωσι χαρακτῆρα ἀποστρεφόμενον τὴν ὀξεῖαν τάσιν· ἐπὶ γὰρ τῶν βαρυτόνων οὐδὲν τοιοῦτον ποιοῦσιν, ἐπειδὴ καὶ χωρὶς τοῦ ποιῆσαι ταῦτα εἰς* μι *τὸ σπουδαζόμενον ἔχουσι, φημὶ δὴ τὴν βαρεῖαν τάσιν·* [a]*παρ' ἡμῖν δὲ καὶ ἀπὸ βαρυτόνων γίνονται ἡμῖν (τὰ εἰς* μι) *ὡς τὸ ἀπὸ τῆς ἕκτης συζυγίας, οἷον ζευγνύω, ζεύγνυμι· ἄρα οὖν οὐκ εἰσὶν Αἰολικά. Δέδεικται οὖν διὰ πάντων, ὅτι τὰ εἰς* μι *οὐκ εἰσὶν Αἰολικά.*

Ἰστέον δὲ ὅτι τὰ εἰς μι *παράγωγα εἰσί. Δεῖ δὲ γινώσκειν, ὅτι τὸ δίδωμι ἐπὶ τοῦ ὑπάρχω (παρέχω) τρίτης ἐστὶ συζυγίας τῶν εἰς* μι· *ἐπὶ γὰρ τοῦ δεσμεύω πρώτης ἐστὶ συζυγίας, οἷον διδῶ διδεῖς δίδημι, ἀντὶ τοῦ δεσμεύω, ὅθεν δήσω ὁ μέλλων, ὡς θήσω, καὶ ἔδησα ἀόριστος, καὶ δέδεκα ὁ ἐνεργητικὸς παρακείμενος, καὶ δέδεμαι ὁ παθητικὸς καὶ ἐδέθην ὁ πρῶτος ἀόριστος.*

Ἰστέον ὅτι τῆς τρίτης ἐστὶ συζυγίας οὐδαμοῦ ὁ ἐνεστώς, πλὴν τοῦ δίδωμι. Πρόσκειται "ἐνεστῶτος" διὰ τὸ ἐβίων καὶ ἥλων δευτέρου ἀορίστου· ταῦτα τρίτης συζυγίας εἰσὶ τῶν εἰς μι, *ὡς ἀπὸ τοῦ βίωμι καὶ ἅλωμι, ἀλλ' οἱ ἐνεστῶτες οὗτοι, φημὶ δὴ ὁ βίωμι καὶ ἅλωμι, οὐχ εὑρίσκονται ἐν χρήσει· ὡσαύτως δὲ καὶ τοῦ ἔγνων δευτέρου ἀορίστου οὐχ εὕρηται ἐν χρήσει ὁ ἐνεστὼς ὁ γνῶμι. Ἡ δὲ τέταρτη συζυγία τῶν εἰς* μι *μὴ ἔχουσα τέταρτην συζυγίαν τῶν περισπωμένων, ἐξ ἧς ὤφειλε παραχθῆναι, ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων παράγεται, οἷον ἀπὸ τοῦ πηγνύω πήγνυμι· καὶ εὐλόγως ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων ἡ τετάρτη συζυγία τῶν εἰς* μι, *ἐπειδὴ καὶ αἱ*
341 b *τρεῖς συζυγίαι τῶν περισπωμένων ὅσον κατὰ τὴν ἐντέλειαν τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων εἰσί. Τὸ γὰρ τιθῶ ἀπὸ τοῦ τιθέω ἐστί, καὶ τὸ ἱστῶ ἀπὸ τοῦ ἱστάω, καὶ τὸ διδῶ*

[a] *παρ' ἡμῖν δὲ καὶ χωρὶς . . . . . γίνονται ἡμῖν ὡς τὸ ἀπὸ τῆς ἕκτης* Bar.

ἀπὸ τοῦ διδόω· τὸ δὲ τιθέω καὶ ἱστάω καὶ διδόω ἕκτης συζυγίας τῶν βαρυτόνων εἰσί. Παράγονται δὲ ἐκ τῶν τριῶν συζυγιῶν τῶν περισπωμένων (τὰ) εἰς μι, καὶ τούτου χάριν καὶ ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων ἡ τετάρτη συζυγία τῶν εἰς μι· ἐπειδὴ γὰρ τὰ εἰς μι οὐ θέλουσι συμφώνῳ παραλήγεσθαι, οἷον τίθημι, πλὴν τοῦ εἰμὶ (ἐμμὶ) τοῦ σημαίνοντος τὸ ὑπάρχω, ὅπερ οὐδὲ εὑρίσκεται ἐν χρήσει, ἀλλ' ὑπόμνησιν αὐτοῦ ἔχομεν τὸ ἐσσί. Ἐπειδὴ οὖν ἡ μὲν ἕκτη συζυγία τῶν βαρυτόνων διὰ καθαροῦ τοῦ ω ἐκφέρεται, αἱ δὲ ἄλλαι συζυγίαι τῶν βαρυτόνων διὰ συμφώνων, εἰκότως ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων παράγονται τὰ εἰς μι, οἷον ὀλλύω, ὄλλυμι, καὶ οὐκ ἀπὸ τῶν λοιπῶν συζυγιῶν τῶν βαρυτόνων, οἷον ἀπὸ τοῦ λέγω καὶ φέρω, τροπῇ τοῦ ω εἰς μι, λέγμι καὶ φέρμι· ἤμελλον γὰρ συμφώνῳ παραλήγεσθαι, ὅπερ ἐστὶν ἀδύνατον.

Εἰ δέ τις εἴποι, διὰ τί γὰρ μὴ ὡς ἐκ τοῦ τιθῶ καὶ διδῶ καὶ ἱστῶ γέγονε τίθημι καὶ δίδωμι καὶ ἵστημι, οὕτως καὶ ἀπὸ τοῦ λέγω λέγημι, φέρω φέρημι, οὕτω γὰρ ἐὰν γένωνται, οὐκέτι εὑρίσκονται συμφώνῳ παραληγόμενα; Λέγομεν, ὅτι οὐ δύναται οὕτω γενέσθαι, ἐπειδὴ τὰ εἰς μι, ἐὰν μὲν ἀπὸ βαρυτόνων παραχθῶσιν, ἰσοσυλλαβεῖν θέλουσι τοῖς ἰδίοις πρωτοτύποις, οἷον ζευγνύω ζεύγνυμι· εἰ δὲ ἀπὸ περισπωμένων, μιᾷ συλλαβῇ περιττεύουσι τῶν ἰδίων πρωτοτύπων, οἷον τιθῶ τίθημι, ἱστῶ ἵστημι· ἐὰν οὖν ταῦτα γένωνται λέγημι καὶ φέρημι, μέλλουσι περιττοσυλλαβεῖν τῶν ἰδίων πρωτοτύπων, τοῦ λέγω καὶ φέρω, ἀπὸ βαρυτόνων παραχθέντων.

Ἄξιόν ἐστι ζητῆσαι, τί δήποτε τριῶν οὐσῶν συζυγιῶν τῶν περισπωμένων, τέσσαρές εἰσι τῶν εἰς μι; Καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· ἀναλογοῦσιν αἱ τρεῖς συζυγίαι τῶν περισπωμένων καὶ αἱ τέσσαρες τῶν εἰς μι τοῖς εἴδεσιν τῆς συλλαβῆς· ὥσπερ γὰρ ἐκ τῶν γ' εἰδῶν τῶν ἁπλῶν τῆς συναλοιφῆς γίνονται δ' εἴδη τὰ σύνθετα τῆς συναλοιφῆς, οὕτω καὶ ἐκ τῶν εἰς ω περισπωμένων γίνονται τὰ εἰς μι· εἰ δὲ καὶ ἐκ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων γίνονται, ξένον οὐδέν, ἐπειδὴ συγγένειαν ἔχει ἡ ἕκτη συζυγία τῶν

βαρυτόνων πρὸς τὰς συζυγίας τῶν περισπωμένων· καὶ γὰρ αἱ συζυγίαι τῶν περισπωμένων ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων γίνονται. Ἐπειδὴ οὖν ἀναλογοῦσι τὰ εἰς Ω περισπώμενα καὶ τὰ εἰς ΜΙ τοῖς εἴδεσι τῆς συναλοιφῆς, (ζʹ δέ εἰσι, γʹ μὲν ἁπλᾶ, δʹ δὲ σύνθετα,) εἰκότως τρεῖς μέν εἰσι συζυγίαι τῶν περισπωμένων, δʹ δὲ τῶν εἰς ΜΙ· εἰσὶ δὲ τὰ τρία μὲν εἴδη τῆς συναλοιφῆς τὰ ἁπλᾶ ταῦτα· ἔκθλιψις, κρᾶσις, συναίρεσις· ἔκθλιψις μὲν, οἷον κατὰ ἐμοῦ, κατ' ἐμοῦ· ἐξεβλήθη γὰρ τὸ Α τῆς κατὰ προθέσεως· κρᾶσις, οἷον τὸ ἐμὸν τοὐμόν· συναίρεσις, οἷον πάϊς παῖς· πῇ δὲ διαφέρει κρᾶσις συναιρέσεως, ἐμάθομεν ἐν τοῖς Ὀνόμασι ἐν τῇ περὶ τοῦ Δημοσθένους διδασκαλίᾳ. Τὰ δὲ τέσσαρα εἴδη τὰ σύνθετα τῆς συναλοιφῆς εἰσι ταῦτα· ἔκθλιψις καὶ κρᾶσις, ἔκθλιψις καὶ συναίρεσις, κρᾶσις καὶ συναίρεσις, ἔκθλιψις καὶ κρᾶσις καὶ συναίρεσις· ἔκθλιψις μὲν καὶ κρᾶσις, οἷον καὶ ἐγὼ, κἀγώ· ἐκθλί-
342 a βεται γὰρ τὸ Ι τοῦ ΚΑΙ συνδέσμου, καὶ κιρνᾶται τὸ Α καὶ Ε εἰς Α, δῆλον ὅτι μακρόν· ἔκθλιψις δὲ καὶ συναίρεσις, οἷον, ἐμοὶ ὑποδύνει, ἐμουποδύνει· ἐκθλίβεται γὰρ τὸ Ι τῆς ΟΙ διφθόγγου τῆς οὔσης ἐν τῷ ἐμοὶ ἀντωνυμίᾳ, καὶ συναιρεῖται τὸ Ο καὶ Υ εἰς ΟΥ δίφθογγον· καὶ κρᾶσις καὶ συναίρεσις, οἷον ὁ αἰπόλος ᾡπόλος, κιρνᾶται γὰρ τὸ Ο καὶ Α εἰς Ω, καὶ συναιρεῖται τὸ Ω καὶ τὸ Ι εἰς τὴν ΩΙ δίφθογγον· ἔκθλιψις δὲ καὶ κρᾶσις καὶ συναίρεσις, οἷον, οἱ αἰπόλοι ᾡπόλοι, ἐκθλίβεται γὰρ τὸ Ι τῆς ΟΙ διφθόγγου, καὶ κιρνᾶται τὸ Ο καὶ τὸ Α εἰς Ω, καὶ συναιρεῖται τὸ Ω καὶ Ι εἰς τὴν ΩΙ δίφθογγον. Ταῦτα μὲν ἐν τούτοις.

Θέλουσι δὲ τὰ εἰς ΜΙ φύσει μακρᾷ παραλήγεσθαι. Καὶ παραλήγεται ἡ μὲν αʹ καὶ βʹ συζυγία τῶν εἰς ΜΙ τῷ Η, οἷον τιθῶ τιθεῖς τίθημι, ἱστῶ ἱστᾷς ἵστημι, ἀλλ' ἐν τῇ συστολῇ διαφέρουσιν· ἡ μὲν γὰρ πρώτη συζυγία τῶν εἰς ΜΙ διὰ τοῦ Ε συστέλλεται ἐν τοῖς πληθυντικοῖς, οἷον τίθεμεν, ἀφίεμεν· ἡ δὲ δευτέρα διὰ τοῦ Α συνεσταλμένου, ἵσταμεν, κίχραμεν· ἡ δὲ γʹ παραλήγεται τῷ Ω, οἷον δίδωμι, ὅπερ οὐ συστελλόμενον διὰ τοῦ Ο συστέλλεται ἐν τοῖς πληθυντικοῖς, οἷον δίδομεν· ἡ δὲ δʹ διχρόνῳ ἐκτεταμένῳ παραλήγεται, οἷον ζευ-

γνύω ζεύγνυμι, ὄλλυμι· συστελλομένη δὲ τὸ δίχρονον μόνον συστέλλει, οἷον ζεύγνυμεν, πήγνυμεν, διὰ συνεσταλμένου τοῦ υ. Εὐλόγως δὲ ἡ μὲν α΄ συζυγία τῶν εἰς ΜΙ τῷ Η παραλήγεται, οἷον τίθημι, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ Ε ἔχει, οἷον τιθέω τιθῶ· τὸ δὲ Ε μεγεθυνόμενον ἐν τοῖς ῥήμασι διχῶς μεγεθύνεται· ἢ γὰρ διὰ τῆς προσθήκης τοῦ Ι μεγεθύνεται, οἷον ἔχω εἶχον, ἢ διὰ τοῦ τρέπεσθαι εἰς τὸ Η, ἐλέγχω ἤλεγχον· καὶ ἐπειδὴ ἐπὶ τῶν εἰς ΜΙ οὐ δύναται τὸ Ε διὰ τῆς προσθήκης τοῦ Ι μεγεθύνεσθαι, ὡς γὰρ μετ' ὀλίγον μαθησόμεθα, οὐ θέλουσι τὰ εἰς ΜΙ ὁριστικὰ διφθόγγῳ παραλήγεσθαι, εὐλόγως διὰ τοῦ τρέπεσθαι εἰς Η μεγεθύνεται· ὡσαύτως δὲ καὶ ἡ β΄ συζυγία τῶν εἰς ΜΙ εὐλόγως τῷ Η παραλήγεται, οἷον ἵστημι, ἐπειδὴ τὸ ἐντελὲς τοῦ πρωτοτύπου τὸ Α ἔχει, οἷον ἱστάω ἱστῶ, τὸ δὲ Α μεγεθυνόμενον ἐν τοῖς ῥήμασιν εἰς Η τρέπεται, οἷον ἀκούω, ἤκουον· ἡ δὲ γ΄ τῷ Ω παραλήγεται, οἷον δίδωμι, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ Ο ἔχει, οἷον διδόω, διδῶ, τὸ δὲ Ο μεγεθυνόμενον εἰς Ω τρέπεται, οἷον ὀμνύω ὤμνυον· ἡ δὲ δ΄ συζυγία τῶν εἰς ΜΙ διχρόνῳ ἐκτεταμένῳ παραλήγεται, οἷον ζεύγνυμι, ἐπειδὴ καὶ τὸ πρωτότυπον τὸ Υ ἔχει, οἷον ζευγνύω, τὸ δὲ Υ μεγεθυνόμενον ἐν τοῖς ῥήμασιν εἰς ἑαυτὸ μεγεθύνεται, τουτέστι φύσει μακρὸν γίνεται, καὶ οὐ τρέπεται εἰς ἄλλο φωνῆεν, οἷον ὑδρεύω ὕδρευον, ὑφαίνω ὕφαινον.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί τὰ εἰς ΜΙ ἀεὶ φύσει μακρᾷ παραλήγονται, οἷον τίθημι; Λέγει δὲ ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν· ἐπειδὴ ἡ τελευταία συλλαβὴ τὸν μακρὸν χρόνον ἔτρεψεν εἰς βραχύν· τροπῇ γὰρ τοῦ Ω εἰς ΜΙ [b] γίνονται· τούτου χάριν ὑπερβιβασμὸν ἀνεδέξαντο τοῦ χρόνου, καὶ [c] ἐποίησαν τὴν παραλήγουσαν φύσει μακράν, ἵνα τὸν μακρὸν χρόνον τὸν κεχρεωστημένον τῇ ληγούσῃ ἀναδέξηται ἡ παραλήγουσα.

Ἰστέον δὲ ὅτι οὐ θέλουσι τὰ εἰς ΜΙ ὁριστικὰ διφθόγγῳ παραλήγεσθαι, οἷον τίθημι, ὄλλυμι, ὅθεν σεσημείωται τὸ εἰμὶ, τὸ σημαῖνον τὸ ὑπάρχω, καὶ τὸ εἶμι, τὸ σημαῖνον τὸ πορεύο-

[b] γίνονται Par. γέγονε Bar. [c] ποιῆσαν Bar.

μαι, διφθόγγῳ παραληγόμενα. Πρόσκειται “ὁριστικὰ” *διὰ τὰ εὐκτικὰ, οἷον τύπτοιμι, λέγοιμι.* Καὶ *περὶ τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω ἀπολογούμεθα οὕτως· ἔστιν ἔω τὸ σημαῖνον* 342 b *τὸ ὑπάρχω· τοῦτο τροπῇ τοῦ* Ω *εἰς* ΜΙ *γέγονεν ἐμὶ, ὥσπερ ζευγνύω ζεύγνυμι, καὶ ἐπειδὴ τὰ εἰς* ΜΙ *φύσει μακρᾷ παραλήγεσθαι θέλουσιν, οἷον τίθημι, ἠναγκάζετο δὲ τοῦτο φύσει μακρᾷ παραλήγεσθαι, καὶ λοιπὸν ἠναγκάζετο ἢ τρέψαι τὸ* Ε *εἰς* Η *ἢ παραλαβεῖν τὸ* Ι, *καὶ μᾶλλον ὤφειλε τρέψαι τὸ* Ε *εἰς* Η, *ἤπερ προσλαμβάνειν τὸ* Ι, *ἐπειδὴ, ὡς εἴρηται, τὰ εἰς* ΜΙ *ὁριστικὰ οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι, οἷον τίθημι, ἵστημι· ἀλλ' ἐπειδὴ αἱ παράλογοι λέξεις θέλουσι φυλάττειν ψιλὸν τὸ (λείψανόν τι) τῆς φωνῆς τοῦ πρωτοτύπου, οἷον τιθῶ τίθημι, ἄρδω ἀρδεύω, τούτου χάριν, ἵνα καὶ αὐτὴ ἡ λέξις ἡ ἐμὶ φυλάξῃ λείψανόν τι τῆς φωνῆς τοῦ πρωτοτύπου, προσέλαβε τὸ* Ι, *καὶ γέγονεν εἰμὶ* [d] *διὰ τῆς* ΕΙ *διφθόγγου, καὶ ἐφύλαξε τὸ* Ε *τοῦ πρωτοτύπου, φημὶ δὲ τοῦ* ΕΩ· *εἰ γὰρ ἔτρεψε τὸ* Ε *εἰς* Η, *οὐκ ἐφυλάττετο τῆς φωνῆς τὸ πρωτότυπον· τὸ δὲ εἶμι, τὸ σημαῖνον τὸ πορεύομαι, διὰ τοῦτο τῇ διφθόγγῳ παραλήγεται, ἐπειδὴ ἀπὸ τοῦ εἴω ἐστίν· ἔστι γὰρ εἴω διὰ τῆς* ΕΙ *διφθόγγου, ὃ σημαίνει τὸ πορεύομαι· ἐκ τούτου οὖν τοῦ εἴω γέγονε τὸ εἶμι, τροπῇ τοῦ* Ω *εἰς* ΜΙ, *ὥσπερ τὸ ζευγνύω ζεύγνυμι, καὶ λοιπὸν ἐκ τοῦ πρωτοτύπου ἔχει τὴν* ΕΙ *δίφθογγον.*

Δεῖ δὲ γινώσκειν, ὅτι ὁ Ἀπολλώνιος *τὸ εἰμὶ διὰ μακροῦ τοῦ* Ι *γράφει, ἐκ τοῦ καὶ τὰ δυϊκὰ καὶ τὰ πληθυντικὰ* [e] *διὰ συνεσταλμένου τοῦ* Ι *εἶναι, οἷον ἴτον, ἴτον, ἴμεν, ἴτε, καὶ ἐν* [f] *συνθέσει ἔξιτον, καὶ τὸ γ' τῶν πληθυντικῶν ἴσι καὶ ἴασιν, οἷον* [Il. *π*'. 160.]

καί τ' ἀγεληδὸν ἴασιν.

Οὐ *συνᾴδει δὲ αὐτῷ ἡ παράδοσις· φησὶ γὰρ ὁ* Ἡρωδιανὸς *ἀεὶ τὴν παράδοσιν γινώσκειν τὸ εἰμὶ ἐν τοῖς ἑνικοῖς διὰ τῆς* ΕΙ *διφθόγγου, οἷον* [Od. *β*'. 318.]

εἶμι μὲν, οὐδ' ἁλίη ὁδὸς ἔσεται,

[d] *ἄνευ* Bar. [e] *διαστελλομένου* Bar. [f] *συναιρέσει* Bar.

καὶ τὸ δεύτερον εἶς, οἷον, [Hesiod. Opp. 206.]

τῇ δ' εἶς, ᾗ σ' ἂν [g] ἐγώ περ ἄγω καὶ ἀοιδόν[περ] ἐοῦσαν,

ἀντὶ τοῦ ἐκεῖ πορεύῃ· καὶ τὸ τρίτον τῶν ἑνικῶν εἶσιν, οἷον [v. Il. ρ'. 147.]

εἶσι περὶ πτόλιος μαχεόμενος,

ἀντὶ τοῦ πορεύεται· τὰ μέντοι δυϊκὰ καὶ τὰ πληθυντικὰ, ὡς εἴρηται, διὰ συνεσταλμένου τοῦ ι εἰσί. Καὶ ἔστιν εἰπεῖν, ὅτι τὸ εἴω διὰ τῆς ει διφθόγγου τὸ σημαῖνον τὸ πορεύομαι, καὶ ἴω διὰ τοῦ ι, κατὰ μὲν τὰ ἑνικὰ διὰ τῆς ει διφθόγγου εἰσίν· τὰ δὲ δυϊκὰ καὶ τὰ πληθυντικὰ ἀπὸ τοῦ ἴω τοῦ διὰ τοῦ ι. Δεῖ δὲ γινώσκειν, ὅτι τὸ ἴσι τρίτον πληθυντικῶν διὰ τοῦτο ἐκτεταμένον ἔχει τὸ ι, τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν συστελλόντων αὐτὸ, ἐπειδὴ τὰ εἰς ι λήγοντα ῥήματα μακρᾷ θέλουσι παραλήγεσθαι, οἷον τετύφασιν, ἱστᾶσι, διδοῦσι· ἀμέλει τὸ ἴᾶσι, [Il. π'. 160.]

καί τ' ἀγεληδὸν ἴασιν,

ἐπειδὴ τὸ ι οὐκ ἔστι κατὰ τὴν παραλήγουσαν, συστέλλεται. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς μι ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον τίθημι, εἶμι, ὃ σημαίνει τὸ πορεύομαι, χωρὶς τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω, καὶ τοῦ φημὶ, καὶ τοῦ ἠμὶ τοῦ σημαίνοντος τὸ λέγω. Ἔστι δὲ ἀπολογήσασθαι περὶ τοῦ εἰμὶ καὶ φημὶ, ὅτι διὰ τοῦτο ταῦτα ὀξύνονται, ἐπειδὴ ἐγκλιτικά εἰσιν, οἷον ἄνθρωπός εἰμι, αἰδεῖσθαί φησι· τὰ δὲ ἐγκλιτικὰ αὐτὰ καθ' ἑαυτὰ ὄντα ἐν τῇ τελευταίᾳ συλλαβῇ θέλουσιν ἔχειν τὸν τόνον, οἷον [h] ἐστὶ πῶς τε. Πρόσκειται "αὐτὰ καθ' ἑαυτὰ ὄντα," ἐπειδὴ ἐν τῇ συντάξει ἀναπέμπουσι τὸν
343 a ἴδιον τόνον, ἢ τῇ προηγουμένῃ λέξει, οἷον ἄνθρωπός ἐστιν, ὑπὲρ ἦν καὶ πῶς, Ἀρκεσίλαός τε, ἢ τῇ προηγουμένῃ συλλαβῇ, οἷον ἤκουσαν ἡμῶν, δέδωκεν ἡμῖν· οὕτως οὖν καὶ τὸ εἰμὶ καὶ τὸ φημὶ ἐγκλιτικὰ ὄντα, οἷον ἄνθρωπός εἰμι, ἐγώ φημι, εἰκότως ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχουσι τὸν τόνον αὐτὰ καθ' ἑαυτὰ ὄντα, ἐν δὲ τῇ τελευταίᾳ ἔχοντα τὸν τόνον εὐλόγως ὀξύνονται καὶ περισπῶνται, ἐπειδὴ βραχυκαταληκτοῦσι· περισπωμένη οὔτε ἐπάνω βραχείας τίθεται, οὔτε

[g] ἐγὼ παράγω Bar. qui om. ᾗ σ'. [h] ἔστϊ τϊνων πῶς τε Bar.

ἐπάνω θέσει μακρᾶς· τὸ δὲ εἶμι, τὸ σημαῖνον τὸ πορεύομαι, οὐκ ἔστιν ἐγκλιτικὸν, ὡς δηλοῖ ὁ τόνος· βαρύνεται γάρ. Τούτων οὕτως ἐχόντων, ἰστέον, ὅτι τὰ εἰς ΜΙ οὐ θέλουσι συμφώνῳ παραλήγεσθαι, οἷον τίθημι, ἵστημι, ὅθεν ἡμάρτηται συμφώνῳ παραληγόμενον τὸ ἐσμί· σημαίνει δὲ τὸ ὑπάρχω· τούτου χάριν, ὡς ἀνωτέρω εἴρηται, τὰ παραληγόμενα εἰς ΜΙ ἀπὸ βαρυτόνων ἀπὸ τῆς ἕκτης συζυγίας παράγονται, οἷον ζευγνύω ζεύγνυμι, καὶ οὐκ ἀπὸ τῶν ἄλλων συζυγιῶν τῶν βαρυτόνων· εἰ γὰρ ἐγένοντο ἀπὸ τῶν ἄλλων συζυγιῶν τῶν βαρυτόνων ἔμελλον παραλήγεσθαι συμφώνῳ, ἅτε δὴ τῶν ἄλλων συζυγιῶν τῶν βαρυτόνων διὰ συμφώνου ἐκφερομένων, ὅπερ ἐστὶν ἀδύνατον.

Ἰστέον δὲ ὅτι οὐ μόνον κατὰ τοῦτο ἡμάρτηται τὸ ἐσμὶ, φημὶ δὴ καθότι παραλήγεται συμφώνῳ, ἀλλὰ καὶ ὅτι θέσει μακρᾷ παραλήγεται, τῶν εἰς ΜΙ, ὥσπερ εἴρηται, φύσει μακρᾷ παραλήγεσθαι θελόντων, οἷον τίθημι, δίδωμι, ζεύγνυμι· τοῦτο δὲ τὸ ἐσμὶ οὔτε ἔστιν ἐν χρήσει, ἀλλ' ἐν ὑπομνήσει ἔχομεν ἐξ αὐτοῦ τὸ ἐσσὶ καὶ τὸ ἐστὶ, περὶ ὧν, εἰ θεῷ φίλον, ἐφεξῆς μαθησόμεθα.

Ἰστέον δὲ ὅτι τὰ εἰς ΜΙ ἀναδιπλασιαζόμενα κατὰ τὸν ἐνεστῶτα τούτῳ τῷ τρόπῳ ἀναδιπλασιάζονται· εἰ μὲν τὸ πρωτότυπον ἀπὸ φωνήεντος ἄρχεται, διὰ τοῦ Ι γίνεται μόνου ὁ ἀναδιπλασιασμὸς [h] ὦ, ἰῶ, ἵημι, τὸ πέμπω· εἰ δὲ τὸ πρωτότυπον ἀπὸ συμφώνου ἄρχεται ἑνὸς, τότε δι' αὐτοῦ τοῦ συμφώνου καὶ τοῦ Ι γίνεται ὁ ἀναδιπλασιασμὸς, οἷον δῶ διδῶ δίδωμι, βῶ βιβῶ βίβημι, θῶ τιθῶ τίθημι, τοῦ δασέως Θ διὰ τὴν κακοφωνίαν τραπέντος εἰς τὸ ἀντίστοιχον τὸ ψιλὸν, φημὶ δὴ εἰς τὸ Τ· εἰ δὲ τὸ πρωτότυπον [i] διὰ συμφώνων ἄρχεται, εἰ μὲν μή ἐστιν ἄφωνον πρὸ ἀμεταβόλου, διὰ τοῦ Ι μόνου γίνεται ὁ ἀναδιπλασιασμὸς, οἷον στῶ ἱστῶ ἵστημι, εἰ δέ ἐστιν ἄφωνον πρὸ ἀμεταβόλου, τότε δι' αὐτοῦ τοῦ συμφώνου, φημὶ δὴ τοῦ ἀφώνου, γίνεται ὁ ἀναδιπλασιασμὸς τοῦ Ι, οἷον πρῶ πιπρῶ πίπρημι, καὶ πίμπρημι [k] κατὰ πλεονασμὸν τοῦ Μ, πλῶ πιπλῶ πίπλημι, καὶ κατὰ

[h] τῷ Bar. [i] ἀπὸ συμφώνου Bar. [k] καὶ κατὰ μεταπλασμὸν πλῶ πιπλῶ πίπλημι, καὶ κατὰ ἀναδιπλασιασμὸν πίμπλημι Bar.

πλεονασμὸν τοῦ μ πίμπλημι, χρῶ κιχρῶ κίχρημι, τοῦ δασέως χ διὰ τὴν κακοφωνίαν τραπέντος εἰς τὸ ἀντίστοιχον τὸ ψιλὸν, φημὶ δὴ εἰς τὸ κ. Τούτων οὕτως ἐχόντων, ἀποροῦσί τινες, λέγοντες, διὰ ποίαν αἰτίαν, ὥσπερ ἀπὸ τοῦ θῶ γίνεται
343 b κατὰ [l] πλεονασμὸν τιθῶ τίθημι, καὶ ἀπὸ τοῦ δῶ διδῶ δίδωμι, μὴ τὸν αὐτὸν τρόπον, καὶ ἀπὸ τοῦ φῶ γίνεται μετὰ ἀναδιπλασιασμοῦ πιφῶ καὶ πίφημι, ἀλλὰ φημὶ γίνεται ἄνευ διπλασιασμοῦ; Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται τὸ φημὶ ἀναδιπλασιασθῆναι, ἐπειδὴ ἐγκλιτικόν ἐστιν, οἷον αἰδεῖσθαί φημι· κανὼν δέ ἐστιν ὁ λέγων, ὅτι τὰ ἐγκλιτικὰ οὐ θέλουσιν ὑπερβαίνειν τὴν δισυλλαβίαν, οἷον [m] εἰμί τις, πῶς τε [ὑμῶν,] ἡμῖν ἐστι· εἰ οὖν ἀνεδιπλασιάσθη τὸ φημὶ, ἤμελλε τρισυλλαβεῖν ἐγκλιτικὸν [ὄν,] ὅπερ ἀδύνατον.

"Τίθης." Ἰστέον ὅτι τὰ εἰς μι λήγοντα τροπῇ τῆς μι εἰς ς τὰ δεύτερα πρόσωπα ποιοῦσιν, οἷον τίθημι τίθης, ἵημι, τὸ πέμπω, ἵης, κίχρημι κίχρης, δίδωμι δίδως, ζεύγνυμι ζεύγνυς, ὄμνυμι ὄμνυς, δείκνυμι δείκνυς, εἶμι εἷς, [n] ὀξυτόνως, οἷον [Od. δ'. 611.]

αἵματος εἷς ἀγαθοῖο, φίλον τέκος,

ἀντὶ τοῦ ὑπάρχεις· εἶμι, εἷς περισπωμένως, ὡς παρ' Ἡσιόδῳ·

τῇδε εἷς (ᾗ σ') ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν,

ἀντὶ τοῦ ἐκεῖ πορεύῃ· καὶ ἀπὸ τοῦ φημὶ δὲ τὸ β' πρόσωπον φὴς ὤφειλεν εἶναι χωρὶς τοῦ ι, τροπῇ τῆς μι εἰς ς, ἀλλ' ἡ παράδοσις σὺν τῷ ι οἶδεν αὐτὸ γεγραμμένον, οἷον φῄς, ὡς ἐν τῇ Ὀρθογραφίᾳ, εἰ θεῷ φίλον, μαθησόμεθα. Τούτων οὕτως ἐχόντων, καὶ τοῦ ἐσμὶ, τοῦ σημαίνοντος τὸ ὑπάρχω, τροπῇ τῆς μι εἰς ς γίνεται τὸ δεύτερον πρόσωπον ἐσς, καὶ ἐπειδὴ οὐδέποτε οὔτε συλλαβὴ οὔτε λέξις εἰς δύο τὰ αὐτὰ καταλήγει, προσῆλθε τὸ ι καὶ ἐγένετο ἐσσί. Λέγει δὲ ὁ Φιλόπονος, ὅτι οὐκ ἔστιν ἀπὸ τοῦ ἐσμὶ τὸ ἐσσὶ, ἀλλ' ἀπὸ τοῦ εἰμί· ἀπὸ γὰρ τοῦ εἰμὶ τροπῇ τῆς μι εἰς ς γέγονεν εἷς, ἀντὶ τοῦ ὑπάρχεις, καὶ καθ' ὑπερβιβασμὸν τοῦ ι ἐσὶ, καὶ ἐπειδὴ τὰ εἰς ι ῥήματα μακρᾷ θέλουσι παραλήγεσθαι, οἷον τύπτουσι, λέγουσι, τετύφασι, πεποιήκασι, πεποίθασι, τού-

[l] μεταπλασμὸν Bar. [m] εἰμὶ Bar. εἰ μὴ Par. [n] ὀξύτονα Bar.

του χάριν ἀνεδιπλασιάσθη τὸ Σ, *καὶ ἐγένετο ἐσσί· ἀπὸ τοῦ* [o] *ἐσμὶ γὰρ, φησὶν, οὐκ ἠδύνατο εἶναι, ἐπειδὴ τὰ εἰς* ΜΙ *ἡμάρτηται· οὐδέποτε γὰρ τὰ εἰς* ΜΙ *θέλουσι συμφώνῳ παραλήγεσθαι, οἷον τίθημι, ἵστημι, δίδωμι, ζεύγνυμι, ὄμνυμι, ὄλλυμι, δείκνυμι. Πρὸς ὃν ἔστιν εἰπεῖν, ὅτι πρῶτον μὲν καὶ τὸ εἰμὶ ἡμάρτηται· τὰ γὰρ εἰς* ΜΙ *οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι, οἷον τίθημι, ἵστημι, δίδωμι, ζεύγνυμι, ὄμνυμι, ὄλλυμι, δείκνυμι, πλὴν τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι, καὶ τοῦ εἰμὶ, δηλονότι τοῦ σημαίνοντος τὸ ὑπάρχω· δεύτερον δὲ, εἰ τὸ ἐσσὶ δῶμεν εἶναι ἀπὸ τοῦ* [p] *εἰμὶ, ἀναγκαζόμεθα τὸ γʹ πρόσωπον τῶν ἑνικῶν εἰς* Ι *εἰπεῖν· ταῦτα γὰρ εἰς* ΜΙ *ὁριστικὰ τροπῇ τοῦ* Μ *εἰς τὸ* Σ *ποιοῦσι τὰ τρίτα πρόσωπα, οἷον τίθημι τίθησι, ἵστημι ἵστησι, δίδωμι δίδωσι, ζεύγνυμι ζεύγνυσι· οὕτως οὖν καὶ ἀπὸ τοῦ εἰμὶ τὸ τρίτον τῶν ἑνικῶν εἰσὶ ὤφειλεν εἶναι, ἀλλὰ μὴν τὸ εἰσὶ τρίτον ἑνικὸν οὐκ ἔστιν, ἀλλὰ τρίτον πληθυντικόν· δῆλον ὅτι οὐδὲ τὸ ἐσσὶ ἀπὸ τοῦ εἰμὶ ἐστί· τοῦ γὰρ τρίτου προσώπου μὴ δυναμένου εἶναι ἀπὸ τοῦ εἰμὶ, κωλύεται καὶ τὸ* [*δεύτερον*] *εἶναι ἀπὸ τούτου. Ταῦτα μὲν ἐν τούτοις.*

344 a *Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα τὸ* Ι *εἴωθε γίνεσθαι ἐφελκυστικὸν τοῦ* Ν *ἡνίκα ἔχει προηγούμενον τὸ* Σ, *ἢ δυνάμει ἢ ἐνεργείᾳ· (δυνάμει μὲν, ὡς Φοίνιξι Φοίνιξιν, Πέλοψι Πέλοψιν· τὸ γὰρ* Ξ *ἐκ τοῦ* Κ *καὶ* Σ *δοκεῖ συγκεῖσθαι, καὶ τὸ* Ψ *ἐκ τοῦ* Π *καὶ* Σ· *ἐνεργείᾳ δὲ, οἷον λέβησι λέβησιν, Αἴασι Αἴασιν·) διὰ ποίαν αἰτίαν τὸ ἐσσὶν οὐ γίνεται ἐφελκυστικὸν τοῦ* Ν, *ἔχον προηγούμενον τοῦ* Ι *τὸ* Σ, *οἷον* [Il. *α*ʹ. 176.]

ἔχθιστος δέ μοι ἐσσὶ [q] *διοτρεφέων βασιλήων.*

Ἔστιν οὖν εἰπεῖν, ὅτι διὰ τοῦτο τὸ ἐσσὶ οὐ γίνεται ἐφελκυστικὸν τοῦ Ν, *ἐπειδὴ ἀπὸ πάθους ἔχει τὸ* Ι· *ἢ γὰρ, ὡς εἴρηται, ἀπὸ πλεονασμοῦ ἔχει αὐτὸ, ἢ κατὰ τὸν Φιλόπονον ἀπὸ ὑπερβιβασμοῦ· ἐπειδὴ οὖν ἀπὸ πάθους ἔχει τὸ* Ι, *τούτου χάριν οὐκ ἐγένετο ἐφελκυστικὸν τοῦ* Ν.

Δεῖ δὲ ζητῆσαι, πόθεν ἐγένετο τὸ εἶ, τὸ σημαῖνον τὸ ὑπάρχω, οἷον [Od. *δ*ʹ. 611.]

αἵματος εἷς ἀγαθοῖο, φίλον τέκος,

[o] om. Bar. cum lacuna. [p] *εἰς* ΜΙ Bar. [q] *διοτροφέων* Bar.

ἀντὶ τοῦ ὑπάρχεις, κατὰ ἀποβολὴν τοῦ ς ἐγένετο ει· πρὸς οὓς λέγει ὁ Ἀπολλώνιος, ὅτι πρῶτον μὲν, εἰ ἐγένετο ἐκ τοῦ εἶς κατὰ ἀποβολὴν τοῦ ς, ὤφειλε τρίτον πρόσωπον εἶναι τὸ ει· τὰ γὰρ β′ πρόσωπα ἀποβάλλοντα τὸ ς, τρίτα γίνονται· πῶς οὖν τὸ εἶς ἀποβάλλον τὸ ς καὶ γινόμενον εἶ δεύτερον ἔμεινεν; Δεύτερον, εἰ ἐγένετο τὸ εἶ τοῦ εἶς, ὤφειλε φυλάξαι τὸν αὐτὸν τόνον, τουτέστιν ὁμοίως τῷ εἶς· τὰ γὰρ ἀποβάλλοντα τὸ ς, ἐὰν φυλάξωσι τὸ αὐτὸ σημαινόμενον, τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον πολλάκις πολλάκι, μέχρις μέχρι· δεῖ προσθεῖναι, εἰ μὴ χαρακτὴρ [r] κωλύσῃ, διὰ τὸ χωρὶς χῶρι· τὸ γὰρ χῶρι βαρύνεται πρὸς τὸν χαρακτῆρα τοῦ νόσφι, αὖθι, ἶφι, ἦχι. Πρόσκειται "ἐὰν φυλάξωσι τὸ αὐτὸ σημαινόμενον, φυλάττουσι καὶ τὸν αὐτὸν τόνον," διὰ τὸ ἄντικρυς ἄντικρυ· ἐνταῦθα, ἐπειδὴ οὐκ ἐφυλάχθη τὸ αὐτὸ σημαινόμενον· (τὸ μὲν γὰρ ἄντικρυς τὸ φανερῶς σημαίνει, τὸ δὲ ἄντικρυ τὸ ἐξ ἐναντίας·) τούτου χάριν οὔτε ὁ αὐτὸς τόνος ἐφυλάχθη· καὶ πάλιν βασιλεὺς βασιλεῦ· ἰδοὺ γὰρ οὔτε ἐνταῦθα ἐφυλάχθη ὁ αὐτὸς τόνος· (τὸ μὲν γὰρ βασιλεὺς ὀξύνεται, τὸ δὲ βασιλεῦ περισπᾶται·) ἀλλ' οὐκ ἐφυλάχθη τὸ αὐτὸ σημαινόμενον· τὸ μὲν γὰρ εὐθείας ἐστὶ, τὸ δὲ κλητικῆς, ἀλλ' οὐκ ἀντιστρέφοντος τοῦ λόγου· οὐδὲ γὰρ ἐὰν τοῦ σημαινομένου γένηται ἐναλλαγὴ μετὰ τὴν ἀποβολὴν τοῦ ς πάντως καὶ ὁ τόνος ἐναλλάσσεται· ἰδοὺ γὰρ λέγεις λέγει, ὁ Χρύσης τῷ Χρύσῃ, ὁ Φιλητᾶς τοῦ Φιλητᾶ· ἰδοὺ ταῦτα μὴ φυλάξαντα τὸ αὐτὸ σημαινόμενον, (τὸ μὲν γὰρ δευτέρου προσώπου ἐστὶ, τὸ δὲ τρίτου, καὶ [s] τὰ μὲν εὐθείας, τὰ δὲ γενικῆς καὶ δοτικῆς,) ὅμως τὸν αὐτὸν τόνον ἐφύλαξαν· τοῦτο [t] οὖν τὸ ει φυλάξαν τὸ σημαινόμενον τοῦ εἶς, ἀμφότερα γὰρ τὸ ὑπάρχεις δηλοῦσι, καὶ ἀμφότερα δευτέρου προσώπου εἰσὶ, καὶ μὴ φυλάξαν τὸν αὐτὸν τόνον· τὸ μὲν γὰρ εἶ περισπᾶται, τὸ δὲ εἶς (εἱς) ὀξύνεται· δηλονότι οὐ γέγονεν ἀπὸ τοῦ εις κατὰ ἀποβολὴν τοῦ ς.

Σχηματίζει οὖν ὁ Ἀπολλώνιος τὸ ει τοῦτον τὸν τρόπον· ἔστιν ἔω τὸ σημαῖνον τὸ ὑπάρχω· ἐκ τούτου

[r] κωλύει Bar. [s] ταῦτα Bar. [t] αὐτὸ εἰ Bar.

γίνεται παθητικὸν ἢ μέσον, ἔομαι, δῆλον ὅτι κατὰ φωνήν. Πρόσκειται "δηλονότι κατὰ φωνήν," ἐπειδὴ κατὰ σημα-
344 b *σίαν οὐ δύναται συστῆναι τὸ ἔομαι· οὐδεὶς γὰρ λέγει ὑπάρχομαι. Ἐκ τούτου λοιπὸν τοῦ ἔομαι τὸ δεύτερον πρόσωπον γίνεται κοινῶς μὲν ἔῃ διὰ τοῦ* η *καὶ* ι, *ὥσπερ βούλῃ, Ἀττικῶς δὲ ἔει, διὰ τῆς* ει *διφθόγγου, ὥσπερ βούλει, ὡς παρὰ Μενάνδρῳ,*

> *βούλει τί Κνήμων* [u] *εἰπέ μοι,*

καὶ λοιπὸν τοῦτο τὸ ἔει τὸ Ἀττικὸν τὸ διὰ τῆς ει *διφθόγγου γίνεται κατὰ κρᾶσιν τοῦ* ε *καὶ τῆς* ει *διφθόγγου εἰς τὴν* ει *δίφθογγον εἶ, ὥσπερ ποιέεις ποιεῖς, καὶ εὐλόγως περισπᾶται, ἐπειδὴ καὶ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον ποίεις ποιεῖς, πάϊς παῖς, Πηλέϊ Πηλεῖ,* [x] *Ἡρακλέα Ἡρακλῆ. Εἶτα μετὰ τὸ οὕτω σχηματίσαι τὸν Ἀπολλώνιον, λέγει πάλιν ὁ αὐτὸς, ὅτι ἄμεινον λέγειν τὴν φωνὴν παρεφθάρθαι, τουτέστι παράλογον, ἢ μείζονι ἐγκλήματι* [y] *περιπεσεῖν, φημὶ δὴ τὸ λέγειν ὅτι ἀπὸ τοῦ ἔω τὸ ὑπάρχω γίνεται τὸ παθητικὸν ἔομαι· οὐδέποτε γὰρ, φησὶ, τὰ ὑπαρκτικὰ εἰς πάθος λαμβάνονται, ἤγουν οὐκ ἔχουσι παθητικόν· οὐδὲ γὰρ τὸ ὑπάρχω γίνεται ὑπάρχομαι· πῶς γὰρ δύναται ἔχειν τὰ παθητικὰ, ὅπου οὔτε ἐνέργειαν σημαίνουσι; τὸ γὰρ ζῶ, πλουτῶ, ὑπάρχω, οὐδέτερα καλοῦσι διὰ τὸ μήτε ἐνέργειαν σημαίνειν, μήτε πάθος. Λέγει οὖν ὁ Χάραξ ὅτι κατὰ πάθος γέγονε τὸ εἶ τὸ ἀπὸ* [z] *τοῦ εἷς, ἀποβολῇ τοῦ* σ, *καὶ περιεσπάσθη τὸ εἶ, τοῦ εἷς (εἰς) ὀξυνομένου, ἐπειδὴ εἰς χαρακτῆρα ἐνέπεσεν ἀπαιτοῦντα τὴν περισπωμένην τάσιν· τὰ γὰρ εἰς τὴν* ει *δίφθογγον λήγοντα ῥήματα, ἐπὶ τέλους ἔχοντα τὸν τόνον, περισπᾶται, οἷον ποιεῖ, τελεῖ, νοεῖ. Πρόσκειται "ἐπὶ τέλους ἔχοντα τὸν τόνον," διὰ τὸ ἐποίει καὶ ἐνόει· ταῦτα γὰρ οὐ περισπῶνται, ἀλλ' οὐκ ἔχουσιν ἐπὶ τέλους τὸν τόνον.*

"Τίθησιν." *Ἰστέον ὅτι κανονίζει ὁ τεχνικὸς τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν οὕτως· πᾶν δεύτερον πρόσωπον τῶν*

[u] *εἶπον* Bar. [x] *Ἡρακλέης Ἡρακλῆς* Bar. [y] *περιπίπτειν* Bar. [z] *τῶν εἰς* ΕΙΣ Bar.

εἰς ΜΙ, ἐπὶ ἐνεστῶτος δηλονότι χρόνου, προσθέσει τοῦ Ι τὸ τρίτον ποιεῖ, οἷον τίθης τίθησι. Πρόσκειται "ἐπὶ ἐνεστῶτος δηλονότι χρόνου," ἐπειδὴ ἐν παρατατικῷ τὸ δεύτερον ἀποβολῇ τοῦ Σ τὸ τρίτον ποιεῖ, οἷον ἐτίθης ἐτίθη, ἐζεύγνυς ἐζεύγνυ. Δεῖ προσθεῖναι τῷ εἰρημένῳ κανόνι τῷ λέγοντι, ὅτι "πᾶν δεύτερον πρόσωπον τῶν εἰς ΜΙ, ἐνεστῶτος δηλονότι χρόνου, προσθέσει τοῦ Ι τὸ τρίτον ποιεῖ," τὸ κατὰ κοινὴν διάλεκτον, ἐπειδὴ οἱ Αἰολεῖς ἀποβολῇ τοῦ Σ ἐπὶ τούτων τὰ τρίτα ποιοῦσιν, οἷον τίθης τίθη, ἵστης ἵστη, δίδως δίδω, ζεύγνυς ζεύγνυ· δυνατὸν δὲ καὶ ἐκ τοῦ πρώτου προσώπου τῶν ἑνικῶν κανονίσαι οὕτως· τὰ εἰς ΜΙ λήγοντα ὁριστικὰ τροπῇ τοῦ Μ εἰς Σ τὸ τρίτον πρόσωπον ποιεῖ, οἷον ζεύγνυμι ζεύγνυσι, φημὶ φησὶ, εἶμι, τὸ πορεύομαι, εἶσι, τὸ πορεύεται·

εἶσι περὶ πτόλιος μαχεόμενος.

ἀπὸ τοῦ εἰμὶ, τοῦ σημαίνοντος τὸ ὑπάρχω, τὸ τρίτον τῶν ἑνικῶν ὀφείλει γενέσθαι εἰσίν· ἵνα δὲ μὴ συνεμπέσῃ τῷ τρίτῳ τῶν πληθυντικῶν, λέγω δὲ τῷ εἰσὶν ἐκεῖνοι, καὶ κατὰ τὴν γραφὴν καὶ κατὰ τὸν τόνον, τούτου χάριν ἐπιλέλοιπε. Πρόσκειται "ὁριστικὰ, οἷον τὰ εἰς ΜΙ λήγοντα ὁριστικὰ τροπῇ τοῦ Μ εἰς Σ ποιοῦσι τὸ τρίτον πρόσωπον," διὰ τὰ
345 a εὐκτικὰ, οἷον τύπτοιμι τύπτοις τύπτοι· ἐκεῖνα γὰρ οὐ ποιοῦσι τροπῇ τὸ τρίτον, ἀλλ' ἀποβολῇ τοῦ Σ τοῦ κατὰ τὰ δεύτερα πρόσωπα. Τούτων οὕτως ἐχόντων, καὶ ἀπὸ τῆς ἐσμὶ τροπῇ τοῦ Μ εἰς Σ ὤφειλε γενέσθαι τὸ τρίτον τῶν ἑνικῶν ἐσσὶ, ἀλλ' ἐπειδὴ προσελήφθη ἡ φωνὴ ἐπὶ τοῦ ἰδίου δευτέρου προσώπου, καὶ γὰρ τὸ δεύτερον πρόσωπον ἐσσὶ, τούτου χάριν τροπὴ Δωρικὴ παρηκολούθησε τοῦ Σ εἰς τὸ Τ, καὶ ἐγένετο ἐστὶ, ὥσπερ σὺ τὺ, εἴκοσι εἴκοτι. Ἰστέον ὅτι ἔνθεν ἀνατρέπεται ὁ Φιλόπονος, λέγων, οὐκ ἔστι τὸ ἐσσὶ ἀπὸ τοῦ ἐσμὶ, ἐκ τούτου γὰρ τοῦ εἰμὶ οὐδέποτε ἠδύνατο γενέσθαι τὸ ἐσσί. Δεῖ δὲ γινώσκειν ὅτι οὐκ ἔστιν αὕτη ἡ τροπὴ ἡ ἐν τῷ ἐστὶ κυρίως Δωρική· οἱ γὰρ Δωριεῖς τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν εἰς ΤΙ ποιοῦσι, μὴ προηγουμένου συμφώνου, οἷον φησὶ φατὶ, δίδωσι δίδωτι· εἰ οὖν ἐν τῷ ἐσσὶ προηγεῖται σύμφωνον, οὐκ ἐτράπη τοῦτο Δωρικῶς

τὸ Σ εἰς τὸ Τ, ἀλλὰ κατὰ μίμησιν Δωρικήν, τὸ δὲ τρίτον τῶν πληθυντικῶν εἰς ΤΙ ποιοῦσιν οἱ Δωριεῖς προηγουμένου συμφώνου τοῦ Ν, οἷον δίδοντι, φάντι· ὅτι δὲ δυνάμει ἐν τῷ ἐστὶ ὑπάρχει τὸ Σ, δηλονότι (δηλοῖ) τὸ Ι προσερχόμενον αὐτῷ, οἷον ἐστὶν, ὅτε γάρ ἐστι τὸ Σ πρὸ τοῦ Ι, ἢ δυνάμει, ἢ ἐνεργείᾳ, τότε τοῦ Ν ἐφελκυστικὸν γίνεται τὸ Ι· οὕτως οὖν καὶ ἐστί· ἐνταῦθα γὰρ δυνάμει τὸ Σ ἐστί· πολλάκις δὲ καὶ τοῦ Φ προηγουμένου γίνεται τὸ Ι ἐφελκυστικὸν τοῦ Ν, οἷον ναῦφιν, [Il. ν'. 700.]

ναῦφιν ἀμυνόμενοι,

τουτέστιν ἐκ τῶν νηῶν ἀποσοβοῦντες. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι τοῦτο, πάντων τῶν δευτέρων προσώπων τῶν εἰς Σ ληγόντων ἀποβαλλόντων τὸ Σ, καὶ ποιούντων τὸ τρίτον πρόσωπον, οἷον τύπτεις τύπτει, ἐτύφθης ἐτύφθη, (περὶ γὰρ τοῦ παρακειμένου καὶ τοῦ ἀορίστου α' ἐμάθομεν, ὅτι καὶ τροπὴ παρηκολούθησε τοῦ Α εἰς Ε διὰ τὴν ὁμοφωνίαν τὴν πρὸς τὸ πρῶτον πρόσωπον,) διὰ τί μόνα τὰ εἰς ΜΙ κατὰ τὸν ἐνεστῶτα οὐκ ἀποβάλλουσι τὸ Σ ἐν τῷ τρίτῳ προσώπῳ, ἀλλὰ τοὐναντίον καὶ τὸ Ι προσλαμβάνουσι; Καὶ ἔστιν εἰπεῖν, ὅτι πρῶτον μὲν, ἀναλογώτεροί εἰσιν [a] οἱ Αἰολεῖς, ἀποβολῇ τοῦ Σ τὰ τρίτα ἐπὶ τούτων ποιοῦντες, οἷον τίθημι τίθης τίθη, ζεύγνυμι ζεύγνυς ζεύγνυ, δίδωμι δίδως δίδω. Δεύτερον δὲ, λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν ἀπολογίαν· τὰ παράγωγα ῥήματα τὰ ὁμοιοκαταληκτοῦντα τοῖς ἰδίοις πρωτοτύποις ὁμοίως καὶ τοῖς πρωτοτύποις αὐτῶν ἀποβολῇ τοῦ Σ ποιοῦσι τὸ τρίτον πρόσωπον, οἷον ἄρδω ἀρδεύω, ἄρχω ἀρχεύω· ἰδοὺ ταῦτα ὁμοιοκαταληκτοῦντα τοῖς ἰδίοις πρωτοτύποις εἰς Ω λήγει, ὁμοίως ἐκείνοις ἀποβολῇ τοῦ Σ τὸ τρίτον πρόσωπον ποιοῦσι, καὶ δίφθογγον ἔχουσι ἐν τῇ ληγούσῃ τὴν μετὰ τοῦ Ι· διὰ τοῦτο δὲ εἶπον, ἀποβολῇ τοῦ Σ ποιοῦσι τὸ τρίτον πρόσωπον ὁμοίως τοῖς ἰδίοις πρωτοτύποις, καὶ οὐκ εἶπον, τὴν αὐτὴν κλίσιν [b] ἐπιδέχονται, ἐπειδή εἰσί τινα ἀπὸ πρωτοτύπων

[a] οἷον οἱ Bar. [b] δέχονται Bar.

παραγόμενα, καὶ φυλάττουσι τὴν αὐτὴν συζυγίαν, οἷον τὸ νέμω νέμεις νέμει πέμπτης ἐστὶ συζυγίας τῶν βαρυτόνων,
345 b τὸ δὲ ἐκ τούτου παραγόμενον, τὸ νωμῶ νωμᾷς νωμᾷ, β' ἐστὶ συζυγίας τῶν περισπωμένων· τὰ γοῦν εἰς ΜΙ μὴ ὁμοιοκαταληκτήσαντα τοῖς ἰδίοις πρωτοτύποις, ἐκεῖνα γὰρ εἰς Ω λήγουσι, ταῦτα δὲ εἰς ΜΙ, εἰκότως οὐδὲ ἀποβολῇ τοῦ Σ ποιοῦσι τὸ τρίτον πρόσωπον ὁμοίως τοῖς ἰδίοις πρωτοτύποις, οὔτε ἔχουσι κατὰ τὴν λήγουσαν δίφθογγον τὴν μετὰ τοῦ Ι ἐν τῷ δευτέρῳ καὶ τρίτῳ προσώπῳ· τὸ γὰρ εἶς (εἷς), τὸ σημαῖνον τὸ ὑπάρχεις, οἷον

αἵματος εἶς (εἷς) ἀγαθοῖο, φίλον τέκος,

ἀντὶ τοῦ ὑπάρχεις, καὶ τὸ εἶς τὸ σημαῖνον τὸ πορεύῃ, ὡς παρ' Ἡσιόδῳ,

τῇδε εἶς ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν,

ἀντὶ τοῦ ἐκεῖ πορεύῃ, ἀπὸ τῶν ἰδίων πρωτοτύπων ἔχουσι τὴν ΕΙ δίφθογγον· τὸ μὲν γὰρ εἶς (εἷς), τὸ ἐπὶ τοῦ ὑπάρχεις, ἀπὸ τοῦ εἰμὶ γέγονε· τὸ δὲ εἶς, τὸ ἐπὶ τοῦ πορεύῃ, ἀπὸ τοῦ εἶμι ἐστί. Τὸ φῂς οὐκ οἶδεν ὁ Ἀπολλώνιος σὺν τῷ Ι γεγραμμένον· ἡ μέντοι παράδοσις καὶ ὁ Ἡρωδιανὸς σὺν τῷ Ι οἶδεν αὐτὸ γεγραμμένον, ὡς ἐν τῇ Ὀρθογραφίᾳ, εἰ θεῷ φίλον, μαθησόμεθα.

"Τίθετον, τίθετον." Ἰστέον ὅτι τὸ μὲν πρῶτον τῶν δυϊκῶν ἐπιλιμπάνει ἐνταῦθα, ἐπειδὴ τὸ μὲν πρῶτον πρόσωπον τῶν πληθυντικῶν . . . τὸ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν γέγονε τροπῇ τοῦ Ε εἰς ΟΝ, οἷον τίθετε τίθετον, τὸ δὲ τρίτον τῶν δυϊκῶν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν εἰς ΣΙ λήγει, οἷον τίθησι.

"Τίθεμεν." Ἰστέον ὅτι τὰ εἰς ΜΙ ὁριστικὰ τροπῇ τῆς ΜΙ εἰς ΜΕΝ ποιοῦσι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, μετὰ τοῦ συστέλλειν τὴν παραλήγουσαν εἰς τὴν παραλήγουσαν τὴν ἐν τέλει τοῦ πρωτοτύπου· καὶ ἡ μὲν πρώτη συζυγία εἰς τὸ Ε συστέλλει τὴν παραλήγουσαν, οἷον τίθημι τίθεμεν, ἵημι, τὸ πέμπω, ἵεμεν, καὶ ἀφίεμεν, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου ἔχει τὸ Ε, οἷον τιθέω, ἱέω· ἡ δὲ δευτέρα εἰς τὸ Α συνεσταλμένον συστέλλει τὴν παραλήγουσαν, οἷον ἵστημι ἵσταμεν,

κίχρημι κίχραμεν, φημὶ φαμὲν, ἐπειδὴ καὶ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ Α συνεσταλμένον ἔχει, οἷον ἱστάω, κιχράω, φάω· ἡ δὲ τρίτη εἰς τὸ Ο συστέλλει τὴν παραλήγουσαν, οἷον δίδωμι δίδομεν, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ Ο ἔχει, οἷον διδόω· ἡ δὲ τετάρτη τὸ δίχρονον συστέλλει, οἷον ζεύγνυμι ζεύγνυμεν, ἐπειδὴ καὶ τὸ πρωτότυπον συνεσταλμένῳ τῷ Υ παραλήγεται, οἷον ζευγνύω. Τούτων οὕτως ἐχόντων, καὶ ἀπὸ τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω γίνεται τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ἐμὲν, ἐπειδὴ τὸ πρωτότυπον τῷ Ε παραλήγεται, ἔω γὰρ, ὅπερ ἐμὲν κατὰ πλεονασμὸν τοῦ Σ γίνεται ἐσμέν· δύναται δὲ τὸ ἐσμὲν ἀπὸ τοῦ ἐσμὶ εἶναι. Ταῦτα μὲν οὕτως· τοῦ εἶμι, τοῦ σημαίνοντος τὸ πορεύομαι, τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ἴμεν ἐστι διὰ συνεσταλμένου τοῦ Ι, περὶ οὗ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, ὅτι τοῦτο ἐν μὲν τοῖς ἑνικοῖς διὰ τῆς ΕΙ διφθόγγου γράφεται ἀπὸ τοῦ εἴω, τοῦ διὰ τῆς ΕΙ διφθόγγου γραφομένου καὶ σημαίνοντος τὸ πορεύομαι· [ἐν δὲ τοῖς δυικοῖς καὶ πληθυντικοῖς διὰ συνεσταλμένου τοῦ Ι, ἀπὸ τοῦ ἴω τοῦ διὰ
346 a τοῦ Ι γραφομένου καὶ σημαίνοντος τὸ πορεύομαι. Πρόσκειται ἐν τῷ κανόνι "ὁριστικὰ, οἷον τὰ εἰς ΜΙ ὁριστικὰ τροπῇ τῆς ΜΙ εἰς ΜΕΝ ποιοῦσι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν μετὰ τοῦ συστέλλειν τὴν παραλήγουσαν," διὰ τὰ εἰς ΜΙ εὐκτικά· ταῦτα γὰρ τροπῇ τῆς ΜΙ εἰς ΜΕΝ ποιοῦσι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, οὐ συστέλλουσι δὲ τὴν παραλήγουσαν, οἷον τύπτοιμι τύπτομεν. Ταῦτα μὲν ἐν τούτοις.

Ὁ δὲ τεχνικὸς ἐκ τῆς γενικῆς τῆς μετοχῆς κανονίζει τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τῷ κανόνι τῷ ῥηθέντι ἐν τοῖς εἰς Ω, τῷ λέγοντι, τῶν ἐνεστώτων καὶ μελλόντων ἡ γενικὴ τῆς μετοχῆς ἀποβάλλουσα τὴν ἐσχάτην συλλαβὴν, φημὶ δὴ τὴν ΤΟΣ, καὶ πρὸ τοῦ Ν λαμβάνουσα τὸ ΜΕ, τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, οἷον ἱστάντος ἵσταμεν, διδόντος δίδομεν· καὶ λοιπὸν τούτου χάριν τῶν εἰς ΜΙ συστέλλεται ἡ παραλήγουσα τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν κατὰ τὸν ἐνεστῶτα, ἐπειδὴ ἐκ τῆς γενικῆς τῆς

μετοχῆς κανονίζεται, ἡ δὲ γενικὴ τῆς μετοχῆς συνεσταλμένην ἔχει τὴν παραλήγουσαν.

"Τίθετε." Εἴρηται ὅτι τὰ εἰς ΜΕΝ πληθυντικὰ τροπῇ τῆς ΜΕΝ εἴς ΤΕ τὸ δεύτερον πρόσωπον ποιοῦσι, καὶ οὐ φυλάττουσι τὴν παραλήγουσαν, ἡνίκα ἐστὶν ἡ μετοχὴ εἰς Σ, οἷον τετύφαμεν, τετύφατε, τετυφὼς γάρ ἐστιν ἡ μετοχὴ, οὕτως καὶ τὰ εἰς ΜΙ, τίθεμεν, τίθετε, τιθεὶς γὰρ ἡ μετοχή· ἵσταμεν, ἵστατε, ἱστὰς γὰρ ἡ μετοχή· [δίδομεν, δίδοτε, διδοὺς γὰρ, ζεύγνυμεν, ζεύγνυτε, ζευγνὺς γάρ.]

"Τιθεῖσιν." Εἴρηται ὅτι ἐπὶ ἐνεστώτων [καὶ μελλόντων] τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ὁμόφωνον γίνεται τῇ δοτικῇ τῶν πληθυντικῶν τῆς ἰδίας μετοχῆς, οἷον οἱ τύπτοντες, τῶν τυπτόντων, τοῖς τύπτουσι, καὶ τύπτουσιν ἐκεῖνοι, [οὕτως οὖν καὶ ἐν τοῖς τιθεῖσι, καὶ τιθεῖσιν ἐκεῖνοι, καὶ τοῖς ἱστᾶσι, καὶ ἱστᾶσιν ἐκεῖνοι,] καὶ τοῖς διδοῦσι, καὶ διδοῦσιν ἐκεῖνοι, καὶ τοῖς ζευγνῦσι, καὶ ζευγνῦσιν ἐκεῖνοι. Σεσημείωται τὸ φασὶ καὶ εἰσὶν, ὅτι τῆς μετοχῆς βαρυνομένης τὸ ῥῆμα ὠξυτονήθη· ἔστι γὰρ ἡ μετοχὴ τῶν φάντων, τοῖς φᾶσι, βαρυτόνως, καὶ τὸ ῥῆμα φαμὲν, φατὲ, φασὶν, ὀξυτόνως· καὶ πάλιν ὁ εἷς, τοῦ ἔντος, τῷ ἔντι, τὸν ἔντα, ἀντὶ τοῦ ὑπάρχοντα, ὡς καὶ ἡ χρῆσις δηλοῖ οὕτως ἔχουσα, "παῖδα ἔντα," ἀντὶ τοῦ παῖδα ὑπάρχοντα· καὶ λοιπὸν τὰ πληθυντικὰ, οἱ ἔντες, τῶν ἔντων, τοῖς εἶσι, βαρυτόνως, καὶ τὸ ῥῆμα ἐσμὲν, ἐστὲ, εἰσὶν, ὀξυτόνως· περὶ δὲ τούτων ἐν τοῖς εἰς Ω μεμαθήκαμεν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ταῦτα, φημὶ δὴ τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος τῶν εἰς ΜΙ, οἱ Ἀττικοὶ, οὐδὲ γὰρ οἱ Ἴωνες, ὡς ὁ τεχνικὸς λέγει, προσόδῳ τοῦ Α καὶ συστολῇ τῆς παραληγούσης προφέρονται, οἷον τιθεῖσι τιθέασι, διδοῦσι διδόασι, ζευγνῦσι ζευγνύασιν· ἐπὶ δὲ τῆς δευτέρας συζυγίας οὐδὲν τοιοῦτον ποιοῦσι, διὰ τὴν κακοφωνίαν· ἀπὸ τοῦ ἱστᾶσι γὰρ [εἰ] ἐποίησαν προσόδῳ τοῦ Α ἱστάασιν, ἀλλεπαλληλία τοῦ Α ηὑρίσκετο, καὶ ἐκ τούτου κακοφωνία ἐγένετο.

Ἰστέον δὲ ὅτι τὸ τιθέασι καὶ διδόασι καὶ ζευγνύασι μακρὸν ἔχουσι τὸ Α, ἐπειδὴ τὰ εἰς Ι λήγοντα ῥήματα μακρᾷ θέλουσι

παραλήγεσθαι, οἷον τετύφασι. Τούτων οὕτως ἐχόντων, τὸ [c] ἱεῖσιν, ὃ σημαίνει τὸ πέμπουσι, γίνεται ἱέασι προσόδῳ τοῦ α, καὶ συστολῇ τῆς παραληγούσης, καὶ κατὰ κρᾶσιν Ἀττικὴν
346 b τοῦ ε καὶ α εἰς α μακρὸν ἱᾶσι προπερισπωμένως, καὶ ἐν συνθέσει ἀφιᾶσιν.

Τὸ τιθέασιν, ἐπειδὴ οὐκ ἔχει καθαρὸν τὸ ε, ὥσπερ τὸ ἱέασιν, ἀλλ' ἔχει πρὸ τοῦ ε σύμφωνον, τούτου χάριν οὐ κιρνᾶται καὶ γίνεται τιθᾶσιν, ὥσπερ ἱᾶσι καὶ ἀφιᾶσιν· οὐδέποτε γὰρ τὸ ε καὶ α κιρνᾶται εἰς α, συμφώνου προηγουμένου τοῦ ε, οἷον Δημοσθένεα Δημοσθένη, τείχεα τείχη· ἐπὶ γὰρ τῶν ἐχόντων καθαρὸν τὸ ε, τουτέστιν ἐπὶ τῶν μὴ ἐχόντων πρὸ τοῦ ε σύμφωνον, γίνεται τοῦτο, τουτέστι κιρνᾶται τὸ ε καὶ α εἰς α μακρὸν, οἷον εὐφυέα εὐφυᾶ, ὑγιέα ὑγιᾶ· ἐν δὲ τῷ ἔασιν, ὃ σημαίνει τὸ ὑπάρχουσιν, διὰ τοῦτο οὐ γίνεται κρᾶσις τοῦ ε καὶ α εἰς α μακρὸν, ὥσπερ ἐπὶ τοῦ ἱέασιν ἱᾶσιν καὶ ἀφιᾶσι, καὶ ταῦτα μὴ προηγουμένου συμφώνου τοῦ ἐν τῷ ἔασιν, ἐπειδὴ οὐ κέχρηνται οἱ Ἀττικοὶ τῷ ἔασι καίπερ Ἀττικῷ ὄντι, ὥσπερ τῷ τιθέασιν, ἀλλ' οἱ Ἴωνες· ὅθεν ὁ τεχνικός φησι πλανηθεὶς τὰ τοιαῦτα Ἰωνικὰ εἶναι. Ἐπειδὴ οὖν οὐ κέχρηνται οἱ Ἀττικοὶ τῷ ἔασιν, ἀλλ' οἱ Ἴωνες, τούτου χάριν οὐ γίνεται κατὰ κρᾶσιν· οἱ γὰρ Ἀττικοὶ εἰσὶν οἱ κεχρημένοι ταῖς συναιρέσεσιν, οὐ μὴν οἱ Ἴωνες· μᾶλλον διαλύουσι· Ξέρξεα γὰρ καὶ Πολυδεύκεα λέγουσι, καὶ ἐτετύφεα, καὶ ἐπεποιήκεα. Τούτων οὕτως ἐχόντων, τοῦ εἶμι, τοῦ σημαίνοντος τὸ πορεύομαι, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἴσι διὰ τοῦ ι, ἀντὶ τοῦ πορεύονται· ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι τοῦτο μὲν ἐν τοῖς ἑνικοῖς διὰ τῆς ει διφθόγγου γράφεται, ἐν δὲ τοῖς πληθυντικοῖς διὰ συνεσταλμένου τοῦ ι, τὸ δὲ ἴσι τὸ τρίτον τῶν πληθυντικῶν μακρὸν ἔχει τὸ ι, τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν συστελλόντων αὐτὸ, οἷον ἴτον, ἴτον, ἴμεν, ἴτε, καὶ ἐν συνθέσει ἔξιμεν, ἔξιτε, ἐπειδὴ τὰ εἰς ι λήγοντα ῥήματα μακρᾷ θέλουσι παραλήγεσθαι. Ἔστιν οὖν ἴσι τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν διὰ μακροῦ τοῦ ι, καὶ λοιπὸν προσόδῳ τοῦ α, καὶ

[c] ἱᾶσιν Bar.

συστολῇ τῆς παραληγούσης, τουτέστι τοῦ μακροῦ ι εἰς βραχὺ, γίνεται ἴασι, οἷον[Il. π΄. 160.]

καί τ᾽ ἀγεληδὸν ἴασι,

τὸ ἐπὶ τοῦ πορεύονται· διὰ τοῦτο δὲ τὸ ἴασι, τὸ ἐπὶ τοῦ πορεύονται, προπαροξύνεται καὶ [οὐ] προπερισπᾶται, ὥσπερ τὸ ἱᾶσι καὶ ἀφιᾶσι, τὸ ἐπὶ τοῦ πέμπουσιν, ἐστὶ κατὰ κρᾶσιν, διὰ τοῦτο δὲ τὸ ἴασι, τὸ ἐπὶ τοῦ πορεύονται, οὐκ ἀναδέχεται [κατὰ] κρᾶσιν, ὥσπερ τὸ ἱέασι, τὸ πέμπουσιν, ἐν τῷ ἱᾶσι καὶ ἀφιᾶσιν, ἐπειδὴ οὐδέποτε τὸ ι καὶ α κιρνᾶται, ὥσπερ τὸ ε καὶ α· τὸ γὰρ τοὺς μάντις καὶ τοὺς ὄφις τὰ Ἰωνικὰ οὐ γεγόνασι κατὰ κρᾶσιν ἀπὸ τοῦ μάντιας καὶ ὄφιας, ἀλλ᾽ ὁμόφωνά ἐστι τῆς αἰτιατικῆς τῶν πληθυντικῶν πρὸς τὴν ἰδίαν εὐθεῖαν, φημὶ δὴ πρὸς τὴν οἱ μάντιες, οἱ μάντις. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ, ὁ μὲν Ἡρωδιανὸς φησὶν, ὅτι κυρίως διαίρεσίς ἐστιν αὕτη ἡ ἐν τῷ τιθεῖσι τιθέασι, καὶ διδοῦσι διδόασι, καὶ ζεύγνυσι ζευγνύασι, καὶ πιστοῦται τοῦτο ἐκ τῶν πληθυντικῶν αἰτιατικῶν· ἰδοὺ γὰρ, φησὶν, ἐν τῷ Δημοσθένεας Δημοσθένεις τὸ εα εἰς τὴν ει δίφθογγον συναιρεῖται, καὶ
347 a πάλιν ἐν τῷ ἰχθύας ἰχθῦς τὸ υ καὶ τὸ α εἰς τὸ υ συναιρεῖται, καὶ πάλιν ἐν τῷ βόας βοῦς τὸ ο καὶ α εἰς τὴν ου δίφθογγον συναιρεῖται· οὐκοῦν καὶ ἐν τῷ τιθεῖσι τιθέασιν ἡ ει δίφθογγος εἰς τὸ ε καὶ α διῃρέθη, καὶ ἐν τῷ ζευγνῦσι καὶ ζευγνύασι τὸ υ εἰς τὸ υ καὶ α διῃρέθη, καὶ ἐν τῷ διδοῦσι διδόασιν ἡ ου δίφθογγος εἰς τὸ ο καὶ α διῃρέθη. Καὶ ἔστιν εἰπεῖν πρὸς αὐτὸν, ὅτι ἐν ταῖς αἰτιατικαῖς ταύταις οὐκ ἐγένετο συναίρεσις, ἀλλ᾽ ὁμοφωνία ἐστὶ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν πρὸς τὴν ἰδίαν εὐθεῖαν· καθόλου γὰρ, ὡς ἐν τῷ Ὀνόματι μεμαθήκαμεν, πᾶσα εὐθεῖα πληθυντικῶν εἰς σ λήγουσα καὶ συνῃρημένη κατὰ τὴν τελευταίαν συλλαβὴν ἔχει τὴν ἰδίαν αἰτιατικὴν ὁμόφωνον αὐτῇ δῆλον ὅτι καὶ τὴν κλητικὴν, οἷον οἱ εὐσεβεῖς τοὺς εὐσεβεῖς ὦ εὐσεβεῖς, οἱ ἰχθῦς τοὺς ἰχθῦς ὦ ἰχθῦς, οἱ βοῦς τοὺς βοῦς ὦ βοῦς. Ὁ δὲ Ἀπολλώνιος λέγει ὅτι οὐκ ἐγένετο ταῦτα κατὰ διαίρεσιν, [φημὶ δὴ τὸ τιθεῖσιν τιθέασιν, καὶ διδοῦσι διδόασι, καὶ ζευγνῦσι ζευγνύασιν, ἀλλὰ κατὰ τὴν

δοκοῦσαν διαίρεσιν,] τουτέστιν, ὡς εἴρηται, κατὰ συστολὴν τῆς παραληγούσης καὶ προσόδῳ τοῦ Α· τὰ γὰρ διαιρούμενα εἰς αὐτὰ διαιροῦνται, ἐξ ὧν καὶ συνίστανται, οἷον τὸ Η ἐκ τοῦ Ε καὶ Α συνίσταται, ὡς ἐν τῷ βέλεα βέλη, ἀλλὰ διαλυόμενον εἰς τὸ Ε καὶ Α διαλύεται, οἷον Ξέρξην Ξέρξεα, ἦν ἔα, ἀντὶ τοῦ ὑπῆρχον, [Il. ε΄. 887.]

ἤ κεν ζῶς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσιν.

Πάλιν ἡ ΕΙ δίφθογγος ἐκ τῶν δύο ΕΕ συνίσταται, οἷον Δημοσθένεες Δημοσθένεις, ἀλλὰ διαλυομένη εἰς τὰ δύο ΕΕ διαλύεται, ἐτετύφει ἐτετύφεε· ἐν γὰρ τῷ ἐτετύφειν ἐτετύφεα διὰ τοῦ Α εἰς τὸ Ε καὶ Α ἡ ΕΙ διελύθη, καὶ οὐκ εἰς δύο ΕΕ· ἐπειδὴ τὸ Ε οὐκ ἔστι χαρακτηριστικὸν πρώτου προσώπου ἑνικοῦ, τὸ δὲ Α ναί, οἷον ἔτυψα. Εἰ ἄρα οὖν τὸ Ε καὶ Α [οὐ] συναιρεῖται εἰς τὴν ΕΙ δίφθογγον, οἷον τείχεα τείχη, ἄρα οὔτε ἡ ΕΙ δίφθογγος διαιρεθήσεται εἰς τὸ Ε καὶ Α· οὐκοῦν [d]τὸ τιθεῖσι γεγονὸς τιθέασι κατὰ τὴν δοκοῦσαν διαίρεσιν γέγονε, καὶ οὐ κυρίως διῃρέθη· καὶ πάλιν τὸ Υ καὶ Α οὐ συναιροῦνται εἰς Υ· [ἄρα οὖν οὔτε τὸ Υ] ἐν τῷ ζευγνῦσι καὶ ζευγνύασι [e]διαιρεθήσεται κυρίως εἰς τὸ Υ καὶ Α· καὶ πάλιν τὸ Ο καὶ Α οὐ συναιρεῖται εἰς τὴν ΟΥ δίφθογγον· ἄρα οὖν οὔτε ἡ ΟΥ δίφθογγος ἐν τῷ διδοῦσι διδόασι διαλυθήσεται κυρίως εἰς τὸ Ο καὶ Α· περὶ γὰρ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν ὧν παρέθετο ὁ Ἡρωδιανὸς εἰρήκαμεν, ὡς οὐκ ἐγένοντο κατὰ συναίρεσιν, ἀλλ' ὁμοφωνία ἐστὶ τῆς εὐθείας τῶν πληθυντικῶν. Λέγουσι δέ τινες, ὅτι ἐπειδὴ μακροῖς παραλήγονται ταῦτα, τούτου χάριν [καὶ] κατὰ τὴν δοκοῦσαν διαίρεσιν γέγονε. Κακῶς δὲ λέγουσι· τούτου γὰρ χάριν ὤφειλε καὶ τὰ ἀπὸ τῶν εἰς Ω διαιρεῖσθαι, καὶ αὐτὰ γὰρ μακρᾷ παραλήγονται, οἷον τύπτουσι· καθόλου γὰρ τὰ εἰς Ι λήγοντα ῥήματα μακρᾷ θέλουσι παραλήγεσθαι, (οἷον) πεποίθασι. Ὤφειλεν οὖν καὶ ἐν τῷ τύπτουσι γίνεσθαι διαίρεσιν· ὥστε οὖν κακῶς λέγουσι. Μήποτε οὖν ἐστὶν εἰπεῖν, ὅτι διὰ τοῦτο γίνεται αὕτη ἡ δοκοῦσα διαίρεσις, ἵνα τὸ τρίτον πρόσωπον τῶν πλη-

[d] ἐν τῷ Bar. [e] διαιρεθήσεται Bar. συναιρ. Par.

θυντικῶν ὁμοτονήσῃ τῷ ἰδίῳ πρώτῳ πληθυντικῷ· καθόλου γὰρ τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν θέλουσιν ὁμοτονεῖν
347 b τοῖς ἰδίοις πρώτοις πληθυντικοῖς, οἷον τύπτομεν τύπτουσι, τετύφαμεν τετύφασιν, ἐλέξαμεν ἔλεξαν· ταῦτα, εἰ καὶ μὴ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, ἀλλ' οὖν τὸν αὐτὸν τόνον ἔχουσιν· ἀμφότερα γὰρ προπαροξύνονται· ἐνταῦθα γοῦν ἐν τοῖς εἰς μι, ἐπειδὴ οὐχ ὁμοφωνοῦσι (ὁμοτονοῦσι) τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος τοῖς ἰδίοις πρώτοις πληθυντικοῖς, τὰ μὲν γὰρ τρίτα πρόσωπα προπερισπῶνται, τὰ δὲ πρῶτα παροξύνονται, οἷον τίθεμεν τιθεῖσι, δίδομεν διδοῦσι, ζεύγνυμεν ζευγνῦσι, τούτου χάριν γίνεται αὕτη ἡ δοκοῦσα διαίρεσις, οἷον τιθέασι, διδόασι, ζευγνύασιν, ἵνα [f]ὁμοτονήσωσι τοῖς ἰδίοις πρώτοις πληθυντικοῖς, καὶ [g]προπαροξυνθῶσιν ὁμοίως αὐτοῖς, οἷον τίθεμεν τιθέαμεν τιθέασι, δίδομεν διδόαμεν διδόασι, ζεύγνυμεν ζευγνύαμεν ζευγνύασι. Ταῦτα γὰρ εἰ καὶ μὴ τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, ἀλλ' οὖν τὸν αὐτὸν τόνον ἔχουσιν, ὅλα γὰρ προπαροξύνονται. Αἴτιον δέ ἐστι τὸ (τοῦ) μὴ φυλαχθῆναι ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐπὶ τούτων, τὸ μὴ ἰσοσυλλαβεῖν αὐτὰ ἀλλήλοις.

Ἰστέον δὲ ὅτι ὁ Ἡρωδιανὸς ἄλλην ἀπολογίαν ἔχει· ἔχει δὲ οὕτως· καθόλου τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος πρὸς τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ παρατατικοῦ ἢ ἰσοσυλλαβεῖν θέλει ἢ [h]πλεονοσυλλαβεῖν· καὶ ἰσοσυλλαβεῖν μὲν, ὅταν ἄρχηται ἀπὸ συμφώνου, οἷον τύπτουσιν ἔτυπτον, βοῶσιν ἐβόων, δῆλον ὅτι χωρὶς τῶν ἀπὸ προθέσεως ἀρχομένων, καταγράφουσι γὰρ πεντασυλλάβως, καὶ κατέγραφον τετρασυλλάβως· πλεονοσυλλαβεῖν δὲ, ὅτ' ἂν ἀπὸ φωνήεντος ἄρχηται δῆλον ὅτι τὸ τρίτον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος, οἷον ἄγουσιν ἦγον, ἑρμηνεύουσιν ἡρμήνευον· ἐνταῦθα οὖν ἐν τοῖς εἰς μι, εἰ μὴ ἐγένετο αὕτη ἡ δοκοῦσα [i]διαίρεσις κατὰ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος, τὸ ἐναντίον συνέβαινεν, ὅπερ ἐστὶν

[f] ὁμοφωνήσωσι Bar. [g] προπαροξύνονται Bar. [h] πλειοσυλλαβεῖν Bar. et infr. [i] συναίρεσις Bar.

ἄτοπον· ἤμελλε γὰρ ἀπὸ συμφώνου ἄρχεσθαι τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος, καὶ μὴ ἰσοσυλλαβεῖν τοῖς τρίτοις προσώποις τῶν πληθυντικῶν τοῦ παρατατικοῦ, ὅπερ ἐστὶν ἄτοπον, οἷον τιθεῖσιν ἐτίθεσαν, διδοῦσιν ἐδίδοσαν, ζευγνῦσιν ἐζεύγνυσαν· καὶ πάλιν ἤμελλεν ἀπὸ φωνήεντος ἄρχεσθαι τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος, καὶ ἰσοσυλλαβεῖν τοῖς τρίτοις προσώποις τῶν πληθυντικῶν τοῦ παρατατικοῦ, ὅπερ ἐστὶν ἄτοπον, οἷον ἱεῖσι, τὸ πέμπουσιν, ἵεσαν, καὶ ἀφίεσαν ἐν συνθέσει. Τούτου οὖν χάριν γίνεται αὕτη ἡ δοκοῦσα διαίρεσις, ἵνα φυλαχθῇ ἡ ἀκολουθία, οἷον τιθέασιν ἐτίθεσαν, διδόασιν ἐδίδοσαν, ζευγνύασιν ἐζεύγνυσαν, ὀλλύασιν ὤλλυσαν. Ἰδοὺ γὰρ εὑρίσκονται ἀπὸ συμφώνου ἀρχόμενα τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος [ἰσοσυλλαβοῦντα] τοῖς τρίτοις προσώποις τῶν πληθυντικῶν τοῦ παρατατικοῦ ἀπὸ φωνήεντος ἀρχομένων, δῆλον ὅτι τῶν τρίτων προσώπων τῶν πληθυντικῶν τοῦ παρατατικοῦ, ὡς ἡ ἀκολουθία ἀπαιτεῖ.

Τούτων οὕτως ἐχόντων, ἄξιόν ἐστι ζητῆσαι τοῦτο, ὥσπερ ἐστὶ περιπατοῖμι περιπατοῖς περιπατοῖ, Ἀττικῶς πλεονάζει τὸ η, καὶ γίνεται περιπατοίη, πρὸς ἀναλογίαν τοῦ τρίτου
348 a προσώπου γίνεται τὸ δεύτερον περιπατοίης, καὶ τὸ πρῶτον [k]περιπατοίην· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι πᾶν τρίτον πρόσωπον εἰς η καταλῆγον προσθέσει τοῦ σ ποιεῖ τὸ δεύτερον, καὶ τροπῇ τοῦ σ εἰς ν ποιεῖ τὸ πρῶτον, οἷον ἐτύφθη ἐτύφθης ἐτύφθην· καὶ πάλιν ὥσπερ ἀπὸ τοῦ ἔζαον γίνεται ἔζων, καὶ ἀπὸ τοῦ [l]ἔζαες ἔζης Δωρικῶς καὶ κατὰ κρᾶσιν Δωρικὴν τοῦ ΑΕ εἰς Η, ὥσπερ [m]τὰ ἐμὰ, τἀμά· καὶ ἀπὸ τοῦ ἔζαε, ἔζη, καὶ πρὸς ἀναλογίαν τοῦ τρίτου προσώπου τοῦ ἔζη γίνεται ἔζης τὸ β', καὶ τὸ πρῶτον ἔζην ἐγὼ διὰ τὸν προειρημένον κανόνα· διὰ ποίαν αἰτίαν μὴ καὶ ἐνταῦθα ἐν τῷ ἐνεστῶτι τῶν εἰς ΜΙ πρὸς ἀναλογίαν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν τοῦ τιθέασι καὶ διδόασι καὶ ζευγνύασιν ἐγένετο τὸ πρῶτον καὶ δεύτερον πρόσωπον τῶν πληθυντικῶν τι-

[k] περιπατοῖς Bar. [l] ἔζα Bar. [m] τὰ οὐκ Ἀττικὰ Bar. qui addit τοῦ ἔζη—τῶν εἰς ΜΙ quæ om. Par.

θέαμεν καὶ τιθέατε, διδόαμεν καὶ διδόατε, ζευγνύαμεν καὶ ζευγνύατε; Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὰ πρῶτα καὶ δεύτερα καὶ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ παρατατικοῦ πρὸς τὰ πρῶτα καὶ δεύτερα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος ἢ ἰσοσυλλαβοῦσιν, ἢ πλεονοσυλλαβοῦσι· καὶ ἰσοσυλλαβοῦσι μὲν, ἡνίκα ὁ ἐνεστὼς ἀπὸ φωνήεντος ἄρχηται, οἷον ἄγομεν ἄγετε, [ἤγομεν ἤγετε,] ἐλεοῦμεν ἐλεεῖτε, ἠλεοῦμεν ἠλεεῖτε· πλεονοσυλλαβοῦσι δὲ, ὅταν ὁ ἐνεστὼς ἀπὸ συμφώνου ἄρχηται, οἷον τύπτομεν τύπτετε, ἐτύπτομεν ἐτύπτετε, δῆλον ὅτι χωρὶς τῶν ἀπὸ προθέσεως ἀρχομένων, καταγράφομεν γὰρ καταγράφετε πεντασυλλάβως, καὶ κατεγράφομεν κατεγράφετε πεντασυλλάβως ὁμοίως· ἐνταῦθα οὖν ἐν τῷ ἐνεστῶτι τῶν εἰς μι, εἰ πρὸς ἀναλογίαν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν τοῦ τιθέασι καὶ διδόασι ἐγένετο τὸ πρῶτον καὶ δεύτερον τῶν πληθυντικῶν τιθέαμεν τιθέατε, διδόαμεν διδόατε, τὸ ἐναντίον συνέβαινεν· ἤμελλε γὰρ τὰ πρῶτα καὶ δεύτερα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος ἰσοσυλλαβεῖν ἀπὸ συμφώνου ἀρχομένου τοῦ ἐνεστῶτος, ὅπερ ἐστὶν ἄτοπον, οἷον τιθέαμεν τιθέατε, ἐτίθεμεν ἐτίθετε· καὶ πάλιν μὴ ἰσοσυλλαβεῖν ἀπὸ φωνήεντος ἀρχομένου τοῦ ἐνεστῶτος, ὅπερ ἐστιν ἄτοπον, οἷον ὀλλύαμεν ὀλλύατε, ὤλλυμεν ὤλλυτε. Τούτου οὖν χάριν οὐ γίνονται πρὸς ἀναλογίαν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος τὰ δευτέρα καὶ [n]πρῶτα πρόσωπα [τῶν πληθυντικῶν.] Ἰστέον δὲ ὅτι, ὡς εἴρηται ἀνωτέρω, ἡ δευτέρα συζυγία τῶν εἰς μι κατὰ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος οὐ γίνεται κατὰ τὴν δοκοῦσαν διαίρεσιν, οἷον τὸ ἱστᾶσιν οὐ λέγομεν ἱστάασι διὰ τὴν ἐπαλληλίαν τοῦ α· ἐκ τούτου γὰρ κακοφωνία ἐγένετο.

"Παρατατικός. Ἐτίθην." Ἰστέον ὅτι τὰ εἰς μι [o]ἐκεῖνο τὸ φωνῆεν ἔχουσι κατὰ τὸν παρατατικὸν τὸ ὑπάρχον ἐν τῇ παραληγούσῃ τοῦ ἐνεστῶτος, οἷον τίθημι ἐτίθην· κανονίζεται δὲ ὁ παρατατικὸς ἐπὶ τῶν εἰς μι οὕτως· πᾶς ἐνεστὼς ὁριστικὸς εἰς μι λήγων, τρέπων τὴν μι εἰς ν, καὶ τὴν ἄρχουσαν ἐκτείνων

[n] πρῶτα Bar. τρίτα Par. [o] ἐκείνου φωνήεντα Bar.

χρονικῶς ἢ συλλαβικῶς, τὸν παρατατικὸν ποιεῖ· ἵημι, τὸ πέμπω, ἵην, δίδωμι ἐδίδων, ὄλλυμι ὤλλυν, ὀμόργνυμι ὠμόργνυν. Ἰστέον δὲ ὅτι, ὡς ὁ Ἡρωδιανὸς λέγει, ὅτι τὸ ἐδίδων ἡ παράδοσις διὰ τῆς ου διφθόγγου οἶδεν, οἷον ἐδίδουν, ὡς ἀπὸ τοῦ διδῶ διδοῖς, ὥσπερ χρυσῶ χρυσοῖς ἐχρύσουν· τὸ δὲ ἐτίθην καὶ ἵην, σημαίνει δὲ τὸ ἔπεμπον, διὰ τῆς ει διφθόγγου, οἷον ἐτίθειν καὶ ἵειν, ἐξ οὗ τὸ ἐτίθει καὶ ἵει, ὡς παρὰ τῷ ποιητῇ, [Il. α΄. 25.]

ἀλλὰ κακῶς ἀφίει·

348 b τὸ δὲ "ἦν ἐγώ," ὃ σημαίνει τὸ ὑπῆρχον, γέγονεν οὕτως· ἔστιν εἰμὶ, ὃ σημαίνει τὸ ὑπάρχω· τούτου ὁ παρατατικὸς ειν διὰ τῆς ει διφθόγγου τροπῇ τῆς μ εἰς ν, καὶ λοιπὸν Ἀττικῶς ἐπεκτείνεται τὸ ε εἰς τὸ η, ὥσπερ ἔμελλον ἤμελλον, ἐβουλόμην ἠβουλόμην, ἐδυνάμην ἠδυνάμην, τὸ δὲ ι ἀπεβλήθη, ἐπειδὴ τὰ εἰς ην ῥήματα οὐ θέλουσιν ἔχειν πρὸ τοῦ ν τί ποτε ἀνεκφώνητον, οἷον [p]ἐτύφθην, [καὶ καθόλου τὰ εἰς ν λήγοντα ῥήματα οὐ θέλουσιν ἔχειν πρὸ τοῦ ν τί ποτε ἀνεκφώνητον, οἷον] βοῶν, γελῶν, περῶν. Ἔχομεν δὲ τὴν χρῆσιν τοῦ "ἦν ἐγώ," παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ, [28.]

ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν,

καὶ παρὰ Μενάνδρῳ ἐν τῷ Γεωργῷ·

ἦν δὲ οὐ πονηρὸς, [q]οὐδ' ἐδόκουν,

ἀντὶ τοῦ ὑπῆρχον. Τοῦτο δὲ τὸ ἦν κατὰ διάλυσιν Ἰωνικὴν τοῦ η εἰς ε καὶ α γίνεται ἔα, ὥσπερ Ξέρξην Ξέρξεα, ὡς παρὰ τῷ ποιητῇ, [Od. ξ΄. 222.]

τοῖος ἔα ἐν πολέμῳ·

καὶ πάλιν [Il. ε΄. 887.]

ἤ κεν ζὼς ἀμενηνὸς ἔα·

τὸ δὲ ν ἀπεβλήθη τοῦ ἦν ἐν τῷ ἔα, ἐπειδὴ τὸ α ἀποβλητικόν ἐστι τοῦ ν, οἷον Ξέρξην Ξέρξεα, ἐτετύφειν ἐτετύφεα· τὸ γὰρ μοῦσα μοῦσαν, καὶ ἔτυψα ἔτυψαν, ἀπὸ κλίσεως ἔχουσι τὸ ν, καὶ οὐ κατὰ πάθος εἰσὶν, ὥσπερ ταῦτα, εἴ γε λοιπὸν ἀπὸ τοῦ ἔα κατὰ κρᾶσιν ποιοῦνται οἱ Ἀττικοὶ τοῦ ε καὶ α εἰς η,

[p] ἐτίθην Bar. [q] οὐδὲ δήπου Bar.

ὥσπερ τείχεα τείχη, καὶ λέγουσιν ἦ, ὡς παρ' Ἀριστοφάνει ἐν Ὄρνισιν [97.]

ἦ γὰρ ἐγὼ, ὦ ξένοι,
ἄνθρωπος,

ἀντὶ τοῦ ὑπῆρχον. Ταῦτα περὶ τοῦ ἐγώ· τὸ δὲ "ἦν ἐκεῖνος" οὐκ ἔστιν ἀπὸ τῶν εἰς ΜΙ, ἀλλ' ἀπὸ τῶν εἰς Ω· ὅσον γὰρ κατὰ ἀναλογίαν τοῦ ἦν πρώτου προσώπου καὶ τοῦ ἦς δευτέρου ὤφειλε τὸ τρίτον κατὰ ἀποβολὴν τοῦ Σ εἶναι ἦ, ὥσπερ ἐτύφθης ἐτύφθη. Ἀλλ' ἔτι τὸ "ἦν ἐκεῖνος," ὥσπερ εἴρηται, ἀπὸ τῶν εἰς Ω γέγονεν οὕτως· ἔστιν ἔω, τὸ σημαῖνον τὸ ὑπάρχω, τούτου ὁ μέσος παρακείμενος ἦα, ὡς παρὰ τῷ ποιητῇ, [Od. ξ'. 212.]

ἦα φυγοπτόλεμος.

ὁ δεύτερος ἀόριστος ἦον ἦες ἦς· τὸ δὲ Ε γίνεται πολλάκις ἐφελκυστικὸν τοῦ Ν, οἷον ἔλαβε ἔλαβεν· οὕτως οὖν ἦε καὶ ἦεν μετὰ τοῦ Ν, ὡς παρὰ τῷ ποιητῇ, [Od. θ'. 232.]

ἐπεὶ οὐ κομιδὴ κατὰ νῆας
ἦεν ἐπηετανόν.

καὶ λοιπὸν κρᾶσις παρακολουθεῖ τοῦ Η καὶ τοῦ Ε εἰς τὸ Η, καὶ γίνεται ἦν, τὸ γὰρ ἦον δευτέρου ἀορίστου ἐστὶν, ὡς δηλοῖ ἡ μετοχὴ ἐὼν οὖσα ὀξύτονος· αἱ γὰρ εἰς ΩΝ ὀξύτονοι μετοχαὶ δευτέρου ἀορίστου εἰσὶν, οἷον ἔτυπον τυπὼν, ἔλαβον λαβών. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ, ὅτι τὰ εἰς ΜΙ, ἐὰν μὲν ἀπὸ συμφώνου ἄρχωνται, ἰσοσύλλαβον [r]ἔχουσι τὸν παρατατικὸν, οἷον τίθημι ἐτίθην, δίδωμι ἐδίδων, ζεύγνυμι ἐζεύγνυν· ἐὰν δὲ ἀπὸ φωνήεντος ἄρχωνται, μιᾷ συλλαβῇ ἐνδέοντα ἔχουσι τὸν παρατατικὸν, οἷον ἵστημι ἵστην, ἵημι ἵην, ὄμνυμι ὤμνυν, ὄλλυμι ὤλλυν.

"Ἐτίθης." Εἴρηται ὅτι πᾶν πρῶτον πρόσωπον εἰς Ν λῆγον μετὰ φυσικῆς μακρᾶς, μὴ ἔχον τὸ Μ κλιτικὸν, τροπῇ τοῦ Ν εἰς Σ ποιεῖ τὸ δεύτερον πρόσωπον, οἷον ἐτύπην ἐτύπης, ἐτύφθην ἐτύφθης, ἐδάμην ἐδάμης· τὸ γὰρ Μ οὐκ ἔστι κλιτικὸν, ἀλλὰ θεματικόν· ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό·

[r] ἄρχονται Bar.

δαμνῶ γάρ ἐστιν ὁ ἐνεστώς, [καὶ ἔχει τὸ Μ·] οὕτως οὖν καὶ ἐτίθην ἐτίθης τροπῇ τοῦ Ν εἰς Σ, καὶ ἵστην ἵστης, καὶ ἐδίδων
349 a ἐδίδως, καὶ ἐζεύγνυν ἐζεύγνυς, καὶ ἦν, ἀντὶ τοῦ ὑπῆρχον, ἦς, καὶ κατ' ἐπέκτασιν τῆς ΘΑ συλλαβῆς ἦσθα, ὥσπερ ἔφην ἔφης ἔφησθα· τοιοῦτόν ἐστι καὶ τὸ οἶσθα, τὸ γὰρ οἶδα οἴδημι φασὶν οἱ Αἰολεῖς, εἶτα τούτου τὸ δεύτερον οἴδης, καὶ κατ' ἐπέκτασιν τῆς ΘΑ συλλαβῆς οἴδησθα, καὶ κατὰ συγκοπὴν οἶσθα.

"Ἐτίθη." Τοῦτο ἀπὸ τοῦ δευτέρου προσώπου γέγονε κατὰ ἀποβολὴν τοῦ Σ· καὶ εἴρηται ὁ κανὼν ἐν τοῖς προλαβοῦσιν.

"Ἐτίθετον, ἐτιθέτην." Ἰστέον ὅτι τὸ τρίτον τῶν [s]δυϊκῶν οὐχ ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ ἐνταῦθα, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς Ι λήγει, οὔτε εἰς ΤΑΙ· ἐτίθεσαν γάρ ἐστι· γέγονε δὲ τὸ τρίτον τῶν δυϊκῶν ἀπὸ τοῦ ἰδίου δευτέρου τροπῇ τοῦ Ο εἰς Η.

"Ἐτίθεμεν." Εἴρηται ὅτι πᾶν πρῶτον ἑνικὸν εἰς Ν λῆγον, μὴ ἔχον τὸ Μ κλιτικὸν, πρὸ τοῦ Ν λαμβάνον τὸ ΜΕ, τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, οἷον ἔτυπτον ἐτύπτομεν, ἐχρύσουν ἐχρυσοῦμεν, ἐβόων ἐβοῶμεν, ἐτύφθην ἐτύφθημεν, ἔγνων ἔγνωμεν· ἐπὶ δὲ τοῦ παρατατικοῦ τῶν εἰς ΜΙ καὶ συστολὴ παρακολουθεῖ τῆς παραληγούσης ἐν τοῖς πληθυντικοῖς, οἷον ἐτίθην ἐτίθεμεν, ἵστην ἵσταμεν, ἐδίδων ἐδίδομεν, ἐζεύγνυν ἐζεύγνυμεν, ἔφην ἔφαμεν· τὸ γὰρ ἔφημεν δευτέρου ἀορίστου ἐστὶν, ὥσπερ ἔστην ἔστημεν, καὶ ἔβην ἔβημεν· τὸ ἦν ἦμεν λόγῳ ἀρχούσης ἐφύλαξε τὸ Η· ἐπειδὴ γὰρ τοῦτο δισύλλαβόν ἐστι, καὶ τὴν αὐτὴν ἔχει ἄρχουσαν καὶ παραλήγουσαν, τούτου χάριν τῷ λόγῳ τῆς ἀρχούσης ἐφύλαξε τὸ [t]Η, καὶ [οὐ] τῷ λόγῳ τῆς παραληγούσης συνέστειλεν αὐτό· διὰ τοῦτο δὲ ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς ΜΙ καὶ συστολὴ παρακολουθεῖ τῆς παραληγούσης ἐν τοῖς πληθυντικοῖς, ἐπειδὴ ὁ παρατατικὸς συγγένειαν ἔχει πρὸς τὸν ἐνεστῶτα· παρῳχημένος γάρ ἐστιν αὐτοῦ, καὶ διὰ τοῦτο δὲ

[s] ἑνικῶν Bar. [t] Α Bar.

ἐξ αὐτοῦ κανονίζεται. Ἐπειδὴ οὖν ἐπὶ τῶν εἰς ΜΙ ὁ ἐνεστὼς συστέλλει τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς, οἷον τίθημι τίθεμεν, ἵστημι ἵσταμεν, δίδωμι δίδομεν, ζεύγνυμι ζεύγνυμεν, καὶ ἡ αἰτία προείρηται, ὅτι τοῦτο γίνεται πρὸς τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς, (ταῦτα γὰρ βραχεῖαν ἔχουσι τὴν παραλήγουσαν, ἤγουν θέσει μακράν,) τούτου χάριν καὶ ὁ παρατατικὸς ἐπὶ τῶν εἰς ΜΙ πρὸς ἀναλογίαν τοῦ ἐνεστῶτος συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς. Ἰστέον δὲ ὅτι ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἐπὶ τῶν εἰς ΜΙ οὐ συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς, οἷον ἔστην ἔστημεν, ἔβην ἔβημεν, ἔγνων ἔγνωμεν, ἥλων ἥλωμεν, ἐβίων ἐβίωμεν, ἔφην ἔφημεν· τὸ γὰρ ἔφαμεν παρατατικός ἐστι. Σεσημείωται τὸ ἔδων ἔδομεν, καὶ ἔθην ἔθεμεν, καὶ ἧν ἕμεν, (σημαίνει δὲ τὸ ἐπέμψαμεν, καὶ ἀπελύσαμεν,) ὅτι δευτέρου ἀορίστου ὄντα συνέστειλαν τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς.

"Ἐτίθετε." Ἰστέον δὲ ὅτι ἀπὸ τοῦ ἐτίθεμεν γέγονε τροπῇ τῆς ΜΕΝ εἰς ΤΕ· τὴν παραλήγουσαν ἐφύλαξεν, ἐπειδὴ ἡ μετοχὴ εἰς Σ ἐστὶν, οἷον τιθείς.

"Ἐτίθεσαν." Εἴρηται ὅτι τὰ εἰς ΜΕΝ πληθυντικὰ ἀπὸ τῶν εἰς Ν φύσει [μακρᾷ] μακροκαταλήκτων κεκλιμένα εἰς ΑΝ ποιεῖ τὸ τρίτον τῶν πληθυντικῶν, οἷον ἐτύφθην ἐτύφθημεν
349 b ἐτύφθησαν, ἔβην ἔβημεν ἔβησαν· οὕτως οὖν καὶ ἐτίθην ἐτίθεμεν ἐτίθεσαν, ἐζεύγνυν ἐζεύγνυμεν ἐζεύγνυσαν.

"Παρακείμενος τέθηκα." Λέγει ὁ τεχνικὸς ὅτι [u]εἰ θέματα τῶν παρακειμένων εἰσὶν οἱ μέλλοντες, (καὶ γὰρ ἐκ τῶν μελλόντων κανονίζονται οἱ παρακείμενοι· πῶς δὲ κανονίζεται ἡ ἄρχουσα τοῦ παρακειμένου ἐκ τοῦ μέλλοντος, ἐν τοῖς εἰς Ω μεμαθήκαμεν·) ὁ δὲ μέλλων τοῦ τίθημι θήσω ἐστὶ, καὶ δικαίως ὁ παρακείμενος γέγονε τέθηκα, διὰ μὲν τὸ Σ ἔχων τὸ Κ, διὰ δὲ τὸ ἀφ' ἑνὸς ἁπλοῦ συμφώνου ἄρχεσθαι μὴ τοῦ Ρ [x]ἀναδιπλασιάζων τὴν ἄρχουσαν, ὥσπερ ποιήσω πεποίηκα. Ἰστέον ὅτι οὐ δυνάμεθα ἐπὶ τῶν εἰς ΜΙ καὶ ἐκ τοῦ παρατατικοῦ κανο-

[u] τὰ Bar. εἰ Par. [x] ἀναδιπλασιάζοντος Bar.

νίσαι τὴν ἄρχουσαν τοῦ παρακειμένου ὥσπερ ἐπὶ τῶν εἰς ω· ἐπειδὴ ἐὰν ἀπὸ τοῦ ἐτίθην παρατατικοῦ καὶ τοῦ ἐδίδων [y]θήσομεν κανονίσαι τὴν ἄρχουσαν τοῦ παρακειμένου, εὑρεθήσεται ὁ παρακείμενος ἐτέθεικα καὶ ἐδίδωκα, ὅπερ οὐκ ἔστιν· ἀλλ' ἐπὶ τῶν εἰς μι ἐκ τοῦ μέλλοντος μόνου κανονίζεται ἡ ἄρχουσα τοῦ παρακειμένου, ὡς ἐν τοῖς εἰς ω μεμαθήκαμεν. Ἔστιν οὖν θήσω ὁ μέλλων, καὶ τέθηκα ὁ παρακείμενος διὰ τοῦ η, ὥσπερ ποιήσω πεποίηκα, καὶ κατὰ τροπὴν Βοιωτικὴν τοῦ η εἰς τὴν ει δίφθογγον γέγονε τέθεικα, διὰ τῆς ει διφθόγγου, ὥσπερ ἥρωες, εἵρωες· οὕτως δὲ καὶ ἐπεκράτησε γράφεσθαι· ὁ μέντοι τέθειμαι παρακείμενος παθητικὸς οὐ κατὰ Βοιωτοὺς ἔχει τὴν ει δίφθογγον, ὥσπερ ὁ τέθεικα ἐνεργητικὸς παρακείμενος· οὐδὲ γὰρ ἔχει ἐν τῇ παραληγούσῃ τὸ η, ἵνα τραπῇ Βοιωτικῶς τὸ η εἰς τὴν ει δίφθογγον, ὥσπερ ἐπὶ τοῦ τέθεικα, ἀλλ' ἀπὸ τοῦ τέθεμαι ἀναλόγως κατὰ πλεονασμὸν τοῦ ι γέγονε τέθειμαι. Τούτων οὕτως ἐχόντων, ἀπὸ τοῦ ἵστημι στήσω ὤφειλεν εἶναι ὁ ἐνεργητικὸς παρακείμενος ἕστηκα διὰ τοῦ η, ἐπειδὴ καὶ ὁ μέλλων [z]τὸ η ἔχει, οἷον στήσω, ὥσπερ ποιήσω πεποίηκα· οὐ λέγομεν δὲ οὕτως, ἀλλὰ ἕστακα διὰ τοῦ α. Ἔστι δὲ εἰπεῖν τὴν ἀπολογίαν ταύτην· ἔστιν ἑστήκω ὁ ἐνεστώς, ὅστις φωνὴν μὲν ἔχει ἐνεργητικὴν, πάθος δὲ σημαίνει, (οὐδὲ(ν) γὰρ σημαίνει τὸ ἑστήκω ἀλλὰ τὸ ἵσταμαι ἐγὼ,) ἐξ οὗ ὁ μέλλων [a]ἑστήξω καὶ τὸ ἀπαρέμφατον ἑστήξειν, ὡς παρὰ Καλλιμάχῳ, [H. Ap. 15.]

ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις

ἀντὶ τοῦ μέλλειν ἵστασθαι τὸ τεῖχος ἐπὶ τοῖς ἀρχαίοις θεμέθλοις· τούτου τοῦ ἑστήκω ὁ μέσος παρακείμενος ἕστηκα ἐστὶ, διὰ μὲν συμφώνου τοῦ ἐνεστῶτος ἀναλόγως ἐκφερόμενος, (τοῦτο γὰρ ἴδιον τῶν μέσων παρακειμένων,) ἡμαρτημένος δὲ κατὰ τὴν ἄρχουσαν, καθὸ οὐκ ἐμεγεθύνθη χρονικῶς· τὸ γὰρ ε, ὡς ἐμάθομεν ἐν τοῖς παρῳχημένοις, διχῶς πέφυκε μεγεθύνεσθαι· ἢ γὰρ διὰ τῆς προσθήκης τοῦ ι, οἷον ἔχω εἶχον, ἕλκω εἷλκον, ἢ διὰ τοῦ τρέπεσθαι εἰς η, οἷον ἐλεῶ

[y] θήσομαι Bar. [z] διὰ τοῦ Η Bar. [a] ἕστηξα Par.

ἠλέουν· ἀλλὰ περὶ τούτου πλατύτερον ἐν τῷ Ῥηματικῷ Ἀπολλωνίου, εἰ θεῷ φίλον, μαθησόμεθα, ἡνίκα καὶ περὶ τούτου τὴν ζήτησιν ποιησόμεθα. Ἵνα οὖν μὴ συνεμπέσῃ τῷ ἕστηκα μέσῳ παρακειμένῳ, τῷ ὄντι ἀπὸ τοῦ ἑστήκω ἐνεστῶτος, ὁ ἕστηκα ὁ ἐνεργητικὸς παρακείμενος, ὁ ὢν ἀπὸ τοῦ ἵστημι
350 a ἐνεστῶτος, τούτου χάριν πρὸς ἀντιδιαστολὴν ἐκείνου διὰ τοῦ Α ἐξενέχθη κατὰ τὴν παραλήγουσαν.

"Μέσος παρακείμενος οὐκ ἔστιν ἐν τοῖς εἰς ΜΙ δι' αἰτίαν τοιαύτην." Ἰστέον ὅτι ἐν τοῖς εἰς ΜΙ οὐκ ἔστι μέσος παρακείμενος, καὶ ἡ αἰτία ἐστὶν αὕτη· ἡνίκα ὁ πρῶτος ἀόριστος ὁ ἐνεργητικὸς περιττοσυλλαβεῖ τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ, τότε καὶ ὁ ἐνεργητικὸς παρακείμενος περιττοσυλλαβεῖ τοῦ μέσου παρακειμένου, οἷον κτυπῶ κτυπήσω ἐκτύπησα, ἔκτυπον ἐκτύπηκα ἔκτυπα, δουπῶ δουπήσω ἐδούπησα, ἔδουπον καὶ δεδούπηκα δέδουπα· ὅτε δὲ ὁ α΄ ἀόριστος ὁ ἐνεργητικὸς ἰσοσυλλαβεῖ τῷ δευτέρῳ ἀορίστῳ τῷ ἐνεργητικῷ, τότε καὶ ὁ ἐνεργητικὸς παρακείμενος ἰσοσυλλαβεῖ τῷ μέσῳ παρακειμένῳ ἔστειλα, ἔσταλον, ἔσταλκα, ἔστολα. Ἐνταῦθα οὖν ἐν τοῖς εἰς ΜΙ, ἐπειδὴ ἀεὶ περιττοσυλλαβεῖ ὁ πρῶτος ἀόριστος ὁ ἐνεργητικὸς τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ, [b]ἔστησα γὰρ καὶ ἔστην, ἔδωκα ἔδων, ἔθηκα ἔθην, ἧκα ἧν, (σημαίνει δὲ τὸ ἔπεμψα καὶ ἀπέλυσα,) εἰ ἐγένετο ὁ μέσος παρακείμενος, ἤμελλε περιττοσυλλαβεῖσθαι ἐκ τοῦ ἐνεργητικοῦ παρακειμένου, τοῦ βέβηκα τοῦ δέδωκα καὶ τοῦ ἔγνωκα καὶ τοῦ ἕστακα τρισυλλαβούντων, αὐτὸς, φημὶ δὴ ὁ μέσος παρακείμενος, εἰς δισυλλαβίαν περιπίπτων· ὅπερ ἐστὶν ἀδύνατον· οὐδέποτε γὰρ ὁ μέσος παρακείμενος δισύλλαβος εὑρίσκεται ἐν χρήσει, χωρὶς τοῦ οἶδα καὶ τοῦ εἶκα, ὃ σημαίνει τὸ ὁμοιῶ, ὡς παρὰ Ἀλκμᾶνι,

[c]εἶκας μὲν ὡραίῳ λίνῳ

ἀντὶ τοῦ [d]ὡμοίωσαι· καὶ χωρὶς τοῦ ἦα, ὃ σημαίνει τὸ ἐπορευόμην, ὅπερ κατὰ διάλυσιν γίνεται ἤϊα, ὡς παρὰ τῷ ποιητῇ, [Od. δ΄. 433.]

ἤϊα πολλὰ θεοὺς γουνούμενος,

[b] ἕστηκα Bar. [c] εἴκασμεν Bar. [d] ὡμοίωται Bar.

ἀντὶ τοῦ ἐπορευόμην, ἐξ οὗ ὁ ὑπερσυντελικὸς ᾔειν, διὰ τοῦ η καὶ ι κατὰ τὴν ἄρχουσαν, καὶ ἐν συνθέσει παρῄειν καὶ ἐξῄειν, ὡς παρὰ Μενάνδρῳ,

ἀπῄει τῶν τόκων τόκους ἔχων.

Τούτου οὖν χάριν ἐν τοῖς εἰς μι οὐκ ἔστι μέσος παρακείμενος· μέσου δὲ παρακειμένου μὴ ὄντος, εἰκότως οὔτε μέσος ὑπερσυντελικός ἐστιν, ἐπειδὴ ἐκ τοῦ μέσου παρακειμένου κανονίζεται ὁ μέσος ὑπερσυντελικός.

"Τέθεικας, τέθεικε, τεθείκατον, τεθείκατον, τεθείκαμεν, τεθείκατε, τεθείκασιν. Εἴρηται. Ὑπερσυντελικὸς ἐτεθείκειν." Ἰστέον ὅτι ἀπὸ τοῦ τέθεικα παρακειμένου γέγονεν ἐτεθείκειν ὁ ὑπερσυντελικὸς, τροπῇ τοῦ α εἰς ειν, καὶ τῆς ἀρχούσης συλλαβικῶς [e]μεγεθυνθείσης, ὥσπερ ἐπὶ τοῦ πεποίηκα, ἐπεποιήκειν· πῶς δὲ κανονίζεται ὁ ὑπερσυντελικὸς ἐν τοῖς εἰς ω μεμαθήκαμεν· πρόδηλος ἡ κλίσις.

"Ἀόριστος πρῶτος [f]ἔθηκα." Ἰστέον ὅτι ἀπὸ τοῦ θήσω μέλλοντος ἔθησα ὤφειλεν εἶναι ὁ πρῶτος ἀόριστος, ὥσπερ καὶ ἀπὸ τοῦ ποιήσω, ἐποίησα· ἀλλ' εἴρηται ἐν τοῖς εἰς ω, ὅτι σεσημείωται τρία τινὰ, τὸ δώσω ἔδωκα, καὶ θήσω ἔθηκα, καὶ ἥσω ἧκα, σημαίνει δὲ τὸ ἔπεμψα καὶ ἀπέλυσα, ὅπερ ἐν συνθέσει γίνεται ἀφῆκα, καὶ ἐπὶ τῶν εἰς ω δύο τινὰ, φημὶ δὴ τὸ εἶπα καὶ ἤνεγκα· τούτων γὰρ ὁ μέλλων διὰ διπλοῦ ἐστιν, οἷον ἔψω, ἐνέγξω.

"Ἔθηκας, ἔθηκα, ἐθήκατον, ἐθηκάτην, ἐθήκαμεν, ἐθήκατε, ἔθηκαν."

350 b Ἰστέον ὅτι κατὰ συνεκδρομὴν τῶν ἄλλων γέγονεν ἔθηκαν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ὥσπερ ἔτυψαν· οὐ δυνάμεθα γὰρ ἐνταῦθα λέγειν ὅτι πρὸς τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς γέγονεν, ἐπειδὴ τοῦτο οὐκ ἔχει μετοχὴν, ὥσπερ οὔτε τὸ ἔδωκα, οὔτε τὸ ἧκα, (ὃ σημαίνει τὸ ἔπεμψα καὶ ἀπέλυσα,) καὶ τὴν αἰτίαν ἐν τοῖς εἰς ω μεμαθήκαμεν.

"Ἀόριστος δεύτερος ἔθην." Ἰστέον ὅτι πᾶς μέλλων ἀπὸ

[e] μεγεθυνούσης Bar. [f] οὐκ ἔστιν Bar.

τῶν εἰς ΜΙ, τρέπων τὴν ΣΩ εἰς Ν, καὶ τὴν ἄρχουσαν ἐκτείνων χρονικῶς ἢ συλλαβικῶς, τὸν δεύτερον ἀόριστον ποιεῖ, οἷον θήσω ἔθην, βήσω ἔβην, φήσω ἔφην, δώσω ἔδων, γνώσω ἔγνων, βιώσω ἐβίων, ἥσω ἧν, (σημαίνει δὲ τὸ ἔπεμψα καὶ ἀπέλυσα,) φύσω ἔφυν, δύσω ἔδυν, κλῦμι κλύσω ἔκλυν, ἐξ οὗ τὸ προστακτικὸν κλῦθι, ἅλωμι ἁλώσω ἥλων, ἥλω, καὶ κατὰ διάλυσιν τοῦ Η εἰς Ε καὶ Α ἑάλων καὶ ἑάλω, σημαίνει δὲ τὸ ἐλήφθην καὶ ἐκρατήθην, ὥσπερ καὶ ἀπὸ τοῦ ἥγη γίνεται ἐάγη κατὰ διάλυσιν τοῦ Η εἰς Ε καὶ Α, σημαίνει δὲ τὸ ἐκλάσθη. Ἐπὶ δὲ τοῦ δευτέρου ἀορίστου παθητικοῦ σχηματίζεται τοῦτον τὸν τρόπον· ἔστιν ἄγω, ὃ σημαίνει τὸ κλῶ, τούτου ὁ μέλλων ἄξω, ἐξ οὗ τὸ προστακτικὸν (ἆξον) [Il. ζ΄. 306.]

ἆξον δὴ ἔγχος Διομήδεος·

εἶτα ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἦγον, καὶ ὁ παθητικὸς ἥγην ἥγης ἥγη, ὥσπερ νύσσω νύξω, ἔνυγον ἐνύγην, καὶ κατὰ διάλυσιν λοιπὸν τοῦ Η εἰς Ε καὶ Α ἐάγη. Πάλιν ἵστημι, στήσω, καὶ ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἔστην· οὗτος ἐνεργητικὴν μὲν ἔχει φωνήν, παθητικὴν δὲ σημασίαν καὶ σύνταξιν· οὔτε γὰρ λέγομεν ἔστην σε, ἀλλ' ἔστην ὑπὸ σοῦ, ὥσπερ ἐστάθην ὑπὸ σοῦ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἐν τοῖς εἰς ΜΙ οὐ συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς, οἷον ἔστην ἔστημεν, ἐβίων ἐβίωμεν, ἥλων ἥλωμεν, ἔφην ἔφημεν· τὸ γὰρ ἔφαμεν παρατατικοῦ ἐστίν· ὁ γὰρ παρατατικὸς ἐπὶ τῶν εἰς ΜΙ συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς πρὸς ἀναλογίαν τοῦ ἐνεστῶτος, ὡς προείρηται. Σεσημείωται τὸ ἔδων ἔδομεν, καὶ ἔθην ἔθεμεν, καὶ ἧν ἕμεν, (σημαίνει δὲ τὸ ἐπέμψαμεν καὶ ἀπελύσαμεν·) ὅπερ ἐν συνθέσει γίνεται [Od. κ΄. 155.]

πρόεμέν τε πυθέσθαι,

ἀντὶ τοῦ προεπέμψαμεν. Ταῦτα δὲ ἐσημειωσάμεθα, ὅτι δευτέρου ἀορίστου ὄντα συνέστειλαν τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς. Καὶ μήποτε ἐστὶν ἀπολογήσασθαι καὶ εἰπεῖν περὶ αὐτῶν, ὅτι ἐπειδὴ οὐχ εὕρηνται τὰ ἑνικὰ [g] ἐν χρήσει,

[g] αὐτῶν ΣΕΙ Bar.

λέγω δὴ ὁ ἔθην καὶ ὁ ἔδων καὶ ὁ ἦν δεύτεροι ἀόριστοι, τούτου χάριν τὰ πληθυντικὰ αὐτῶν ὡς ἔτυχε καὶ οὐ κατὰ ἀναλογίαν ἐγένοντο· τὸ γὰρ ἔγνων ἑνικὸν εὕρηται, διὸ καὶ ἀναλόγως ἐγένετο ἔγνωμεν· τὸ δὲ ἔθην καὶ ἔδων καὶ [h] *ἦν ἑνικὰ οὐχ εὕρηνται ἐν χρήσει, διὸ τὰ πληθυντικὰ τούτων ὡς ἔτυχε καὶ οὐ κατὰ ἀναλογίαν γέγονασιν. Οὐ μόνον δὲ ταῦτα κατὰ τοῦτο σεσημείωνται, ἀλλὰ καὶ ὅτι ἐν τοῖς ἀπαρεμφάτοις διφθόγγῳ παραλήγονται, οἷον δοῦναι, θεῖναι, εἷναι, ὃ σημαίνει τὸ ἀπολῦσαι, ἐξ οὗ τὸ ἀφεῖναι· ὡς γὰρ ἐν τοῖς ἀπα-*
351 a *ρεμφάτοις τῶν εἰς* Ω *μεμαθήκαμεν ἐν τῇ περὶ τοῦ ἐνεργητικοῦ παρακειμένου διδασκαλίᾳ, τὰ εἰς* ΝΑΙ *ἀπαρέμφατα, ἔχοντα τὸ* Ν *κλιτικὸν, οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι, οἷον γνῶναι, περὶ ὧν ἐκεῖσε ἀκριβέστερον μεμαθήκαμεν. Καὶ κατὰ ἄλλο δὲ σεσημείωται ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς* Σ *μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ* ΝΤ *κλινομένην [εἰς* ΘΙ *ποιοῦσι τὸ προστακτικὸν, οἷον ἔστην, στῆθι, ἐπειδὴ στὰς στάντος ἡ μετοχή· ἔγνων, γνῶθι, ἐπειδὴ γνοὺς γνόντος ἡ μετοχή. Ταῦτα δὲ ἔχοντα εἰς* Σ *τὴν μετοχὴν μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ* ΝΤ *κλινομένην,] οἷον δοὺς δόντος, θεὶς θέντος, εἷς ἕντος, ἐξ οὗ τὸ ἀφεὶς ἀφέντος, οὐκ ἔχουσιν εἰς* ΘΙ *τὸ προστακτικόν· δὸς γὰρ καὶ θὲς καὶ ἓς τὸ προστακτικὸν, ἐξ οὗ τὸ ἄφες. Διὰ τί δὲ οὐκ ἔχουσι ταῦτα εἰς* ΘΙ *τὸ προστακτικόν; Ἔστιν εἰπεῖν οὕτως· τὰ εἰς* ΘΙ *προστακτικὰ ἀορίστου ὄντα φύσει μακρᾷ θέλουσι παραλήγεσθαι, στῆθι, γνῶθι, τύπηθι. Πρόσκειται "ἀορίστου ὄντα," διὰ τὸ δίδοθι καὶ ζεύγνυθι· ταῦτα γὰρ βραχείᾳ παραλήγονται, ἀλλ' οὐκ εἰσὶν ἀορίστου, ἀλλ' ἐνεστῶτος καὶ παρατατικοῦ. Τούτῳ οὖν τῷ λόγῳ εἰ ἐγένετο εἰς* ΘΙ *τὰ προστακτικὰ τούτων, [φύσει] μακρᾷ ὤφειλον παραλήγεσθαι ἀορίστου χρόνου ὄντα· ἀλλὰ μὴν φύσει μακρᾷ οὐκ ἠδύναντο παραλήγεσθαι, ἐπειδὴ ἕτερός ἐστι κανὼν ὁ λέγων, ὅτι τὰ εἰς* ΘΙ *προστακτικὰ παραλήγουσαν ἔχουσι τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, οἷον ἐτύπημεν τύπηθι, ἕστημεν στῆθι, ἵσταμεν ἵσταθι, ἐδίδομεν δίδοθι, ζεύγνυμι ζεύγνυθι·*

[h] ἢ Bar.

εἰ οὖν τὰ ὁριστικὰ τούτων κατὰ τὸ α′ πρόσωπον βραχεῖαν ἔχουσι τὴν παραλήγουσαν, οἷον ἔδομεν ἔθεμεν ἕμεν, δηλονότι οὐ δύναται τὰ προστακτικὰ τούτων εἰς ΘΙ ὄντα φύσει μακρᾷ παραλήγεσθαι. Τῶν οὖν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς φύσει μακρᾷ ἀπαιτοῦντος παραλήγεσθαι τὰ εἰς ΘΙ προστακτικά, τοῦ δὲ ἑτέρου βραχείᾳ, ἐπιλελοίπασι τὰ εἰς ΘΙ προστακτικὰ τούτων καὶ οὐκ [1] ἐγένοντο εἰς ΘΙ τὰ προστακτικὰ αὐτῶν.

"Ἔθης, ἔθη, ἔθετον, ἐθέτην, ἔθεμεν, ἔθετε, ἔθεσαν. Εἴρηται. Μέλλων πρῶτος θήσω."

Ἐνταῦθα περὶ τοῦ μέλλοντος τῶν εἰς ΜΙ διαλαμβάνει· καὶ ἰστέον ὅτι πᾶς ἐνεστὼς εἰς ΜΙ λήγων, τρέπων τὴν ΜΙ εἰς Ω, καὶ τὴν ἄρχουσαν ἀποβάλλων, ἐὰν ἔχῃ ὥσπερ ἀναδιπλασιασμὸν διὰ τοῦ Ι, μέλλων γίνεται, οἷον κίχρημι χρήσω, πίμπλημι πλήσω, βίβημι βήσω, (τὸ πορεύομαι·) ἐὰν δὲ μὴ ἔχῃ διπλασιασμὸν διὰ τοῦ Ι, οὐκ ἀποβάλλει τὴν ἄρχουσαν ἐν τῷ μέλλοντι, ἀλλὰ μόνον τροπῇ τῆς ΜΙ εἰς Ω γίνεται, οἷον φημὶ φήσω, δῦμι δύσω, φῦμι φύσω, ἐξ οὗ τὸ ἔφυν, κλῦμι κλύσω, ἐξ οὗ τὸ ἔκλυν, καὶ τὸ προστακτικὸν κλῦθι, βίωμι βιώσω, ἡ γὰρ ΒΙ συλλαβὴ ἐνταῦθα οὐκ ἔστιν ἀπὸ διπλασιασμοῦ, ἀπὸ γὰρ τοῦ βιῶ βιοῖς γέγονε. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ τῆς δ′ συζυγίας τῶν εἰς ΜΙ οὐ κλίνεται, εἰ μὴ ἄχρι τοῦ παρατατικοῦ· ὁ δὲ λόγος περὶ τῶν ὑπὲρ δύο συλλαβὰς, οἷον ζεύγνυμι, ὄμνυμι· τὰ γὰρ δισύλλαβα κλί-
352 b νονται καὶ μετὰ τὸν παρατατικὸν, οἷον δῦμι δύσω ἔδυν.

"Θήσεις θήσει θήσεται θήσομεν θήσετε θήσουσιν." Εἴρηται. "Δεύτερος μέλλων οὐκ ἔστιν ἐν τοῖς εἰς ΜΙ." Ἰστέον ὅτι ὥσπερ ἐν τοῖς εἰς ΜΙ καθόλου ὁ μέσος παρακείμενος ἐπιλιμπάνει δι' ἣν εἰρήκαμεν ἐκεῖσε αἰτίαν, οὕτω καὶ ὁ δεύτερος μέλλων ὁ ἐνεργητικὸς [ὁριστικὸς] καθόλου ἐπιλιμπάνει ἐπὶ τῶν εἰς ΜΙ· δεύτερος γὰρ μέλλων ὁ ἐνεργητικὸς ὁριστικὸς οὐκ ἔστιν ἐν τοῖς εἰς ΜΙ, διὰ τὴν αἰτίαν ἣν φησὶν ὁ τεχνικός·

[1] ἐγένετο εἰς ΘΙ ταῦτα Bar.

ἔχει δὲ οὕτως· ἡνίκα ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ πρώτου ἀορίστου, τότε καὶ ὁ δεύτερος μέλλων ἐνδεῖ τοῦ δευτέρου ἀορίστου, οἷον ἐμύκησα ἔμυκον μυκήσω μυκῶ, ἐβλάστησα ἔβλαστον βλαστήσω βλαστῶ· ἰδοὺ ἐπὶ τούτων, ἐπειδὴ ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ α' ἀορίστου, τούτου χάριν ὁ β' μέλλων ἐνδεῖ τοῦ β' ἀορίστου. Τούτων οὕτως ἐχόντων, ἐν τοῖς εἰς μι *ἀεὶ ὁ β' ἀόριστος ἐνδεῖ τοῦ α' ἀορίστου, οἷον ἔστησα ἔστην, ἔγνωσα ἔγνων, ἔδωκα ἔδων. Ἀναγκάζεται οὖν ὁ δεύτερος μέλλων ἐνδεῖν τοῦ δευτέρου ἀορίστου· καὶ ἐπειδὴ ἐν τοῖς εἰς* μι *ὡς ἐπὶ τὸ πλεῖστον [ὁ δεύτερος ἀόριστος οὐχ ὑπερβαίνει τὴν δισυλλαβίαν, οἷον ἔστην, ἔγνων· πρόσκειται "ὡς ἐπὶ τὸ πλεῖστον"] διὰ τὸ ἐβίων δευτέρου ἀορίστου, ὁ γὰρ ἑάλων ἀπὸ τοῦ ἥλων δισυλλάβου ἐστίν· ὁ δεύτερος μέλλων εὑρεθήσεται εἰς μονοσυλλαβίαν* [k] *περιστάμενος, ὅπερ ἐστιν ἀδύνατον· οὐδέποτε γὰρ δύναται μέλλων μονοσύλλαβος εὑρίσκεσθαι· καὶ καθόλου δὲ οὐδέποτε ῥῆμα ὁριστικὸν εἰς* ω *λῆγον εὑρίσκεται ἐν χρήσει, χωρὶς εἰ μὴ εὑρεθῶσι δευτέρας συζυγίας τῶν περισπωμένων, οἷον δρῶ, θλῶ, κλῶ, σμῶ. Πρόσκειται "ὁριστικὸν" διὰ τὸ ἐὰν θῶ, ἐὰν δῶ. Πρόσκειται "εἰς* ω *λῆγον" διὰ τὸ κλεῖς καὶ χεῖς καὶ ῥεῖς· διὰ τοῦτο γὰρ ταῦτα κατὰ τὸ τρίτον πρόσωπον καὶ δεύτερον συναιρούμενα κατὰ τὸ πρῶτον οὐ συναιροῦνται, ἵνα μὴ εὑρεθῶσιν εἰς* ω *λήγοντα καὶ μονοσυλλαβοῦντα, ὁριστικὰ ὄντα, καὶ μὴ ὄντα δευτέρας συζυγίας τῶν περισπωμένων.*

Περὶ παθητικοῦ.

" [l] *Ὁριστικὰ παθητικά, χρόνου ἐνεστῶτος, τίθεμαι."*

Ἐνταῦθα περὶ τοῦ ὁριστικοῦ ἐνεστῶτος τῶν εἰς μι *τοῦ παθητικοῦ διαλαμβάνει· καὶ ἰστέον ὅτι πᾶς ἐνεστὼς ὁριστικὸς εἰς* μι *λήγων, τροπῇ τῆς* μι *εἰς* μαι *παθητικὸς γίνεται μετὰ τοῦ συστέλλειν τὴν παραλήγουσαν [πρὸς τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τῶν ἐνεργητικῶν. Καὶ δεῖ γινώσκειν, ὅτι ἡ μὲν πρώτη συζυγία τῶν εἰς* μι *συστέλλει τὴν παραλήγουσαν] διὰ τοῦ* ε, *οἷον τίθεμαι, ἡ δὲ*

[k] *περισπώμενος* Bar. [l] *ἐνεστῶτος χρόνου ὁριστικοῦ* Bar.

δευτέρα διὰ τοῦ Α συνεσταλμένου, ἡ δὲ τρίτη διὰ τοῦ Ο, ἡ δὲ δʹ τὸ δίχρονον μόνον συστέλλει· εὐλόγως ἡ μὲν πρώτη συζυγία διὰ τοῦ Ε συστέλλει τὴν παραλήγουσαν, οἷον τίθημι τίθεμαι, ἐπειδὴ καὶ τὸ πρωτότυπον τὸ Ε ἔχει· ἡ δὲ δευτέρα διὰ τοῦ Α, ἐπειδὴ καὶ τὸ πρωτότυπον ἔχει τὸ Α· καὶ ἡ τρίτη διὰ τοῦ Ο, ἐπειδὴ καὶ τὸ πρωτότυπον τὸ Ο ἔχει· ἡ δὲ τετάρτη τὸ δίχρονον μόνον συστέλλει, ἐπειδὴ καὶ τὸ πρωτότυπον διὰ διχρόνου συνεσταλμένου ἐστί.

Τούτων οὕτως ἐχόντων, τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι τὸ παθητικὸν ὤφειλεν εἶναι ἵμαι, διὰ τοῦ Ι, ἐπειδὴ καὶ τὸ πληθυντικὸν τὸ ἐνεργητικὸν ἵμεν ἐστὶ διὰ τοῦ Ι· εἰρήκαμεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι εἶμι τὸ ἐπὶ τοῦ πορεύομαι ἐν μὲν τοῖς ἑνικοῖς διὰ τῆς ΕΙ διφθόγγου γράφεται, ἐν δὲ τοῖς δυϊκοῖς καὶ τοῖς πληθυντικοῖς διὰ συστελλομένου τοῦ Ι· ὤφειλεν οὖν τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι τὸ παθητικὸν εἶναι διὰ τοῦ Ι· ἀλλ' ἐπειδὴ ἐνταῦθα οὐδὲν πλέον ἤμελλε σημαίνειν τὸ παθητικὸν τοῦ ἐνεργητικοῦ· (καὶ τὸ παθητικὸν γὰρ ὁμοίως τὸ εἶμι
352 a τὸ πορεύομαι ἤμελλε δηλοῦν·) τούτου χάριν ἐπιλέλοιπε τὸ παθητικὸν, ὡς τὴν αὐτὴν [m] τῷ ἐνεργητικῷ μέλλον ἔχειν σημασίαν· καὶ ἀπὸ τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω τὸ παθητικὸν ἕμαι ὤφειλεν εἶναι διὰ τοῦ Ε, ἐπειδὴ καὶ τὸ πληθυντικὸν τὸ ἐνεργητικὸν ἕμεν ἐστὶ διὰ τοῦ Ε, ὅπερ κατὰ πλεονασμὸν τοῦ Σ γίνεται ἐσμέν· ἀλλ' ἐπειδὴ τὰ ὑπαρκτικὰ οὐκ ἔχουσι παθητικὰ, τὸ γὰρ ὑπάρχω οὐ κλίνεται εἰς παθητικὸν καὶ γίνεται ὑπάρχομαι, τούτου χάριν ἐπιλέλοιπε τὸ ἕμαι. Ὁμοίως δὲ καὶ ἀπὸ τοῦ ἕμαι παθητικοῦ γέγονεν ὁ παρατατικὸς ἥμην, ὡς ἐφεξῆς, εἰ θεῷ φίλον, μαθησόμεθα.

Ζητεῖ δὲ περὶ τοῦ ἐπίσταμαι, ὅτι πόθεν γέγονε; [n] Καὶ λέγει ὁ Ἀπολλώνιος, ὅτι ἀπὸ τοῦ ἵστημι γίνεται ἵσταμαι, καὶ προσερχομένη ἡ ΕΠΙ πρόθεσις ὤφειλε τρέψαι τὸ Π εἰς Φ, ἵνα ᾖ ἐφίσταμαι, καὶ γὰρ τὸ ἵσταμαι δασύνεται, οἷον καθίσταμαι, ὑφίσταμαι, ἀλλὰ γέγονεν ἐπίσταμαι, τοῦ Π φυλαχθέντος Ἰωνικῶς· καὶ γὰρ τὸ ἥλιος δασύνεται, καὶ ὅμως

[m] τῶν ἐνεργητικῶν ἔχειν Bar. [n] ὑφ' οὗ καὶ Bar.

ἀπηλιώτης Ἰωνικῶς *ἐπεκράτησε λέγεσθαι διὰ τοῦ* Π, *καὶ οὐκ ἀφηλιώτης διὰ τοῦ* Φ· (Ἀπηλιώτης *ὁ ἄνεμος ὁ πνέων ἀπὸ ἀνατολῶν.*) *καὶ πάλιν ὁ* Ἥφαιστος *δασύνεται, καὶ ὅμως*

ἐπ' Ἡφαίστοιο θύρῃσιν

Ἰωνικῶς *εἶπεν ὁ ποιητής· οὕτως οὖν, ὡς εἴρηται, καὶ τὸ ἐπίσταμαι* Ἰωνικῶς *ἐφύλαξε τὸ* Π, *εἰ οὖν οὕτως γέγονεν ἀπὸ τοῦ ἵσταμαι· ἢ ἀπὸ τοῦ ἰσῶ ἴσημι, ὃ σημαίνει τὸ γινώσκω, γέγονεν ἴσαμαι, καὶ ἐν πλεονασμῷ τοῦ* Τ *ἵσταμαι, καὶ ἐκεῖθεν ἐπίσταμαι, καὶ εὐλόγως ἐφύλαξε τὸ* Π *τῆς* ΕΠΙ *προθέσεως, ἐπειδὴ τὸ ἴσημι ψιλοῦται.* Ὁ *δὲ* Φιλόξενος *λέγει, ὅτι ἔστιν εἴδω εἴσω, ὃ σημαίνει τὸ γινώσκω, ἀφ' οὗ τὸ ἰστὸς, ὃ σημαίνει τὸ ἐπιστήμων· γράφεται δὲ διὰ τοῦ* Ι *τὸ ἰστὸς, ἐπειδὴ τὸ εἴδω ἐν ταῖς συνθέσεσι ταῖς ὀνοματικαῖς καὶ ταῖς παραγωγαῖς ταῖς ὀνοματικαῖς ἀποβάλλει τὸ* Ε, *οἷον ἴδμων, ἱστορία, νῆϊς,* (*ὁ ἄπειρος, ὁ τοῦ εἰδέναι ἐστερημένος.*) Πολύϊδος, (*ἔστι δὲ ὄνομα μάντεως·*) *τὸ γὰρ εἰδήμων γραφόμενον διὰ τῆς* ΕΙ *διφθόγγου οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν ἀπὸ τοῦ εἴδω βαρυτόνου, ἀλλ' ἀπὸ περισπωμένου τοῦ εἰδῶ εἰδῇς εἰδήμων.* Πρόσκειται *δὲ " ἐν ταῖς συνθέσεσι ταῖς ὀνοματικαῖς" διὰ τὸ εἴδω ἀείδω· τοῦτο γὰρ συντεθὲν ἐφύλαξε τὴν* ΕΙ *δίφθογγον· ἀλλ' οὐκ ἔστι σύνθεσις ἐν ὀνόματι, ἀλλ' ἐν ῥήματι· ἔστι δὲ παρὰ τὸ* Α *τὸ ἐπιτατικὸν μόριον, καὶ τὸ εἴδω τὸ σημαῖνον τὸ ἐπίσταμαι· οἱ γὰρ ᾄδοντες προγενεστέρων πραγμάτων εἰσὶν ἔμπειροι.* Ἐκ *τοῦ οὖν ἰστὸς, ὃ σημαίνει τὸ ἐπιστήμων, γέγονεν ἰστῶ ἰστήσω ἰστήμων καὶ ἐπιστήμων, ἐκ τούτου δὲ τοῦ ἰστῶ τοῦ σημαίνοντος τὸ γινώσκω γέγονεν ἴστημι καὶ ἴσταμαι καὶ ἐκεῖθεν ἐπίσταμαι, καὶ εὐλόγως ἐφυλάχθη τὸ* Π, *ἐπειδὴ ψιλοῦται αὕτη ἡ κίνησις* (*κλίσις*), *ὡς ἐκ τοῦ εἴδω γεγενημένον, ὅπερ ψιλοῦται.*

" Τίθεσαι." Εἴρηται *τὰ* [o] *ἔχοντα τὴν ἐνεργητικὴν μετοχὴν εἰς* Σ *μετ' ὀξείας τάσεως, τροπῇ τοῦ* Τ *τοῦ ἐν τῷ τρίτῳ προσώπῳ εἰς* Σ *ποιοῦσι τὰ δεύτερα πρόσωπα, οἷον πεποίηται πεποίησαι, πεποιηκὼς γὰρ ἡ ἐνεργητικὴ μετοχὴ εἰς* Σ *μετ' ὀξείας τάσεως, καὶ δύναται δύνασαι, ὅτι*

[o] *ἔχοντα τὸ* Ε *ἐγκείμενον* Bar.

δυνὰς, καὶ ἐπίσταται ἐπίστασαι, ὅτι ἐπιστάς· εἰ καὶ μὴ εὕρηται ἐν χρήσει τὸ δυνὰς καὶ ἐπιστάς· εἰσὶ δὲ ὡς ἀπὸ τοῦ
352 b δύνημι καὶ ἐπίστημι, καὶ δύναμαι καὶ ἐπίσταμαι· τὸ δὲ δύνῃ καὶ ἐπίστῃ κατὰ πάθος λέγουσιν, ὡς ἀπὸ τοῦ δύνασαι καὶ ἐπίστασαι, δύνααι ἐπίστααι Ἰωνικῶς, καὶ δύνεαι καὶ ἐπίστεαι, καὶ κατὰ κρᾶσιν τοῦ Ε καὶ Α εἰς Η δύνῃ καὶ ἐπίστῃ, καὶ μένει τὸ Ι προσγεγραμμένον.

"Τίθεται." Εἴρηται ὅτι τὰ εἰς ΜΑΙ εἰς ΤΑΙ τὸ τρίτον ποιοῦσι, καὶ φυλάττουσι τὴν παραλήγουσαν, ἡνίκα ἐστὶν ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ, οἷον πεποίημαι πεποίηται, ὅτι πεποιηκὼς ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ, καὶ δίδομαι δίδοται, ὅτι διδοὺς, καὶ ζεύγνυμι ζεύγνυσαι, ὅτι ζευγνύς· οὕτως οὖν καὶ τίθεμαι τίθεται, ὅτι τιθεὶς ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ· καὶ ἵσταμαι ἵστασαι, ὅτι ἱστὰς ἡ ἐνεργητικὴ μετοχὴ εἰς Σ.

"Τιθέμεθον, τίθεσθον, τίθεσθον."

Ἰστέον ὅτι τὸ μὲν πρῶτον πρόσωπον [τῶν δυϊκῶν οὐκ ἐπιλιμπάνει ἐνταῦθα, ἐπειδὴ τὸ πρῶτον] τῶν πληθυντικῶν οὐκ ἔχει τὸ Μ ἐπὶ τῆς τελευταίας συλλαβῆς· τιθέμεθα γάρ ἐστι τὸ πρῶτον τῶν πληθυντικῶν (καὶ) τὸ Θ ἔχει ἐπὶ τῆς τελευταίας συλλαβῆς, οὐ τὸ Μ· γέγονε δὲ ἀπὸ τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τροπῇ τῆς ΘΑ εἰς ΘΟΝ, οἷον τιθέμεθα τιθέμεθον· τὸ δὲ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν γέγονε, τροπῇ τοῦ Ε εἰς ΟΝ, οἷον τίθεσθε τίθεσθον· τὸ δὲ τρίτον τῶν δυϊκῶν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν εἰς ΤΑΙ λήγει.

"Τιθέμεθα." Εἴρηται, ὅτι πᾶν πρῶτον πρόσωπον ἔχον τὸ Μ κλιτικὸν τροπῇ τῆς ἐσχάτης εἰς ΜΕΘΑ τὸ πληθυντικὸν ποιεῖ, οἷον τύπτομαι τυπτόμεθα, ἐτυπτόμην ἐτυπτόμεθα· οὕτως οὖν καὶ τίθεμαι τιθέμεθα, καὶ ἵσταμαι ἱστάμεθα, καὶ δίδομαι διδόμεθα, καὶ ζεύγνυμαι ζευγνύμεθα. Μηδεὶς δὲ οἰέσθω ταῦτα ἐν τοῖς παθητικοῖς ἀπὸ παραγωγῆς ἔχειν τὸ Μ, ὡς ἐν τοῖς ἐνεργητικοῖς· ἐν μὲν γὰρ τοῖς ἐνεργητικοῖς ἀπὸ παραγωγῆς ἔχουσι τὸ Μ, οἷον τιθῶ τίθημι, ἐν δὲ τοῖς παθητικοῖς ἀπὸ κλίσεως ἔχουσι τὸ Μ, τροπὴ γὰρ παρηκολούθησεν ἐκεῖ τοῦ Μ εἰς ἕτερον Μ, ὅθεν καὶ αὐτὸ (αὐτὰ) τροπῇ τῆς ἐσχά-

της εἰς ΜΕΘΑ *ποιοῦσι τὸ πληθυντικὸν ὁμοίως τοῖς ἔχουσι τὸ* Μ *κλιτικόν.*

“ Τίθεσθε.” Εἴρηται ὅτι πᾶν ἑνικὸν ἔχον τὸ Τ κλιτικὸν τρέπον τὴν τελευταίαν συλλαβὴν τὸ δεύτερον τῶν πληθυντικῶν ποιεῖ· καὶ εἰ μὲν καθαριεύει τὸ Τ, καὶ Σ προσλαμβάνει τὸ δεύτερον τῶν πληθυντικῶν, οἷον τύπτεται τύπτεσθε· οὕτως οὖν καὶ τίθεται τίθεσθε, καὶ ἵσταται ἵστασθε, καὶ δίδοται δίδοσθε, καὶ ζεύγνυται ζεύγνυσθε· εἰ δὲ συμφώνῳ παραλήγεται, τηρεῖ αὐτὸ, πλὴν εἰ μήπω ψιλὸν ὂν δι’ ἀσυνταξίαν εἰς δασὺ τραπῇ.

“ Τίθενται.” Εἴρηται, ὅτι πᾶν τρίτον ἑνικὸν ἔχον τὸ Τ κλιτικὸν πρὸ τοῦ Τ λαμβάνον τὸ Ν, καὶ τὴν παραλήγουσαν φυλάττον τοῦ ἰδίου πρώτου προσώπου ἑνικοῦ τὸ πληθυντικὸν ποιεῖ.

“ Παρατατικοῦ, ἐτιθέμην.” Ἐνταῦθα περὶ τοῦ παθητικοῦ παρατατικοῦ διαλαμβάνει, καὶ λέγει, ὅτι πᾶς ἐνεστὼς παθητικὸς τρέπων τὴν ΜΑΙ εἰς ΜΗΝ τὸν παρατατικὸν ποιεῖ· καὶ εἰ μὲν ἀπὸ συμφώνου ἄρχεται ὁ ἐνεστὼς, προσλαμβάνει ὁ παρατατικὸς τὸ Ε, οἷον τίθεμαι ἐτιθέμην· εἰ δὲ ἀπὸ φωνή-
353 a εντος ἄρχεται ὁ ἐνεστὼς, χρονικῶς αὔξεται ὁ παρατατικὸς, οἷον ἵσταμαι ἱστάμην, ἵεμαι ἱέμην καὶ ἀφιέμην. Δυνατὸν δέ ἐστι καὶ ἀπὸ τοῦ παρατατικοῦ ἐνεργητικοῦ κανονίσαι τὸν παθητικὸν παρατατικὸν οὕτως· πᾶς ἐνεργητικὸς παρατατικὸς πρὸ τοῦ Ν λαμβάνων τὸ Μ καὶ Η, παθητικὸς γίνεται, οἷον ἔτυπτον ἐτυπτόμην, ἐβόων ἐβοώμην· ἐπὶ δὲ τῶν εἰς ΜΙ καὶ συστολὴ παρακολουθεῖ τῆς παραληγούσης, οἷον ἐτίθην ἐτιθέμην, ἵστην ἱστάμην, ἐδίδων ἐδιδόμην, ἐπήγνυν ἐπηγνύμην· καὶ ἀπὸ τοῦ ἦν ἐγὼ ὁ παθητικὸς παρατατικὸς ἤμην, καὶ ὤφειλε συστεῖλαι τὴν παραλήγουσαν, ἀλλὰ λέγομεν ὅτι λόγῳ ἀρχούσης ἐφυλάχθη τὸ Η· ἐπειδὴ γὰρ τοῦτο δισύλλαβόν ἐστι, καὶ τὴν αὐτὴν ἔχει ἄρχουσαν καὶ παραλήγουσαν, τούτου χάριν τῷ λόγῳ τῆς ἀρχούσης ἐφύλαξε τὸ Η, καὶ οὐ τῷ λόγῳ τῆς παραληγούσης συνέστειλεν αὐτό. Ὁ δὲ Φιλόπονος λέγει, ὅτι τὸ κεχρεωστημένον Η τῇ παραληγούσῃ ἡ κλίσις ἀνεδέξατο.

Δεῖ δὲ γινώσκειν, ὅτι ἔστιν εἰμί· τοῦτο κατὰ τὸν

παθητικὸν ἐνεστῶτα τῷ [μὲν] λόγῳ τῆς ἀρχούσης γίνεται εἶμαι διὰ τῆς ει διφθόγγου· ἡ γὰρ ει δίφθογγος φυλάττεται κατὰ τὴν ἄρχουσαν, οἷον εἴργω εἴργομαι, εἰκονίζω εἰκονίζομαι· τὸ γὰρ εἰκάζω ᾔκαζον, καὶ εἴδειν ᾔδειν, Ἀττικῶς ἐξέτεινε τὸ ε εἰς τὸ η, ὡς τὸ ἔμελλον ἤμελλον· τῷ δὲ λόγῳ τῆς παραληγούσης γίνεται ἕμαι διὰ τοῦ ε· τὰ γὰρ εἰς μι βραχείᾳ θέλουσι παραλήγεσθαι ἐν τοῖς παθητικοῖς, οἷον τίθεμαι, ἵσταμαι· τοῦτο κατὰ τὸν παρατατικὸν τῷ μὲν λόγῳ τῆς παραληγούσης γίνεται εμην, ὥσπερ τιθέμην ἐδιδόμην· τῷ δὲ λόγῳ τῆς παραληγούσης ειμην ὤφειλεν εἶναι διὰ τῆς ει διφθόγγου, ἡ γὰρ ει δίφθογγος φυλάττεται κατὰ τὴν ἄρχουσαν. Πόθεν οὖν ἔχει τὸ η τὸ ημην; Καὶ λέγει, ὡς εἴρηται, ὁ Φιλόπονος, ὅτι κατακεχρεωστημένον τῇ παραγωγῇ, ἤγουν τῷ εἰμὶ, ἡ κλίσις ἀνεδέξατο, ἤγουν τὸ ἤμην· ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι τὸ εἰμὶ ἀπὸ τοῦ ἔω τοῦ σημαίνοντος τὸ ὑπάρχω γενόμενον διὰ τοῦ η ὤφειλε γενέσθαι· τὸ γὰρ ε μεγεθυνόμενον ἐν τοῖς ῥήμασι διχῶς μεγεθύνεται· ἢ γὰρ διὰ τῆς προσθήκης τοῦ ι, οἷον ἔχω εἶχον, ἢ διὰ τοῦ τρέπεσθαι εἰς τὸ η· ὤφειλεν οὖν καὶ τὸ εἰμὶ ἀπὸ τοῦ ἔω γενόμενον, τοῦ σημαίνοντος τὸ ὑπάρχω, μᾶλλον τρέψαι τὸ ε εἰς τὸ η, καὶ γενέσθαι τὸ [o] ἠμὶ διὰ τοῦ η, ἤπερ προσλαμβάνειν τὸ ι καὶ γενέσθαι εἰμὶ διὰ τῆς ει διφθόγγου· ἐπειδὴ τὰ εἰς μι, ὁριστικὰ δῆλον ὅτι, οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι, χωρὶς τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι, καὶ εἰμὶ δηλονότι τοῦ ὑπάρχω, περὶ οὗ καὶ ὁ λόγος ὤφειλεν, ὡς εἴρηται, διὰ τοῦ η γενέσθαι· ἀλλ' ἐπειδὴ ἠναγκάζετο λείψανόν τι φυλάξαι τῆς φωνῆς τοῦ πρωτοτύπου, (αἱ γὰρ παράγωγοι λέξεις θέλουσι φυλάττειν λείψανον τῆς φωνῆς τοῦ πρωτοτύπου, οἷον ἄρδω ἀρδεύω,) καὶ τούτου χάριν προσ-
353 b έλαβε τὸ ι, καὶ ἐγένετο εἰμὶ διὰ τῆς ει διφθόγγου, ἵνα φυλάξῃ λείψανον τῆς φωνῆς τοῦ πρωτοτύπου· προσλαμβάνον γὰρ τὸ ι ἐφύλαξε τὸ ε τοῦ πρωτοτύπου, φημὶ δὲ τοῦ ἔω, εἰ γὰρ ἔτρεψε τὸ ε εἰς τὸ η, οὐκ ἐφύλαξέ τι τῆς φωνῆς τοῦ πρωτοτύπου· τὸ οὖν η τὸ κεχρεωστημένον τῇ παρα-

[o] εἰμὶ Par. εἰμὴ Bar.

γωγῇ, φημὶ δὲ τὸ εἰμὶ, ἡ κλίσις ἀνεδέξατο, ἤγουν τὸ ἤμην, καὶ ὅτι ἀπὸ τοῦ ἦν γέγονεν ἤμην λόγῳ ἀρχούσης, ὡς προείρηται, φυλαχθέντος τοῦ η. Ἰστέον δὲ ὅτι τὸ ἤμην [ἐπὶ τοῦ ὑπῆρχον ἀπηγόρευται· ἀντὶ γὰρ τοῦ ἤμην] "ἦν [ἐγὼ"] λέγουσιν, ὡς Ἀριστοφάνης,

ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον, καὶ πένης ἦν·

εὕρηται γὰρ τὸ ἤμην τὸ ἐπὶ τοῦ ὑπῆρχον, ὡς παρ' Εὐριπίδῃ ἐν Ἑλένης ἀπαιτήσει, [v. Hel. 931.]

ἐγὼ δὲ προδότης οὐκ ἤμην τέκνον.

Πρόσκειται τὸ "ἐπὶ τοῦ ὑπῆρχον," ἐπειδὴ ἔστιν ἤμην καὶ ἐπὶ τοῦ ἐκαθεζόμην, ἀπὸ τοῦ ἧμαι [p] τοῦ σημαίνοντος τὸ κάθημαι γεγονός. Ἰστέον δὲ ὅτι τὸ ἤμην, ὅτε μὲν σημαίνει τὸ ὑπῆρχον ψιλοῦται, ὅτε δὲ σημαίνει τὸ ἐκαθεζόμην δασύνεται.

"Ἐτίθεσο, ἐτίθετο." Ἰστέον ὅτι τὸ μὲν δεύτερον πρόσωπον ἀπὸ τοῦ τρίτου γέγονε τροπῇ τοῦ τ εἰς σ· ἡ γὰρ ἐνεργητικὴ μετοχὴ εἰς Σ μετ' ὀξείας τάσεως, οἷον τιθείς· τὸ δὲ τρίτον ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆς ΜΗΝ εἰς ΤΟ. Τούτων δὲ οὕτως ἐχόντων, τὸ ἐφάμην τύπον μὲν ἔχει παθητικὸν, σημασίαν δὲ ἐνεργητικήν· τὸ γὰρ εἶπον σημαίνει· τὸ δεύτερον πρόσωπον ἀναλόγως ἔχει ἔφασο, τροπῇ τοῦ τ τοῦ ἐν τῷ τρίτῳ προσώπῳ εἰς Σ· ἐπειδὴ ἡ ἐνεργητικὴ μετοχὴ ὁ φὰς ἐστὶν εἰς Σ μετ' ὀξείας τάσεως· τοῦτο δὲ τὸ ἔφασο γίνεται κατὰ ἀποβολὴν τοῦ Σ Ἰωνικῶς ἔφαο, ἐξ οὗ καὶ τὸ προστακτικὸν φάο, [Od. π'. 168.]

ἔπος φάο μηδ' ἐπίκευθε·

πάλιν ἐστὶν ἐκρεμάμην ἐκρέματο, καὶ κατὰ τροπὴν τοῦ τ εἰς τὸ Σ γίνεται τὸ δεύτερον πρόσωπον ἐκρέμασο, ἐπειδὴ ἡ ἐνεργητικὴ μετοχὴ ὁ κρεμὰς ἐστὶν εἰς Σ μετ' ὀξείας τάσεως, ὥσπερ ὁ ἱστάς· εἰ γὰρ καὶ μὴ εὕρηται ἐν χρήσει, ἀλλ' οὖν δευτέρας ἐστὶ συζυγίας τῶν εἰς ΜΙ, οἷον κρεμῶ κρεμᾷς κρέμημι, ὥσπερ ἱστῶ ἱστᾷς ἵστημι, καὶ κρέμαμαι, καὶ ἐκρεμάμην, καὶ λοιπὸν τὸ ἐκρέμασο γίνεται κατὰ ἀποβολὴν τοῦ Σ

[p] τοῦ καθέζομαι δασύνεται γεγονός. Bar.

Ἰωνικῶς ἐκρέμαο, καὶ κατὰ κρᾶσιν Ἀττικὴν τοῦ ΑΟ εἰς Ω ἐκρέμω, [Il. ο'. 18.]

ἦ οὐ μέμνῃ ὅτ' ἐκρέμω ὑψόθεν ἐκ δὲ ποδοῖιν.

μηδεὶς δὲ οἰέσθω τὸ ἐκρέμω ὡς ἀπὸ τοῦ εἰς Ω εἶναι, ὡς ἀπὸ τοῦ κρεμῶ κρεμᾷς, ἐπειδὴ κρεμῶμαι καὶ ἐκρεμώμην εἶχεν εἶναι τὸ παθητικὸν, ὥσπερ βοῶμαι ἐβοώμην· νῦν δὲ κρέμαμαι καὶ ἐκρεμάμην ἐστὶν, ὥσπερ ἵσταμαι ἱστάμην· ἄλλως τε εἰ ἦν ἀπὸ τῶν εἰς Ω, ἐκρεμῶ εἶχεν εἶναι περισπωμένως, ὥσπερ ἐβοῶ, νῦν δὲ ἐκρέμω ἐστὶ παροξυτόνως.

"Ἐτιθέμεθον, ἐτίθεσθον, ἐτίθεσθον, ἐτιθέσθην." Ἰστέον ὅτι τὸ τρίτον τῶν δυϊκῶν οὐχ ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ,
354 a ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς Ι λήγει, οὔτε εἰς ΤΑΙ, ἐτίθεντο γάρ ἐστί· γέγονε δὲ τὸ τρίτον τῶν δυϊκῶν ἀπὸ τοῦ ἰδίου δευτέρου, τροπῇ τοῦ Ο εἰς Η.

"Ἐτιθέμεθα, ἐτίθεσθε, ἐτίθεντο. Εἴρηται. Παρακειμένου τέθειμαι." Ἐνταῦθα περὶ τοῦ παθητικοῦ παρακειμένου τῶν εἰς ΜΙ διαλαμβάνει, καὶ λέγει ὅτι πᾶς ἐνεργητικὸς παρακείμενος ἐπὶ τῶν εἰς ΜΙ τρέπων τὴν τελευταίαν συλλαβὴν εἰς ΜΑΙ καὶ τὴν παραλήγουσαν συστέλλων παθητικὸς γίνεται, οἷον δέδωκα δέδομαι, πέπωκα πέπομαι, (ἐξ οὗ τὸ ἐπόθην καὶ κατεπόθην,) βέβηκα βέβαμαι, (ἐξ οὗ τὸ ἐβάθην καὶ παρεβάθην,) ἕστηκα, ὅσον κατὰ τὴν ἀναλογίαν, ἀπὸ τοῦ ἵστημι, στῶ, καὶ ἕσταμαι ὁ παθητικὸς παρακείμενος. Πρόσκειται "ὅσον κατὰ τὴν ἀναλογίαν," ἐπειδὴ ἕστακα ἐστὶν ὁ ἐνεργητικὸς παρακείμενος τοῦ ἵστημι πρὸς ἀντιδιαστολὴν τοῦ ἕστηκα μέσου παρακειμένου τοῦ ὄντος ἀπὸ τοῦ ἑστήκω ἐνεστῶτος, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται. Τέθεικα, τέθεμαι, καὶ κατὰ πλεονασμὸν τοῦ Ι τέθειμαι διὰ τῆς ΕΙ διφθόγγου· οὐ γὰρ δυνάμεθα τὸ τέθειμαι Βοιωτικὸν λέγειν, ὥσπερ τὸ ἐνεργητικὸν τὸ τέθεικα τὸ διὰ τῆς ΕΙ διφθόγγου, ἐπειδὴ τὸ μὲν τέθεικα ἐνεργητικὸν τὸ διὰ τῆς ΕΙ διφθόγγου ἀπὸ τοῦ τέθηκα κοινοῦ γέγονε τοῦ διὰ τοῦ Η, κατὰ τροπὴν Βοιωτικὴν τοῦ Η εἰς τὴν ΕΙ δίφθογγον, ὥσπερ Λάχης, Λάχεις· τὸ δὲ παθητικὸν οὐκ ἔστι τέθημαι, διὰ τοῦ Η, ἵνα τὸ τέθειμαι τὸ διὰ τῆς ΕΙ

διφθόγγου Βοιωτικὸν *εἴπωμεν κατὰ κρᾶσιν τοῦ* Η *εἰς τὴν* ΕΙ *δίφθογγον.*

"Τέθεισαι, *τέθειται, τεθείμεθον, τέθεισθον, τέθεισθον, τεθείμεθα, τέθεισθε, τέθεινται.* Ὑ*περσυντελικὸς ἐτεθείμην.*"

Ἰ*στέον ὅτι ἀπὸ τοῦ τέθειμαι παρακειμένου γέγονεν ἐτεθείμην ὁ ὑπερσυντελικὸς, τροπῇ τῆς* ΜΑΙ *εἰς* ΜΗΝ, *καὶ τῆς ἀρχούσης συλλαβικῶς μεγεθυνθείσης· πῶς δὲ κανονίζεται ὁ ὑπερσυντελικὸς ἐν τοῖς εἰς* Ω *μεμαθήκαμεν.*

"Ἐ*τέθεισο, ἐτέθειτο, ἐτεθείμεθον, ἐτέθεισθον, ἐτεθείσθην, ἐτεθείμεθα, ἐτέθεισθε, ἐτέθειντο.* Ἀ*ορίστου παθητικοῦ ἐτέθην.*"

Ἰ*στέον ὅτι ἀπὸ τοῦ τέθειμαι παρακειμένου, ὁ γὰρ τέθειμαι κατὰ πλεονασμὸν ἔχει τὸ* Ι, *γέγονεν ὁ παθητικὸς πρῶτος ἀόριστος ἐτέθην, τροπῇ τῆς* ΜΑΙ *εἰς* ΘΗΝ, *καὶ ἀποβολῇ τοῦ κατ' ἀρχὴν συμφώνου· πῶς δὲ κανονίζεται ὁ παθητικὸς πρῶτος ἀόριστος ἐν τοῖς εἰς* Ω *μεμαθήκαμεν.* Δ*εῖ δὲ γινώσκειν, ὅτι ἀπὸ τοῦ τέθειμαι παρακειμένου, τραπείσης τῆς* ΜΑΙ *συλλαβῆς εἰς* ΘΗΝ, *ἐθέθην ὤφειλεν εἶναι ὁ παθητικὸς πρῶτος ἀόριστος· ἀλλὰ διὰ τὴν* [q]*κακοφωνίαν τῆς ἐπαλληλίας τοῦ δασέως* Θ *τροπὴ παρηκολούθησε τοῦ πρώτου* Θ *εἰς* Τ, *καὶ γέγονεν ἐτέθην, ὥσπερ τὸ τέθυμαι ἐθύθην καὶ ἐτύθην.* Εἰ *δέ τις εἴποι, διὰ τί γὰρ τὸ πρῶτον* Θ *ἐτράπη, καὶ μὴ τὸ τελευταῖον;* Λ*έγομεν ὅτι οὐκ ἠδύνατο τὸ τελευταῖον* Θ *τραπῆναι, ἐπειδὴ ὁ πρῶτος ἀόριστος ὁ παθητικὸς εἰς* ΘΗΝ *θέλει λήγειν, οἷον ἐτύφθην.*

Τ*ούτων οὕτως ἐχόντων, τὸ ἐγνώσθην καὶ ἠδυνάσθην, μακρᾷ* [r]*παραληγόμενα, οὐκ εἰσὶν ἀπὸ τῶν εἰς* ΜΙ, *ἀλλ' ἀπὸ τῶν εἰς* Ω· *εἰ γὰρ ἦσαν ἀπὸ τῶν εἰς* ΜΙ *οὕτως ἤμελλον εἶναι· γνῶμι γνώσω ἔγνωκα ἔγνομαι ἐγνό[σ]θην διὰ τοῦ* Ο, *ὥσπερ δίδωμι δώσω δέδωκα δέδομαι ἐδόθην, πῶμι πώσω πέπωκα πέπομαι ἐπόθην, καὶ πάλιν ἀπὸ τοῦ δύνημι δυνήσω δεδύνηκα εἶχεν εἶναι δεδύναμαι ἐδυνάθην, ὥσπερ βίβημι βήσω βέβηκα βέβαμαι καὶ ἐβάθην, ἐξ οὗ τὸ παρεβάθην·* [s]*ἀλλ', ὡς εἴρηται, ἀπὸ τῶν εἰς* Ω *εἰσί· καὶ τὸ μὲν ἐγνώσθην*

[q] *ἐπαλληλίαν τῆς συναφείας τῶν δύο δάσεων τροπὴ* Bar. [s] *παραλήγεται καὶ οὐκ* Bar. [r] *καὶ ἄλλως* Bar.

γέγονε τοῦτον τὸν τρόπον· ἔστι γνώω [τῆς ἕκτης συζυγίας, ἐξ οὗ τὸ ὑποτακτικὸν παρὰ τῷ ποιητῇ, [Il. α΄. 302.]

ἵνα γνώωσι καὶ οἵδε·

καὶ τούτου ὁ μέλλων] γνώσω· εἶτα ὁ παρακείμενος ὁ ἐνεργητικὸς ἔγνωκα, ὁ παθητικὸς ἔγνωσμαι, καὶ λοιπὸν ὁ παθητικὸς πρῶτος ἀόριστος ἐγνώσθην. Τὸ δὲ ἠδυνάσθην γέγονε τοῦτον τὸν τρόπον· ὡς ἀπὸ τοῦ δυνάζω δυνάσω [t]δεδύνακα δεδύνασμαι ἐδυνάσθην, ὥσπερ φράζω φράσω πέφρακα πέφρασμαι ἐφράσθην, καὶ κατὰ ἔκτασιν Ἀττικὴν τοῦ Ε εἰς τὸ Η ἠδυνάσθην, ὥσπερ ἔμελλον ἤμελλον· πάλιν ὡς ἀπὸ τοῦ δυνῶ δυνᾷς περισπωμένου τῆς δευτέρας συζυγίας γίνεται δυνήσω δεδύνηκα δεδύνημαι ἐδυνήθην, καὶ κατὰ ἔκτασιν Ἀττικὴν τοῦ Ε εἰς τὸ Η ἠδυνήθην.

"Ἐτέθης ἐτέθη, ἐτέθητον ἐτεθήτην, ἐτέθημεν ἐτέθητε ἐτέθησαν. Εἴρηται. Ἀόριστος δεύτερος ἐν τοῖς παθητικοῖς τῶν εἰς ΜΙ οὐκ ἔστιν," ἐπειδὴ προ[σ]ελήφθη ὁ χρόνος ἐν τοῖς ἐνεργητικοῖς· καὶ γὰρ ὁ δεύτερος ἀόριστος ὁ παθητικὸς μακροκαταληκτεῖν θέλει. Ἐπειδὴ οὖν ὁ δεύτερος ἀόριστος ἐνεργητικὸς μακροκαταληκτεῖ ἐν τοῖς εἰς ΜΙ, οἷον ἔστην, ἔγνων, ἔδων, τούτου χάριν ὡς προληφθέντος τοῦ χρόνου, ἤγουν τῆς μακροκαταληξίας, ἐν τοῖς ἐνεργητικοῖς, ἐπιλέλοιπε τὸ παθητικόν· ὁ μέντοι ἔστην δεύτερος ἐνεργητικὸς, ὡς καὶ ὁ τεχνικὸς φησὶ, τὴν μὲν φωνὴν ἔχει ἐνεργητικὴν, ὥσπερ τὸ ἔθην καὶ ἔβην· ὥσπερ γὰρ ἀπὸ τοῦ θήσω καὶ βήσω ἔθην καὶ ἔβην, οὕτω καὶ ἀπὸ τοῦ στήσω ἔστην· τὴν δὲ σημασίαν καὶ τὴν [u]σύνταξιν παθητικὴν ἔχει· ἔστην γὰρ [v]ὑπὸ σοῦ φαμὲν, ὥσπερ ἐστάθην ὑπὸ σοῦ, καὶ οὐκ ἔστην σε, ὥσπερ ἔστηκά σε, καὶ ἔβην σε καὶ ἔθην σε.

Ἰστέον ὅτι ὥσπερ ὁ ἔστην δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς τῇ μὲν φωνῇ ἐνεργητικός ἐστι, τῇ δὲ συντάξει παθητικὸς, οὕτω καὶ ὁ ἧλων δεύτερος ἀόριστος ἐνεργητικὸς, ἀπὸ τοῦ ἁλώσω μέλλοντος, τῇ μὲν φωνῇ ἐνεργητικὸς, ἧλων γὰρ, ὡς ἔδων καὶ ἐβίων, τῇ δὲ συντάξει παθητικός· ἧλων γὰρ

[t] δεδύνηκα δεδύνησμαι Bar. [u] τάξιν Bar. [v] ἀπὸ Bar.

[x]ὑπὸ σοῦ φαμέν, καὶ οὐχ ἤλων σε· οὕτως δὲ ὁ ἤλων δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς κατὰ διάλυσιν τοῦ Η εἰς τὸ Ε καὶ Α γίνεται ἐάλων, ὥσπερ ἀπὸ τοῦ ἥδω τοῦ σημαίνοντος τὸ εὐφραίνομαι γίνεται ἧδον ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικός, καὶ κατὰ διάλυσιν τοῦ Η εἰς τὸ Ε καὶ Α ἔαδον ἔαδες [y]ἔαδε, καὶ κατὰ πλεονασμὸν τοῦ Υ εὔαδε.

[“Ὁ μέσος ἀόριστος πρῶτος ἐθηκάμην.” Ἰστέον ὅτι ὁ πρῶτος μέσος ἀόριστος ἐκ τοῦ πρώτου ἀορίστου γίνεται τοῦ ἐνεργητικοῦ προσθέσει τῆς ΜΗΝ, (ἐθηκάμην) ἐθήκω, ἐθήκατο ἐθηκάμεθον, ἐθήκασθον, ἐθηκάσθην, ἐθηκάμεθα, ἐθήκασθε, ἐθήκαντο.]

355 a “Μέσου ἀορίστου δευτέρου, ἐθέμην.” Ἰστέον ὅτι καὶ ὁ μέσος δεύτερος ἀόριστος ἀπὸ τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ γίνεται προσθέσει τοῦ Μ, καὶ συστολῇ τῆς παραληγούσης, ἤγουν τοῦ ἐν τῇ παραληγούσῃ τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ φωνήεντος, οἷον ἔδων ἐδόμην, ἔθην ἐθέμην, ἔστην ἐστάμην, ἔφην ἐφάμην· ὁ δὲ τεχνικὸς ἀπὸ τοῦ παθητικοῦ πρώτου ἀορίστου κανονίζει τὸν παρόντα δεύτερον ἀόριστον τροπῇ τοῦ Θ εἰς Μ, λέγων, ὅτι ὁ εἰς ΘΗΝ ἀόριστος ἐν τοῖς εἰς ΜΙ τρέπων τὸ Θ εἰς τὸ Μ μέσον ἀόριστον ποιεῖ, δῆλον ὅτι δεύτερον, οἷον ἐτέθην ἐθέμην, καὶ ὑποστρέφει τὸ παραλῆγον Τ εἰς τὸ ἀνάλογον Θ, καὶ γίνεται ἐθέμην· εἰρήκαμεν γὰρ ὅτι ἐθέθην ὤφειλεν εἶναι ὁ παθητικὸς ἀόριστος πρῶτος, ἀλλὰ διὰ τὴν ἐπαλληλίαν τοῦ δασέος Θ ἐτράπη τὸ παραλῆγον Θ εἰς τὸ Τ, καὶ γέγονεν ἐτέθην· ἐν οὖν τῷ ἐθέμην προσῆλθε τὸ ἀνάλογον Θ, ἐπειδὴ οὐκέτι εὑρίσκετο ἀλλεπαλληλία τοῦ Θ. Πάλιν ἐδόθην, ἐδόμην, ἐστάθην, ἐστάμην, ἐφάθην, ἐφάμην, ἐπτάθην, ἐπτάμην· γέγονε δὲ τοῦτο τοῦτον τὸν τρόπον· ἔστιν ἐνεστὼς τῆς δευτέρας συζυγίας τῶν εἰς ΜΙ, ἵπτημι, ἐξ οὗ ὁ παθητικὸς ἐνεστὼς ἵπταμαι· τούτου ὁ μέλλων πτήσω καὶ ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἔπτην, εἶτα ὁ ἐνεργητικὸς παρακείμενος ἔπτηκα, καὶ ὁ παθητικὸς ἔπταμαι, καὶ λοιπὸν ὁ παθητικὸς πρῶτος ἀόριστος

[x] ἀπὸ Bar.

[y] ἄεδον ἄεδες ἄεδε Bar.

ἐπτάθην, καὶ ὁ μέσος δεύτερος ἀόριστος ἐπτάμην, εἴτε ἀπὸ τοῦ ἐπτάθην τροπῇ τοῦ θ εἰς τὸ μ, εἴτε ἀπὸ τοῦ ἔπτην δευτέρου ἀορίστου ἐνεργητικοῦ πρὸ τοῦ ν προσελθόντος τοῦ μ καὶ η, καὶ τῆς παραληγούσης συσταλείσης.

Τούτων οὕτως ἐχόντων, φησὶν ὁ τεχνικὸς, τὸ ἡκάμην καὶ ἐθηκάμην ἡμαρτῆσθαι, ὡς κατὰ συνεκδρομὴν ποιήσαντα ἕτερον ἀόριστον πρῶτον, ὥσπερ ἔγραψα, ἐγραψάμην· τοῦτο δέ φησιν ὁ τεχνικὸς, [δοξάζων] ἕνα μόνον [z] εἶναι τοῖς εἰς ΜΙ μέσον ἀόριστον, ὥσπερ καὶ ἕνα παθητικόν. Οὐ καλῶς δοξάζει ὁ τεχνικὸς λέγων ἡμαρτῆσθαι καὶ [a] παρανενομῆσθαι τὸ ἡκάμην καὶ ἐθηκάμην ἀπὸ τοῦ ἧκα καὶ ἔθηκα προσθέσει τῆς ΜΗΝ γενομένοις ὁμοίως τοῖς εἰς [b] Ω· εὑρίσκομεν γὰρ καὶ ἄλλους τοιούτους μέσους ἀορίστους ἐπὶ τῶν εἰς ΜΙ κατὰ τὸν εἰρημένον τρόπον ἀπὸ τῶν ἐνεργητικῶν πρώτων ἀορίστων γενομένους, οἷον ἀπὸ τοῦ ἵστημι ἔστησα γίνεται πρῶτος ἀόριστος ἐστησάμην, καὶ πάλιν ἀπὸ τοῦ βίβημι, ἔβησα, (τοῦ σημαίνοντος τὸ πορεύομαι,) γίνεται ἐβησάμην, ἐξ οὗ τὸ τρίτον παρὰ τῷ ποιητῇ, [Il. π΄. 810. βῆσεν ἀφ᾽ ἵππων]

βήσαντ᾽ ἀφ᾽ ἱππέων,

καὶ ἐν συνθέσει παρὰ τῷ αὐτῷ, [Od. φ΄. 5.]

κλίμακα δ᾽ ὑψηλὴν προσεβήσατο οἷο δόμοιο.

Εἰσὶν οὖν οὗτοι πρῶτοι μέσοι ἀόριστοι ἀπὸ τῶν ἐνεργητικῶν πρώτων ἀορίστων γενόμενοι προσθέσει τῆς ΜΗΝ, ὡς ἐν τοῖς εἰς Ω μεμαθήκαμεν.

"Ἔθεσο." Ἰστέον ὅτι ἀπὸ τοῦ τρίτου προσώπου γέγονε τοῦ ἔθετο, τροπῇ τοῦ Τ εἰς τὸ Σ· ἡ γὰρ ἐνεργητικὴ μετοχὴ εἰς Σ μετ᾽ ὀξείας τάσεως ἐστὶν, οἷον θείς· καὶ πάλιν ἔδοτο, ἔδοσο, ὅτι δοὺς ἡ ἐνεργητικὴ μετοχή· ταῦτα δὲ, φημὶ τὸ ἔθεσο καὶ ἔδοτο, κατὰ ἀποβολὴν τοῦ Σ καὶ κρᾶσιν τῶν φωνηέντων γίνονται ἔθου καὶ ἔδου, ὡς παρὰ Σοφοκλεῖ [Aj. 536.]

ἐπῄνεσ᾽ ἔργον, οὐ πρόνοιαν ἣν ἔθου.

"Ἔθετο, ἐθέμεθον, ἔθεσθον, ἐθέσθην, ἐθέμεθα, ἔθεσθε, ἔθεντο. Μέλλων παθητικὸς, τεθήσομαι." Ἰστέον ὅτι ἀπὸ

[z] εἶναι] τοῖς Bar. [a] παρηνομῆσθαι Bar. [b] ΜΙ Bar.

τοῦ παθητικοῦ πρώτου ἀορίστου γέγονεν ὁ τεθήσομαι παθητικὸς μέλλων πρῶτος, κατὰ [b]*τρίτον πρόσωπον προσελθόντος τοῦ* ΣΟΜΑΙ, *καὶ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως ἀποβληθείσης, οἷον ἐτέθη, τεθήσομαι· πῶς δὲ κανονίζονται οἱ παθητικοὶ μέλλοντες ἐν τοῖς εἰς* Ω *μεμαθήκαμεν.*

[*Ἰστέον ὅτι δεύτερος μέλλων παθητικὸς ἐν τοῖς εἰς* ΜΙ *ἐκ τοῦ δευτέρου ἀορίστου παθητικοῦ γίνεται, ὡς ἐν τοῖς εἰς* Ω *μεμαθήκαμεν.*]

" *Τεθήσῃ, τεθήσεται, τεθησόμεθα, τεθήσεσθε, τεθήσονται. Μέσος μέλλων πρῶτος, θήσομαι.*" *Ἰστέον ὅτι ὁ πρῶτος μέσος μέλλων ἐκ τοῦ πρώτου μέλλοντος τοῦ ἐνεργητικοῦ κανονίζεται προσθέσει τῆς* ΜΑΙ, *καὶ συστολῇ τοῦ* Ω *εἰς* Ο, *οἷον δώσω δώσομαι, κτήσω κτήσομαι. Ἰστέον ὅτι ὁ δεύτερος μέσος μέλλων οὐκ ἔστιν ἐν τοῖς εἰς* ΜΙ, *ἐπειδὴ οὔτε δεύτερος μέλλων ἐνεργητικὸς ἐστὶν ἐν τοῖς εἰς* ΜΙ, *ὡς προείρηται, ἐκ δὲ τοῦ δευτέρου μέλλοντος τοῦ ἐνεργητικοῦ γίνεται ὁ δεύτερος μέσος μέλλων, ὡς ἐν τοῖς εἰς* Ω *μεμαθήκαμεν.*

" *Θήσῃ, θήσεται, θησόμεθον, θήσεσθον, θήσεσθον, θησόμεθα, θήσεσθε, θήσονται. Μετ᾽ ὀλίγον μέλλων.*"

Ἰστέον ὅτι ὁ μετ᾽ ὀλίγον μέλλων ἐκ τοῦ δευτέρου προσώπου τοῦ παρακειμένου γίνεται, [c]*πρὸ τῆς* ΑΙ *διφθόγγου προσερχομένου τοῦ* Ο *καὶ* Μ, *οἷον ἕστασαι ἑστάσομαι, δέδοσαι δεδόσομαι, τέθεισαι τεθείσομαι, τεθείσῃ, τεθείσεται, τεθεισόμεθα, τεθείσεσθον, τεθείσεσθον, τεθεισόμεθα, τεθείσεσθε, τεθείσονται.*

Περὶ ἀπαρεμφάτων.

Ἰστέον ὅτι ὁ μὲν τεχνικὸς φησὶν, ὡς τὰ ἔχοντα τὴν μετοχὴν εἰς Σ *μετ᾽ ὀξείας τάσεως, ἐστὶ (ἔτι) καὶ διὰ τοῦ* ΝΤ [d]*κλινομένην, εἰς* ΝΑΙ *ποιοῦσι τὸ ἀπαρέμφατον, οἷον νυγεὶς νυγῆναι, τιθεὶς τιθῆναι, διδοὺς διδόναι. Χρὴ δὲ γινώσκειν εἰ καὶ μὴ διὰ τοῦ* ΝΤ *κλίνεται ἡ μετοχὴ, εἰς* Σ [*δὲ*] *λήγει μετ᾽ ὀξείας τάσεως, εἰς* ΝΑΙ *ποιοῦσι τὸ ἀπαρέμφατον, οἷον πεποιθὼς πεποιθέναι. Κρεῖττον οὖν οὕτως λέγειν, ὅτι τὰ ἔχοντα*

[b] *τρίτου προσώπου* Bar. [c] *τροπῇ* Par. [d] *κλινόμενα* Bar.

τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως εἰς ΝΑΙ ποιοῦσι [e]τὸ ἀπαρέμφατον ἐπὶ τῶν εἰς ΜΙ, καὶ συστολὴ παρακολουθεῖ δηλονότι τῆς παραληγούσης κατὰ τὰ ἀπαρέμφατα ἐν τῷ ἐνεστῶτι καὶ παρατατικῷ, οἷον ἐτίθην τιθεὶς τιθέναι, καὶ ἵστην ἱστὰς ἱστάναι, ἐδίδου διδοὺς διδόναι, ἐζεύγνυν ζευγνὺς ζευγνύναι. Πρόσκειται "ἐν τῷ ἐνεστῶτι καὶ παρατατικῷ," διὰ τὸν δεύτερον ἀόριστον, τὰ γὰρ ἀπαρέμφατα τῶν εἰς ΜΙ τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ οὐ συστέλλουσι τὴν
356 a παραλήγουσαν· ἔστη στὰς στῆναι, ἔγνων γνοὺς γνῶναι, ἔφη φὰς φάναι, ἥλω ἁλοὺς ἁλῶναι, βιοὺς βιῶναι· σεσημείωται τὸ δοῦναι, θεῖναι, εἶναι, (ὃ σημαίνει τὸ ἀπολῦσαι, ἐξ οὗ τὸ ἀφεῖναι,) ὅτι ἀπαρέμφατα ὄντα δευτέρου ἀορίστου ἐνεργητικοῦ οὐκ ἐφύλαξαν τὸ φωνῆεν τοῦ ἀορίστου, ἀλλὰ διὰ διφθόγγου ἐγένοντο, ἔδων γὰρ διὰ τοῦ Ω καὶ δοῦναι διὰ τῆς ΟΥ διφθόγγου, καὶ πάλιν ἔθην καὶ ἧν, (σημαίνει δὲ τὸ ἀπέλυσα,) θεῖναι, εἶναι, διὰ τῆς ΕΙ διφθόγγου. Περὶ δὲ τούτων, φημὶ δὴ τοῦ δοῦναι, θεῖναι, εἶναι, ἐν τοῖς ἀπαρεμφάτοις τῶν εἰς Ω μεμαθήκαμεν ἐν τῇ περὶ τοῦ ἐνεργητικοῦ παρατατικοῦ διδασκαλίᾳ. Διὰ τοῦτο δὲ τὰ ἀπαρέμφατα τῶν εἰς ΜΙ κατὰ μὲν τὸν ἐνεστῶτα καὶ παρατατικὸν συστέλλουσι τὴν παραλήγουσαν, κατὰ δὲ τὸν β' ἀόριστον τὸν ἐνεργητικὸν οὐ συστέλλουσι τὴν παραλήγουσαν, ἐπειδὴ καὶ ἐν τοῖς ὁριστικοῖς, ὡς ἐκεῖσε μεμαθήκαμεν, ὁ μὲν ἐνεστὼς καὶ ὁ παρατατικὸς τῶν εἰς ΜΙ συστέλλουσι τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς, οἷον τίθημι τίθεμεν, δίδωμι δίδομεν· ὁ δὲ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς οὐ συστέλλει τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς, οἷον ἔστην ἔστημεν, ἔγνων ἔγνωμεν, σεσημειωμένου τοῦ ἔδομεν καὶ ἔθεμεν καὶ ἕμεν, (ὃ σημαίνει τὸ ἀπελύσαμεν.) Θέλουσι δὲ τὰ εἰς ΝΑΙ ἀπαρέμφατα τὴν παραλήγουσαν φυλάττειν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, οἷον ἐτύφθημεν τυφθῆναι· οὕτως οὖν καὶ ἐτίθεμεν τιθέναι, καὶ ἵσταμεν ἱστάναι, καὶ ἐδίδομεν διδόναι, καὶ ἐζεύγνυμεν ζευγνύναι, διὰ συνεσταλμένου τοῦ Υ, καὶ ἔστημεν στῆναι, καὶ ἔβημεν βῆναι, καὶ ἔγνωμεν γνῶναι,

[e] τὰ ἀπαρέμφατα Bar.

καὶ ἤλωμεν ἁλῶναι, καὶ ἐβίωμεν βιῶναι· περὶ γὰρ τοῦ ἔδομεν δοῦναι, καὶ ἔθεμεν θεῖναι, καὶ ἕμεν εἶναι, ὅτι οὐκ ἐφύλαξαν τὴν παραλήγουσαν τοῦ πρώτου [f]προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, ἀλλὰ διὰ διφθόγγου ἐγένοντο, καὶ ὑπὲρ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, τετύφαμεν γὰρ διὰ τοῦ Α τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ὁριστικοῦ, καὶ τετυφέναι διὰ τοῦ Ε, ἐν τοῖς εἰς Ω μεμαθήκαμεν.

Ἰστέον δὲ ὅτι τὸ εἶναι, τὸ ἐπὶ τοῦ ὑπάρχειν, ὤφειλεν εἶναι ἕναι διὰ τοῦ Ε, καὶ οὐ διὰ τῆς ΕΙ διφθόγγου, ἐπειδὴ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, φημὶ δὲ τοῦ εἰμὶ, ἐμὲν ἐστὶν, ὅπερ κατὰ πλεονασμὸν τοῦ Σ γίνεται ἐσμέν. Ἔστιν οὖν εἰπεῖν ὅτι εὕρηται καὶ εἰμὲν διὰ τῆς ΕΙ διφθόγγου κατὰ πλεονασμὸν τοῦ Ι, [Il. η΄. 231.]

ἡμεῖς δέ εἰμεν τοῖοι.

οὐκ ἄτοπον οὖν ἐκ τοῦ εἰμὲν τοῦ διὰ τῆς ΕΙ διφθόγγου γενέσθαι τὸ εἶναι ἐπὶ τοῦ ὑπάρχειν διὰ τῆς ΕΙ διφθόγγου· τὸ δὲ εἶναι ἀπαρέμφατον τὸ ἐπὶ τοῦ πορευθῆναι, ἐξ οὗ τὸ ἀπεῖναι, καὶ αὐτὸ διὰ τῆς ΕΙ διφθόγγου ἔχει τὴν παραλήγουσαν, ὀφεῖλον διὰ τοῦ Ι εἶναι πρὸς τὸ ἴμεν πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ· εἰρήκαμεν γὰρ ὅτι τὰ μὲν ἑνικὰ τοῦ σημαίνοντος τὸ [g]πορεύομαι διὰ τῆς ΕΙ διφθόγγου
356 b γράφεται, τὰ δὲ δυϊκὰ καὶ τὰ πληθυντικὰ διὰ τοῦ Ι. Τούτων οὕτως ἐχόντων, φησὶν ὁ τεχνικὸς ἕτερον κανόνα· κανονίζονται τὰ ἐνεργητικὰ ἀπαρέμφατα τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ τῶν εἰς ΜΙ, πᾶν ὁριστικὸν πληθυντικὸν ἐνεργητικὸν τῶν εἰς ΜΙ χρόνου ἐνεστῶτος τροπῇ τῆς ΜΕΝ εἰς ΝΑΙ ποιεῖ τὸ ἀπαρέμφατον, οἷον τίθεμεν, τίθεναι.

"Παρακειμένου καὶ ὑπερσυντελικοῦ, τεθεικέναι." Ὥσπερ ἐν τοῖς εἰς Ω ὁριστικοῖς ὁ ἐνεργητικὸς παρακείμενος κατὰ τὸ τρίτον αὐτοῦ πρόσωπον προσλαμβάνων τὴν ΝΑΙ τὸ ἀπαρέμφατον ποιεῖ, οὕτως καὶ ἐν τοῖς εἰς ΜΙ γίνεται· μέσου δὲ ἀπαρέμφατον οὐκ ἔστιν ἐν τοῖς εἰς ΜΙ εὑρεῖν, ἐπειδὴ οὔτε ὁριστικὸς μέσος παρακείμενος.

[f] @ (8) Bar.   [g] πορεύονται Bar.

"Ἀορίστου πρώτου οὐκ ἔστιν οὐδεμία κλίσις μετὰ τὰ ὁριστικά." Ἤδη καὶ ἐν τοῖς εἰς ω μεμαθήκαμεν, ὅτι ὁ ἔθηκα, ἔδωκα, καὶ ὁ ἧκα, (σημαίνει δὲ τὸ ἔπεμψα,) πρῶτοι ἀόριστοι σεσημείωνται, καὶ ὅτι μετὰ τὰ ὁριστικὰ οὐκ ἐκλίθησαν· οὔτε γὰρ εἰς τὰς λοιπὰς ἐγκλίσεις κλίνονται, δῆλον ὅτι μετὰ τὴν ὁριστικὴν, οὔτε εἰς τὰς μετοχάς. Γίνεται τὸ ἀπαρέμφατον τοῦ πρώτου ἀορίστου καὶ ἐν τοῖς εἰς μι, [ὥσπερ ἐν τοῖς εἰς ω, ἀπαραλλάκτως· καθάπερ γὰρ ἀπὸ τοῦ ἔτυψα ὁριστικοῦ πρώτου ἀορίστου γίνεται τὸ ἀπαρέμφατον τύψαι, οὕτως ἀπὸ τοῦ ἔβησα, καὶ ἔστησα, καὶ ἔφησα ἀορίστων γίνεται ἀπαρέμφατα στῆσαι καὶ βῆσαι καὶ φῆσαι· οὗτοι γὰρ οἱ ἀόριστοι οὐχ ἡμάρτηνται, ὥσπερ ὁ ἔδωκα καὶ ἔθηκα καὶ ὁ ἧκα.]

"Ἀορίστου δευτέρου, θεῖναι." Λέγει ὁ τεχνικὸς, ὅτι ἀναλόγως μὲν τῇ μετοχῇ εἰς σ οὔσῃ ὀξυτόνῳ, οἷον θεὶς, εἷς, εἶναι ἐστὶ τὸ ἀπαρέμφατον· ἔδει μέντοι αὐτὸ θῆναι γενέσθαι διὰ τοῦ η· τὸ γὰρ τρίτον πρόσωπον τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ προσθέσει τῆς ναι καὶ συστολῇ τῆς παραληγούσης τὸ ἀπαρέμφατον ποιεῖ, οἷον ἔστην στῆναι, ἔβην βῆναι, ἔγνων γνῶναι· ἀλλ' ἐμάθομεν, ὅτι ἡμάρτηται τὸ θεῖναι, δοῦναι, εἶναι.

Μέλλων πρῶτος θήσειν. Ὥσπερ ἐπὶ τῶν εἰς ω τὸ ἀπαρέμφατον ἐνεργητικὸν τοῦ πρώτου μέλλοντος κανονίζεται ἀπὸ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν προσθέσει τοῦ ν, οἷον τύψει, τύψειν· οὕτω καὶ ἐπὶ τῶν εἰς μι ἀπαραλλάκτως. [h]Δευτέρου μέλλοντος ἐνεργητικοῦ ἀπαρεμφάτου. Ἐν τοῖς εἰς μι οὐκ ἔστιν, ἐπειδὴ οὐδὲ ὁριστικὸς δεύτερος μέλλων ἐνεργητικὸς ἐστὶν ἐν τοῖς εἰς μι.

Ἀπαρέμφατα παθητικά.

"Χρόνων ἐνεστῶτος καὶ παρατατικοῦ, τίθεσθαι."

Ἐμάθομεν ὅτι πᾶν τρίτον πρόσωπον παθητικὸν ἢ μέσον, ἔχον τὸ μ κλιτικὸν, τρέπει τὴν ἐσχάτην εἰς θαι, καὶ τὴν κατ' ἀρχὰς κλιτικὴν ἔκτασιν συστέλλον τὸ ἀπαρέμφατον ποιεῖ·

[h] β' μέλλοντα ἐνεργητικὸν ἀπαρέμφατον ποιεῖ. ἐπειδὴ Bar.

καὶ εἰ μὲν καθαριεύει τὸ τ, καὶ τὸ ς *προσλαμβάνει· εἰ δὲ συμφώνῳ παραλήγοιτο, τηρεῖ τὸ σύμφωνον, χωρὶς εἰ μή πω ψιλὸν εἴη, τότε γὰρ δι' ἀσυνταξίαν εἰς τὸ ἀντίστοιχον δασὺ τρέπεται.*

"*Παρακειμένου καὶ ὑπερσυντελικοῦ. Τεθεῖσθαι.*" *Ἀπὸ τοῦ τέθειται γέγονε τεθεῖσθαι, ὥσπερ ἀπὸ τοῦ πεποίηται πεποιῆσθαι· διὰ τί δὲ καταβιβάζει τὸν τόνον, ἐν τοῖς εἰς* ω *μεμαθήκαμεν.*

357 a "*Ἀορίστου πρώτου, τεθῆναι.*" *Ἀπὸ τοῦ ἐτέθη γέγονε τεθῆναι· εἰς* ς *γὰρ ἐστὶ μετ' ὀξείας τάσεως ἡ μετοχή, οἷον τεθείς, καὶ εὐλόγως εἰς* ΝΑΙ *ποιεῖ τὸ ἀπαρέμφατον. Ἰστέον δὲ ὅτι ἐν τοῖς εἰς* ΜΙ *οὐκ ἔστιν ἀπαρέμφατον δευτέρου παθητικοῦ ἀορίστου, ἐπειδὴ οὔτε ὁριστικὸς εὑρίσκεται παθητικὸς δεύτερος ἀόριστος ἐν τοῖς εἰς* ΜΙ *δι' ἣν* [i]*ἔγνωμεν αἰτίαν.*

"*Μέσου ἀορίστου, θέσθαι.*" *Ἀπὸ τοῦ ἔθετο γέγονε θέσθαι, ὥσπερ ἀπὸ τοῦ ἐλάβετο, λαβέσθαι. Ἰστέον δὲ ὅτι παρέλιπεν ὁ τεχνικὸς τὸ ἀπαρέμφατον τοῦ πρώτου μέσου ἀορίστου· τὸ γὰρ θέσθαι δευτέρου μέσου ἀορίστου ἐστίν· ἔστιν οὖν τὸ ἀπαρέμφατον τοῦ πρώτου μέσου ἀορίστου τοῦ ἀπὸ τοῦ ἐστήσατο, στήσασθαι, ὥσπερ ἀπὸ τοῦ ἐποιήσατο ποιήσασθαι· ὁ γὰρ ἐθηκάμην πρῶτος μέσος ἀόριστος οὐκ ἔχει ἀπαρέμφατον· ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι τὸ ἔθηκα, ἔδωκα, ἧκα, (ὃ σημαίνει τὸ ἔπεμψα,) οὐ κλίνεται μετὰ τὰ ὁριστικά· οὔτε γὰρ εἰς τὰς λοιπὰς ἐγκλίσεις* [k]*κλίνονται μετὰ τὴν ὁριστικήν, οὔτε εἰς τὰς μετοχάς.*

"*Μέλλοντος πρώτου παθητικοῦ, τεθήσεσθαι.*" *Ἀπὸ τοῦ τεθήσεται γέγονε τεθήσεσθαι, ὥσπερ ἀπὸ τοῦ τυφθήσεται, τυφθήσεσθαι. Δευτέρου μέλλοντος παθητικοῦ ἐν τοῖς εἰς* ΜΙ *οὐκ ἔστιν ἀπαρέμφατον, διότι οὔτε ὁριστικὸς εὑρίσκεται παθητικὸς δεύτερος μέλλων ἐν τοῖς εἰς* ΜΙ, *ὡς ἔγνωμεν.*

"*Μέσου μέλλοντος πρώτου, θήσεσθαι.*" *Ἀπὸ τοῦ θήσεται γέγονε τὸ ἀπαρέμφατον θήσεσθαι. Ἰστέον δὲ ὅτι μέσου δευτέρου μέλλοντος ἐν τοῖς εἰς* ΜΙ *οὐκ ἔστιν ἀπαρέμφατον, ἐπεὶ οὐδὲ*

[i] *εὕρομεν* Bar. [k] *γίνονται* Bar.

ὁριστικὸς μέλλων μέσος δεύτερος εὑρίσκεται ἐν τοῖς εἰς ΜΙ. "Μετ' ὀλίγον μέλλων τεθείσεσθαι." Ἀπὸ τοῦ τεθείσεται γέγονε τεθείσεσθαι· ἰστέον δὲ ὅτι συνέπεσεν ἐνταῦθα κατὰ φωνὴν τὸ ἀπαρέμφατον τοῦ παθητικοῦ πρώτου μέλλοντος καὶ τὸ ἀπαρέμφατον τοῦ μετ' ὀλίγον μέλλοντος, ἀλλὰ κατὰ τὴν γραφὴν διαστέλλονται.

Περὶ προστακτικῶν.

"Προστακτικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ· τίθετον." Ἰστέον ὅτι τὰ προστακτικὰ τῶν εἰς ΜΙ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ διχῶς κανονίζονται· κανονίζονται γὰρ ἐκ τοῦ παρατατικοῦ τῷ κοινῷ λόγῳ, τουτέστιν ὥσπερ τὰ εἰς Ω τοῦ τρίτου προσώπου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλοντα, οἷον ἐτίθει, τίθει σύ· ἵστη, ἵστη σύ· ἐμπίπλη, πίπλη σύ· γίνονται δὲ καὶ τῷ λόγῳ τῆς μετοχῆς εἰς ΘΙ· καθόλου γὰρ πᾶσα μετοχὴ εἰς Σ λήγουσα μετ' ὀξείας τάσεως διὰ τοῦ ΝΤ κλινομένη εἰς ΘΙ ποιεῖ τὸ προστακτικὸν, οἷον ἐτύφθη, τυφθεὶς, τυφθέντος, τύφθηθι, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων κατὰ μετάθεσιν τοῦ Θ εἰς τὸ Τ τύφθητι· τὰ δὲ εἰς ΜΙ κατὰ τὸν ἐνεστῶτα καὶ παρατατικὸν, καὶ συστέλλουσι τὴν παραλήγουσαν ἐν τοῖς προστακτικοῖς πρὸς τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, οἷον ἱστὰς, ἱστάντος, ἵσταμεν, ἵσταθι· διδοὺς διδόντος, δίδομεν, δίδοθι· τὸ γὰρ παρὰ τῷ ποιητῇ, [Od. γ΄. 380.]

δίδωθι δέ μοι κλέος ἐσθλὸν,

357 b ποιητικῶς ἐξέτεινε τὸ Ο εἰς τὸ Ω. Πρόσκειται "κατὰ τὸν ἐνεστῶτα καὶ παρατατικὸν" διὰ τὸν δεύτερον ἀόριστον· τὰ γὰρ προστακτικὰ τῶν εἰς ΜΙ τοῦ δευτέρου ἀορίστου οὐ συστέλλουσι τὴν παραλήγουσαν τῶν πληθυντικῶν, οἷον ἱστὰς ἱστάντος, [1]ἔστημεν στῆθι, [βὰς βάντος, ἔβημεν βῆθι· γνοὺς γνόντος, ἔγνωμεν γνῶθι·] σεσημείωται δὲ δὸς, θὲς, ἒς, (ὃ σημαίνει τὸ πέμψον καὶ ἀπόλυσον, ἐξ οὗ τὸ ἄφες καὶ πρόες,) ὅτι ταῦτα ἔχοντα τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως διὰ

[1] ἵστημιν Bar.

τοῦ ΝΤ κλινομένην, οἷον δοὺς δόντος, θεὶς θέντος, εἷς ἕντος, ἐξ οὗ τὸ ἀφεὶς ἀφέντος, οὐκ ἔχουσιν εἰς ΘΙ τὸ προστακτικὸν, δὸς γὰρ καὶ θὲς καὶ ἓς τὰ προστακτικὰ [τούτων·] τὸ δὲ ἓς, ὡς εἴρηται, σημαίνει τὸ πέμψον, ὡς παρὰ τῷ ποιητῇ [Il. α′. 127.]

ἀλλὰ σὺ μὲν [νῦν] τήνδε θεῷ πρόες.

Τούτων οὕτως ἐχόντων, τὸ ἴθι, (ὃ σημαίνει τὸ πορεύου, οἷον [Il. α′. 32.]

ἀλλ' ἴθι, μή μ' ἐρέθιζε, σαώτερος ὥς κε νέηαι,)

ἀπὸ τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι γέγονεν· ἔστι γὰρ ἴμεν τὸ πληθυντικὸν διὰ τοῦ Ι, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, καὶ λοιπὸν ἐκεῖθεν τὸ προστακτικὸν τροπῇ τῆς ΜΕΝ εἰς ΘΙ γίνεται ἴθι, ὥσπερ ἵσταμεν ἵσταθι, δίδομεν δίδοθι· τὸ δὲ ἴθι τὸ σημαῖνον τὸ ὕπαρχε γέγονεν οὕτως· ἔστιν εἰμὶ τὸ σημαῖνον τὸ ὑπάρχω, τούτου τὸ πληθυντικὸν ἐμὲν, ὅπερ κατὰ πλεονασμὸν τοῦ Σ γίνεται ἐσμέν· ἀπὸ τοῦ ἐμὲν ἀναλόγως γέγονε προστακτικὸν ἔθι, καὶ πλεονασμῷ τοῦ Σ ἐτράπη τὸ Ε εἰς τὸ Ι, [καὶ γέγονεν ἴσθι, ἀντὶ τοῦ ὕπαρχε, ὥσπερ ἐπὶ τοῦ ἔχω, καὶ πλεονασμῷ τοῦ Σ, καὶ τρέπεται τὸ Ε εἰς τὸ Ι,] καὶ γίνεται ἴσχω· πολλάκις γὰρ πλεονάζοντος συμφώνου τρέπεται τὸ Ε εἰς Ι, ὥσπερ ἐπὶ τοῦ μένω μίμνω, τέκω τίκτω· τοῦτο δὲ τὸ ἴσθι, τὸ σημαῖνον τὸ ὕπαρχε, κατὰ τὸ τρίτον πρόσωπον τὸ ὀφειλόμενον Ε ἀναδέχεται, καὶ γίνεται ἔστω· [τὸ δὲ ἴσθι, τὸ σημαῖνον τὸ γίνωσκε, γέγονεν οὕτως·] ὥσπερ ἀπὸ τοῦ ἵστημι γέγονεν ἵσταμαι καὶ ἵσταθι, οὕτω καὶ ἀπὸ τοῦ ἴσημι τοῦ σημαίνοντος τὸ γινώσκω, ὅπερ Δωρικῶς γίνεται ἴσαμι, ὡς δηλοῖ ὁ Θεόκριτος λέγων, [5, 119.]

καλῶς [m]τοῦτό γε μάλα ἴσαμι,

καὶ γίνεται τὸ πληθυντικὸν ἴσαμεν, καὶ κατὰ συγκοπὴν τοῦ Α ἴσμεν· ἐκ δὲ τούτου γίνεται τὸ προστακτικὸν ἴσαθι, καὶ κατὰ συγκοπὴν τοῦ Α ἴσθι, καὶ λοιπὸν τροπῇ τοῦ ΘΙ εἰς τὸ ΤΩ ἴστω.

"Τιθέτω." Εἴρηται ὅτι τὰ εἰς ΘΙ προστακτικὰ τροπῇ

[m] τοδε μ (γλ) Bar.

τοῦ θι εἰς τω τὸ τρίτον πρόσωπον ποιοῦσιν, οἷον δίδοθι, διδότω· τὸ γὰρ τ ἐνταῦθα δυνάμει θ ἐστί.

"Τίθετον, τιθέτων, τίθετε, τιθέτωσαν, εἴρηται. Παρακειμένου καὶ ὑπερσυντελικοῦ, τέθεικε, τεθεικέτω, τεθείκετον, τεθεικέτων, τεθείκετε, τεθεικέτωσαν. Ἀορίστου πρώτου καὶ μέλλοντος."

Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ ἔτυψα γέγονε τύψον, οὕτω καὶ ἀπὸ τοῦ ἔθηκα ὤφειλε γενέσθαι θῆκον, ἀλλ', ὡς ἐμάθομεν, τὸ ἔθηκα, ἔδωκα, ἧκα, μετὰ τὰ ὁριστικὰ οὐ κλίνονται· κλίνομεν οὖν ἀντ' [n] αὐτοῦ τὸ στῆσον, στησάτω, στήσατον, στησάτων, στήσατε, στησάτωσαν.

358 a "Ἀόριστος β' θὲς, θέτω." Ἰστέον ὅτι ὁ ἔχων τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, οἷον θεὶς, θέντος, εἰς θι ὤφειλεν ἔχειν τὸ προστακτικὸν, ἀλλ' ἐμάθομεν ὅτι σεσημείωται καὶ αὐτό· καὶ τὸ δὸς καὶ τὸ ἕς· ταῦτα μετ' ὀξείας τάσεως ἔχουσι τὴν μετοχὴν εἰς ς καὶ διὰ τοῦ ντ κλινομένην, οἷον δοὺς δόντος, εἷς ἕντος, ἐξ οὗ τὸ ἀφεὶς ἀφέντος. Δεῖ δὲ γινώσκειν, ὅτι ἀόριστον μόνον λέγομεν ἐνταῦθα, οὐ μὴν ἀόριστον καὶ μέλλοντα, ἐπειδὴ, ὡς ἐμάθομεν, οὐκ ἔστιν ἐν τοῖς εἰς μι δεύτερος μέλλων ὁριστικὸς ἐνεργητικός.

"Θέτον, θέτων, θέτε, θέτωσαν· ὡς εἴρηται.

Προστακτικὰ παθητικά.

Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ· τίθεσο."

Ἰστέον ὅτι ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ παθητικοῦ παρατατικοῦ γέγονε κατὰ ἀποβολὴν τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, οἷον ἵστασο, καὶ δίδοσο.

"Τιθέσθω, τίθεσθον, τιθέσθων, τίθεσθε, τιθέσθωσαν. παρακειμένου καὶ ὑπερσυντελικοῦ τέθεισο," ἀπὸ τοῦ ἐτέθεισο γέγονε τέθεισο.

"Τεθείσθω, τέθεισθον, τεθείσθων, τέθεισθε, τεθείσθωσαν. Ἀορίστου πρώτου καὶ μέλλοντος, τέθητι." Ἔστιν ἐτέθην καὶ ἡ μετοχὴ θεὶς θέντος εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένη, καὶ γίνεται τὸ προστακτικὸν εἰς θι, ἀλλὰ

[n] αὐτῶν Bar.

διὰ τὴν ἐπαλληλίαν τῶν δασέων τέθητι, τραπέντος τοῦ θ εἰς τ. Ἰστέον δὲ ὅτι ἐν τοῖς εἰς μι προστακτικὸν δευτέρου ἀορίστου παθητικοῦ καὶ δευτέρου μέλλοντος οὐκ ἔστιν, ἐπειδὴ οὔτε ὁριστικὸς ἐστὶν, ὡς ἐμάθομεν.

"Τεθήτω, τέθητον, τεθήτων, τέθητε, τεθήτωσαν· μέσου ἀορίστου δευτέρου· θοῦ." Ἐμάθομεν ἀνωτέρω ὅτι τὸ δεύτερον πρόσωπον τοῦ ἐθέμην διχῶς λέγεται· λέγεται γὰρ ἔθεσο, καὶ ἔθου, κατὰ ἀποβολὴν καὶ κρᾶσιν τῶν φωνηέντων· ἐκ τοῦ οὖν πεπονθότος, φημὶ δὴτ οὗ ἔθου, γίνεται τὸ προστακτικὸν, κατὰ ἀποβολὴν τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, θοῦ, ἐξ οὗ τὸ κατάθου, καὶ παράθου, φημὶ γὰρ ἐκ τοῦ ἔθεσο μὴ γενέσθαι τὸ προστακτικόν. Ἰστέον δὲ ὅτι τὸ θοῦ δευτέρου μέσου ἀορίστου ἐστὶ τὸ προστακτικὸν, οὐ μὴν καὶ μέλλοντος· ἐν γὰρ τοῖς εἰς [o] μι οὐκ ἔστιν, ὡς ἐμάθομεν, δεύτερος μέσος μέλλων ὁριστικός· ὁριστικοῦ δὲ μὴ ὄντος, οὔτε προστακτικόν ἐστι· τὸ δὲ προστακτικὸν τοῦ πρώτου ἀορίστου καὶ μέλλοντος οὐ παρέθετο, ἐπειδὴ, ὡς ἐμάθομεν, τὸ ἔθηκα, ὡσαύτως δὲ καὶ τὸ ἔδωκα, καὶ ἧκα, (ὃ σημαίνει τὸ ἔπεμψα,) μετὰ τὰ ὁριστικὰ οὐ κλίνονται· οὔτε γὰρ εἰς τὰς μετοχὰς κλίνονται, οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις· τὸ μέντοι ἐστησάμην δύναται κατὰ ἀναλογίαν ἔχειν τὸ προστακτικὸν, τὸ "στῆσαι σὺ," ὥσπερ τὸ ἐποιησάμην, ποίησαι σύ. "Θέσθον, θέσθων, θέσθε, θέσθωσαν."

Περὶ εὐκτικῶν.

"Εὐκτικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ, τιθείην." Εἴρηται ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην εἰς ΗΝ καθαρὸν ἔχουσι τὸ εὐκτικὸν, τιθεὶς τιθέντος τιθείην, καὶ ἱστὰς ἱστάντος ἱσταίην, δοὺς δόντος δοίην, καὶ στὰς στάντος σταίην, καὶ φὰς φάντος φαίην, καὶ βὰς βάντος βαίην, καὶ γνοὺς γνόντος
358 b γνοίην· πῶς δὲ κανονίζομεν, εἴπωμεν (sic) καὶ περὶ τῶν εὐκτικῶν τῆς δ' συζυγίας τῶν εἰς μι, ὅτι ταῦτα οὐ παραλήγονται διφθόγγῳ, ζευγνύην, καὶ πηγνύην, χωρὶς τοῦ ι.

[o] ΜΙ Bar. ΜΗΝ Par.

Ἀποροῦσι δέ τινες, λέγοντες, εἰ ἄρα τὸ ο διὰ τῆς προσθήκης τοῦ τ πέφυκε μεγεθύνεσθαι, οἷον τύπτοντος τύπτουσα, διὰ τί ἐπὶ τοῦ δόντος δοίην, καὶ γνόντος γνοίην τὸ ι προσῆλθε καὶ οὐ τὸ τ; Ἔστιν οὖν εἰπεῖν, ὅτι διὰ τοῦτο προσῆλθε τὸ ι καὶ οὐ τὸ τ, ἐπειδὴ τὰ εὐκτικὰ διφθόγγῳ [p] θέλουσι παραλήγεσθαι τῇ μετὰ τοῦ ι, οἷον τύπτοιμι, ἱσταίην, τυφθείην· οὕτως οὖν καὶ δοίην καὶ γνοίην διὰ διφθόγγου τῆς μετὰ τοῦ ι.

"Τιθείην, τιθείη, τιθείητον, τιθειήτην, τιθείημεν, τιθείητε, τιθείησαν. Εἴρηται. Παρακειμένου καὶ ὑπερσυντελικοῦ. Τεθείκοιμι." Ὥσπερ ἀπὸ τοῦ τετυφότος γέγονε τετύφοιμι, καὶ ἀπὸ τοῦ [q] τεθεικότος, τεθείκοιμι. Ἰστέον ὅτι καὶ εἰς Σ μετ' ὀξείας τάσεως ἐστὶν ἡ μετοχὴ, ἀλλ' οὐ κλίνεται διὰ τοῦ ΝΤ, ἵνα γένηται εἰς ΗΝ καθαρὸν τὸ εὐκτικόν. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, ὡς ἡ μὲν ἀναλογία ἀπαιτεῖ τὸ τέθηκα διὰ τοῦ Η γράφεσθαι, θήσω γὰρ ὁ μέλλων διὰ τοῦ Η, ἐπεκράτησε δὲ κατὰ Βοιωτοὺς διὰ τῆς ΕΙ διφθόγγου γράφεσθαι.

"Τεθείκοις, τεθείκοιτε, τεθείκοιτον, τεθεικοίτην· τεθείκοιμεν (sic), τεθείκοιτε, τεθείκοιεν. Εἴρηται. Ἀορίστου πρώτου." Ἰστέον ὅτι κατὰ ἀναλογίαν τὸ ἔθηκα ὤφειλε ποιῆσαι τὸ εὐκτικὸν θήκαιμι, ὥσπερ τὸ ἔτυψα τύψαιμι· ἀλλ', ὡς ἐμάθομεν, τὸ ἔθηκα, ἔδωκα, ἧκα, (ὃ σημαίνει τὸ ἔπεμψα,) μετὰ τὰ ὁριστικὰ οὐ κλίνονται· οὔτε γὰρ εἰς μετοχὰς κλίνονται, οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις· κλίνομεν οὖν ἀντ' αὐτοῦ τὸ στήσαιμι, στήσαις, στήσαι, στήσαιτον, στησαίτην, στήσαιμεν, στήσατε, στήσαιεν. Εἴρηται.

"Ἀορίστου δευτέρου θείην." Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τυφθεὶς τυφθέντος γέγονε τυφθείην, οὕτως καὶ ἀπὸ τοῦ θεὶς θέντος γέγονε θείην, καὶ ἀπὸ τοῦ στὰς στάντος γέγονε σταίην, καὶ ἀπὸ τοῦ δοὺς δόντος γίνεται δοίην, καὶ κατ' ἔκτασιν τοῦ ο δῴην προσγραφομένου τοῦ ι,

> δῴη κῦδος ἀρέσθαι.

[p] φιλοῦσι Bar.

[q] τέθεικα Bar.

“ Θείης, θείη, θείητον, θειήτην, θείημεν, θείητε, θειήσαν. Μέλλων πρῶτος, θήσοιμι.” Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τύψων τύψοντος γίνεται τὸ εὐκτικὸν τύψοιμι, οὕτω καὶ ἀπὸ τοῦ θήσων θήσοντος γίνεται τὸ εὐκτικὸν θήσοιμι. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι [ἐν τοῖς εὐκτικοῖς οὐκ ἐπιλιμπάνει ὁ μέλλων τοῦ τίθημι· θήσοιμι γάρ ἐστιν·] ὥσπερ ἐπιλιμπάνει ἐν τοῖς προστακτικοῖς καὶ ἐν τοῖς ὑποτακτικοῖς· [οὔτε γὰρ θῆκον λέγομεν, οὔτε ἐὰν θήκω, καὶ τοῦτο εὐλόγως· καὶ γὰρ ἐν μὲν τοῖς εὐκτικοῖς οὐ συνέζευκται τῷ ἀορίστῳ ὁ μέλλων, ἵνα τοῦ ἀορίστου ἐπιλιμπάνοντος συνεπιλείψῃ καὶ ὁ μέλλων, ἐν δὲ τοῖς προστακτικοῖς καὶ τοῖς ὑποτακτικοῖς] ὁ ἀόριστος καὶ ὁ μέλλων συνεζευγμένοι εἰσί· καὶ
359 a λοιπὸν τοῦ ἔθηκα ἐπιλιμπάνοντος καὶ μὴ δυναμένου κλίνεσθαι μετὰ τὰ ὁριστικά, [r]συνεπιλιμπάνουσι καὶ οἱ συνεζευγμένοι αὐτῶν μέλλοντες· θήσοις, θήσοι, θήσοιτον, θησοίτην, θήσοιμεν, θήσοιτε, θήσοιεν. Εἴρηται.

“ Εὐκτικὰ παθητικά, χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ, τιθείμην.” Ἰστέον ὅτι ἀπὸ τοῦ ἐτιθέμην γέγονε τιθείμην, ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, καὶ τοῦ ι πρὸ τοῦ μ προσελθόντος, καὶ πάλιν ἀπὸ τοῦ ἱστάμην, ἱσταίμην, καὶ ἀπὸ τοῦ ἐδιδόμην, διδοίμην· τὸν δὲ κανόνα ἐν τοῖς εἰς ω εἰρήκαμεν. Δεῖ δὲ γινώσκειν ὅτι τὰ εὐκτικὰ τῆς δʹ συζυγίας τῶν εἰς μι οὐκ ἔχουσι πρὸ τοῦ μ τὸ ι, (ζευγνύμην γὰρ καὶ πηγνύμην χωρὶς τοῦ ι,) ἐπειδὴ οὐδέποτε μετὰ τῆς υι διφθόγγου σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον αἴθυια.

“ Τιθεῖο, τιθεῖτο, τιθείμεθον, τίθεισθον, τιθείσθην, τιθείμεθα, τιθεῖσθε, τιθεῖντο. Παρακειμένου καὶ ὑπερσυντελικοῦ τιθείμην.” Ἀπὸ τοῦ τέθειμαι γέγονε τεθείμην, τεθεῖο, τεθεῖτο, τεθείμεθον, τέθεισθον, τεθείσθην, τεθείμεθα, τεθεῖσθε, τεθεῖντο.

“ Ἀορίστου πρώτου τεθείην.” Ὥσπερ ἀπὸ τοῦ τυφθεὶς τυφθέντος γέγονε τυφθείην, οὕτω καὶ ἀπὸ τοῦ τεθεὶς τεθέντος γέγονε τεθείην, τεθείης, τεθείη, τεθείητον, τεθειήτην, τεθείημεν, τεθείητε, τεθείησαν.

[r] συνεπιλίπουσι Bar.

"Μέσου ἀορίστου δευτέρου θείμην." Ἴστεον ὅτι ἀπὸ τοῦ ἐθέμην γέγονε θείμην τὸ εὐκτικὸν, θεῖο, θεῖτο, θείμεθον, θεῖσθον, θείσθην, θείμεθα, θεῖσθε, θεῖντο.

"Ὑποτακτικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ, ἐὰν τιθῶ." Εἴρηται, ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς Σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ΝΤ κλινομένην εἰς Ω μετὰ περισπωμένου τόνου ἔχουσι τὸ ὑποτακτικόν· τιθεὶς τιθέντος, ἐὰν τιθῶ. Δεῖ δὲ γινώσκειν ὅτι τὰ ὑποτακτικὰ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ τῶν εἰς ΜΙ ὁμοφωνοῦσι τοῖς ἰδίοις πρωτοτύποις, οἷον τιθῶ, ἐὰν τιθῶ. Ἰστέον δὲ ὅτι ἡ τετάρτη συζυγία οὐκ ἔχει ὑποτακτικὰ, καὶ τὴν αἰτίαν ἐν τοῖς εἰς Ω εἰρήκαμεν· φησὶ γὰρ ὁ τεχνικὸς, ὅτι τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν εἰς ΜΙ, ἐπὶ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ δῆλον ὅτι, ἐπὶ μὲν τῆς α' συζυγίας διὰ τοῦ Η καὶ Ι ἐκφέρεται, οἷον ἐὰν τιθῶ, ἐὰν τιθῇς, ἐὰν τιθῇ, ἐπὶ δὲ τῆς β' διὰ τῆς ΑΙ διφθόγγου, προσγραφομένου μὲν τοῦ Ι, μὴ συνεκφωνουμένου δὲ, [s] ἐὰν ἱστῶ, ἐὰν ἱστᾷς, ἐὰν ἱστᾷ, ἐπὶ δὲ τῆς τρίτης διὰ τῆς ΩΙ διφθόγγου, οἷον ἐὰν διδῷς, ἐὰν διδῷ, [ὡς καὶ Εὐριπίδης [Orest. 685.]

δύναμιν ἣν διδῷ θεός.]

Ταῦτα δὲ πάντα ἀκριβῶς εἴρηται ἐν τοῖς εἰς Ω.

"Ἐὰν τιθῇς, ἐὰν τιθῇ, ἐὰν τιθῆτον, ἐὰν τιθῆτον, ἐὰν τιθῶμεν, ἐὰν τιθῆτε, ἐὰν τιθῶσι. Παρακειμένου καὶ ὑπερσυντελικοῦ ἐὰν τεθείκω." Πρόδηλος ἡ κλίσις. "Ἀορίστου πρώτου καὶ μέλλοντος, [t] στήσω." Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ ἔτυψα γίνεται ἐὰν τύψω, οὕτω καὶ ἀπὸ τοῦ ἔθηκα [ἔδει γενέσθαι] ἐὰν θήκω· ἀλλ', ὡς πολλάκις εἴρηται, τὸ ἔθηκα, ἔδωκα, ἧκα, οὐ κλίνονται μετὰ τὰ ὁριστικά· τοῦ οὖν ἀορίστου κωλυομένου κλίνεσθαι ἐνταῦθα, εἰκότως καὶ ὁ μέλλων κωλύεται ἔχειν ὑποτακτικὰ, ἐπειδὴ συνηνωμένος ἐστὶ τῷ α' ἀορίστῳ· [ἐν γὰρ τοῖς ὑποτακτικοῖς ὁ ἀόριστος καὶ ὁ μέλλων ὁμοῦ εἰσι· κλίνομεν οὖν ἀντ' αὐτοῦ τὸ ἐὰν στήσω. Εἴρηται.

"Ἀορίστου δευτέρου ἐὰν θῶ." Ἰστέον ὅτι ὥσπερ ἀπὸ

[s] οἷον Bar. [t] θήσω ut videtur ex em. Bar.

τοῦ τυφθεὶς τυφθέντος γίνεται ἐὰν τυφθῶ, οὕτω καὶ ἀπὸ τοῦ θεὶς θέντος γίνεται ἐὰν θῶ. Δεῖ δὲ γινώσκειν ὅτι ἐπὶ τῶν ὑποτακτικῶν τοῦ δευτέρου ἀορίστου τῶν εἰς μι τὰ δεύτερα καὶ τρίτα πρόσωπα ἐπὶ μὲν τῆς πρώτης καὶ δευτέρας συζυγίας διὰ τοῦ η καὶ ι ἐκφέρονται, οἷον ἐὰν στῇς, ἐὰν στῇ· ἐπὶ δὲ τῆς τρίτης διὰ τῆς ωι διφθόγγου, ἐὰν δῷ, ἐὰν γνῷς, ἐὰν γνῷ, [Il. α'. 411.]

γνῷ δ' Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων.

Δεῖ δὲ γινώσκειν, ὅτι ἀόριστον δεύτερον μόνον λέγομεν καὶ οὐ μέλλοντα β', ἐπειδὴ δεύτερος μέλλων οὐκ ἔστιν ἐν τοῖς ὁριστικοῖς.

"Ὑποτακτικὰ παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ, ἐὰν τιθῶμαι." Ἰστέον ὅτι ἀπὸ τοῦ ἐτιθέμην γέγονε ἐὰν τιθῶμαι, καὶ τροπῇ τῆς ἐσχάτης εἰς μαι, καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ω, καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως· τὸν δὲ κανόνα εἰρήκαμεν ἐν τοῖς εἰς ω. Δεῖ δὲ γινώσκειν, ὅτι τὰ εἰς μι κατὰ τὸν ἐνεστῶτα τῶν ὑποτακτικῶν παθητικῶν προπερισπῶνται, οἷον ἐὰν τιθῶμαι, ἐὰν διδῶμαι, χωρὶς εἰ μή πω εὑρεθῇ τὸ ἐνεργητικὸν ἐν χρήσει· ἐὰν γὰρ μὴ εὑρεθῇ τὸ ὑποτακτικὸν ἐν χρήσει, τότε τὸ παθητικὸν προπαροξύνεται, οἷον ἐὰν δύνωμαι, ἐὰν κρέμωμαι· οὐκ ἔστι γὰρ τὸ δύνημι καὶ τὸ κρέμημι ἐν χρήσει· περὶ δὲ τῶν δευτέρων καὶ τρίτων προσώπων εἴρηται ἐν τοῖς εἰς ω. Ἐὰν τιθῇ, ἐὰν τιθῆται, ἐὰν τιθώμεθον, ἐὰν τιθῆσθον, τιθῆσθον, ἐὰν τιθώμεθα, τιθῆσθε, τιθῶνται.

"Παρακειμένου καὶ ὑπερσυντελικοῦ ἐὰν τεθῶμαι." Ἰστέον ὅτι ἀπὸ τοῦ τέθειμαι παθητικοῦ παρακειμένου γίνεται τὸ ὑποτακτικὸν τροπῇ τῆς παραληγούσης εἰς ω, ἐὰν τεθῶμαι. Ὁ μέντοι Ἀπολλώνιος οὐχ οὕτως κανονίζει, ἀλλὰ φησὶν ἀπὸ τοῦ ἐνεργητικοῦ ὑποτακτικοῦ γίνεσθαι προσθέσει τῆς μαι, οἷον ἀπὸ τοῦ ἐὰν τεθείκω, ἐὰν τεθείκωμαι, καὶ ἀπὸ τοῦ ἐὰν δεδώκω, ἐὰν δεδώκωμαι· [ἐλέγχει δὲ αὐτὸν ὁ Ἡρωδιανὸς, λέγων, ὅτι οὐ καλῶς δοξάζει· οὐδὲ γὰρ, φησὶν, εὕρηται παντελῶς ἐν χρήσει τὸ ἐὰν τεθείκωμαι, καὶ ἐὰν δεδώκωμαι,] ἀλλ' ἐὰν τεθῶμαι, καὶ ἐὰν δεδῶμαι· ἄλλως τε εἰ ὑπῆρχεν ἀληθὴς ὁ

[u] λόγος τοῦ Ἀπολλωνίου, καὶ [x] ἀπὸ τῶν ὑποτακτικῶν ἐνεργητικῶν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ ἐγίνετο τὸ ὑποτακτικὸν παθητικὸν, προσθέσει τῆς ΜΑΙ ὤφειλεν ἐὰν τετύφωμαι εἶναι, καὶ μὴ ἀναπληροῦσθαι διὰ μετοχῆς, διὰ τὸ τὸν τέτυμμαι παθητικὸν παρακείμενον [y] ἔχειν πρὸ τοῦ Μ σύμφωνον· καὶ πάλιν ἐὰν μεμνήκωμαι ὤφειλεν εἶναι, καὶ οὐχὶ
360 a ἐὰν μέμνωμαι, ἀπὸ τοῦ μέμνημαι. "Ἐὰν τεθῇ, ἐὰν τεθῆται, ἐὰν τεθήμεθον, τεθῆσθον, τεθῆσθον, ἐὰν τεθώμεθα, τεθῆσθε, τεθῶνται."

"Ἀορίστου πρώτου καὶ μέλλοντος, ἐὰν τεθῶ." [Ἰστέον ὅτι ἀπὸ τοῦ τεθεὶς τεθέντος γέγονεν ἐὰν τεθῶ, ἐὰν τεθῇς, ἐὰν τεθῇ, ἐὰν τεθῆτον, τεθῆτον, ἐὰν τεθῶμεν, τεθῆτε, τεθῶσιν. Εἴρηται.

"Μέσου ἀορίστου καὶ μέλλοντος. Ἐὰν θῶμαι."] Ἰστέον ὅτι ἀπὸ τοῦ ἐθέμην γέγονεν ἐὰν θῶμαι, τροπῇ τῆς ἐσχάτης εἰς ΜΑΙ, καὶ τοῦ ἐν τῇ παραληγούσῃ φωνήεντος εἰς Ω, καὶ ἀποβολῇ τῆς ἐν ἀρχαῖς κλιτικῆς ἐκτάσεως. Δεῖ δὲ γινώσκειν, ὅτι μέσου ἀορίστου μόνον ὤφειλεν εἰπεῖν, οὐ μὴν καὶ μέλλοντος, ἐπεὶ δεύτερος μέσος μέλλων οὐκ ἔστιν, ὡς εἴρηται· παρέλιπε δὲ ὁ τεχνικὸς τὸ ὑποτακτικὸν τοῦ πρώτου μέσου ἀορίστου καὶ μέλλοντος, ἐπειδὴ, ὡς πολλάκις εἴρηται, τὸ ἔθηκα, ἔδωκα, ἧκα, ἡμάρτηται· ἀντ' [z] αὐτῶν δὲ κλίνεται τὸ ἐὰν στήσωμαι. Ἐὰν θῇ, ἐὰν θῆται, ἐὰν θώμεθον, θῆσθον, θῆσθον, ἐὰν θώμεθα, θῆσθε, θῶνται Εἴρηται.

"Μετοχικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ, τιθείς." Εἴρηται, ὅτι πᾶν ῥῆμα ὁριστικὸν εἰς Ν λῆγον μετὰ φυσικῆς μακρᾶς μὴ ἔχον τὸ Μ κλιτικὸν εἰς Σ μετ' ὀξείας τάσεως ἔχει τὴν μετοχήν. Ἰστέον δὲ ὅτι ἐν τοῖς εἰς ΜΙ κατὰ τὸν ἐνεστῶτα καὶ παρατατικὸν καὶ τὸν δεύτερον ἀόριστον τὸν ἐνεργητικὸν ἐπὶ μὲν τῆς πρώτης συζυγίας διὰ τῆς ΕΙ διφθόγγου ἐκφέρεται ἡ μετοχὴ, οἷον ἐτίθην, τιθεὶς, ἵην, τὸ ἔπεμπον, ἱεὶς καὶ ἀφιεὶς, [a] ἦν, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου, εἷς καὶ ἀφιείς· ἐπὶ δὲ τῆς δευτέρας συζυγίας εἰς ΑΣ

[u] λόγιος Bar. [x] ῳ' ἀπὸ Bar. [y] ἔχοντα Bar. [z] αὐτοῦ Bar. [a] καὶ ἐπὶ μὲν τοῦ σημαινομένου εἰς ΑΣ καὶ ἀφείς. Bar.

ἐστὶν ἡ μετοχή, διὰ ἐκτεταμένου τοῦ Α, *οἷον ἵστην, ἱστάς,* [*ἔστην, στάς,*] *ἔπτην, πτάς· ἐπὶ δὲ τῆς τρίτης συζυγίας εἰς* ΟΥΣ *ἐστὶν ἡ μετοχή, οἷον ἐδίδων, διδούς, ἥλων, ἁλούς· ἐπὶ δὲ τῆς δ′ συζυγίας εἰς* ΥΣ *ἐστιν ἡ μετοχή, διὰ ἐκτεταμένου τοῦ* Υ, *ἔδυν, δύς, καὶ ὑποδύς. Εὐλόγως δὲ ἐπὶ τῆς πρώτης συζυγίας τῶν εἰς* ΜΙ *διὰ διφθόγγου ἐστὶν ἡ μετοχή, ἐπειδὴ καὶ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ* Ε *ἔχει, οἷον τιθέω· τὸ δὲ* Ε *διὰ τῆς προσθήκης τοῦ* Ι *πέφυκε μεγεθύνεσθαι, οἷον τυφθέντος, τυφθεῖσα, οὐκ ἠδύνατο γὰρ τὸ* Η *τοῦ ἰδίου ὁριστικοῦ, φημὶ δὴ τοῦ τίθημι, καὶ γενέσθαι εἰς* ΗΣ *διὰ τοῦ* Η, *ἐπειδὴ θέλουσιν ἔχειν αἱ μετοχαὶ κατάληξιν ἁρμόζουσαν τριγενῆ,(-είᾳ?) καὶ κλίσιν τὴν διὰ τοῦ* ΝΤ· *εἰς* ΗΣ *δὲ οὐκ ἔχομεν ὀνόματα, φημὶ δὲ διὰ τοῦ* Η *κλινόμενα διὰ τοῦ* ΝΤ [*καὶ ποιοῦντα τριγένειαν, ἀλλὰ καὶ αὐτὰ τὰ διὰ τοῦ* ΤΟΣ *κλινόμενα οὐκ ἔχουσι τριγένειαν, οἷον λέβης λέβητος· τὰ γὰρ εἰς* ΗΣ *διὰ τοῦ* ΕΟΣ *κλινόμενα ἔχουσι μὲν τριγένειαν, οἷον ὁ εὐσεβής, ἡ εὐσεβής, τὸ εὐσεβές· οὐκ ἔχουσι δὲ κλίσιν ἁρμόζουσαν μετοχαῖς, φημὶ δὴ τὴν διὰ τοῦ* ΝΤ· *τὰ γὰρ εἰς* ΗΣ *οὐδέποτε κλίνονται διὰ τοῦ* ΝΤ·] *τὸ γὰρ φθογγῆς φθογγῆντος καὶ τιμῆς τιμῆντος πεπονθότα*
361 b *εἰσίν· ἡ δὲ δευτέρα συζυγία εἰκότως διὰ τοῦ* Α *ἔχει τὴν μετοχήν, οἷον ἵστημι, ἱστάς, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ* Α *ἔχει· ἔχομεν δὲ καὶ εἰς* ΑΣ *ὀνόματα κλινόμενα διὰ τοῦ* ΝΤ *καὶ ποιοῦντα τριγένειαν, οἷον ἅπας ἅπαντος, ἅπασα ἅπαν· περὶ δὲ τῆς μετοχῆς τῆς τρίτης συζυγίας τῶν εἰς* ΜΙ *λέγομεν, ὅτι διὰ τοῦτο οὐκ ἐφύλαξε τὸ* Ω *τοῦ δίδωμι, ἐπειδὴ οὐκ ἔχομεν εἰς* [b]ΩΣ *ὀνόματα κλινόμενα διὰ τοῦ* ΤΟΣ *καὶ ποιοῦντα τριγένειαν, οἷον ἱδρὼς ἱδρῶτος· ὅθεν καὶ τὴν μετοχὴν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ ἐδείξαμεν ἀνάγκῃ εἰς* ΩΣ *γενομένην, ἐπειδὴ ἐκ τοῦ ὑποτακτικοῦ ἐγένετο τοῦ ἐὰν τετύφω· μὴ δυναμένη οὖν ἡ μετοχὴ τῆς τρίτης συζυγίας τῶν εἰς* ΜΙ *γενέσθαι εἰς* ΩΣ, *ἐφύλαξε τὸ* Ο *τὸ ὑπάρχον ἐν τῇ ἐντελείᾳ τοῦ πρωτοτύπου, φημὶ δὴ τοῦ διδόω, καὶ προσέλαβε τὸ* Υ, *καὶ ἐγένετο διὰ τῆς* ΟΥ *διφθόγγου διδούς. Τὸ γὰρ* Ο *διὰ τῆς προσθήκης τοῦ* Υ *πέφυκε μεγεθύνεσθαι, οἷον τύπτοντος*

[b] ΟΣ Bar.

τύπτουσα· ἡ δὲ μετοχὴ τῆς δ' συζυγίας τῶν εἰς ΜΙ εἰκότως ἔχει τὸ Τ ἐκτεταμένον, ἐπειδὴ καὶ τὸ πρωτότυπον ἔχει αὐτό.

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα τὰ εἰς ΟΥΣ καὶ τὰ εἰς ΥΣ ὀνόματα οὐ κλίνονται διὰ τοῦ ΝΤ, πλὴν τοῦ ὀδοὺς ὀδόντος, οἷον βοῦς βοὸς, ἡδὺς ἡδέος· (τὸ γὰρ πλακοῦς πλακοῦντος καὶ [c] Σιμοῦς Σιμοῦντος πεπονθότα εἰσίν· ἀπὸ γὰρ τοῦ πλακόεις καὶ Σιμόεις γεγόνασι·) πῶς αἱ εἰς ΟΥΣ καὶ εἰς ΥΣ μετοχαὶ ἐκλίθησαν διὰ τοῦ ΝΤ, οἷον διδοὺς διδόντος, πηγνὺς πηγνῦντος; Ἔστιν οὖν εἰπεῖν, ὅτι κατὰ [d] συνεκδρομὴν ἐγένοντο τῶν ἄλλων μετοχῶν· ἐπειδὴ πᾶσα μετοχὴ περιττοσυλλάβως κλινομένη διὰ τοῦ ΝΤ κλίνεται, χωρὶς τῶν εἰς ΩΣ μετοχῶν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ· αὗται γὰρ διὰ καθαροῦ τοῦ ΤΟΣ κλίνονται· καὶ ἡ αἰτία εἴρηται ἐν τοῖς εἰς Ω.

" Τιθεῖσα, τιθὲν, εἴρηται. Παρακειμένου καὶ ὑπερσυντελικοῦ τεθεικὼς, τεθεικυῖα, τεθεικός." Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τέτυφα γίνεται τετυφὼς, τετυφυῖα, τετυφὸς, οὕτω καὶ ἀπὸ τοῦ τέθεικα γίνεται τεθεικὼς, τεθεικυῖα, τεθεικός.

" Ἀόριστου πρώτου." Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ ἐποίησα γίνεται ποιήσας, οὕτω καὶ ἀπὸ τοῦ ἔθηκα ὤφειλε γενέσθαι θήκας· ἀλλ', ὡς εἴρηται πολλάκις, τὸ ἔθηκα, ἔδωκα, ἧκα, μετὰ τὰ ὁριστικὰ οὐ κλίνονται, οὔτε εἰς τὰς μετοχὰς, οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις· ἀπὸ μέντοι τοῦ ἔστησα γίνεται στήσας, στήσασα, στῆσαν.

" Ἀορίστου δευτέρου θεὶς, θεῖσα, θέν." Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ ἐτίθην γίνεται τιθεὶς, τιθεῖσα, τιθὲν, οὕτως ἀπὸ τοῦ ἔθην γέγονε θεὶς, θεῖσα, θέν.

" Μέλλων· θήσων, θήσουσα, θῆσον." Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τύψω γίνεται τύψων, τύψουσα, τύψον, οὕτω καὶ ἀπὸ τοῦ θήσω γίνεται θήσων, θήσουσα, θῆσον.

" Παθητικὰ ἐνεστῶτος καὶ παρατατικοῦ τιθέμενος, τιθεμένη, τιθέμενον." Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τύπτομαι, τυπτόμενος, τυπτομένη, τυπτόμενον, οὕτω καὶ ἀπὸ τοῦ τίθεμαι γίνεται τιθέμενος, τιθεμένη, τιθέμενον.

[c] διδοῦς Bar. et infr. [d] συναίρεσιν Bar.

" Παρακειμένου καὶ ὑπερσυντελικοῦ. Τεθειμένος, τεθειμένη, τεθειμένον· ἀορίστου πρώτου τεθεὶς, τεθεῖσα, τεθέν." Ὥσπερ ἀπὸ τοῦ ἐτύφθην γέγονε τυφθεὶς, τυφθεῖσα, τυφθὲν, οὕτως καὶ ἀπὸ τοῦ ἐτέθην γέγονε τεθεὶς, τεθεῖσα, τεθέν. " Μέσου ἀορίστου δευτέρου θέμενος, θεμένη, θέμενον" ἀπὸ τοῦ ἐθέμην γέγονε. Παρείασε δὲ ὁ τεχνικὸς τὴν μετοχὴν τοῦ μέσου πρώτου ἀορίστου, ἐπειδὴ, ὡς πολλάκις ἐμάθομεν, τὸ ἔδωκα, ἔθηκα, ἧκα, ὃ σημαίνει τὸ ἔπεμψα, μετὰ τὰ ὁριστικὰ οὐ κλίνονται, οὔτε γὰρ εἰς τὰς μετοχὰς, οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις, τὰς μετὰ τὰ ὁριστικά· ἀπὸ δὲ τοῦ ἔθηκα ἐστὶν ἐθηκάμην α' μέσου ἀορίστου· καὶ πῶς ἔχει κλιθῆναι εἰς μετοχὰς, ἀπὸ [μέντοι] τοῦ ἐστησάμην γίνεται στησάμενος, ὥσπερ καὶ ἀπὸ τοῦ ἐτυψάμην, τυψάμενος.

" Μέλλων α', τεθησόμενος, τεθησομένη, τεθησόμενον. Ὥσπερ ἀπὸ τοῦ τυφθήσομαι γέγονε τυφθησόμενος, τυφθησομένη, τυφθησόμενον, οὕτως καὶ ἀπὸ τοῦ τεθήσομαι γέγονε τεθησόμενος, τεθησομένη, τεθησόμενον.

Μέσου μέλλοντος α'· θησόμενος, θησομένη, θησόμενον. Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τύψομαι γέγονε τυψόμενος, τυψομένη, τυψόμενον, οὕτω καὶ ἀπὸ τοῦ θήσομαι γέγονε θησόμενος, θησομένη, θησόμενον.

Ἡ μετοχὴ δευτέρου μέλλοντος οὐκ ἔστιν.

APPENDIX.

Supplementa ex MS. Barocc. 116.

P. 516, 28. *ῥήτωρ*. Χωρὶς τοῦ Ῥάρος, ἔστι δὲ ὄνομα κύριον, καὶ χωρὶς τῶν ἐξ αὐτοῦ, οἷον, Ῥαρίας, σημαίνει δὲ τὴν Δήμητραν, καὶ Ῥάριον πέδιον, ἐπὶ τούτων γὰρ φασὶ τὸ μὲν πρῶτον ρ ψιλοῦσθαι, τὸ δὲ δεύτερον δασύνεσθαι. Ὁ μέντοι Ἡρωδιανὸς ἐν τῷ εἰκόστῳ βιβλίῳ τῆς Καθόλου τὰ β′ ρρ λέγει ψιλοῦσθαι ἐπὶ τούτων καὶ κατὰ τὴν πρώτην συλλαβὴν καὶ κατὰ τὴν δευτέραν. Τούτων οὕτως ἐχόντων, τὸ ῥάπτω καὶ τὸ ῥαπίζω ἄρχονται ἀπὸ δασείας, ἤγουν ἀπὸ δασυνομένου τοῦ ρ, θέλουσι δὲ τὰ σύμφωνα καὶ πνεύματα τῆς ἀρχούσης φυλάττεσθαι καὶ ἐν τοῖς παρωχημένοις, φιλῶ ἐφίλουν, ἰδοὺ ἐφύλαξε τὸ δασὺ, φημὶ δὴ τὸ Φ, φθονῶ ἐφθόνουν, τύπτω ἔτυπτον, ἐφύλαξε τὸ ψιλὸν Τ. Ἀπὸ οὖν τοῦ ῥάπτω καὶ ῥαπίζω ἐὰν γένηται ὁ παρατατικὸς προσόδῳ τοῦ Ε ἔραπτον καὶ ἐράπιζον, δι' ἑνὸς τοῦ ρ, ἀναγκάζεται ψιλοῦσθαι τὸ ρ ἐν τῷ παρατατικῷ τοῦ ἐνεστῶτος δασυνομένου, καὶ οὐκέτι λοιπὸν φυλάττεται τὸ πνεῦμα τοῦ ἐνεστῶτος καὶ ἐν τῷ παρατατικῷ. Μέλλει γὰρ τοῦ ἐνεστῶτος δασυνομένου ψιλοῦσθαι ὁ παρατατικὸς, ὅπερ ἐστιν ἀδύνατον. Ἤμελλε δὲ ψιλοῦσθαι τὸ ρ ἐν τῷ παρατατικῷ εἰ ἐξεφέρετο δι' ἑνὸς ρ, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὸ ρ′ μεταξὺ β′ φωνηέντων. . .

P. 519, 12. *ἀηδιζόμην*. Καὶ χωρὶς τοῦ ἀΐω ἄϊε καὶ τοῦ ἄω, τοῦ σημαίνοντος τὸ πνέω, ἄε, ταῦτα γὰρ ἐφύλαξαν τὸ Α καὶ οὐκ ἔτρεψαν αὐτὸ εἰς τὸ ἦτα, ἵνα μὴ εὑρεθῇ ἀλλεπάλληλον τὸ Η. Εἰ γὰρ ἔτρεψαν αὐτὸ εἰς τὸ Η, ἤμελλεν εἶναι κακόφωνα παραλαμβανόμενα ἐν παραλληλότητι τοῦ Η, οἷον ἠηδι-

ζόμην καὶ ἠήθεσσον. Τὸ δὲ ἄω, τὸ σημαῖνον τὸ πνέω, καὶ ἀΐω, τὸ σημαῖνον τὸ ἀκολουθῶ, οὐκ ἔτρεψαν τὸ Α εἰς τὸ Η ἵνα (μὴ) συνεμπέσωσιν ἑτέρῳ σημαινομένῳ· τὸ γὰρ ἀΐω τὸ ἔτρεψε τὸ Α εἰς Η εἶχεν συνεμπεσεῖν τῷ ἤϊε τῷ σημαίνοντι τὸ ἐπορεύετο, τὸ δὲ ἄω εἰ ἔτρεψε τὸ Α εἰς τὸ Η εἶχε συνεμπεσεῖν τῷ ἦε τῷ σημαίνοντι τὸ ὑπῆρχεν. Ἀποροῦσι δέ τινες, λέγοντες, διὰ ποίαν αἰτίαν τριῶν διχρόνων ὄντων, τοῦ Α τοῦ Ι καὶ τοῦ Υ, τὸ μὲν Α τρέπεται εἰς Η, ἄγω ἦγον, τὸ δὲ Ι καὶ τὸ Υ οὐ τρέπονται, οἷον ἰξεύω ἴξευον, ὑδρεύω ὕδρευον; Καὶ ἔστιν εἰπεῖν ὅτι ἐπειδὴ τὸ Α ἔσχεν ἀντιστοιχοῦν τὸ Η, τούτου χάριν ἐτράπη εἰς αὐτό· ὅτι γὰρ τὸ Η ἀντιστοιχοῦν ἐστι τοῦ Η (Α), δῆλον ὅτι καὶ ὅτι εἰς Α τρέπεται, οἷον λήβω ἔλαβον, μήθω ἔμαθον, δήκω ἔδακον, λήθω ἔλαθον. Τὸ δὲ Ι καὶ τὸ Υ ὡς μὴ ἔχοντα ἀντίστοιχα εἰς ἃ ὤφειλον τραπῆναι, τούτου χάριν οὐ τρέπονται, ἀλλὰ μόνον ἐκτείνονται, οἷον ἰξεύω ἴξευον, ὑδρεύω ὕδρευον.

Ib. 16. τρέπεται, ποτὲ δὲ καὶ τὸ Ι προσλαμβάνει, καὶ τρέπεται μὲν εἰς Η, οἷον ἐλέγχω ἤλεγχον, ἐλαύνω ἤλαυνον. Ὑπὲρ β′ συλλαβὰς τρέπουσι τὸ Ε εἰς τὸ Η ἐν τῷ παρατατικῷ, οἷον ἑρμηνεύω ἡρμήνευον, ἑτοιμάζω ἡτοίμαζον, ἐρεθίζω ἠρέθιζον, ἐλαύνω ἤλαυνον, ἐρευνῶ ἠρεύνων, ἐλεῶ ἠλεοῦν, ἐρωτῶ ἠρώτουν. Χωρὶς τοῦ ἐθίζω εἴθιζον, τοῦτο γὰρ διὰ τῆς ΕΙ διφθόγγου γράφεται, καὶ τοῦ ἐργάζομαι εἰργαζόμην, ὅπερ καὶ διφορεῖται· τινὲς μὲν γὰρ διὰ τῆς ΕΙ διφθόγγου γράφουσιν αὐτὸ, τινὲς δὲ διὰ τοῦ Η· καὶ χωρὶς τοῦ ἑστιῶ εἱστιῶν, σημαίνει δὲ τὸ ἀριστοποιῶ, ὡς παρὰ Μενάνδρῳ,

> ἑστιᾶν τοὺς φίλους,

καὶ χωρὶς τοῦ ἐρύω εἴρυον,

> εἴρυσαν ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν

παρὰ τῷ ποιητῇ, καὶ τὸ ἑλκύω εἵλκυον, καὶ τὸ εἵλκυσεν, καὶ τὸ ἑρπύζω εἵρπυζον. Τὰ δὲ δισύλλαβα, εἰ μὲν περισπᾶται, καὶ αὐτὰ τρέπουσι τὸ Ε εἰς Η, ἐρῶ ἐρᾷς ἤρων, ἑψῶ ἕψεις ἥψουν, ἐλῶ ἐλᾷς ἠλῶν, σημαίνει δὲ τὸ ἤλαυνον, ἑλκῶ ἑλκεῖς ἥλκυσα,

> Λητὼ δὲ ἥλκυσε Διὸς κυδρὴ παράκοιτι,

ἀντὶ τοῦ ἔσυρεν, ἑλκῶ ἑλκεῖς εἵλκυσα, ἀντὶ τοῦ ἐτραυμάτισα, χωρὶς τοῦ ἐῶ ἐᾷς εἴων, τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται, καὶ τὸ ἐρῶ ἐρεῖς εἶρουν, τοῦ σημαίνοντος τὸ λέγω, ἐξ οὗ καὶ ὁ παρακείμενος εἴρηκα, τὸ γὰρ ἕτερον σημαινόμενον, λέγω δὲ τὸ ἐρῶ ἐρᾷς, τουτέστι τὸ ἐρωτικῶς ἔχω, διὰ τοῦ η γίνεται κατὰ τὸν παρῳχημένον, οἷον

ἤρων γὰρ, ἤρων, ὁμολογῶ, καὶ νῦν δ' ἐρῶ,

παρὰ Μενάνδρῳ. Καὶ χωρὶς τοῦ

εἵλκυον ἀμφότεροι,

τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου ἐκφέρεται. Ἔστι δὲ ὡς ἀπὸ τοῦ ἑλκῶ ἑλκεῖς, καὶ σημαίνει τὸ ἔσυρον. Τὸ δὲ κατὰ τὸν πρῶτον ἀόριστον διὰ τοῦ η, οἷον

Λητὼ δ' ἤλκυσε (ἤλκησε)

ἀντὶ τοῦ ἔσυρεν. Τὰ δὲ βαρύτονα δισύλλαβα ἔχουσι διαφοράν· τινὰ μὲν γὰρ ἐξ αὐτῶν διὰ τοῦ η γράφεται, οἷον ἕρδω ἦρδον, ἔλπω ἦλπον, τινὰ δὲ διὰ τῆς ει διφθόγγου, οἷον ἔχω εἶχον, ἕλκω εἷλκον. Καὶ ἔστιν εἰπεῖν ὅτι πάντα τρέπουσι τὸ ε εἰς η, οἷον ἔλπω εἶλπον, ἔρδω ἦρδον, ἔσθω ἦσθον, ἐκ τοῦ

ἔσθον καὶ πίνον

παρὰ τῷ ποιητῇ, χωρὶς τινῶν, εἰσὶ δὲ ταῦτα, ἔχω εἶχον, ἕρπω εἷρπον, τὸ βαδίζω, ἔπω εἶπον, τὸ σημαῖνον τὸ λέγω καὶ τὸ ἀκολουθῶ, ἕλω εἷλον, εἴτε ἐπὶ τοῦ λαμβάνω εἴτε ἐπὶ τοῦ φονεύω, ἔθω εἶθον, σημαίνει δὲ τὸ ἐξ ἔθους τὶ διαπράττομαι, οἷον,

εἶθον Οἰνεῖος ἀλωὴν,

ὅθεν ὁ μέσος παρακείμενος γίνεται εἶθα, καὶ πλεονασμῷ τοῦ ω εἴωθα, ὅθεν καὶ τὸ

γάρ μοι ἕωθεν ἐκνικλᾶν ὅττι νοήσω.

Ἔστι δὲ καὶ τὸ ἕω τὸ σημαῖνον τὸ ἐνδύομαι, ὅθεν καὶ ὁ παρακείμενος

εἱμένος ὤμοισιν νεφέλη

διὰ τῆς ει διφθόγγου. Ταῦτα δέ εἰσι τὰ δισύλλαβα βαρύτονα τὰ γινόμενα διὰ τῆς ει διφθόγγου. Διὰ τί δὲ τὸ μὲν ε διχῶς μεγεθύνεται ἐν τοῖς παρῳχημένοις, (ἢ γὰρ τρέπεται

εἰς τὸ η, οἷον ἐλέγχω ἤλεγχον, ἐλαύνω ἤλαυνον, ἢ προσλαμβάνει τὸ ι, οἷον ἔχω εἶχον, ἕλκω εἷλκον,) τὸ δὲ ο μίαν μόνην ἔκτασιν δέχεται, λέγω δὲ τὸ τρέπεσθαι εἰς τὸ ω, οἷον ὀμνύω ὤμνυον, ὀρθῶ ὤρθουν, ἐν τῷ Ῥηματικῷ Ἀπολλωνίου, εἰ θεῷ φίλον, μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ τῶν διφθόγγων ἡ ει καὶ ἡ ου οὐ τρέπονται, ὡς εἰκονίζω εἰκόνιζον, εἴργω εἶργον, οὐρῶ οὔρουν, οὐριοδρομῶ οὐριοδρομοῦν, οὐριοδρομεῖν δέ ἐστι τὸ ἐπιτηδείως πλέειν, αἱ δὲ λοιπαὶ εἰς τὰ οἰκεῖα μεγέθη ἀποβάλλονται, οἷον οἴγω ᾦγον, οἴχομαι ᾠχόμην, τὸ γὰρ α εἰς τὸ ω τρέπεται, ὡς ἐμάθομεν, καὶ πάλιν κ. τ. λ.

P. 521, 14. ᾠκονομοῦν, οἰνοχόω ᾠνοχόουν, καὶ ἐν πλεονασμῷ τοῦ ε ἐῳνοχόουν, ἐξ οὗ γίνεται τὸ γ΄ πρόσωπον παρὰ τῷ ποιητῇ,

μετὰ δέ σφισι πότνια Ἥβη
νέκταρ ἐῳνοχόει,

διὰ τοῦτο τοῖς ἀπὸ τῆς οι διφθόγγου ἀρχομένοις σημειούμεθα τινὰ μὴ τρέψαντα τὸ ει εἰς τὸ ω κατὰ τοὺς παρῳχημένους, ἔστι δὲ ταῦτα, οἷον οἰώθη, ἔστι δὲ τὸ ἐμονώθη,

οἰώθη δ' Ὀδυσεύς...
Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή...

οἰμῶ οἴμησε,

ἤμησε (οἴμησε) δὲ ἀλείς...

σημαίνει δὲ οἴμησε τὸ ὥρμησεν, οἶμος γὰρ ἡ ὁδός· τὸ δὲ ἀλεὶς τὸ συσταλείς· οἰνῶ οἴνουν,

μήπω οἰνωθέντες

τουτέστι μεθυσθέντες, καὶ ἐκ τούτου παράγωγον, οἰνίζω οἴνιζον,

ἔκ τ' ἄρα οἰνίζοντο

τουτέστιν οἶνον ἐλάμβανον. Ἔστι δὲ καὶ τὸ οἰστρῶ οἴστρησεν, οἴστρησε δέ ἐστι τὸ ἐρωτικῶς ἐμάνη. Ἔστι δὲ καὶ τὸ οἰωνίζω οἰωνιζόμην, καὶ τὰ παρὰ τὸ οἰωνὸς, οἷον, οἰωνοσκοπῶ οἰωνοσκόπουν, οἰωνοπόλουν. Ἔστι δὲ καὶ τὸ οἰακίζω οἴακιζον οἰακιζόμην, σημαίνει δὲ τὸ κρατεῖν τὸν οἴακα καὶ παρὰ τὸ οἴαξ, οἷον, οἰακονομῶ οἰακονόμουν, οἰα-

κοστροφῶ οἰακοστρόφουν. Τινὲς δὲ προστιθέασι καὶ τὸ οἰδαίνω οἴδαινον, καὶ τὸ οἰκουρῶ οἰκούρουν, καὶ τὸ οἰμώζω οἴμωζον, ᾠκούρουν καὶ ᾤμωζον. Δεῖ λέγειν καὶ παρὰ Σοφοκλεῖ ἐν Τραχινίαις,

ἰδὼν δ' ὁ παῖς ᾤμωξε

καὶ παρὰ τῷ ποιητῇ,

ᾤμωξε τ' ἄρ' ἔπειτα καὶ ὣ πεπλήγετο μήρω.

Ταῦτα δέ φημι τὰ μὴ τρέποντα τὸ ο εἰς τὸ ω κατὰ τὸν παρῳχημένον, ἢ δι' εὐφωνίαν, ὥς φασί τινες, οὐκ ἔτρεψαν τὸ ο εἰς τὸ ω, ἢ Ἰωνικῷ ἔθει, οἱ γὰρ Ἴωνες πολλάκις συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσι, ἢ, ὅπερ κάλλιόν ἐστιν εἰπεῖν, ταῖς ἰδίαις μετοχαῖς, οἷον, τύπτω ἔτυπτον,

τύπτε δ' ἐπιστροφάδην

ἀντὶ τοῦ ἔτυπτε, καὶ πάλιν ἄγω ἦγον,

ἄγεν δὲ μοῖρα βαρεῖα

ἀντὶ τοῦ ἦγεν, καὶ πάλιν ἅπτομαι ἡπτόμην,

ἅψατο δ' ἡμιόνων

ἀντὶ τοῦ ἥψατο. Πρόσκειται δὲ "ἢ ὅπερ κάλλιόν ἐστιν εἰπεῖν ταῖς ἰδίαις μετοχαῖς" διὰ τὸ εἴπεσκε, τοῦτο γὰρ οὐ συνάρχεται τῷ ἐνεστῶτι ἀλλὰ τῇ εἰπὼν μετοχῇ. Ὁ γὰρ ἐνεστὼς ἔπω ἐστὶν, ἐξ οὗ καὶ τὸ ἔννεπε. Αἱ δ' ἄλλαι δίφθογγοι οὐ τρέπονται, ὡς ἐπὶ τοῦ οὐρῶ οὔρουν, οὐριοδρομῶ οὐριοδρόμουν, εἴργω εἶργον, εἰκονίζω εἰκόνιζον, εἰκάζω εἴκαζον. Τοῦτο τὸ εἴκαζον τρέπεται τὸ ε εἰς η παρὰ τοῖς Ἀθηναίοις, καὶ φυλάττει τὸ ι προσγεγραμμένον, οἷον ᾔκαζον, φυλάττει δὲ τὸ ι ἐπειδὴ οἱ παρῳχημένοι κατὰ τὴν ἄρχουσαν ἶσα φωνήεντα θέλουσιν ἔχειν πρὸς τὴν ἄρχουσαν τοῦ ἐνεστῶτος ἢ πλείονα, οὐδέποτε δὲ ἐλάττονα· ἶσα μὲν, οἷον ἄγω ἦγον, αἰσχύνομαι ᾐσχυνόμην, ἄρχομαι ἠρχόμην, αἰδοῦμαι ᾐδούμην· πλείονα δὲ, οἷον ἔχω εἶχον, ἐρύω εἴρυον, ἑλκύω εἵλκυον. Εἰ οὖν τὸ εἰκάζω β' φωνήεντα ἔχει κατὰ τὴν ἄρχουσαν, δῆλον ὅτι καὶ τὸ ᾔκαζον γινόμενον παρὰ τοῖς Ἀθηναίοις διὰ τοῦ η ἀναγκάζεται φυλάξαι τὸ ι, ἵνα

εὑρεθῇ ἔχον κατὰ τὴν ἄρχουσαν ἶσα φωνήεντα τῇ ἀρχῇ τοῦ ἐνεστῶτος καὶ μὴ ἐλάττονα· τοιοῦτόν ἐστι καὶ τὸ ᾔδειν τρέψαν παρὰ τοῖς Ἀττικοῖς τὸ Ε εἰς Η καὶ φυλάξαν τὸ Ι. Πολλάκις δ' εὑρίσκομεν καὶ ἐν ἄλλοις τὸ Ε παρὰ τοῖς Ἀττικοῖς τρεπόμενον εἰς τὸ Η, ἀπὸ γὰρ τοῦ μέλλω ἔμελλον, καὶ βούλομαι ἐβουλόμην, καὶ δύναμαι ἐδυνάμην γίνεται κατ' ἐπέκτασιν Ἀττικὴν τοῦ Ε εἰς Η ἤμελλον καὶ ἠδυνάμην καὶ ἠβουλόμην. Ταῦτα μὲν ἐν τούτοις.